Digitized by Google

N 1
S 1
P 2 N 11

2. 5. 64

S. 1
2. E. 5.

Digitized by Google

Digitized by Google

Digitized by Google

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΑΡΑΛΛΗΛΑ,

Η

ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

PLUTARCHI PARALLELA,

SEU

VITÆ PARALLELÆ.

VOLUMEN TERTIUM.

LONDINI:

Ex Officinâ JACOBI TONSON, & JOHANNIS WATTS.

M DCC XXIII.

Digitized by Google

Digitized by Google

Hoc Volumine Continentur

LYSANDER.
SYLLA.
CIMON.
LUCULLUS.
NICIAS.
CRASSUS.
SERTORIUS.
EUMENES.
AGESILAUS.
POMPEIUS.

Digitized by Google

Digitized by Google



ΛΥΣΑΝΔΡΟΣ.

ἈΚΑΝΘΙΩΝ θησαυρὸς ἐν Δελφοῖς ἐπιγραφὴν ἔχει τοιαύτην, ΒΡΑΣΙΔΑΣ ΚΑΙ ΑΚΑΝΘΙΟΙ ΑΠ' ΑΘΗΝΑΙΩΝ. διὸ καὶ πολλοὶ τὸν ἐντὸς ἑστῶτα τοῦ οἴκου παρὰ ταῖς θύραις λίθινον ἀνδριάντα, Βρασίδου νομίζουσιν εἶναι· Λυσάνδρου δὲ ἐστιν εἰκονικὸς, εὖ μάλα κομῶντος ἐπὶ τῷ παλαιῷ, καὶ πώγωνα καθειμένου γενναῖον. οὐ γὰρ, ὡς ἔνιοί φασιν, Ἀργείων μετὰ τὴν μεγάλην ἧτταν ἐπὶ πένθει καρέντων, οἱ Σπαρτιᾶται πρὸς τὸ ἀντίπαλον αὐτοὶ τὰς κόμας ἀγαλλόμενοι τοῖς πεπραγμένοις ἀνῆκαν· οὐδὲ Βακχιαδῶν τῶν ἐκ Κορίνθου φυγόντων εἰς Λακεδαίμονα, ταπεινῶν καὶ ἀμόρφων, διὰ τὸ κείρασθαι τὰς κεφαλὰς, φανέντων, εἰς ζῆλον αὐτοὶ τοῦ κομᾶν ἦλθον· ἀλλὰ καὶ τοῦτο Λυκούργειόν ἐστι. καί φασιν εἰπεῖν αὐτὸν, ὡς ἡ κόμη τοὺς μὲν καλοὺς, εὐπρεπεστέρους ὁρᾶσθαι ποιεῖ, τοὺς δὲ αἰσχροὺς, φοβερωτέρους.

Λέγεται δὲ ὁ Λυσάνδρου πατὴρ Ἀριστόκλειτος, οἰκίας μὲν οὐ γενέσθαι βασι-

Acanthiorum Delphis thesaurus hanc habet inscriptionem, BRASIDAS ET ACANTHII DE ATHENIENSIBUS. Quod in causa est, ut statuam marmoream, quæ intra templum est ad valvas posita, Brasidæ esse plerique arbitrentur. Verum ea est Lysandri, imaginem ejus egregie exprimens veteri more comati, barba promissa insigni. Neque enim (ut nonnulli volunt) tonsis secundum magnum conflictum Argivis, qui victi erant, Spartiatæ ex adverso comam victoria elati summisere. Nec quum Bacchiadæ, qui Lacedæmonem ex Corintho profugerunt, sordidam & fœdam speciem tonsis capillis præferrent, comam cœperunt Lacedæmonii in honore habere. Cæterum est hoc quoque ex institutis Lycurgi, quem dixisse aiunt, formosos comam speciosiores aspectu, & turpes reddere magis terribiles.

Fama est Lysandri patrem Aristoclitum, non ex regia

ειν. ἀλλ' ὀλίγον ὕστερον, πρὸς τὸν αὐτὸν τύραννον ἐκ τῆς αὐτῆς πόλεως ἀποσταλεὶς πρεσβευτής, προσπέμψαντος αὐτῷ δύο στολὰς ἐκείνου, καὶ κελεύσαντος ἣν βούλεται τούτων ἑλόμενον τῇ θυγατρὶ κομίζειν, αὐτὴν ἐκείνην ἔφη βέλτιον αἱρήσεσθαι· καὶ λαβὼν ἀμφοτέρας, ἀπῆλθεν.

Ἐπεὶ δὲ τοῦ Πελοποννησιακοῦ πολέμου μῆκος λαμβάνοντος, καὶ μετὰ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων κακοπραγίαν, αὐτίκα μὲν ἐπιδόξων ὄντων ἐκπεσεῖσθαι τῆς θαλάσσης, οὐ πολλῷ δὲ ὕστερον ἀπαγορεύσειν παντάπασιν, Ἀλκιβιάδης ἀπὸ τῆς φυγῆς ἐπιστὰς τοῖς πράγμασι, μεγάλην μεταβολὴν ἐποίησε, καὶ κατέστησε τοὺς ναυτικοὺς ἀγῶνας εἰς ἀντίπαλον αὐτοῖς· δείσαντες οὖν οἱ Λακεδαιμόνιοι πάλιν, καὶ γενόμενοι ταῖς προθυμίαις καινοὶ πρὸς τὸν πόλεμον, ὡς ἡγεμόνος τε δεινοῦ καὶ παρασκευῆς ἐρρωμενεστέρας δεόμενον, ἐκπέμπουσιν ἐπὶ τὴν τῆς θαλάσσης ἡγεμονίαν Λύσανδρον. γενόμενος δὲ ἐν Ἐφέσῳ, καὶ τὴν πόλιν εὑρὼν εὔνουν μὲν αὐτῷ καὶ λακωνίζουσαν προθυμότατα, πράττουσαν δὲ τότε λυπηρῶς, καὶ κινδυνεύουσαν ἐκβαρβαρωθῆναι τοῖς Περσικοῖς ἔθεσι διὰ τὰς ἐπιμιξίας, ἅτε δὴ τῆς Λυδίας περικεχυμένης, καὶ τῶν βασιλικῶν στρατηγῶν αὐτόθι τὰ πολλὰ διατριβόντων, στρατόπεδον βαλόμενος, καὶ τὰ πλοῖα πανταχόθεν ἕλκεσθαι κελεύσας ἐκεῖ τὰ φορτικά, καὶ ναυπηγίαν τριήρων ἐκεῖ κατασκευασάμενος, τοῖς μὲν ἐμπόροις τοὺς λιμένας αὐτῶν ἀνέλαβεν, ἐργασίαις δὲ τὴν ἀγοράν, χρηματισμῶν δὲ τοὺς οἴκους καὶ τὰς τέχνας ἐνέπλησεν. ὥστε πρῶτον ἀπ' ἐκείνου τοῦ χρόνου τὴν πόλιν ἐν ἐλπίδι τοῦ περὶ αὐτὴν νῦν ὄγκου καὶ μεγέθους διὰ Λύσανδρον γενέσθαι.

Πυθό-

At brevi post legatus ad eundem tyrannum ex eadem missus civitate, oblatis ab illo sibi stolis duabus, quum juberet ille, utra placuisset, eam ut acciperet & ad filiam suam deportaret, illam ait ipsam potius electuram, abstulitque ambas.

Quum bellum Peloponnesiacum diutius traheretur, & post acceptam in Sicilia cladem expectatio esset, fore confestim ut Athenienses pellerentur mari, brevique post omnino conciderent: Alcibiades, ut ab exilio reversus est, incumbens in has res, magnam fecit conversionem, ac certaminibus navalibus reddidit Lacedæmoniis Athenienses pares. Lacedæmonii ergo de integro trepidantes, atque excitati denuo animis ad bellum, quod duce opus esset acri, & apparatu firmiore, Lysandrum classi præfecere. Hic Ephesum delatus, quum eam civitatem offendisset sui cupidam & enixe facientem cum Lacedæmoniis, afflictam autem id temporis, & ne moribus Persicis ex Persarum commerciis prope efferaretur periclitantem, utpote Lydiæ affinem, & præfectis regiis crebro ibi agentibus: communivit ibidem castra, naves onerarias imperavit illuc omnes decurrere, ac navalia ædificandarum triremium extruxit. Ita portus eorum frequentavit mercatoribus, negotiationibus forum, quæstu ædes atque officinas complevit. Unde ab illo tempore primum urbs hæc Lysandri opera in spem venit hujus, quam videmus, dignationis & magnificentiæ.

Cer-

Digitized by Google

Πυθόμενος δὲ Κῦρον εἰς Σάρδεις ἀφῖχθαι, τὸν βασιλέως υἱόν, ἀνέβη διαλεξόμενος αὐτῷ, καὶ Τισαφέρνου κατηγορήσων, ὃς ἔχων πρόσταγμα Λακεδαιμονίοις βοηθεῖν, καὶ τῆς θαλάσσης ἐξελάσαι τοὺς Ἀθηναίους, ἐδόκει δι' Ἀλκιβιάδην ὑφιέμενος, ἀπρόθυμος εἶναι, καὶ γλίσχρως χορηγῶν, τὸ ναυτικὸν φθείρειν. ἦν δὲ καὶ Κύρῳ βουλομένῳ τὸν Τισαφέρνην ἐν αἰτίαις εἶναι καὶ κακῶς ἀκούειν, πονηρὸν ὄντα, καὶ πρὸς αὐτὸν ἰδίᾳ διαφερόμενον. ἔκ τε δὴ τούτων καὶ τῆς ἄλλης συνδιαιτήσεως ὁ Λύσανδρος ἀγαπηθείς, καὶ τῷ θεραπευτικῷ μάλιστα τῆς ὁμιλίας ἑλὼν τὸ μειράκιον, ἐπέρρωσε πρὸς τὸν πόλεμον. ἐπεὶ δὲ ἀπαλλάττεσθαι βουλόμενον αὐτὸν ἑστιῶν ὁ Κῦρος ἠξίου μὴ διωθεῖσθαι τὰς παρ' αὐτοῦ φιλοφροσύνας, ἀλλ' αἰτεῖν ὃ βούλοιτο καὶ φράζειν, ὡς οὐδενὸς ἁπλῶς ἀποτευξόμενον· ὑπολαβὼν ὁ Λύσανδρος, Ἐπεὶ τοίνυν, εἶπεν, οὕτως ἔχεις ὦ Κῦρε προθυμίας, αἰτοῦμαί σε καὶ παρακαλῶ προσθεῖναι τῷ μισθῷ τῶν ναυτῶν ὀβολόν, ὅπως τετρώβολον ἀντὶ τριωβόλου λαμβάνωσιν. ἡσθεὶς οὖν ὁ Κῦρος ἐπὶ τῇ φιλοτιμίᾳ τοῦ ἀνδρός, μυρίους αὐτῷ δαρεικοὺς ἔδωκεν· ἐξ ὧν ἐπιμετρήσας τὸν ὀβολὸν τοῖς ναύταις, καὶ λαμπρυνάμενος, ὀλίγῳ χρόνῳ τὰς ναῦς τῶν πολεμίων κενὰς ἐποίησεν. ἀπεφοίτων γὰρ οἱ πολλοὶ πρὸς τοὺς πλέον διδόντας· οἱ δὲ μένοντες, ἀπρόθυμοι καὶ στασιώδεις ἐγίνοντο, καὶ κακὰ παρεῖχον ὁσημέραι τοῖς στρατηγοῖς. οὐ μὴν ἀλλὰ καίπερ οὕτως περισπάσας καὶ κακώσας τοὺς πολεμίους ὁ Λύσανδρος, ὀρρώδει ναυμαχεῖν, δραστήριον ὄντα τὸν Ἀλκιβιάδην, καὶ νεῶν πλήθει περιόντα, καὶ μάχας καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς ἐκεῖνο χρόνου πάσας ἀήττητον ἠγωνισμένον δεδοικώς.

Ἐπεὶ

Certior factus Cyrum regis filium applicuisse Sardes, illuc contendit ad eum conveniendum & criminandum Tisaphernem, cui, quum imperatum esset Lacedæmoniis opem ferre & mari exigere Athenienses, videbatur factus per Alcibiadem remissior pigrescere, ac, præbendo maligne stipendio, navalem manum perdere. Cupiebat autem deferri & male audire Cyrus quoque Tisaphernem, improbum hominem & privatim sibi infensum. Hinc igitur & ex reliquo usu charus adolescenti Lysander, & potissimum observantia sua conciliatum eum excitavit ad bellum. Parantem discedere Cyrus convivio excipiens, rogavit ne repudiaret munera sua, sed quicquid cordi esset, posceret & aperiret, omnia prorsus impetraturum. Cui occurrens Lysander, Quando adeo te, Cyre, inquit, propensum demonstras in me, peto abs te atque oro ut nautarum stipendio obolum addas, ut pro ternis ferant quaternos. Cyrus illius animi celsitudine delectatus, donavit ei decem millia Daricorum. Ex quibus suppleto nautis obolo, magnificus brevi exinanivit classem hostium. Complures enim ad eos, ubi stipendium esset uberius, transibant: qui vero remanebant, segnes redditi sunt & seditiosi, ac negotia ducibus quotidie exhibuerunt. Atqui, quamvis ita spoliavisset & pressisset hostes Lysander, prœlium navale tamen trepidabat committere; quod Alcibiadem virum impigrum, & navium numero superiorem, qui terra marique omnibus prœliis evaserat invictus, metueret.

Ve-

Ἐπεὶ δὲ ὁ μὲν Ἀλκιβιάδης εἰς Φωκαίαν ἐκ Σάμου διέπλευσεν, ἐπὶ τοῦ στόλου καταλιπὼν Ἀντίοχον τὸν κυβερνήτην· ὁ δὲ Ἀντίοχος, οἷον ἐφυβρίζων τῷ Λυσάνδρῳ, καὶ θρασυνόμενος, ἐπέπλευσε δυσὶ τριήρεσιν εἰς τὸν λιμένα τῶν Ἐφεσίων, καὶ παρὰ τὸν ναύσταθμον γέλωτι καὶ πατάγῳ χρώμενος, σοβαρῶς παρήλαυνεν· ἀγανακτήσας ὁ Λύσανδρος, καὶ κατασπάσας τὸ πρῶτον οὐ πολλὰς τῶν τριήρων ἐδίωκεν αὐτὸν, ἰδὼν δὲ αὖ τοὺς Ἀθηναίους βοηθοῦντας, ἄλλας ἐπλήρου, καὶ τέλος ἐναυμάχουν συμπεσόντες. ἐνίκα δὲ Λύσανδρος, καὶ πεντεκαίδεκα τριήρεις λαβὼν, ἔστησε τρόπαιον. ἐπὶ τούτῳ τὸν Ἀλκιβιάδην ὁ μὲν ἐν ἄστει δῆμος ὀργισθεὶς ἀπεχειροτόνησεν, ὑπὸ δὲ τῶν ἐν Σάμῳ στρατιωτῶν ἀτιμαζόμενος καὶ κακῶς ἀκούων, ἀπέπλευσεν εἰς Χερρόνησον ἐκ τοῦ στρατοπέδου. ταύτην μὲν οὖν τὴν μάχην, καίπερ οὐ μεγάλην τῇ πράξει γενομένην, ἡ τύχη δι' Ἀλκιβιάδην ὀνομαστὴν ἐποίησεν. ὁ δὲ Λύσανδρος ἀπὸ τῶν πόλεων εἰς Ἔφεσον μεταπεμπόμενος οὓς ἑώρα μάλιστα ταῖς τε τόλμαις καὶ τοῖς φρονήμασιν ὑπὲρ τοὺς πολλοὺς ὄντας, ἀρχὰς ὑπέσπειρε τῶν ὕστερον ἐπ' αὐτοῦ γενομένων δεκαδαρχιῶν καὶ νεωτερισμῶν, προτρέπων καὶ παροξύνων ἑταιρικὰ συνίστασθαι, καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ὡς ἅμα τῷ καταλυθῆναι τοὺς Ἀθηναίους, τῶν τε δήμων ἀπαλλαξομένους, καὶ δυναστεύσοντας ἐν ταῖς πατρίσι. τούτων δὲ τὴν πίστιν ἑκάστῳ δι' ἔργων παρεῖχε, τοὺς ἤδη γεγονότας φίλους αὐτῷ καὶ ξένους εἰς μεγάλα πράγματα καὶ τιμὰς καὶ στρατηγίας ἀνάγων, καὶ συναδικῶν καὶ συνεξαμαρτάνων αὐτὸς ὑπὲρ τῆς ἐκείνων πλεονεξίας· ὥστε προσέχειν ἅπαντας αὐτῷ

καὶ

Verum ut ex Samo Alcibiades Phoceam transmisit, præposito classi gubernatore Antiocho, hic autem insultans in Lysandrum & insolescens, triremibus duabus in portum Ephesiorum invectus est, stationemque classis cum risu & strepitu arroganter prævectus; incensus Lysander, deductis primum paucis triremibus insequutus eum est. Cui ubi venire suppetias Athenienses cernit, complevit alias. Postremo concurrerunt, ac prœlium commiserunt. Victoriam reportavit Lysander, navibusque quindecim captis excitavit trophæum. Ea de causa abrogavit Alcibiadi populus Atheniensis indignabundus imperium. Qui quum etiam a militibus, qui Sami agerent, contemneretur & male audiret, navigavit ex castris in Chersonesum. Hanc pugnam licet re non magnam, Alcibiadis causa nobilitavit fortuna. Lysander autem excitis ex oppidis Ephesum iis, quos maxime præstare cæteris audacia & animo videbat, semina clanculum sparsit coitionum & novationum, quæ postea sub eo extiterunt, incitans & accendens eos, ut sodalitia constituerent, arripiendisque rebuspubl. suis adjicerent animum, simul atque oppressi Athenienses essent, solutos ipsos fore populari imperio, & principatum in patriis suis habituros. Horum autem faciebat cuique fidem, reipsa provehens hos, qui ad amicitiam se jam ipsius contulerant, hospitesque ad magnas opes, & honores, & imperia: atque illorum causa efferendorum socium se fraudum & flagitiorum præbens. Itaque ad illum conferebant

se

καὶ χαρίζεσθαι καὶ ποθεῖν, ἐλπίζοντας οὐδενὸς ἀτυχήσειν τῶν μεγίστων, ἐκείνου κρατοῦντος. διὸ καὶ Καλλικρατίδαν οὔτ' εὐθὺς ἡδέως εἶδον ἐλθόντα τῷ Λυσάνδρῳ διάδοχον τῆς ναυαρχίας, οὔτε, ὡς ὕστερον διδοὺς καὶ πεῖραν ἀνὴρ ἐφαίνετο πάντων ἄριστος καὶ δικαιότατος, ἠρέσκοντο τῷ τρόπῳ τῆς ἡγεμονίας, ἁπλοῦν τι καὶ Δώριον ἐχούσης καὶ ἀληθινόν. ἀλλὰ τούτου μὲν τὴν ἀρετὴν, ὥσπερ ἀγάλματος ἡρωϊκοῦ κάλλος ἐθαύμαζον, ἐπόθουν δὲ τὴν ἐκείνου σπουδὴν, καὶ τὸ φιλέταιρον καὶ χρειῶδες ἐζήτουν, ὥστε ἀθυμεῖν ἐκπλέοντος αὐτοῦ καὶ δακρύειν.

Ὁ δὲ τούτους τε τῷ Καλλικρατίδᾳ δυσμενεστέρους ἐποίει ἔτι μᾶλλον, καὶ τῶν ὑπὸ Κύρου χρημάτων αὐτῷ δεδομένων εἰς τὸ ναυτικὸν, τὰ περιόντα πάλιν εἰς Σάρδεις ἀνέπεμψεν αὐτὸν αἰτεῖν, εἰ βούλοιτο, τὸν Καλλικρατίδαν, καὶ σκοπεῖν ὅπως θρέψῃ τοὺς στρατιώτας κελεύσας. τέλος δὲ ἀποπλέων ἐμαρτύρατο πρὸς αὐτὸν, ὅτι θαλασσοκρατοῦν τὸ ναυτικὸν παραδίδωσιν. ὁ δὲ, βουλόμενος ἐλέγξαι τὴν φιλοτιμίαν ἀλαζονικὴν καὶ κενὴν οὖσαν, Οὐκ οὖν, ἔφη, λαβὼν ἐν ἀριστερᾷ Σάμον, καὶ περιπλεύσας εἰς Μίλητον, ἐκεῖ μοι παράδος τὰς τριήρεις. δεδιέναι γὰρ οὐ χρὴ παραπλέοντας ἡμᾶς τοὺς ἐν Σάμῳ πολεμίους, εἰ θαλασσοκρατοῦμεν. πρὸς ταῦτα εἰπὼν ὁ Λύσανδρος, ὅτι οὐκ αὐτὸς ἀλλ' ἐκεῖνος ἄρχοι τῶν νεῶν, ἀπέπλευσεν εἰς Πελοπόννησον, ἐν πολλῇ τὸν Καλλικρατίδαν ἀπορίᾳ καταλιπών. οὔτε γὰρ οἴκοθεν ἀφῖκτο χρήματα κομίζων, οὔτε τὰς πόλεις ἀργυρολογεῖν καὶ βιάζεσθαι μοχθηρῶς πραττούσας ὑπέμεινε. λοιπὸν οὖν ἦν, ἐπὶ θύρας ἰόντα τῶν βασιλέως στρατηγῶν,

se omnes, illi inserviebant, illum desiderabant, sperantes illo victore nihil adeo esse arduum quod non essent assequuturi. Quapropter Callicratidam neque ab initio, quum Lysandri successor ad classem venisset, viderunt libenter, neque, postquam specimen viri dedit omnium optimi & justissimi, ratio placuit imperii ejus, quod Doricam & minime fucatam simplicitatem haberet. Sed hujus virtutem, ut signum heroicum fabrefactum extollebant, illius vero exoptabant favorem, studiumque in amicos & beneficentiam requirebant, ut mœrore & lacrimis prosequerentur decedentem.

At ille cum hos a Callicratida magis alienavit, tum datæ sibi a Cyro pecuniæ ad stipendium nauticum remisit residuum Sardes, ipsum jubens Callicratidam petere, si ei visum esset, & videre qua ratione toleraret milites. Denique testificatus apud assistentes est in discessu, classem se ei maris potientem tradere. Hic vero ad revincendam arrogantiam illius & vanam ambitionem, Ergo sinistra (inquit) præter Samum naviga Miletum, atque classem illic mihi trade. Nam si obtinemus mare, non est quod prævecti Samum sedentem illic hostem formidemus. Ad quæ quum respondisset Lysander, non se sed ipsum præesse classi, in Peloponnesum vela fecit, Callicratida in magnis relicto difficultatibus. Siquidem neque domo stipendium secum attulerat, neque sustinebat a civitatibus exigere & exprimere afflictis. Ita reliquum erat ut mendicatum,

γῶν, ὥσπερ Λύσανδρος, αἰτεῖν. πρὸς ὃ πάντων ἀφυέστατος ἐτύγχανεν, ἀνὴρ ἐλευθέριος καὶ μεγαλόφρων, καὶ πᾶσαν ὑφ' Ἑλλήνων ἧτταν Ἕλλησιν ἡγούμενος εὐπρεπεστέραν εἶναι, τοῦ κολακεύειν καὶ φοιτᾶν ἐπὶ θύρας ἀνθρώπων βαρβάρων, πολὺ χρυσίον, ἄλλο δὲ οὐδὲν καλὸν ἐχόντων. ἐκβιαζόμενος δὲ ὑπὸ τῆς ἀπορίας, ἀναβὰς εἰς Λυδίαν, εὐθὺς ἐπορεύετο εἰς τὴν οἰκίαν τοῦ Κύρου, καὶ φράζειν προσέταξεν, ὅτι Καλλικρατίδας ὁ ναύαρχος ἥκει διαλεχθῆναι βουλόμενος αὐτῷ. τῶν δ' ἐπὶ θύραις τινὸς εἰπόντος, ἀλλ' οὐ σχολὴ νῦν ὦ ξένε, Κύρῳ· πίνει γάρ· ἀφελέστατά πως ὁ Καλλικρατίδας, Ἀλλ' οὐδέν, ἔφη, δεινόν· αὐτοῦ γὰρ ἑστὼς ἀναμενῶ μέχρι πίῃ. τότε μὲν οὖν δόξας ἀγροῖκός τις εἶναι, καταγελασθεὶς ὑπὸ τῶν βαρβάρων ἀπῆλθεν. ἐπεὶ δὲ καὶ δεύτερον ἐλθὼν ἐπὶ θύρας, οὐ παρείθη, βαρέως ἐνεγκὼν, εἰς Ἔφεσον ᾤχετο, πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων, καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον. ὀμνύων δὲ πρὸς τοὺς παρόντας, ἦ μὴν ὅταν πρῶτον εἰς Σπάρτην παραγένηται, πάντα ποιήσειν ὑπὲρ τοῦ διαλυθῆναι τοὺς Ἕλληνας, ὡς φοβεροὶ τοῖς βαρβάροις εἶεν αὐτοί, καὶ παύσαιντο τῆς ἐκείνων ἐπ' ἀλλήλους δεόμενοι δυνάμεως.

Ἀλλὰ Καλλικρατίδας μὲν ἄξια τῆς Λακεδαίμονος διανοηθεὶς, καὶ γενόμενος τοῖς ἄκροις ἐνάμιλλος τῶν Ἑλλήνων διὰ δικαιοσύνην καὶ μεγαλοψυχίαν καὶ ἀνδρείαν, μετ' οὐ πολὺν χρόνον ἐν Ἀργινούσαις καταναυμαχηθεὶς ἠφανίσθη. τῶν δὲ πραγμάτων ὑποφερομένων, οἱ σύμμαχοι πρεσβείαν πέμποντες εἰς Σπάρτην, ᾐτοῦντο Λύσανδρον ἐπὶ τὴν ναυαρχίαν, ὡς πολὺ

προθυ-

catum, sicut Lysander, iret ad præfectos regios: ad quod minime omnium erat accommodatus, ingenuus vir & magnanimus, qui quamvis accipere a Græcis calamitatem honestius ducebat, quam adulari & sectari homines barbaros, quibus auri affluentia, præterea nihil esset praeclari. At inopia compulsus perrexit in Lydiam, ac confestim domum ad Cyrum profectus, Callicratidam navarchum adesse, & cupere eum conventum jussit significari. Cui quum unus ex admissionalibus respondisset, non vacat nunc, hospes, Cyro: nam potat: simpliciter Callicratidas, bene habet, inquit, ego hic, dum potaverit, exspectabo. Atque ibi opinione de se præbita insulsitatis derisus a barbaris recessit. Iterum autem ubi ad fores venit, neque est admissus, graviter ferens abscessit Ephesum, multum execratus in capita illorum qui se primi summiserant barbaris insultandos, & qui docuerant eos ipsis ex opulentia arroganter uti. Juravit insuper apud assistentes, ut primum Spartam redisset, omnia moliturum se ad reconciliandos Græcos, quo formidabiles essent ipsi barbaris, nec deinceps illorum in se mutuo peterent opem.

Verum Callicratidas, qui digna Lacedæmone volutaverat consilia, ac justitiæ, celsitudinis animi, virtutis laude erat cum summis Græciæ viris comparandus, brevi post conflictu navali ad Arginusas superatus atque e medio sublatus est. Labascentibus rebus, socii missis Spartam legatis, navarchum postulaverunt Lysandrum. Illo duce

osten-

προθυμότερον ἀντιληψόμενοι τῶν πραγμάτων, ἐκείνου στρατηγοῦντος. τὰ δ' αὐτὰ καὶ Κῦρος ἀξιῶν ἐπέστελλεν. ἐπεὶ δὲ νόμος ἦν οὐκ ἐῶν δὶς αὐτὸν ναυαρχεῖν, ἐβούλοντό τε χαρίζεσθαι τοῖς συμμάχοις οἱ Λακεδαιμόνιοι, τὸ μὲν ὄνομα τῆς ναυαρχίας Ἀράκῳ τινὶ περιέθεσαν, τὸν δὲ Λύσανδρον, ἐπιστολέα τῷ λόγῳ, τῷ δ' ἔργῳ κύριον ἁπάντων ἐξέπεμψαν. τοῖς μὲν οὖν πλείστοις τῶν πολιτευομένων καὶ δυναμένων ἐν ταῖς πόλεσι πάλαι ποθούμενος ἧκεν. ἤλπιζον γὰρ ἔτι μᾶλλον ἰσχύσειν δι' αὐτοῦ, παντάπασι τῶν δήμων καταλυθέντων. τοῖς δὲ τὸν ἁπλοῦν καὶ γενναῖον ἀγαπῶσι τῶν ἡγεμόνων τρόπον, ὁ Λύσανδρος τῷ Καλλικρατίδᾳ παραβαλλόμενος ἐδόκει πανοῦργος εἶναι καὶ σοφιστής, ἀπάταις τὰ πολλὰ διαποικίλλων τοῦ πολέμου, καὶ τὸ δίκαιον ἐπὶ τῷ λυσιτελοῦντι μεγαλύνων· εἰ δὲ μή, τῷ συμφέροντι χρώμενος ὡς καλῷ, καὶ τὸ ἀληθὲς οὐ φύσει ψεύδους κρεῖττον ἡγούμενος, ἀλλ' ἑκατέρου τῇ χρείᾳ τὴν τιμὴν ὁρίζων. τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ' Ἡρακλέους γεγονότας, καταγελᾶν ἐκέλευεν. ὅπου γὰρ ἡ λεοντῆ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν.

Τοιαῦτα δὲ αὐτοῦ καὶ τὰ περὶ Μίλητον ἱστόρηται. τῶν γὰρ φίλων καὶ ξένων, οἷς ὑπέσχετο συγκαταλύσειν τε τὸν δῆμον, καὶ συνεκβαλεῖν τοὺς διαφόρους, μεταβαλλομένων καὶ διαλλαγέντων τοῖς ἐχθροῖς, φανερῶς μὲν ἥδεσθαι προσεποιεῖτο καὶ συνδιαλλάττειν, κρύφα δὲ λοιδορῶν αὐτοὺς καὶ κακίζων, παρώξυνεν ἐπιθέσθαι τοῖς πολλοῖς. ὡς δὲ ᾔσθετο γινομένην τὴν ἐπανάστασιν, ὀξέ-

ως

ostenderunt longe se rem suscepturos alacrius. Misit cum iisdem postulatis & Cyrus. Sed quia bis eundem classi vetabat lex præfici, nec sociorum voluntati deesse Lacedæmonii volebant, nomen præfecturæ accommodaverunt Araco cuidam, Lysandrum verbo legatum, re cum summa potestate misere. Adventus ejus fuit plurimis, qui quidem respub. administrabant, & factiosis per civitates jamdudum optatus. Erexerant enim in spem se, eversa ubique ex toto populari potentia, majores se eo adjutore nacturos opes. At illis qui ingenium probabant in ducibus simplex & generosum, Lysandrum, quando committebatur cum Callicratida, astutum apparebat esse & versutum, qui picturaret perpetraretque magna ex parte res bellicas dolis, & innocentiam compendii gratia celebraret; alias pro recto uteretur utili, nec verum falso duceret per se potius, sed utrumque metiretur emolumento. Illos vero qui turpe ducerent Herculis progeniem in bello adhibere dolum, ridiculos existimabat. Quo enim pertinere leonina nequeat, ibi assuendam vulpinam.

Talem se præbuisse & Mileti proditum est. Nam quum amici & hospites ejus, quibus operam suam ad opprimendum populum & adversarios pellendos fuerat pollicitus, mutato consilio redissent cum æmulis suis in gratiam, propalam gratulari se & promovere simulabat velle reconciliationem eorum; remotis tamen arbitris proscindens eos conviciis & insectans, stimulavit ut multitudinem adorirentur. Ut vero primum sensit motum,

ac-

ὡς βοηθήσας καὶ παρεισελθὼν εἰς τὴν πόλιν, οἷς πρώτοις ἐπιτύχοι τῶν νεωτεριζόντων, ἐχαλέπαινε τῇ φωνῇ, καὶ προσῆγε τραχυνόμενος, ὡς ἐπιθήσων δίκην αὐτοῖς· τοὺς δὲ ἄλλους ἐκέλευε θαῤῥεῖν, καὶ μηδὲν ἔτι προσδοκᾶν δεινὸν, αὐτοῦ παρόντος. ὑπεκρίνετο δὲ ταῦτα καὶ διεποίκιλλε, τοὺς δημοτικωτάτους καὶ κρατίστους βουλόμενος μὴ φεύγειν, ἀλλ' ἀποθανεῖν, ἐν τῇ πόλει μείναντας. ὃ καὶ συνέβη· πάντες γὰρ ἀπεσφάγησαν οἱ καταπιστεύσαντες. ἀπομνημονεύεται δὲ ὑπὸ Ἀνδροκλείδου λόγος, πολλήν τινα κατηγορῶν τοῦ Λυσάνδρου περὶ τοὺς ὅρκους εὐχέρειαν. ἐκέλευε γὰρ, ὥς φασι, τοὺς μὲν παῖδας ἀστραγάλοις, τοὺς δὲ ἄνδρας ὅρκοις ἐξαπατᾶν· ἀπομιμούμενος Πολυκράτη τὸν Σάμιον οὐκ ὀρθῶς, τύραννον στρατηγός. οὐδὲ Λακωνικὸν, τὸ χρῆσθαι τοῖς Θεοῖς ὥσπερ τοῖς πολεμίοις, μᾶλλον δὲ ὑβριστικώτερον. ὁ γὰρ ὅρκῳ παρακρουόμενος, τὸν μὲν ἐχθρὸν ὁμολογεῖ δεδιέναι, τοῦ δὲ Θεοῦ καταφρονεῖν.

Ὁ δ' οὖν Κῦρος εἰς Σάρδεις μεταπεμψάμενος τὸν Λύσανδρον, τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο, νεανιευσάμενος εἰς τὴν ἐκείνου χάριν, καὶ εἰ μηδὲν ὁ πατὴρ διδῴη, καταχορηγήσειν τὰ οἰκεῖα· κἂν ἐπιλίπῃ πάντα, κατακόψειν ἔφη τὸν θρόνον ἐφ' ᾧ καθήμενος ἐχρημάτιζε, χρυσοῦν καὶ ἀργυροῦν ὄντα. τέλος δὲ, εἰς Μήδειαν ἀναβαίνων πρὸς τὸν πατέρα, τούς τε φόρους ἀπέδειξε τῶν πόλεων λαμβάνειν ἐκεῖνον, καὶ τὴν αὑτοῦ διεπίστευσεν ἀρχήν· ἀσπασάμενος δὲ, καὶ δεηθεὶς μὴ ναυμαχεῖν Ἀθηναίοις πρὶν αὐτὸν ἀφικέσθαι πάλιν, ἀφίξεσθαι δὲ ναῦς ἔχοντα πολλὰς ἔκ τε Φοινίκης καὶ Κιλικίας, ἀνέ-

accurrit propere ad subveniendum, ingressusque urbem in primos, in quos incurrit res novas molientium, verbis est invectus, appellavitque illos aspere, quasi sumpturus de iis supplicium. Reliquos confirmavit, dicens ne quicquam præterea se præsente exspectarent mali. Hac simulatione & vafritie usus est, struens ne illi qui maxime statum popularem fovebant & principes essent, fugam capesserent, sed manerent in oppido, ibique interficerentur: quod evenit. Omnes enim qui fidem ejus erant sequuti, necati sunt. Dictum ejus commemoratur ab Androclide, quod levem prodit fuisse apud Lysandrum jurisjurandi religionem. Siquidem consulebat (ut aiunt) pueros talis, viros jurejurando decipere: Polycratem Samium subsequens, parum recte tyrannum dux. Nec erat Laconicis moribus consentaneum, cum Diis sicut cum hostibus agere, immo vero improbius. Nam jurejurando qui circumvenit, hostem se timere, Deum vero fatetur contemnere.

At Cyrus evocato Sardes Lysandro, hinc pecuniam largitus est, hinc promissis onerat, ostentans in ipsius gratiam, si nihil daret pater, sua se in ipsum profusurum: quod si omnibus deficeretur, conflaturum solium, quo sedebat quum vacaret postulationibus, aureum & argenteum. Denique ad parentem perrecturus in Mediam, vectigalia attribuit ei oppidorum, provinciamque suam ejus fidei commisit. Amplexus eum precatusque ne classe ante reditum suum confligeret cum Atheniensibus, magnam se ostendit in reditu ex Phœnicia & Cilicia adducturum classem: atque ita ad genitorem con-

ἀνέβαινεν ὡς βασιλέα. Λύσανδρος δὲ, μήτε ναυμαχεῖν ἀξιομάχῳ πλήθει δυνάμενος, μήτε ἀργὸς καθέζεσθαι μετὰ νεῶν τοσούτων, ἀναχθεὶς ἐνίας προσηγάγετο τῶν νήσων, Αἴγινάν τε καὶ Σαλαμῖνα προσμίξας κατέδραμεν. εἰς δὲ τὴν Ἀττικὴν ἀποβὰς, καὶ τὸν Ἆγιν ἀσπασάμενος, κατέβη γὰρ ἐκ Δεκελείας πρὸς αὐτὸν, ἐπιδεῖξαι τῷ πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέον ἢ βούλοιτο κρατῶν τῆς θαλάττης. οὐ μὴν ἀλλὰ τοὺς Ἀθηναίους διώκοντας αὐτὸν ἄλλῳ δρόμῳ διὰ νήσων ἔφυγεν εἰς τὴν Ἀσίαν. καὶ τὸν Ἑλλήσποντον ἔρημον καταλαβὼν, ἐπεχείρει Λαμψακηνοῖς αὐτὸς ἐκ θαλάττης ταῖς ναυσί· Θώραξ δὲ τῷ πεζῷ στρατῷ συνανύσας, εἰς τὸ αὐτὸ προσέβαλε τοῖς τείχεσιν. ἑλὼν δὲ τὴν πόλιν κατὰ κράτος, διαρπάσαι τοῖς στρατιώταις ἔδωκεν. ὁ δὲ τῶν Ἀθηναίων στόλος ὀγδοήκοντα καὶ ἑκατὸν τριήρων, ἐτύγχανε μὲν ἄρτι καθωρμισμένος εἰς Ἐλεοῦντα τῆς Χερρονήσου· πυνθανόμενοι δὲ ἀπολωλέναι τὴν Λάμψακον, εὐθὺς εἰς Σηστὸν καταίρουσι. κἀκεῖθεν ἐπισιτισάμενοι, παρέπλευσαν εἰς Αἰγὸς ποταμοὺς, ἀντιπέρας τῶν πολεμίων ἔτι ναυλοχούντων περὶ τὴν Λάμψακον. ἐστρατήγει δὲ τῶν Ἀθηναίων ἄλλοι τε πλείους, καὶ Φιλοκλῆς, ὁ πείσας ποτὲ ψηφίσασθαι τὸν δῆμον, ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν ἁλισκομένων κατὰ πόλεμον, ὅπως δόρυ μὲν φέρειν μὴ δύνωνται, κώπην δὲ ἐλαύνωσι.

Τότε μὲν οὖν ἀνεπαύοντο πάντες, ἐλπίζοντες εἰς τὴν ὑστεραίαν ναυμαχήσειν. ὁ δὲ Λύσανδρος ἄλλα μὲν διενοεῖτο, προσέταττε δὲ ναύταις καὶ κυβερνήταις, ὡς ἀγῶνος ἅμα ἡμέρᾳ γενησομένου περὶ ὄρθρον, ἐμβαίνειν εἰς τὰς

contendit. Lysander autem, qui cum pari numero navium non posset dimicare, nec tanta cum classe desidere segnis, provectus in altum nonnullas insulas adscivit. Æginam & Salamina aggressus depopulatus est. In Atticam terram exscensione facta, salutatoque Agide (nam descendit ille ad eum ex Decelea, quo præsentibus pedestribus copiis vires ostentaret navales, quasi supra votum polleret mari) ut tamen assectari se Athenienses accepit, fugam raptim medias per insulas intendit in Asiam. Quia vero Hellespontum offendit sine præsidio, oppugnavit Lampsacum classe ex mari. Terrestribus viribus Thorax quoque eodem tempore occurrens murum adortus est. Urbe expugnata, concessit militibus prædam. Classis Atheniensium, quæ navium erat centum octoginta, modo Eleunta Chersonesi oppidum decurrerat. Ibi captum Lampsacum esse certiores facti, succedunt illico Sestum. Inde commeatu sumpto navigaverunt in Ægos fluvium e regione hostibus castra etiamnum circa Lampsacum habentibus. Duces Atheniensium inter alios complures Philocles erat, ille qui populum induxerat pridem ad sciscendum, ut captis bello præcideretur dexter pollex, quo lanceam ferre non possent, remigare possent.

Curabant id temporis omnes corpora, pugnam in diem posterum exspectantes. At Lysander, quum aliud in animo haberet, edixit nautis & gubernatoribus, quasi primo diluculo pugnaturus, ut conscenderent, &

τὰς τριήρεις, καὶ καθέζεσθαι κόσμῳ καὶ σιωπῇ δεχομένους τὸ παραγγελλόμενον ὡς δ' αὔτως, καὶ τὸ πεζὸν ἐν τάξει παρὰ τὴν θάλατταν ἡσυχάζειν. ἀνίσχοντος δὲ τοῦ ἡλίου, καὶ τῶν Ἀθηναίων μετωπηδὸν ἁπάσαις ἐπιπλεόντων, καὶ προκαλουμένων, ἀντιπρώρους ἔχων τὰς ναῦς καὶ πεπληρωμένας ἔτι νυκτὸς, οὐκ ἀνήγετο. πέμπων δὲ ὑπηρετικὰ παρὰ τὰς πρώτας τῶν νεῶν, ἀτρεμεῖν ἐκέλευε, καὶ μένειν ἐν τάξει, μὴ θορυβουμένους μηδ' ἀντεκπλέοντας. οὕτω δὲ περὶ δείλην ἀποπλεόντων ὀπίσω τῶν Ἀθηναίων, οὐ πρότερον ἐκ τῶν νεῶν τοὺς στρατιώτας ἀφῆκεν, εἰ μὴ δύο καὶ τρεῖς τριήρεις, ἃς ἔπεμψε κατασκόπους, ἐλθεῖν ἰδόντας ἀποβεβηκότας τοὺς πολεμίους. τῇ δ' ὑστεραίᾳ πάλιν ἐγίνετο ταῦτα, καὶ τῇ τρίτῃ μέχρι τετάρτης. ὥστε πολὺ τοῖς Ἀθηναίοις ἐγγενέσθαι θάρσος, καὶ καταφρόνησιν, ὡς δεδιότων καὶ συνεσταλμένων τῶν πολεμίων. ἐν τούτῳ δὲ Ἀλκιβιάδης, ἐτύγχανε γὰρ περὶ Χερρόνησον ἐν τοῖς ἑαυτοῦ τείχεσι διαιτώμενος, ἵππῳ προσελάσας πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων, ᾐτιᾶτο τοὺς στρατηγοὺς, πρῶτον μὲν οὐ καλῶς οὐδ' ἀσφαλῶς στρατοπεδεύειν ἐν αἰγιαλοῖς δυσόρμοις καὶ ἀναπεπταμένοις· ἔπειτα πόῤῥωθεν ἐκ Σηστοῦ τὰ ἐπιτήδεια λαμβάνοντας ἁμαρτάνειν, δέον εἰς λιμένα καὶ πόλιν Σηστὸν δι' ὀλίγου περιπλεύσαντας, ἀπωτέρω γενέσθαι τῶν πολεμίων, ἐφορμούντων στρατεύματι μοναρχουμένῳ, καὶ πάντα πρὸς φόβον ὀξέως ἀπὸ συνθήματος ὑπηρετοῦντι. ταῦτα δὲ αὐτοῦ διδάσκοντος, οὐκ ἐπείθοντο. Τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἀπεκρίνατο, φήσας οὐκ ἐκεῖνον ἀλλ' ἑτέρους στρατηγεῖν.

Ὁ

& ad imperium accipiendum sine strepitu silentio sederent; copiæ terrestres item instructæ quiescerent. Oriente sole, quum Athenienses fronte in hostem directa cum tota classe adessent, provocarentque eos, Lysander infestis proris stantes, & jam de nocte completas tenens naves, non est evectus in altum, sed actuarias circummisit ad eas naves quæ in prima acie stabant, præcipiens ne moverent se, tantum instructæ consisterent, nec tumultuarentur vel irruerent in hostem. Ita recipientibus se sub vesperum Atheniensibus, non ante egredi e navibus permisit milites, quam duæ aut tres naves, quas miserat speculatum, rediissent, quum descendisse vidissent in terram hostes. Idem postero & tertio die usque ad quartum est actum. Qua re elati Athenienses, cœperunt hostes quasi exterritos & pavescentes despicere. Inter hæc Alcibiades, qui circa Chersonesum in suo præsidio agebat, equo ad castra Atheniensium advectus reprehendit duces, quod non recte neque tuto stationem in littoribus haberent importuosis & apertis. Inde peccarent, qui procul necessaria peterent ex Sesto. Debere ipsos ad portum & oppidum Sestum brevi circumvectos reducere longius se ab hostibus, qui immineant exercitu succincti in unum intento imperatorem, cunctaque cum metu obnixe signo dato exequenti. Hæc illo docente nihil sunt moti. Tydeus etiam contumeliose respondit, non ipsum sed alios classi præesse.

Ita

Ὁ μὲν οὖν Ἀλκιβιάδης ὑποπτεύσας τι καὶ προδοσίας ἐν αὐτοῖς, ἀπηλλάττετο. πέμπτῃ δὲ ἡμέρᾳ τῶν Ἀθηναίων ποιησαμένων τὸν ἐπίπλουν, καὶ πάλιν ἀπερχομένων, ὥσπερ εἰώθεσαν, ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, ὁ Λύσανδρος ἐκπέμπων τὰς κατασκόπους ναῦς, ἐκέλευσε τοὺς τριηράρχους, ὅταν ἴδωσι τοὺς Ἀθηναίους ἐκβεβηκότας, ἐλαύνειν ἀποστρέψαντας ὀπίσω τάχει παντί, καὶ γενομένους κατὰ μέσον τὸν πόρον, ἀσπίδα χαλκῆν ἐπάρασθαι πρῴραθεν, ἐπίπλου σύμβολον. αὐτὸς δὲ τοὺς κυβερνήτας καὶ τριηράρχους ἐπιπλέων ἀνεκαλεῖτο, καὶ παρώρμα συνέχειν ἕκαστον ἐν τάξει τὸ πλήρωμα καὶ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας· ὅταν δὲ σημανθῇ, μετὰ προθυμίας καὶ ῥώμης ἐλαύνειν ἐπὶ τοὺς πολεμίους. ὡς δὲ ἥ τε ἀσπὶς ἀπὸ τῶν νεῶν ἤρθη, καὶ τῇ σάλπιγγι τὴν ἀναγωγὴν ἐσήμαινεν ἀπὸ τῆς ναυαρχίδος, ἐπέπλεον μὲν αἱ νῆες, ἡμιλλῶντο δὲ οἱ πεζοὶ παρὰ τὸν αἰγιαλὸν ἐπὶ τὴν ἄκραν. τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάστημα, ταύτῃ πεντεκαίδεκα σταδίων ἐστί, καὶ ταχέως ὑπὸ σπουδῆς καὶ προθυμίας τῶν ἐλαυνόντων συνῄρητο. Κόνων δὲ πρῶτον ὁ τῶν Ἀθηναίων στρατηγὸς ἀπὸ τῆς γῆς ἰδὼν ἐπιπλέοντα τὸν στόλον, ἐξαίφνης ἀνεβόησεν ἐμβαίνειν, καὶ περιπαθῶν τῷ κακῷ, τοὺς μὲν ἐκάλει, τῶν δὲ ἐδεῖτο, τοὺς δὲ ἠνάγκαζε πληροῦν τὰς τριήρεις. ἦν δὲ οὐδὲν ἔργον αὐτοῦ τῆς σπουδῆς, ἐσκεδασμένων τῶν ἀνθρώπων. ὡς γὰρ ἐξέβησαν, εὐθύς, ἅτε μηδὲν προσδοκῶντες, ἠγόραζον, ἐπλανῶντο περὶ τὴν χώραν, ἐκάθευδον ὑπὸ ταῖς σκηναῖς, ἠριστοποιοῦντο, πορρωτάτω τοῦ μέλλοντος ἀπειρίᾳ τῶν ἡγουμένων ὄντες. ἤδη δὲ κραυγῇ καὶ ῥοθίῳ προσφερομένων

νων

Ita Alcibiades, suspectos quoque eos proditionis habens, abscessit. Quinto autem die quum evecti Athenienses fuissent & remearent, ut soliti erant, sane quam solute & contemptim; emisit Lysander navigia speculatoria, quorum præfectis imperavit, ubi Athenienses descensionem vidissent fecisse, propere ut recurrerent, ac, quum ad medium pervenissent cursum, sustollerent ex prora clypeum æreum, quod signum incurrendi esset. Inde ipse gubernatores & nautas circumvectus adhortatur & excitat, ut quisque classiarios suos, nautas & milites compositos contineat, ubi datum signum sit, impigre & acriter concitent in hostem naves. Ut itaque clypeus elatus e navibus est, & tuba ex navi prætoria classicum cecinit, incurrerunt naves, properaverunt copiæ terrestres secundum littus occupare promontorium. Intervallum eo loco inter duas continentes quindecim est stadiorum, quod cito est studio & alacritate remigum confectum. Primus Conon prætor Atheniensis, conspecto ex terra classis incursu, exclamavit protinus, conscenderent, anxiusque eo malo hos ciebat, illos orabat, alios cogebat naves complere. Verum dilapsis militibus nihil proficiebat sedulitas ejus. Nam simul atque exierant de navibus, mox, ut qui nihil expectarent tale, ambulabant in foro frequentes, alii in agris vagabantur, alii somno strati in tabernaculis jacebant, pars prandium parabant, ducum imperitia remotissimi a futuri cogitatione. Jam clamor exaudiebatur & impetus irruentium

tium

ων τῶν πολεμίων, ὁ μὲν Κόνων ὀκτὼ ναυσὶν ὑπεξέπλευσε, καὶ διαφυγὼν ἀπεπέρασεν εἰς τὴν Κύπρον πρὸς Εὐαγόραν· ταῖς δὲ ἄλλαις ἐπιπεσόντες οἱ Πελοποννήσιοι, τὰς μὲν κενὰς παντάπασιν ᾕρουν, τὰς δ' ἔτι πληρουμένας ἔκοπτον. οἱ δὲ ἄνθρωποι πρός τε ταῖς ναυσὶν ἀπέθνησκον, ἄνοπλοι καὶ σποράδες ἐπιβοηθοῦντες, ἔν τε τῇ γῇ φεύγοντες ἀποβάντων τῶν πολεμίων ἐκτείνοντο. λαμβάνει δὲ ὁ Λύσανδρος τρισχιλίους ἄνδρας αἰχμαλώτους μετὰ τῶν στρατηγῶν· ἅπαν δὲ τὸ ναύσταθμον, ἄνευ τῆς Παράλου, καὶ τῶν μετὰ Κόνωνος ἐκφυγουσῶν. ἀναδησάμενος δὲ τὰς ναῦς, καὶ διαπορθήσας τὸ στρατόπεδον, μετὰ αὐλοῦ καὶ παιάνων ἀνέπλευσεν εἰς Λάμψακον, ἔργον ἐλαχίστῳ φόνῳ μέγιστον ἐξειργασμένος, καὶ συνῃρηκὼς ὥρᾳ μιᾷ χρόνον μήκιστον καὶ ποικιλώτατον, πάθεσί τε καὶ τύχαις ἀπιστότατον τῶν πρὸ αὐτοῦ πολέμων, ὃς μυρίας μορφὰς ἀγώνων καὶ πραγμάτων μεταβολὰς ἀμείψας, καὶ στρατηγοὺς ὅσους οὐδὲ οἱ σύμπαντες οἱ πρὸ αὐτοῦ τῆς Ἑλλάδος ἀναλώσας, ἑνὸς ἀνδρὸς εὐβουλίᾳ καὶ δεινότητι συνῄρητο. διὸ καὶ θεῖον τινὲς ἡγήσαντο τοῦτο τὸ ἔργον.

Ἦσαν δέ τινες οἳ τοὺς Διοσκόρους ἐπὶ τῆς Λυσάνδρου νεὼς ἑκατέρωθεν, ὅτε τοῦ λιμένος ἐξέπλει πρῶτον ἐπὶ τοὺς πολεμίους, ἄστρα τοῖς οἴαξιν ἐπιλάμψαι λέγοντες. οἱ δὲ καὶ τὴν τοῦ λίθου πτῶσιν ἐπὶ τῷ πάθει τούτῳ σημεῖον φασὶ γενέσθαι. κατηνέχθη γὰρ, ὡς ἡ δόξα τῶν πολλῶν, ἐξ οὐρανοῦ παμμεγέθης λίθος ὡς αἰγὸς ποταμοὺς, καὶ δείκνυται μὲν ἔτι νῦν, σεβομένων αὐτὸν τῶν Χερρονησιτῶν. λέγεται δὲ Ἀναξαγόραν προειπεῖν, ὡς τῶν κατὰ τὸν οὐρανὸν

tium hostium, quum Conon octo navibus subduxit se ex conflictu, salvusque in Cyprum evasit ad Evagoram. In reliquas coorti Peloponnesii, partim omnino vacuas capiunt, partim, dum complentur, lacerant. Milites hinc apud naves inermes atque incomposite suppetias venientes cadunt, in continente ab hostibus descensione facta, fuga conciduntur. Capit Lysander cum ducibus tria millia capitum & totam classem, excepta Paralo, & iis navibus quæ evolaverant cum Conone. Navibus puppi abstractis & castris direptis, recepit se ad tibias & cantilenas triumphales Lampsacum, quum rem tenuissimo labore præclarissimam peregisset, ac bellum una hora complevisset longissimum maximeque varium, cladibusque & casibus præ bellis prioribus supra omnem fidem novum. Quod quum sexcentas certaminum alternasset formas & vicissitudines, & tot Græciæ duces, quot ne universa quidem superiora, confecisset, unius est consilio & virtute perpetratum viri. Quare hoc opus existimaverunt quidam divinum.

Fuerunt etiam qui Castorem & Pollucem utrinque in Lysandri navi, ubi primum portu evectus in hostes est, micasse sidera in clavo ferant. Alii etiam lapidem delapsum autumant hujus cladis fuisse ostentum. Decidit cœlo (ut multorum fert opinio) ad Ægos fluvium ingens lapis, qui hodie quoque ostenditur, & habetur apud Chersonesitas magna in veneratione. Anaxagoram prænuntiasse perhibent, inclusorum cœlo corporum lubrica

ρανὸν ἐνδεδεμένων σωμάτων, γενομένου τινὸς ὀλισθήματος, ἢ σάλου, ῥῖψις ἔσται καὶ πτῶσις ἑνὸς ἀπορραγέντος. εἶναι δὲ καὶ τῶν ἄστρων ἕκαστον οὐκ ἐν ᾗ πέφυκε χώρᾳ· λιθώδη γὰρ ὄντα καὶ βαρέα, λάμπειν μὲν ἀντερείσει καὶ περικλάσει τοῦ αἰθέρος, ἕλκεσθαι δ' ὑπὸ βίας σφιγγόμενον δίνῃ καὶ τόνῳ τῆς περιφορᾶς, ὥς που καὶ τὸ πρῶτον ἐκρατήθη μὴ πεσεῖν δεῦρο, τῶν ψυχρῶν καὶ βαρέων ἀποκρινομένων τοῦ παντός. ἔστι δέ τις πιθανωτέρα δόξα ταύτης, εἰρηκότων ἐνίων, ὡς οἱ διάττοντες ἀστέρες, οὐ ῥύσεις εἰσὶν, οὐδ' ἐπινέμησις αἰθερίου πυρὸς ἐν ἀέρι κατασβεννυμένου περὶ τὴν ἔξαψιν αὐτὴν, οὐδὲ ἀέρος εἰς τὴν ἄνω χώραν πλήθει λυθέντος ἔκπρησις καὶ ἀνάφλεξις, ῥῖψις δὲ καὶ πτῶσις οὐρανίων σωμάτων, οἷον ἐνδόσει τινὶ τόνου καὶ παρατροπῇ κινήσεως, ἐκ παλμῶν φερομένων οὐ πρὸς τὸν οἰκούμενον τόπον τῆς γῆς, ἀλλὰ τῶν πλείστων ἐκτὸς εἰς τὴν μεγάλην ἐκπιπτόντων θάλατταν· διὸ καὶ λανθάνουσι. τῷ δ' Ἀναξαγόρᾳ μαρτυρεῖ καὶ Δάμαχος ἐν τοῖς περὶ εὐσεβείας, ἱστορῶν ὅτι πρὸ τοῦ πεσεῖν τὸν λίθον, ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ πέντε συνεχῶς κατὰ τὸν οὐρανὸν ἑωρᾶτο πύρινον σῶμα παμμέγεθες, ὥσπερ νέφος φλογοειδὲς, οὐ σχολάζον, ἀλλὰ πολυπλόκους καὶ κεκλασμένας φορὰς φερόμενον, ὡς τὰ ὑπὸ σάλου καὶ πλάνης ἀπορρηγνύμενα πυροειδῆ σπάσματα φέρεσθαι πολλαχοῦ καὶ ἀστράπτειν, ὥσπερ οἱ διάττοντες ἀστέρες. ἐπεὶ δ' ἐνταῦθα τῆς γῆς ἔβρισε, καὶ παυσάμενοι φόβου καὶ θάμβους οἱ ἐπιχώριοι συνῆλθον, ὤφθη πυρὸς μὲν οὐδὲν ἔργον, οὐδ' ἴχνος τοσοῦτον, λίθος δὲ κείμενος, ἄλλως μὲν μέγας, οὐδὲν

lubrica aliqua jactatione aut fluctuatione unum abruptum præceps delapsurum. Jam non esse quodque sidus in eo quo natum loco est. Nam lapidea quum sidera sint & ponderosa, reflexu & resultu fulgere ea ætheris; vi trahi autem, vertigine & circumvectionis adstricta impetu: sicut ab initio, quum ab universitate distraherentur frigida & gravia, retenta fuerunt, ne delaberentur huc. Verum opinio est probabilior altera nonnullorum, qui volunt stellarum trajectiones non fluorem, non ignis ætherei depastionem esse in aere restincti dum accenduntur, non aeris in superiorem regionem copia dispersi succensionem & inflammationem, sed lapsum & casum corporum cœlestium, quasi remissione quadam contentionis atque motus circularis, ex tremoribus non ad terram habitabilem tendentium, sed extra fere in oceanum delabentium, quod in causa sit ut ignorentur. Suffragatur tamen Anaxagoræ Damachus, qui in libris de religione scribit, priusquam hic lapis deflueret, visum continuos quinque & septuaginta dies eximiæ magnitudinis corpus in cœlo instar flammeæ nubis igneum, non torpidum illud quidem, sed huc illuc identidem agitatum, ut fluctuatione jactationeque avulsa fragmenta ignita in diversas rapta partes fuerint & micuerint trajectarum stellarum modo. Postquam eo loci delatus est, & remoto pavore concurrerunt incolæ, nullum ignis indicium nec tam grande vestigium deprehensum est. Tantum lapis jacebat, ingens ille quidem, sed ambitus illius flammei

οὐθὲν δὲ μέρος, ὡς εἰπεῖν, ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων. ὅτι μὲν οὖν εὐγνωμόνων ὁ Δάμαχος ἀκροατῶν δεῖται, δῆλός ἐστιν· εἰ δὲ ἀληθὴς ὁ λόγος, ἐξελέγχει κατὰ κράτος τοὺς φάσκοντας ἐκ τινος ἀκρωρείας ἀποκοπείσης πνεύμασι καὶ ζάλαις πέτραν, ὑποληφθεῖσαν δ' ὥσπερ οἱ στρόβιλοι καὶ φερομένην ᾗ πρῶτον ἐνέδωκε καὶ διελύθη τὸ περιδινῆσαν, ἐκριφῆναι καὶ πεσεῖν. εἰ μὴ νὴ Δία πῦρ μὲν ἦν ὄντως τὸ φαινόμενον ἐπὶ πολλὰς ἡμέρας, σβέσις δὲ καὶ φθορὰ μεταβολὴν ἀέρι παρέσχεν εἰς πνεύματα βιαιότερα καὶ κινήσεις, ὑφ' ὧν συνέτυχε καὶ τὸν λίθον ἐκριφῆναι. ταῦτα μὲν οὖν ἑτέρῳ γένει γραφῆς διακριβωτέον.

Ὁ δὲ Λύσανδρος, ἐπεὶ τῶν τρισχιλίων Ἀθηναίων οὓς ἔλαβεν αἰχμαλώτους, ὑπὸ τῶν συνέδρων θάνατος κατέγνωστο, καλέσας Φιλοκλέα τὸν στρατηγὸν, ἠρώτησεν αὐτὸν, τίνα τιμᾶται δίκην ἑαυτῷ, τοιαῦτα περὶ Ἑλλήνων συμβεβουλευκὼς τοῖς πολίταις. ὁ δὲ, οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς, ἐκέλευσε μὴ κατηγορεῖν ὧν οὐδείς ἐστι δικαστὴς, ἀλλὰ νικῶντα πράττειν ἅπερ ἂν νικηθεὶς ἔπασχεν· εἶτα λουσάμενος καὶ λαβὼν χλαμύδα λαμπρὰν, πρῶτος ἐπὶ τὴν σφαγὴν ἡγεῖτο τοῖς πολίταις, ὡς ἱστορεῖ Θεόφραστος. ἐκ δὲ τούτου πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι, ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι· φείσεσθαι γὰρ οὐδενὸς, ἀλλ' ἀποσφάξειν ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. ταῦτα δ' ἔπραττε, καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄστυ, βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν, ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως ὑπομένοντες. κα-

τα-

mei partem retinebat ferme nullam. Cæterum Damachum hinc liquet benignos requirere auditores. Quod si vera sunt quæ hic attulit, refellit egregie illos qui dictitant ex vertice montis alicujus ventis & procellis defectum saxum, inde more turbinis derelictum, ubi vis rotans elanguit & resoluta fuit, laxatum decidisse. Nisi sane id quod visum fuit ad multos dies, revera ignis erat, restinctio autem & marcor ejus mutationem præbuit aeri in ventos violentiores & motus, atque ita accidit ut ejacularetur lapis. Cæterum hæc alio sunt scribendi genere discutienda.

At Lysander, postquam Athenienses captivi tria millia de concilii sententia addicti ultimo supplicio sunt, Philoclem prætorem appellavit, rogavitque quid meritum censeat se, qui talia de Græcis consilia civibus suasisset: ille vero nihil calamitate infractus, Noli objicere, inquit, crimina quorum judex est nemo, sed ea victor age quæ eras passurus victus. Lotus inde, ac splendida amictus chlamyde, primus ad cervicem præbendam, ut tradit Theophrastus, cives suos antecessit. Hinc Lysander urbes circumvectus, quos offendit Athenienses, his imperavit ut concederent omnes Athenas, parsurum se denuntians nemini, quem extra urbem deprehendisset. Id agebat, atque in urbem cunctos redigebat, eo consilio, quo brevi ingentem famem & arctam annonam ibi efficeret, ne affluente commeatu obsidionem ferentes, eam redderent sibi laboriosam. Jam deleto

 paſ-

ταλύων δὲ τοὺς δήμους, καὶ τὰς ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοστὴν ἑκάστῃ Λακεδαιμόνιον κατέλιπεν, δέκα δὲ ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιρειῶν. καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι, παρέπλει σχολαίως, τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. οὔτε γὰρ ἀριστίνδην οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας, ἀλλὰ ἑταιρείαις καὶ ξενίαις χαριζόμενος τὰ πράγματα, καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως, πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς, καὶ συνεκβάλλων τοὺς τῶν φίλων ἐχθρούς, οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν, ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες, ὄξος ἐνέχεαν. εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρόν, οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου, καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις πόλεις ἐγχειρίζοντος.

Διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολύν, καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν Ἄγιδι καὶ Παυσανίᾳ τοῖς βασιλεῦσιν, ὡς ταχὺ συναιρήσων τὴν πόλιν. ἐπεὶ δὲ ἀντεῖχον οἱ Ἀθηναῖοι, λαβὼν τὰς ναῦς, πάλιν εἰς Ἀσίαν διεπέρασεν, καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς πολιτείας, καὶ καθίστη δεκαδαρχίας, πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων· Σαμίους δὲ πάντας ἐκβαλών, παρέδωκε τοῖς φυγάσι

paſſim populi jure & aliis reipublicæ formis, Harmoſtas Lacedæmonios ſingulis oppidis reliquit, præterea ex conflatis ab ſe per oppida ſodalitiis denos rectores. Dum hæc agit apud urbes juxta ſocias ac hoſtiles, circumvehebatur lente imperium Græciæ quodammodo ſibi ſtruens. Neque enim ex optimatibus vel ex cenſu creabat rectores, verum illis ex ſodalitiis & hoſpitibus ſuis condonabat reſpublicas, permittebatque his vitæ & necis arbitrium. Qui, dum multorum ipſe cædi interfuit, & præſto fuit amicis, quum adverſarios exterminarent, non placidum inſtar Græcis dedit Lacedæmoniorum imperii. Immo comicum Theopompum nugari dicas, qui cum cauponibus confert Lacedæmonios; quod, quum potum guſtandum ſuaviſſimum præbuiſſent libertatis, acetum infuderint. Statim enim fuit ingrata & amara prægustatio: quando nec populos dominos reliquit Lyſander rerumpublicarum, & paucorum tradidit audaciſſimis quibuſque & violentiſſimis urbes.

Haud longo in his conſumpto ſpatio præmiſſiſque Lacedæmonem nuntiis adeſſe ſe ducentis navibus, conjunxit ſe circa Atticam terram Agidi & Pauſaniæ regibus, brevi ſperans urbem ſe capturum. Sed quum defenderent ſe fortiter Athenienſes, rediit in Aſiam. Ibi civitatum reſpub. demolitus eſt æque omnium, conſtituitque decemviratus. Multi paſſim necabantur, multi ſolum vertebant. Samios univerſos exterminavit, oppida conceſſit

γάσι τὰς πόλεις. Σηστὸν δὲ Ἀθηναίων ἐχόντων ἀφελόμενος, οὐκ εἴασεν οἰκεῖν Σηστίους, ἀλλὰ τοῖς γενομένοις ὑπ' αὐτῷ κυβερνήταις καὶ κελευσταῖς ἔδωκε τὴν πόλιν καὶ τὴν χώραν νέμεσθαι. πρὸς ὃ καὶ πρῶτον ἀντέκρουσαν οἱ Λακεδαιμόνιοι, καὶ τοὺς Σηστίους αὖθις ἐπὶ τὴν χώραν κατήγαγον. ἀλλ' ἐκεῖνά γε τοῦ Λυσάνδρου πάντες ἡδέως ἑώρων οἱ Ἕλληνες, Αἰγινήτας τε διὰ πολλοῦ χρόνου τὴν αὐτῶν πόλιν ἀπολαμβάνοντας, καὶ Μηλίους καὶ Σκιωναίους ὑπ' αὐτοῦ συνοικιζομένους, ἐξελαυνομένων Ἀθηναίων, καὶ τὰς πόλεις ἀποδιδόντων. ἤδη δὲ καὶ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος, κατέπλευσεν εἰς τὸν Πειραιᾶ, καὶ παρεστήσατο τὴν πόλιν, ἀναγκασθεῖσαν, ἐφ' οἷς ἐκεῖνος ἐκέλευε, ποιήσασθαι τὰς διαλύσεις. καίτοι Λακεδαιμονίων ἐστὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τάδε, Ἀλώκαντι ταὶ Ἀθᾶναι· Λυσάνδρῳ δὲ ἀντέγραψαν οἱ ἔφοροι, Ἀρκεῖ τό γε ἑαλώκειν. ἀλλ' εὐπρεπείας χάριν οὗτος ὁ λόγος πέπλασται. τὸ δ' ἀληθινὸν δόγμα τῶν ἐφόρων οὕτως εἶχε. Τάδε τὰ τέλη τῶν Λακεδαιμονίων ἔγνω, καββαλόντες τὸν Πειραιᾶ, καὶ τὰ μακρὰ σκέλη, καὶ ἐκβάντες ἐκ πασῶν τῶν πόλεων, τὰν αὐτῶν γᾶν ἔχοντες· ταῦτα καὶ δρῶντες τὰν εἰράναν ἔχοιτε, ἃ χρὴ δοῖτε, καὶ τοὺς φυγάδας ἀνέντες, περὶ τᾶν ναῶν τῷ πλήθεος οἰκεῖόν τι κατῆνι δοκέοι, ταῦτα ποιέετε. ταύτην δὲ προσεδέξαντο τὴν σκυτάλην οἱ Ἀθηναῖοι, Θηραμένους τοῦ Ἄγκωνος συμβουλεύσαντος. ὅτε καί φασιν ὑπὸ τῶν νέων τινὸς δημαγωγῶν Κλεομένους ἐρωτώμενον, εἰ τολμᾷ τἀναντία Θεμιστοκλεῖ πράττειν καὶ λέγειν, παραδιδοὺς τὰ τείχη τοῖς Λακεδαιμονίοις, ἃ Λακεδαιμονίων ἀκόντων ἐκεῖνος ἀνέστησεν, εἰπεῖν, ἀλλ' οὐδέν,

ὦ

ſit exulibus. Seſtum Athenienſibus ademptam non permiſit colere Seſtiis, ſed attribuit gubernatoribus & hortatoribus ſuis oppidum & agrum poſſidendum. Quem actum reſciderunt Lacedæmonii primum, Seſtioſque iterum in ſedes reduxerunt ſuas. At vero actiones iſtæ gratæ Lyſandri Græcis fuere, quod Æginetæ longo intervallo reciperent oppidum ſuum, Meliique & Scionæi revocarentur, expulſis Athenienſibus & oppida reddentibus. Ut jam laborari Athenis intellexit fame, Piræum decurrit, compulitque urbem ad deditionem, & coegit pacem quibus vellet conditionibus accipere. Atqui Lacedæmonios audias dicentes Lyſandrum ad Ephoros in hunc modum ſcripſiſſe, Captæ ſunt Athenæ: ad Lyſandrum vero ſcripſiſſe Ephoros, Satis eſt captas eſſe. Verum ea ſunt in ſpeciem ſubornata. At germanum Ephororum decretum ita habet. Magiſtratus Lacedæmoniorum hæc decrevere. Piræum & longos muros demoliminor, omnibus oppidis excedito te, agrum veſtrum colitote. Hæc ſi faxitis, pacem habetote. Quæ oportet, datote, fugitivos redditote, de navium numero quicquid ſtatuere videbitur, id facitote. Hanc ſcytalam Athenienſes Theramene Anconis autore acceperunt. Quo tempore rogatum ferunt eum a Cleomene juvene concionatore, num contra ac Themiſtocles agere & ſuadere auderet, atque tradere Lacedæmoniis muros, quos ille Lacedæmoniis ſtruxerat invitis, reſpondiſſe, Nihil equidem,

ado-

ὦ μειράκιον, ὑπεναντίον ἐγὼ πράττω Θεμιστοκλεῖ. τὰ γὰρ αὐτὰ τείχη κἀκεῖνος ἐπὶ σωτηρίᾳ τῶν πολιτῶν ἀνέστησε, καὶ ἡμεῖς ἐπὶ σωτηρίᾳ καταβαλοῦμεν. εἰ δὲ τὰ τείχη τὰς πόλεις εὐδαίμονας ἐποίει, πασῶν ἔδει πράττειν κάκιστα τὴν Σπάρτην, ἀτείχιστον οὖσαν.

Ὁ δ' οὖν Λύσανδρος ὡς παρέλαβε τάς τε ναῦς ἁπάσας, πλὴν δώδεκα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος μηνός, ἐν ᾗ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων τὸν βάρβαρον, ἐβούλευσεν εὐθὺς καὶ τὴν πολιτείαν μεταστῆσαι. δυσπειθῶς δὲ καὶ τραχέως φερόντων, ἀποστείλας πρὸς τὸν δῆμον, ἔφη τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν· ἑστάναι γὰρ τὰ τείχη, τῶν ἡμερῶν ἐν αἷς ἔδει καθῃρῆσθαι παρῳχημένων. ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν, ὡς τὰς ὁμολογίας λελυκότων. ἔνιοι δὲ καὶ προτεθῆναι φασὶν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις· ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανθον εἰσηγήσασθαι, τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. εἶτα μέντοι συνουσίας γενομένης τῶν ἡγεμόνων παρὰ πότον, καί τινος Φωκέως ᾄσαντος ἐκ τῆς Εὐριπίδου Ἠλέκτρας τὴν πάροδον, ἧς ἡ ἀρχή,

Ἀγαμέμνονος ὦ κόρα, ἤλυθον Ἠλέκτρα
Ποτὶ σὰν ἀγρότειραν αὐλάν,

πάντας ἐπικλασθῆναι, καὶ φανῆναι σχέτλιον ἔργον, τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι τὴν πόλιν. ὁ δ' οὖν Λύσανδρος ἐνδόντων τῶν Ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄστεος μεταπεμ-

ψάμενος

adolescens, diversum ago ac Themistocles: quippe eosdem muros tam ille ad civium salutem excitavit, quam nos ad salutem eorundem diruimus. Quod si urbes mœnia redderent beatas, Spartam, quæ muris caret, omnium esse oportet miserrimam.

Itaque Lysander navibus extra duodecim omnibus & muris potitus Atheniensium, die sexto decimo mensis Munychionis, quo die superaverant quondam prœlio navali ad Salamina barbaros, illico proposuit, ut rempub. immutaret. Detrectantibus id Atheniensibus indignantibusque, significavit per nuntios populo, comperisse fœdus se ab ipsis violatum. Quippe stare muros circumactis diebus, quibus solo æquatos esse oportuisset. Quare, sicut pace soluta, de integro de ipsis se ad concilium relaturum. Nonnulli autem vere referunt eum proposuisse in concilio sociorum de redigendis in servitutem Atheniensibus. Quo tempore Thebanum Erianthum suasisse, ut urbem solo æquarent, agrum relinquerent pecori pascendum. Post tamen quum epularentur una duces, atque inter pocula Phocensis quidam ex Euripidis Electra ingressum chori caneret, cujus est exordium,

Agamemnonis adeo, O soboles Electra,
Ad agrestis culminis atria tua:

fractos omnes fuisse, ac rem censuisse indignam, tam claram totque & talium alumnam virorum delere & exscindere urbem. Igitur Lysander nihil recusantibus Atheniensibus evocavit multas ex urbe tibicinas, om-

ψάλτριας αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγών, τὰ τείχη κατέσκαπτε, καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλόν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. εὐθὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄστει, δέκα δὲ ἐν Πειραιεῖ καταστήσας ἄρχοντας· ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν, καὶ Καλλίβιον ἁρμοστὴν ἄνδρα Σπαρτιάτην ἐπιστήσας. ἐπεὶ δὲ οὗτος Αὐτόλυκον τὸν ἀθλητήν, ἐφ' ᾧ τὸ συμπόσιον ὁ Ξενοφῶν πεποίηκε, τὴν βακτηρίαν διαράμενος παίσειν ἔμελλεν, ὁ δέ, τῶν σκελῶν συναράμενος, ἀνέτρεψεν αὐτόν, οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ συνεπετίμησε, φήσας αὐτὸν οὐκ ἐπίστασθαι τὸν Καλλίβιον ἐλευθέρων ἄρχειν. ἀλλὰ τὸν μὲν Αὐτόλυκον οἱ τριάκοντα, τῷ Καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕστερον ἀνεῖλον.

Ὁ δὲ Λύσανδρος ἀπὸ τούτων γενόμενος, αὐτὸς μὲν ἐπὶ Θρᾴκης ἐξέπλευσε, τῶν δὲ χρημάτων τὰ περιόντα, καὶ ὅσας δωρεὰς αὐτὸς ἢ στεφάνους ἐδέξατο, πολλῶν, ὡς εἰκός, διδόντων ἀνδρὶ δυνατωτάτῳ καὶ τρόπον τινὰ κυρίῳ τῆς Ἑλλάδος, ἀπέστειλεν εἰς Λακεδαίμονα διὰ Γυλίππου τοῦ στρατηγήσαντος περὶ Σικελίαν. ὁ δέ, ὡς λέγεται, τὰς ῥαφὰς τῶν ἀγγείων κάτωθεν ἀναλύσας, καὶ ἀφελὼν συχνὸν ἀργύριον ἐξ ἑκάστου, πάλιν συνέρραψεν, ἀγνοήσας ὅτι γραμματίδιον ἐνῆν ἑκάστῳ τὸν ἀριθμὸν σημαῖνον. ἐλθὼν δὲ εἰς Σπάρτην, ἃ μὲν ὑφῄρητο, κατέκρυψεν ὑπὸ τὸν κέραμον τῆς οἰκίας, τὰ δὲ ἀγγεῖα παρέδωκε τοῖς ἐφόροις, καὶ τὰς σφραγῖδας ἐπέδειξεν. ἐπεὶ δὲ ἀνοιξάντων καὶ ἀριθμούντων διεφώνει πρὸς τὰ γράμματα τὸ πλῆθος τοῦ ἀρ-

omnes etiam ex caſtris coegit. Tum muros diruit, naves incendit ad tibiam, ſimul coronatis ovantibuſque ſociis, tanquam libertatis foret dies ille auſpicium. Mox rempub. movit, ac triginta urbi, decem Piræo præpoſuit rectores: arci impoſuit præſidium, cui Harmoſtem dedit Callibium, Spartiatem. Qui quum Autolycum athletam, in quem condidit convivium ſuum Xenophon, ſublato baculo cædere pararet, hic cruribus eum ſublatum proſtravit in terram. Nec de eo doluit Lyſander, immo etiam caſtigavit iſtum, dicens ignorare Callibium ſe liberis hominibus imperare. Cæterum triginta viri brevi poſt interfecerunt in Callibii gratiam Autolycum.

At Lyſander, rebus hiſce compoſitis, contendit in Thraciam. Quod reliquum erat pecuniæ, item quæcunque munera & coronas acceperat, (donaverant autem ei complures, potentiſſimo nimirum viro & Græciæ quodammodo domino) Lacedæmonem per Gylippum, qui dux fuerat in Sicilia, miſit. Is (ut fama eſt) ſacculorum ſuturas in fundo ſolvit, ac ſurripuit ex unaquaque magnam vim argenti: mox conſuit iterum eas, neſcius additum in ſingulis libellum, qui numerum indicabat. Ingreſſus Spartam, ea quæ interverterat, condidit ſub tecto domus ſuæ. Sacculos Ephoris tradidit & oſtendit ſignatos. Quibus apertis & inito numero, quum diſcreparet ab indicibus

ἀργυρείου, καὶ παρεῖχε τοῖς ἐφόροις ἀπορίαν τὸ πρᾶγμα, φράζει θεράπων τοῦ Γυλίππου πρὸς αὐτοὺς αἰνιξάμενος, ὑπὸ τῷ κεραμικῷ κοιτάζεσθαι πολλὰς γλαῦκας. ἦν γὰρ, ὡς ἔοικε, τὸ χάραγμα τοῦ πλείστου τότε νομίσματος, διὰ τοὺς Ἀθηναίους, γλαῦκες.

Ὁ μὲν οὖν Γύλιππος αἰσχρὸν οὕτω καὶ ἀγεννὲς ἔργον ἐπὶ λαμπροῖς τοῖς ἔμπροσθεν καὶ μεγάλοις ἐργασάμενος, μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος. οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν οὐχ ἥκιστα καὶ διὰ τοῦτο τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες, ὡς οὐχὶ τῶν τυχόντων ἁπτομένην πολιτῶν, τόν τε Λύσανδρον ἐλοιδόρουν, καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύρειον καὶ τὸ χρυσίον, ὥσπερ κῆρας ἐπαγωγίμους. οἱ δὲ προὔθεσαν γνώμην· καὶ Θεόπομπος μέν φησιν Σκιραφίδαν, Ἔφορος δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ. τοῦτο δὲ ἦν σιδηροῦν, πρῶτον μὲν ὄξει μεταβαπτόμενον ἐκ πυρὸς, ὅπως μὴ καταχαλκεύοιτο, ἀλλὰ διὰ τὴν βαφὴν ἄστομον καὶ ἀδρανὲς γίνοιτο· ἔπειτα βαρύσταθμον, καὶ δυσπαρακόμιστον, καὶ ἀπὸ πολλοῦ τινος πλήθους καὶ ὄγκου μικρὰν τινα ἀξίαν δυνάμενον. κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς, ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσοῦτον γὰρ ἡ χεὶρ περιεδράττετο. τῶν δὲ Λυσάνδρου φίλων ὑπεναντιουμένων, καὶ σπουδασάντων ἐν τῇ πόλει καταμεῖναι τὰ χρήματα, δημοσίᾳ μὲν ἔδοξεν εἰσά-

γεσθαι

cibus argenti ſumma, haberetque res Ephoros ſuſpenſos, ſervus Gylippi ſignificavit iis per ænigma, ſub Ceramico multas cubare noctuas. Nummi autem id temporis Athenienſium gratia erant noctua fere ſignati.

Atque Gylippus quidem, poſt res geſtas tam inſignes & amplas, tam fœdo & pudendo facinore admiſſo, ſolum vertit. At Spartiatarum prudentiſſimi eo nomine vel præcipue nummorum exhorreſcentes vim, quæ cives labefactaſſet non vulgares, & Lyſandrum ſunt inſectati, & teſtato denuntiaverunt Ephoris rejiciendum, quaſi exitiales quaſdam peſtes introductas, aurum & argentum. Hi rem ad concilium retulerunt. Schiraphidam Theopompus refert, Ephorus Phlogidam fuiſſe, qui non recipiendam in urbem monetam auream vel argenteam cenſuit, ſed retinendam patriam. Ea ferrea erat, primum aceto tincta adhuc candens, ut neque procudi neque duci ob tincturam, neque poſſet tractari malleo, ponderoſa deinde & ad portandum inhabilis, cujus eſſet magnus numerus & moles exigui pretii. Ac vetus moneta fuit fortaſſis omnis ejuſcemodi, quia obeliſcis utebantur ferreis nummis, quidam æreis. Unde durat ad hæc uſque tempora, ut numerus nummulorum oboli vocetur, & drachma ſex oboli. Tantum enim circumplectebatur manus. At quando Lyſandri neceſſarii interceſſerunt, & inſtiterunt ut pecunia illa retineretur in urbe, viſum fuit in uſum publicum ut ad-

mitterent

γεσθαι νόμισμα τοιοῦτον, ἂν δέ τις ἁλῷ κεκτημένος ἰδίᾳ, ζημίαν ὥρισαν θάνατον· ὥσπερ τοῦ Λυκούργου τὸ νόμισμα φοβηθέντος, οὐ τὴν ἐπὶ τῷ νομίσματι φιλαργυρίαν, ἣν οὐκ ἀφῄρει τὸ μὴ κεκτῆσθαι τὸν ἰδιώτην, ὡς τὸ κεκτῆσθαι τὴν πόλιν εἰσεποιεῖτο, τῆς χρείας ἀξίαν προσλαμβανούσης καὶ ζῆλον. οὐ γὰρ ἦν, δημοσίᾳ τιμώμενον ὁρῶντας, ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου· καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα, τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον. ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιρρέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις, ἢ τὰ καθ' ἕκαστον ὀλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων πονηρῶν. τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι τὰ μέρη μᾶλλον, ὅταν ἐνδῷ πρὸς τὸ χεῖρον, εἰκός· αἱ δὲ ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι πολλὰς ἐνστάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. οἱ δὲ ταῖς μὲν οἰκίαις τῶν πολιτῶν, ὅπως οὐ πάρεισιν εἰς αὐτὰς νόμισμα, τὸν φόβον ἐπέστησαν φύλακα καὶ τὸν νόμον· αὐτὰς δὲ τὰς ψυχὰς ἀνεκπλήκτους καὶ ἀπαθεῖς πρὸς ἀργύριον οὐ διετήρησαν, ἐμβαλόντες εἰς ζῆλον, ὡς σεμνοῦ δή τινος καὶ μεγάλου, τοῦ πλουτεῖν ἅπαντας. περὶ μὲν οὖν τούτων καὶ δι' ἑτέρας που γραφῆς ἡψάμεθα Λακεδαιμονίων.

Ὁ δὲ Λύσανδρος ἔστησεν ἀπὸ τῶν λαφύρων ἐν Δελφοῖς αὑτοῦ χαλκῆν εἰκόνα, καὶ τῶν ναυάρχων ἑκάστου, καὶ χρυσοῦς ἀστέρας τῶν Διοσκούρων, οἳ πρὸ τῶν Λευκτρικῶν ἠφανίσθησαν. ἐν δὲ τῷ Βρασίδου καὶ Ἀκανθίων θησαυρῷ τριήρης ἔκειτο διὰ χρυσοῦ πεποιημένη καὶ ἐλέφαντος, δυοῖν πηχῶν, ἣν Κῦ-

mitterent id genus nummos; siquis eos possidere compertus esset privatim, in eum pœnam capitalem sanxere. Quasi vero nummos Lycurgus formidasset, non autem nummorum comitem avaritiam & cupiditatem, quæ non ita detrahebatur quod non teneret eos privatus, ut quia haberet respub. incendebatur, accedente ad usum ejus dignitate & admiratione. Neque enim fieri poterat, cui esse dignationem cernebant publice, id ut private respuerent pro inutili; atque ut ad rem privatam sibi quisque flocci faceret id, quod publice tanti esset & adeo charum. Immo vero mores ex publicis studiis longe citius influunt in vitam privatam, quam privatæ offensæ & affectiones civitates referciunt rerum turpitudine. Quippe rapit secum universitas haud dubie partes potius, ubi vergit in deterius: partis vero in universitatem peccata multas correctiones & remedia accipiunt a sanis. At hi civium ædibus, ne in eas penetrarent nummi, metum apposuerunt custodem & legem; animos vero eorum incorruptos a pecunia & immotos non servarunt, qui in divitiarum quasi amplæ rei & eximiæ conjecerunt omnes admirationem. De his etiam alio quodam nostro scripto perstrinximus Lacedæmonios.

Porro Lysander Delphis statuam suam æream & cujusque navarchorum suorum, stellas quoque aureas Tyndaridarum fratrum de manubiis dedicavit: quæ fuerunt ante pugnam Leuctricam sublatæ. In Brasidæ & Acanthiorum thesauro triremis sacrata bicubitalis fuit ex auro & ebore facta, quam Cy-

Κῦρος αὐτῷ νικητήριον ἔπεμψεν. Ἀλεξανδρείδης δὲ ὁ Δελφὸς ἱστορεῖ καὶ παρακαταθήκην ἐνταῦθα Λυσάνδρου κεῖσθαι, τάλαντον ἀργυρίου καὶ μνᾶς πεντήκοντα δύο, καὶ πρὸς τούτοις ἕνδεκα στατῆρας· οὐχ ὁμολογούμενα γράφων τοῖς περὶ τῆς πενίας τοῦ ἀνδρὸς ὁμολογουμένοις. τότε δ' οὖν ὁ Λύσανδρος ὅσον οὐδεὶς τῶν πρόσθεν Ἑλλήνων δυνηθεὶς, ἐδόκει φρονήματι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. πρῶτον μὲν γὰρ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς Θεῷ, καὶ θυσίας ἔθυσαν. εἰς δὲ πρῶτον παιᾶνες ᾔσθησαν, ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε,

Τὸν Ἑλλάδος ἀγαθέας στραταγὸν ἀπ' εὐρυχώρου Σπάρτας ὑμνήσομεν, ὢ ἰὴ παιάν.

Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα, Λυσάνδρεια καλεῖν ἐψηφίσαντο. τῶν δὲ ποιητῶν Χοίριλον μὲν ἀεὶ περὶ αὐτὸν εἶχεν, ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς. Ἀντιλόχῳ δὲ ποιήσαντι μετρίους τινὰς εἰς αὐτὸν στίχους, ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πίλον. Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου, καὶ Νικηράτου τινὸς Ἡρακλεώτου ποιήμασι Λυσάνδρεια διαγωνισαμένων ἐπ' αὐτῷ, τὸν Νικήρατον ἐστεφάνωσεν. ὁ δὲ Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ νέος ὢν τότε, καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. ἐπεὶ μέντοι ὁ κιθαρῳδὸς Ἀριστόνους, ἑξάκις Πύθια νενικηκὼς, ἐπηγγέλλετο τῷ Λυ-

Cyrus ei victoriæ causa gratulatoriam miserat. Alexandrides Delphus deposuisse ibidem tradit Lysandrum argenti talentum, minas duas & quinquaginta, insuper stateras undecim. Sed parum convenientia scribit iis quæ recepta sunt de illius paupertate. Porro Lysander, cujus tunc erat major potentia quam cujusquam fuisset superiorum Græcorum, majorem potentia sua visus est arrogantiam & fastum usurpasse. Primo enim Græcorum aras ei (ut Duris tradit) civitates ut Deo erexerunt, victimasque immolaverunt. In eum primum decantati pæanes fuere: quorum unius exordium commemorant hujuscemodi,

Ducem bonæ Pelasgiæ lætis ab ampla plausibus Sparta canemus inclytum.

Samii sciverunt ut Junonia apud ipsos Lysandria dicerentur. Ex civibus perpetuo in comitatu suo Chœrilum habebat, qui res gestas celebraret carmine. Antilocho, qui certum numerum versuum in laudem suam condiderat, lætus pileum dedit argenti plenum. Quum Antimachus Colophonius & Niceratus quidam Heracleotes carminibus Lysandria in honorem ejus certarent, donavit Niceratum corona: ea re Antimachus offensus, abolevit poema. Plato autem, qui juvenis id temporis erat, & Antimachum ob artem poeticam colebat, ablatam sibi palmam moleste ferentem allevavit excitavitque, ignaris dicens malum esse ignorantiam, sicut cæcitatem non videntibus. Jam citharœdus Aristonous, qui Pythiis victor sexies fuerat, in gratiam ostendit se Ly-

Λυσάνδρῳ φιλοφρονούμενος, ἂν νικήσῃ πάλιν, Λυσάνδρου κηρύξειν ἑαυτόν, ἢ δοῦλον εἰπεῖν.

Ἀλλ' ἡ μὲν φιλοτιμία τοῦ Λυσάνδρου τοῖς πρώτοις καὶ ἰσοτίμοις ἦν ἐπαχθὲς μόνον, ὑπεροψίας δὲ πολλῆς ἅμα τῇ φιλοτιμίᾳ διὰ τοὺς θεραπεύοντας ἐγγινομένης τῷ ἤθει καὶ βαρύτητος, οὔτε τιμῆς οὔτε τιμωρίας μέτρον ἦν παρ' αὐτῷ δημοτικόν, ἀλλὰ φιλίας μὲν ἆθλα καὶ ξενίας, ἀνυπεύθυνοι δυναστεῖαι πόλεων καὶ τυραννίδες ἀνεξέταστοι, θυμοῦ δὲ μία πλήρωσις, ἀπολέσθαι τὸν ἀπεχθανόμενον· οὔτε γὰρ φυγεῖν ἐξῆν. ἀλλὰ καὶ Μιλησίων ὕστερον τοὺς τοῦ δήμου προϊσταμένους δεδιὼς μὴ φύγωσι, καὶ προαγαγεῖν τοὺς κεκρυμμένους βουλόμενος, ὤμοσε μὴ ἀδικήσειν· πιστεύσαντας δὲ καὶ προελθόντας, ἀποσφάξαι τοῖς ὀλιγαρχικοῖς παρέδωκεν, οὐκ ἐλάττονας ὀκτακοσίων συναμφοτέρους ὄντας. ἦν δὲ καὶ τῶν ἄλλων ἐν ταῖς πόλεσι δημοτικῶν φόνος οὐκ ἀριθμητός, ἅτε δὴ μὴ κατ' ἰδίας μόνον αἰτίας αὐτοῦ κτείνοντος, ἀλλὰ πολλαῖς μὲν ἔχθραις, πολλαῖς δὲ πλεονεξίαις τῶν ἑκασταχόθι φίλων χαριζομένου τὰ τοιαῦτα καὶ συνεργοῦντος. ὅθεν εὐδοκίμησεν Ἐτεοκλῆς ὁ Λακεδαιμόνιος, εἰπὼν ὡς οὐκ ἂν Ἑλλὰς δύο Λυσάνδρους ἤνεγκε. τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ Ἀλκιβιάδου φησὶ Θεόφραστος εἰπεῖν Ἀρχίστρατον. ἀλλ' ἐκεῖ μὲν ὕβρις ἦν καὶ τρυφὴ σὺν αὐθαδείᾳ, τὸ μάλιστα δυσχεραινόμενον· τὴν δὲ Λυσάνδρου δύναμιν ἡ τοῦ τρόπου χαλεπότης φοβερὰν ἐποίει καὶ βαρεῖαν. οἱ δὲ Λακεδαιμόνιοι τοῖς μὲν ἄλλοις οὐ πάνυ προσεῖχον ἐγκαλοῦσιν· ἐπεὶ δὲ Φαρ-

Lyſandri, ſi rurſus viciſſet, pronuntiaturum vel dicturum Lyſandri ſervum ſe eſſe.

At ambitio erat Lyſandri principibus modo & paribus odioſa. Quia vero immenſa arrogantia & ſupercilium una cum ambitione infundebant ſe ob clientelas moribus ejus, neque honorum vel ſuppliciorum civilis erat apud eum modus, ſed amicitiæ & hoſpitii principatus civitatum ſoluti & effrænati dominatus præmia erant, iræ autem una expletio mors inimici: nam effugii non erat locus. Immo vero illi qui apud Mileſios poſtea tuebantur partes populi, veritus ne profugerent, & quo extraheret deliteſcentes, juravit non violaturum ſe eos. Quos fide ſua prodeuntes tradidit illis qui de factione erant paucorum potentium, necandos, quorum erat ex ambabus partibus non intra octingentos numerus. Edebatur præterea aliorum popularium oppidatim infinita cædes. Nempe repræſentabat non ex propriis tantum offenſionibus necem, ſed frequentibus odiis, frequentibus cupiditatibus amicorum, quos paſſim habebat, ea donabat facinora, illorumque in his erat adjutor. Unde celebrata vox eſt Eteoclis Lacedæmonii, Græciam ferre duos Lyſandros non potuiſſe. Idem de Alcibiade Theophraſtus Archiſtratum autor eſt dixiſſe. Cæterum acerbiſſimum in hoc, petulantia erat & cum procacitate conjunctus luxus: Lyſandri vero potentiam efficiebat amaritudo morum horrendam & atrocem. Atqui de reliquorum criminationibus non laborabant magnopere Lacedæmonii. Ubi vero Pharnabazus

Φαρνάβαζος ἀδικούμενος ὑπ' αὐτοῦ τὴν χώραν ἄγοντος καὶ φέροντος, ἀπέστειλεν εἰς τὴν Σπάρτην κατηγόρους, ἀγανακτήσαντες οἱ ἔφοροι, τῶν μὲν φίλων αὐτοῦ καὶ συστρατήγων ἕνα, Θώρακα, λαβόντες ἀργύριον ἰδίᾳ κεκτημένον, ἀπέκτειναν, ἐκείνῳ δὲ σκυτάλην ἀπέπεμψαν, ἥκειν κελεύοντες. ἔστι δὲ ἡ σκυτάλη τοιοῦτον. ἐπὰν ἐκπέμψωσι ναύαρχον ἢ στρατηγὸν οἱ ἔφοροι, ξύλα δύο στρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἐπισώσαντες, ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δὲ τῷ πεμπομένῳ διδόασι. ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. ὅταν οὖν ἀπόρρητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον, ὥσπερ ἱμάντα μακρὸν καὶ στενὸν, ποιοῦντες, περιελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην, οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. τοῦτο δὲ ποιήσαντες, ἃ βούλονται καταγράφουσιν εἰς τὸ βιβλίον, ὥσπερ ἐπὶ τῇ σκυτάλῃ περικείμενον. ὅταν δὲ γράψωσιν, ἀφελόντες τὸ βιβλίον, ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. δεξάμενος δὲ ἐκεῖνος, ἄλλως μὲν οὐδὲν ἀναλέξασθαι δύναται τῶν γραμμάτων, συναφὴν οὐκ ἐχόντων, ἀλλὰ διεσπασμένων· τὴν δὲ παρ' αὐτῷ σκυτάλην λαβὼν, τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν, ὥστε τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθισταμένης ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα, κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν. καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον.

Ὁ δὲ Λύσανδρος, ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν Ἑλλήσποντον,

nabazus ob injurias ejus, quod provinciam suam vastaret, misit Spartam accusatores; infensi Ephori unum ex amicis Lysandri & collegis Thoracem, quod habere eum domi compertum fuit argentum, necaverunt, ipsumque Lysandrum missa scytala revocaverunt domum. Scytala autem res est hujuscemodi: Quum præfectum classis vel ducem Ephori mittunt in expeditionem, ligna bina parant rotunda pari prorsus longitudine & crassitudine, ut desecta inter se quadrent. Horum alterum ipsi retinent, alterum tradunt ei quem dimittunt. Ligna hæc scytalas appellant. Ubi jam arcana & ardua mandare volunt, codicillos faciunt instar corrigiæ longos & strictos: his scytalam suam circumplicant nullo interstitio relicto, sed superficiem ejus amplectuntur undique codicillis. Inde quod libuerit, in circumjecto scytalam codice exarant. Ubi scripsere, detractos codicillos mittunt ad ducem absque ligno. Acceptos ille alias nequaquam valet legere, quod commissuram non habeant literæ, sed divulsæ sint: adhibet autem scytalam suam & segmento eam circumplicat codicillorum. Ita spira in eandem reposita seriem, primis cohærentia secunda in orbem offerunt oculis contextum. Codicillus dicitur item ac lignum scytala, sicut mensuratum eodem quo mensura nomine.

At Lysander allata ad eum in Hellespontum scy-

λήσποντον, διεταράχθη, καὶ μάλιστα τὰς τοῦ Φαρναβάζου δεδιὼς κατηγορίας, ἐσπούδασεν εἰς λόγους αὐτῷ ὡς λύσων συνελθεῖν τὴν διαφοράν. καὶ συνελθὼν ἐδεῖτο γράψαι περὶ αὐτοῦ πρὸς τοὺς ἄρχοντας ἑτέραν ἐπιστολὴν, ὡς οὐδὲν ἠδικημένον, οὐδ' ἐγκαλοῦντα. πρὸς Κρῆτα δ' ἄρα, τὸ τοῦ λόγου, κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. ὑποσχόμενος γὰρ ἅπαντα ποιήσειν, φανερῶς μὲν ἔγραψεν οἵαν ὁ Λύσανδρος ἠξίωσεν ἐπιστολὴν, κρύφα δ' εἶχεν ἑτέραν αὐτόθι γεγραμμένην· ἐν δὲ τῷ τὰς σφραγῖδας ἐπιβάλλειν, ἐξαλλάξας τὰ βιβλία μηδὲν διαφέροντα τῇ ὄψει, δίδωσιν ἐκείνην αὐτῷ τὴν κρύφα γεγραμμένην. ἀφικόμενος οὖν ὁ Λύσανδρος εἰς Λακεδαίμονα, καὶ πορευθεὶς, ὥσπερ ἔθος ἐστὶ, πρὸς τὸ ἀρχεῖον, ἀπέδωκε τοῖς ἐφόροις τὰ γράμματα τοῦ Φαρναβάζου, πεπεισμένος ἀνῃρῆσθαι τὸ μέγιστον αὐτοῦ τῶν ἐγκλημάτων. ἠγαπᾶτο γὰρ ὁ Φαρνάβαζος ὑπὸ τῶν Λακεδαιμονίων, προθυμότατος ἐν τῷ πολέμῳ τῶν βασιλέως στρατηγῶν γεγενημένος. ἐπεὶ δ' ἀναγνόντες οἱ ἔφοροι τὴν ἐπιστολὴν, ἔδειξαν αὐτῷ, καὶ συνῆκεν ὡς

Οὐκ ἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος,

τότε μὲν ἰσχυρῶς τεθορυβημένος ἀπῆλθεν· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐντυχὼν τοῖς ἄρχουσιν, ἔφη δεῖν αὐτὸν εἰς Ἄμμωνος ἀναβῆναι, καὶ τῷ Θεῷ θῦσαι θυσίας ἃς ηὔξατο πρὸ τῶν ἀγώνων. ἔνιοι μὲν οὖν ὡς ἀληθῶς φασὶν αὐτὸν πολιορκοῦντι τὴν τῶν Ἀφυγαίων πόλιν ἐν Θρᾴκῃ κατὰ τοὺς ὕπνους παραστῆναι τὸν Ἄμμωνα· διὸ καὶ τὴν πολιορκίαν ἀφεὶς, ὡς τοῦ Θεοῦ προστάξαντος, ἐκέλευε τοὺς Ἀφυγαίους Ἄμμωνι θύειν, καὶ τὸν Θεὸν ἐσπούδασεν εἰς τὴν

scytala perculsus, & Pharnabazi potissimum formidans crimina, affectavit ad dirimendam controversiam cum eo propere congredi. In colloquio oravit eum ut literas de se ad magistratus alteras, nulla ipsum injuriam affectum esse, neque quicquam scriberet queri. Cæterum ignorabat cum Cretense, ut est in proverbio, cretizare Pharnabazo: qui omnia recepit se facturum, atque in propatulo quidem, qualem flagitabat Lysander, epistolam conscripsit, clam vero alteram habebat jam exaratam, & inter signandum commutavit codicillos nihil inter se specie discrepantes, tradiditque Lysandro illum occulte scriptum. Reversus Lacedæmonem Lysander, atque (ut moris est) ad curiam profectus, reddidit Ephoris Pharnabazi literas, pro certo habens maximum crimen suum esse sopitum. Pharnabazum enim Lacedæmonii, quod inter regios præfectos fuisset in bello promptissimus, charum habebant. Ut vero lectas literas Ephori ostenderunt Lysandro, & hic animadvertit,

Non solum Ulyssem mentis esse callidæ,

in præsentia quidem vehementer perplexus digressus est. Paucis post diebus adiit magistratus, proposuitque necessarium sibi iter esse ad Ammonis delubrum, & sacrificia quæ ante prœlia voverat, reddenda. Ac nonnulli vere aiunt, quum in Thracia Aphygæorum oppidum circumsideret, in somno adstitisse ei Jovem Ammonem. Unde soluta obsidione, velut Dei jussu præcepit Aphygæis Ammoni sacra facere, Deumque maturavit in Afri-

τὴν Λιβύην πορευθεὶς ἐξιλάσασθαι. τοῖς δὲ πλείστοις ἐδόκει πρόσχημα ποιεῖσθαι τὸν Θεὸν, ἄλλως δὲ τοὺς ἐφόρους δεδοικὼς, καὶ τὸν οἴκοι ζυγὸν οὐ φέρων, οὐδ' ὑπομένων ἄρχεσθαι, πλάνης ὀρέγεσθαι καὶ περιφοιτήσεως τινός· ὥσπερ ἵππος ἐκ νομῆς ἀφέτου καὶ λειμῶνος αὖθις ἥκων ἐπὶ φάτνην, καὶ πρὸς τὸ σύνηθες ἔργον αὖθις ἀγόμενος. ἣν μὲν γὰρ Ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν ἀναγράφει, μετὰ μικρὸν ἀφηγήσομαι.

Μόλις δὲ καὶ χαλεπῶς ἀφεθῆναι διαπραξάμενος ὑπὸ τῶν ἐφόρων, ἐξέπλευσεν. οἱ δὲ βασιλεῖς, ἀποδημήσαντος αὐτοῦ, συμφρονήσαντες ὅτι ταῖς ἑταιρείαις τὰς πόλεις κατέχων, διὰ παντὸς ἄρχει καὶ κύριός ἐστι τῆς Ἑλλάδος, ἔπραττον ὅπως ἀποδώσουσι τοῖς δημόταις τὰ πράγματα, τοὺς ἐκείνου φίλους ἐκβαλόντες. οὐ μὴν ἀλλὰ πάλιν πρὸς ταῦτα κινήματος γενομένου, καὶ πρῶτον τῶν ἀπὸ Φυλῆς Ἀθηναίων ἐπιθεμένων τοῖς τριάκοντα, καὶ κρατούντων, ἐπανελθὼν διὰ ταχέων ὁ Λύσανδρος, ἔπεισε τοὺς Λακεδαιμονίους ταῖς ὀλιγαρχίαις βοηθεῖν, καὶ τοὺς δήμους κολάζειν. καὶ πρώτοις τοῖς τριάκοντα πέμπουσιν ἑκατὸν τάλαντα πρὸς τὸν πόλεμον, καὶ στρατηγὸν αὐτῶν, Λύσανδρον. οἱ δὲ βασιλεῖς φθονοῦντες, καὶ δεδιότες μὴ πάλιν ἕλη τὰς Ἀθήνας, ἔγνωσαν ἐξιέναι τὸν ἕτερον αὐτῶν. ἐξῆλθε δὲ ὁ Παυσανίας, λόγῳ μὲν ὑπὲρ τῶν τυράννων ἐπὶ τὸν δῆμον, ἔργῳ δὲ, καταλύσων τὸν πόλεμον, ὡς μὴ πάλιν ὁ Λύσανδρος διὰ τῶν φίλων κύριος γένοιτο τῶν Ἀθηνῶν. τοῦτο μὲν οὖν διεπράξατο ῥαδίως, καὶ τοῖς Ἀθηναίοις διαλλάξας, καὶ καταπαύσας τὴν στάσιν, ἀφείλετο τοῦ Λυσάνδρου τὴν φιλοτιμίαν. ὀλίγῳ δὲ ὕστερον ἀπο-

Africam profectus placare. Plerique crediderunt velamento usum Dei, quum alioqui Ephoros timeret, neque ferre civile jugum, neque parere sustineret, oberrare expetiisse & vagari alicubi, equi in modum, qui ex liberis pascuis & pratis ad præsepe redit, & ad solitas reducitur operas. Nam quam Ephorus allegat hujus causam peregrinationis, mox edisseram.

Quum dimissionem ægre & non citra laborem impetravisset ab Ephoris, conscendit. Reges, eo absente, qui consideraverunt sodalitiis eum tenentem oppida perpetuo imperio & dominatui Græciæ incubare, struebant, ut expulsis familiaribus illius, respub. redderent popularibus. Verum enimvero, quum novus hinc esset excitatus motus, & primum Athenienses, ex Phyla moventes, triginta rectores essent adorti, eosque prœlio fudissent, regressus propere Lysander fuit autor Lacedæmoniis, ut rebuspub. quas administrabant pauci, subvenirent, pœnasque exigerent a populis. Primo igitur triginta rectoribus in belli subsidium centum talenta mittunt, ac ducem præficiunt eis Lysandrum. At reges, malignitate & metu ne iterum caperet ille Athenas, statuerunt ut alter ipsorum susciperet expeditionem. Ac profectus est Pausanias, verbo contra populum Atheniensem pro tyrannis, revera ad dirimendum bellum, ne amicorum opera redigeret Lysander denuo in potestatem suam Athenas. Quod quidem perfecit facile: reductisque in gratiam Atheniensibus, atque composita seditione, ambitionem Lysandri præscidit. Rebellantibus vero

2 brevi

ἀποσάντων πάλιν τῶν Ἀθηναίων, αὐτὸς μὲν αἰτίαν ἔλαβεν ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον ἀνεὶς αὖθις ἐξυβρίσαι καὶ θρασύνεσθαι· τῷ δὲ Λυσάνδρῳ προσεθήκατο δόξαν ἀνδρὸς οὐ πρὸς ἑτέρων χάριν, οὐδὲ θεατρικῶς, ἀλλὰ πρὸς τὸ τῇ Σπάρτῃ συμφέρον αὐθεκάστως στρατηγοῦντος.

Ἦν δὲ καὶ τῷ λόγῳ θρασὺς, καὶ καταπληκτικὸς πρὸς τοὺς ἀντιτείνοντας. Ἀργείοις μὲν γὰρ ἀμφιλογουμένοις περὶ γῆς ὅρων, καὶ δικαιότερα τῶν Λακεδαιμονίων οἰομένοις λέγειν, δείξας τὴν μάχαιραν, Ὁ ταύτης, ἔφη, κρατῶν, βέλτιστα περὶ γῆς ὅρων διαλέγεται. Μεγαρέως δὲ ἀνδρὸς ἔν τινι συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτὸν, Οἱ λόγοι σου, εἶπεν, ὦ ξένε, πόλεως δέονται. τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας ἠρώτα, πότερον ὀρθοῖς τοῖς δόρασιν ἢ κεκλιμένοις διαπορεύηται τὴν χώραν αὐτῶν. ἐπεὶ δὲ τῶν Κορινθίων ἐφεστώτων, παρερχόμενος πρὸς τὰ τείχη, τοὺς Λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγὼς τις ὤφθη διαπηδῶν τὴν τάφρον, Οὐκ αἰσχύνεσθε, ἔφη, τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωοὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν; ἐπεὶ δὲ Ἆγις ὁ βασιλεὺς ἐτελεύτησεν, ἀδελφὸν μὲν Ἀγησίλαον καταλιπὼν, υἱὸν δὲ νομιζόμενον Λεωτυχίδην, ἐραστὴς τοῦ Ἀγησιλάου γεγονὼς ὁ Λύσανδρος, ἔπεισεν αὐτὸν ἀντιλαμβάνεσθαι τῆς βασιλείας, ὡς Ἡρακλείδην ὄντα γνήσιον. ὁ γὰρ Λεωτυχίδας διαβολὴν εἶχεν ἐξ Ἀλκιβιάδου γεγονέναι, συνόντος αὐτοῦ κρύφα τῇ Ἄγιδος γυναικὶ Τιμαίᾳ, καθ' ὃν χρόνον φεύγων ἐν Σπάρτῃ διέτριβεν. ὁ δὲ Ἆγις,

brevi de integro Atheniensibus, insimulatus Pausanias est, quod frænato paucorum potentia populo ad insolentiam & licentiam fenestram aperuisset; Lysandro vero adjunxit existimationem tanquam viri non ad aliorum gratiam neque ad fastum, verum ex usu civitatis Spartanæ severe imperantis.

Fuit etiam ejus ferox & fulminans ad reluctantes oratio. Siquidem ambigentibus de agri finibus Argivis, & æquiora quam Lacedæmonios ratis se adferre, monstrato gladio, Qui hoc (inquit) potitur, hic de finibus agri optime differit. Quum civis Megarensis in concilio libere cum eo ageret, Oratio tua (inquit) hospes indiget urbe. Fluctuantes Bœotios, utri parti adhærerent, interrogavit, directis hastis fines ipsorum peragraret, an inclinatis. Quum Corinthii defecivissent, & accedens ad muros Lysander Lacedæmonios segnes cerneret ad oppugnationem, lepus autem conspectus esset fossam transilire, Ecquid pudet vos (inquit) eos formidare hostes, quorum ob ignaviam mœnibus indormiunt lepores? Porro quum rex Agis fato functus esset, fratre superstite Agesilao, & Leotychide, qui habebatur filius ejus, impulit Lysander Agesilaum, cujus fuerat amator, ut justam Herculis progeniem, ad regnum asserendum. Flagrabat enim Leotychides infamia, quasi susceptus ex Alcibiade, qui quo tempore exul Spartæ agebat, stupri clandestinam consuetudinem cum uxore Agidis Timæa habuerat. Agis au-

Ἆγις, ὥς φασι, χρόνῳ μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν, ὡς οὐ κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ Λεωτυχίδου, καὶ φανερὸς ἦν ἀναινόμενος αὐτὸν, παρά τε τὸν λοιπὸν χρόνον· ἐπεὶ δὲ νοσῶν εἰς Ἡραίαν ἐκομίσθη, καὶ τελευτᾶν ἔμελλε, τὰ μὲν ὑπ᾽ αὐτοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς, ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὐτοῦ τὸν Λεωτυχίδαν, καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς Λακεδαιμονίους, ἀπέθανεν. οὗτοι μὲν οὖν ἐμαρτύρουν ταῦτα τῷ Λεωτυχίδῃ, τὸν δὲ Ἀγησίλαον, λαμπρὸν ὄντα τἄλλα, καὶ συναγωνιστῇ τῷ Λυσάνδρῳ χρώμενον, ἔβλαπτε Διοπείθης, ἀνὴρ εὐδόκιμος ἐπὶ χρησμολογίᾳ, τοιόνδε μάντευμα προσφέρων εἰς τὴν χωλότητα τοῦ Ἀγησιλάου,

Φράζεο δὴ Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία.
Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι,
Φθισίβροτόν τ᾽ ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

Πολλῶν οὖν ὑποκατακλινομένων πρὸς τὸ λόγιον, καὶ τρεπομένων πρὸς τὸν Λεωτυχίδην, ὁ Λύσανδρος οὐκ ὀρθῶς ἔφη τὸν Διοπείθη τὴν μαντείαν ὑπολαμβάνειν· οὐ γὰρ ἂν προσπταίσας τις ἄρχῃ Λακεδαιμονίων, δυσχεραίνειν τὸν Θεὸν, ἀλλὰ χωλὴν εἶναι τὴν βασιλείαν, εἰ νόθοι καὶ κακῶς γεγονότες βασιλεύσωσιν Ἡρακλείδαις. τοιαῦτα λέγων καὶ δυνάμενος πλεῖστον, ἔπεισε· καὶ γίνεται βασιλεὺς Ἀγησίλαος.

Εὐθὺς οὖν αὐτὸς ἐξώρμα καὶ προὔτρεπεν ὁ Λύσανδρος εἰς τὴν Ἀσίαν στρατεύειν, ὑποτιθεὶς ἐλπίδας, ὡς καταλύσοντι Πέρσας, καὶ μεγίστῳ γενησομένῳ. πρὸς

τε

autem (uti fama est) collegit rem ex tempore, non esse eam ex se prægnantem. Unde Leotychidem negligebat, ac non obscure reliquo tempore abdicabat. At ubi æger est Heræam delatus, jam morti vicinus hinc ab ipso adolescente, hinc ab amicis obsecrantibus inductus est, ut adhibitis multis filium agnosceret Leotychidem, & quum orasset adsistentes, ut horum essent apud Lacedæmonios testes, exspiravit. Et quidem testificabantur hi Leotychidi ea: insuper Agesilaum, inclytum alias virum & adjutore subnixum Lysandro, celebris vates lædebat Diopithes, qui hoc vaticinium in Agesilai citavit clauditatem,

Tu quamvis animo tumeas, ô Sparta, superbo,
Te validam pedibus prorsus circumspice claudum
Ne lædat regnum: longi te namque labores
Et subiti cingent, Martisque agitaberis undis.

Igitur multis oraculo assentientibus atque ad Leotychidem versis, negavit Diopithem Lysander sortes recte accipere. Neque enim, si qui offensaverit pedem regnet apud Lacedæmonios, id Deum aversari, sed esse regnum claudum, si adulterini & degeneres inter posteros Herculis agant regnum. His suasionibus & opibus ingentibus suis pervicit, ut rex salutaretur Agesilaus.

Extemplo igitur instigat eum stimulatque Lysander ad bellum Asiaticum, spem ostendens fore, Persas ut debellaret, atque evaderet omnium hominum primus. Scripsit

τε τοὺς ἐν Ἀσίᾳ φίλους ἔγραψεν, αἰτεῖσθαι κελεύων παρὰ Λακεδαιμονίων στρατηγὸν Ἀγησίλαον, ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. οἱ δὲ ἐπείθοντο, καὶ πρέσβεις ἔπεμπον εἰς Λακεδαίμονα δεομένους. ὃ δοκεῖ τῆς βασιλείας οὐκ ἔλαττον Ἀγησιλάῳ καλὸν ὑπάρξαι διὰ Λύσανδρον. ἀλλ' αἱ φιλότιμοι φύσεις ἄλλως μὲν οὐ κακαὶ πρὸς τὰς ἡγεμονίας εἰσί, τὸ δὲ φθονεῖν τοῖς ὁμοίοις διὰ δόξαν, οὐ μικρὸν ἐμπόδιον τῶν καλῶν πράξεων ἔχουσι. ποιοῦνται γὰρ ἀνταγωνιστὰς τῆς ἀρετῆς οἷς πάρεστι χρῆσθαι συνεργοῖς. Ἀγησίλαος μὲν οὖν ἐπηγάγετο Λύσανδρον ἐν τοῖς τριάκοντα συμβούλοις, ὡς μάλιστα καὶ πρώτῳ τῶν φίλων χρησόμενος. ἐπεὶ δ' εἰς τὴν Ἀσίαν παραγενομένων, πρὸς ἐκεῖνον μὲν οὐκ ἔχοντες οἱ ἄνθρωποι συνήθως, βραχέα καὶ σπανίως διελέγοντο· τὸν δὲ Λύσανδρον ἐκ πολλῆς τῆς πρόσθεν ὁμιλίας, οἵ τε φίλοι θεραπεύοντες, οἵ τε ὕποπτοι δεδιότες, ἐφοίτων ἐπὶ θύρας καὶ παρηκολούθουν· οἷον ἐν τραγῳδίαις ἐπιεικῶς συμβαίνει περὶ τοὺς ὑποκριτάς, τὸν μὲν, ἀγγέλου τινὸς ἢ θεράποντος ἐπικείμενον πρόσωπον, εὐδοκιμεῖν καὶ πρωταγωνιστεῖν, τὸν δὲ διάδημα καὶ σκῆπτρον φοροῦντα μηδὲ ἀκούεσθαι φθεγγόμενον· οὕτω περὶ τὸν σύμβουλον ἦν τὸ πᾶν ἀξίωμα τῆς ἀρχῆς, τῷ δὲ βασιλεῖ τοὔνομα τῆς δυνάμεως ἔρημον ἀπελείπετο. ψέξασθαι μὲν οὖν ἴσως ἔδει τινὰ τῆς ἐμμελοῦς ταύτης φιλοτιμίας ἐπαφὴν, καὶ συσταλῆναι τὸν Λύσανδρον ἄχρι τῶν δευτερείων· τὸ δὲ παντελῶς ἀπορρίψαι καὶ προπηλακίσαι διὰ δόξαν εὐεργέτην ἄνδρα καὶ φίλον, οὐκ ἦν ἄξιον Ἀγησιλάῳ προσεῖναι. πρῶτον μὲν οὖν οὐ παρεῖχεν αὐτῷ πράξεων ἀφορμὰς, οὐδὲ ἔταττεν ἐφ' ἡγεμονίας· ἔπειτα ὑπὲρ ὧν αἴσθοιτό τι πράττοντα

καὶ

sit etiam ad suos in Asia amicos, ut ad movendum barbaris bellum ducem poscerent Agesilaum. Cujus illi impulsu legatos miserunt Lacedæmonem cum hisce postulatis. Quod decus regno non inferius apparet acceptum tulisse Agesilaum Lysandro. Atqui ambitiosa ingenia cætero non inutilia ad imperia sunt, sed invidentia parium gloriæ causa non mediocria rebus magnis gerendis adferunt impedimenta. Efficiunt enim adversarios virtutis eos, quos habere queant adjutores. Agesilaus ergo duxit secum inter triginta consiliarios Lysandrum, quo esset præcipue & principe amicorum usurus. Postquam vero in Asiam ventum est, quod cum illo incolis nullus usus intercederet, pauci, idque raro adibant eum: Lysandrum vero ex magna pristina consuetudine, amici observantia, iniqui timore domum ejus celebrabant affectabanturque eum. Quod in tragœdiis fere usu venit histrionibus, ut, qui nuntii personam gerunt vel ministri, pluris fiant & primas partes agant, illius vero qui diadema & sceptrum fert, nec vox audiatur ulla loquentis: ita apud consiliarium majestas imperii hærebat, regi orbum potentia nomen tantum manebat reliquum. Erat quidem hæc aliquantulum perstringenda importuna ambitio, & detrahendus ad secundas partes Lysander: verum ut semel projiceret & ludibrio haberet bene de se meritum & amicum, indignum vitium erat, quo laboraret Agesilaus. Primum enim non concessit ei rei ullius gerendæ materiam, neque ulli rei præfecit eum: deinde quorum commendare rem

vel

καὶ σπουδάζοντα τὸν Λύσανδρον, ἀεὶ τούτους πάντων ἀπράκτους, καὶ τῶν ἐπιτυχόντων ἔλαττον ἔχοντας ἀπέπεμπεν, παραλύων ἡσυχῇ καὶ διαψύχων τὴν ἐκείνου δύναμιν. ἐπεὶ δὲ τῶν πάντων διαμαρτάνων ὁ Λύσανδρος, ἔγνω τοῖς φίλοις τὴν παρ' αὐτοῦ σπουδὴν ἐναντίωμα γινομένην, αὐτός τε τὸ βοηθεῖν ἐξέλιπε, κἀκείνων ἐδεῖτο μὴ προσιέναι μηδὲ θεραπεύειν αὐτὸν, ἀλλὰ τῷ βασιλεῖ διαλέγεσθαι, καὶ τοῖς δυναμένοις ὠφελεῖν τοὺς τιμῶντας αὐτοὺς μᾶλλον ἐν τῷ παρόντι. ταῦτα ἀκούοντες οἱ πολλοὶ, τοῦ μὲν ἐνοχλεῖν αὐτὸν περὶ πραγμάτων ἀπείχοντο, τὰς δὲ θεραπείας οὐ κατέλιπον, ἀλλὰ προσφοιτῶντες ἐν τοῖς περιπάτοις καὶ γυμνασίοις, ἔτι μᾶλλον ἢ πρότερον ἠνίων τὸν Ἀγησίλαον ἀπὸ φθόνου τῆς τιμῆς· ὥστε τοῖς πολλοῖς στρατιώταις ἡγεμονίας πραγμάτων καὶ διοικήσεις πόλεων ἀποδιδοὺς, τὸν Λύσανδρον ἀπέδειξε κρεωδαίτην. εἶτα οἷον ἐφυβρίζων πρὸς τοὺς Ἴωνας, Ἀπιόντες, ἔφη, νῦν τὸν ἐμὸν κρεωδαίτην θεραπευέτωσαν. ἔδοξεν οὖν Λυσάνδρῳ διὰ λόγων πρὸς αὐτὸν ἐλθεῖν· καὶ γίνεται βραχὺς καὶ Λακωνικὸς αὐτῶν διάλογος, Ἦ καλῶς ᾔδεις, ὦ Ἀγησίλαε, φίλους ἐλαττοῦν. καὶ ὅς, ἄν γε ἐμοῦ βούλωνται μείζονες εἶναι. τοὺς δὲ αὔξοντας τὴν ἐμὴν δύναμιν, καὶ μετέχειν αὐτῆς, δίκαιον. ἀλλ' ἴσως μὲν, ὦ Ἀγησίλαε, σοὶ λέλεκται μᾶλλον ἢ ἐμοὶ πέπρακται. δέομαι δέ σου καὶ διὰ τοὺς ἐκτὸς ἀνθρώπους οἳ πρὸς ἡμᾶς ἀποβλέπουσιν, ἐνταῦθά με τῆς σεαυτοῦ στρατηγίας τάξον, ὅπου τεταγμένος, ἥκιστα μὲν ἐπαχθὴς, μᾶλλον δὲ χρήσιμον ἔσεσθαι σεαυτῷ νομίζεις.

Ἐκ τούτου πρεσβευτὴς εἰς Ἑλλήσποντον ἐπέμπετο· καὶ τὸν μὲν Ἀγησίλαον δι'

vel studiosum Lysandrum intelligeret, eos semper inanes, atque infra abjectissimum quemque dimittebat honoratos: atque ita sensim illius labefactabat & diluebat autoritatem. Lysander igitur ubi omnes eludi conatus suos vidit, & studium suum sensit amicis detrimentosum esse, destitit suscipere negotia eorum, rogavitque eos, ne se adirent neu colerent: regem appellarent, atque illos qui prodesse magis in præsenti his, a quibus honorabantur, valerent. Quum hæc audirent, complures interpellare eum de causis suis desierunt, observare non desierunt, sed assiduitate sua in ambulationibus & gymnasiis longe quam ante acrius stimulaverunt illius honori invidentem Agesilaum. Unde quum rebus gerendis multos præficeret gregarios milites, eosque urbibus regendis præponeret, Lysandro carnium dividendarum attribuit munus. Inde quasi insultandi causa Ionibus, Eant nunc, inquit, & meum carnium divisorem colant. Quare visum Lysandro est in sermonem cum illo venire, fitque concisum eorum & Laconicum colloquium: Næ tu bene (inquit) nosti, Agesilae, amicos conculcare. Ibi ille, Sane, si me esse majores velint. Illos, qui opes meas amplificabunt, harum æquum est eos esse consortes. At forsan id tu dixisti (inquit Lysander) Agesilae, potius, quam ego feci. Te vero precor, vel externorum causa qui conjiciunt in nos oculos, eo me loco reponas sub ductu tuo, ubi positum, quam minime tibi odiosum, & magis utilem fore putes.

Hinc legatus in Hellespontum missus est, qui quamvis magis incensus in Agesilaum esset,

δι' ὀργῆς ἦγε, οὐκ ἠμέλει δὲ τοῦ τὰ δέοντα πράττειν. Μιθριδάτην δὲ τὸν Πέρσην προσκεκρουκότα Φαρναβάζῳ, γενναῖον ἄνδρα καὶ στρατιὰν ἔχοντα περὶ αὐτὸν, ἀποστήσας, ἤγαγε πρὸς τὸν Ἀγησίλαον. ἄλλο δ' οὐδὲν ἐχρήσατο αὐτῷ πρὸς τὸν πόλεμον ἀλλὰ τοῦ χρόνου διελθόντος, ἀπέπλευσεν εἰς τὴν Σπάρτην ἀτίμως, ὀργιζόμενος μὲν τῷ Ἀγησιλάῳ, μισῶν δὲ καὶ τὴν ἄλλην πολιτείαν μᾶλλον ἔτι ἢ πρότερον, καὶ τὰ πάλαι δοκοῦντα συγκεῖσθαι καὶ μεμηχανῆσθαι πρὸς μεταβολὴν καὶ νεωτερισμὸν, ἐγνωκὼς ἐγχειρεῖν τότε καὶ μὴ διαμέλλειν. ἦν δὲ τοιάδε. τῶν ἀναμιχθέντων Δωριεῦσιν Ἡρακλειδῶν, καὶ κατελθόντων εἰς Πελοπόννησον, πολὺ μὲν ἐν Σπάρτῃ καὶ λαμπρὸν ἤνθησε γένος. οὐ παντὶ δὲ αὐτῶν τῆς βασιλικῆς μετῆν διαδοχῆς, ἀλλ' ἐβασίλευον ἐκ δυεῖν οἴκων μόνον, Εὐρυτιωνίδαι καὶ Ἀγιάδαι προσαγορευόμενοι, τοῖς δὲ ἄλλοις οὐδὲν ἕτερον πλέον ἔχειν ἐν τῇ πολιτείᾳ διὰ τὴν εὐγένειαν ὑπῆρχεν· αἱ δὲ ἀπ' ἀρετῆς τιμαὶ πᾶσι προὔκειντο τοῖς δυναμένοις. τούτων οὖν γεγονὼς ὁ Λύσανδρος, ὡς εἰς δόξαν τῶν πράξεων ἤρθη μεγάλην, καὶ φίλους ἐκέκτητο πολλοὺς καὶ δύναμιν, ἤχθετο τὴν πόλιν ὁρῶν ὑπ' αὐτοῦ μὲν αὐξανομένην, ὑφ' ἑτέρων δὲ βασιλευομένην, οὐδὲν βέλτιον αὐτοῦ γεγονότων. καὶ διενοεῖτο τὴν ἀρχὴν ἐκ τῶν δυεῖν οἴκων μεταστήσας, εἰς κοινὸν ἀποδοῦναι πᾶσιν Ἡρακλείδαις· ὡς δ' ἔνιοι φασὶν, οὐχ Ἡρακλείδαις, ἀλλὰ Σπαρτιάταις. ἵνα μὴ τῶν ἀφ' Ἡρακλέους, ἀλλὰ τῶν οἷος Ἡρακλῆς τὸ γέρας ἀρετῇ κρινομένων, ἣ κἀκεῖνον εἰς Θεῶν τιμὰς ἀνήγαγεν. ἤλπιζε δὲ τῆς βασιλείας οὕτω δικαζομένης, οὐδένα πρὸ αὐτοῦ Σπαρτιάτην ἂν αἱρεθήσεσθαι. Πρῶτον

esset, non prætermisit tamen officium suum facere. Immo Mithridatem Persam, qui offensionem cum Pharnabazo habebat, præstantem virum & exercitu succinctum, impulit ad defectionem, adduxitque ad Agesilaum. Ad aliam rem in bello est nullam adhibitus, verum elapso tempore Lacedæmonem vilis rediit, cum infestus Agesilao, tum totam rempub. magis quam ante exosus: statuitque præstructa pridem & adornata ad mutationem ac res novas exequi tunc, nec procrastinare. Ea hæc erant: Ex posteritate Herculis, qui consusi cum Doribus fuerunt, & in Peloponnesum remeaverunt, magna & clara gens floruit Spartæ. Non admissi tamen ad regni successionem omnes sunt, verum hæsit id penes duas solum familias, qui Eurytiontidæ & Agiadæ appellabantur. Cæteri ex generis dignitate prærogativam in repub. nullam habebant: virtutis vero decora patebant omnibus qui ea poterant obtinere. Ex his quum esset Lysander, ut rebus gestis inclytum nomen comparavit, multosque amicos & opes conciliavit, iniquo ferebat animo, quod illa in urbe, quam ipse amplificaverat, alii, qui nihilo se essent natalibus illustriores, regnarent; cogitavitque ex duabus familiis regnum traducere & conferre in medium ad omnem Herculis progeniem, vel (ut quidam aiunt) non ad Herculis posteros, sed ad Spartiatas: ne præmium id stirpis Herculis esset, sed eorum qui similes essent Herculis virtute, quæ illum quoque ad Deorum honores evexisset. Sperabat autem fore quum de regno ita disceptaretur, neminem præ se designatum iri Spartiatem.

Πρῶτον μὲν οὖν ἐπεχείρησε καὶ παρεσκευάσατο πείθειν δι' ἑαυτοῦ τοὺς πολίτας, καὶ λόγον ἐξεμελέτα πρὸς τὴν ὑπόθεσιν γεγραμμένον ὑπὸ Κλέωνος τοῦ Ἁλικαρνασέως. ἔπειτα τὴν ἀτοπίαν καὶ τὸ μέγεθος τοῦ καινοτομουμένου πράγματος ὁρῶν ἰταμωτέρας δεόμενον βοηθείας, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν αἴρων ἐπὶ τοὺς πολίτας, λόγια πυθόχρηστα καὶ χρησμοὺς συνετίθει καὶ κατεσκεύασεν· ὡς οὐδὲν ὠφελησόμενος ὑπὸ τῆς Κλέωνος δεινότητος, εἰ μὴ φόβῳ τινὶ θεοῦ καὶ δεισιδαιμονίᾳ προεκπλήξας καὶ χειρωσάμενος, ὑπαγάγοι πρὸς τὸν λόγον τοὺς πολίτας. Ἔφορος μὲν οὖν φησιν αὐτόν, ὡς τήν τε Πυθίαν ἐπιχειρήσας διαφθεῖραι, καὶ τὰς Δωδωνίδας αὖθις ἀναπείθων διὰ Φερεκλέους ἀπέτυχεν, εἰς Ἄμμωνος ἀναβῆναι, καὶ διαλέγεσθαι τοῖς πολίταις πολὺ χρυσίον διδόντα· τοὺς δὲ δυσχεραίνοντας, εἰς Σπάρτην τινὰς ἀποστεῖλαι τοῦ Λυσάνδρου κατηγορήσοντας. ἐπεὶ δ' ἀπελύθη, τοὺς Λίβυας ἀπιόντας εἰπεῖν, ἀλλ' ἡμεῖς γε βέλτιον ὦ Σπαρτιᾶται κρινοῦμεν, ὅταν ἥκητε πρὸς ἡμᾶς εἰς Λιβύην οἰκήσοντες· ὡς δὴ χρησμοῦ τινος ὄντος παλαιοῦ, Λακεδαιμονίους ἐν Λιβύῃ κατοικῆσαι. τὴν δ' ὅλην ἐπιβουλὴν καὶ σκαιωρίαν τοῦ πλάσματος, οὐ φαύλην οὖσαν, οὐδ' ἀφ' ὧν ἔτυχεν ἀρξαμένην, ἀλλὰ πολλὰς καὶ μεγάλας ὑποθέσεις, ὥσπερ ἐν διαγράμματι μαθηματικῷ, προσλαβοῦσαν, καὶ διὰ λημμάτων χαλεπῶν καὶ δυσπορίστων ἐπὶ τὸ συμπέρασμα προϊοῦσαν, ἡμεῖς ἀναγράψομεν, ἀνδρὸς ἱστορικοῦ καὶ φιλοσόφου λόγῳ κατακολουθήσαντες.

Ἦν γύναιον ἐν Πόντῳ κύειν ἐξ Ἀπόλλωνος φάμενον, ᾧ πολλοὶ μέν, ὡς εἰκὸς ἦν, ἠπίστουν, πολλοὶ δὲ καὶ προσεῖχον· ὥστε καὶ τεκούσης παιδίον ἄρρεν, ὑπὸ πολ-

Ac primum inducere cives ipse instituit & molitus est, atque orationem edidicit a Cleone Halicarnasseo ad rem compositam. Hinc, ubi rei quam novabat importunitatem & molem consilia vidit audaciora flagitare: quasi in tragœdia machinam in cives attollens, sortes Delphicas atque oracula contexuit concinnavitque; nihil habiturum se ratus ex Cleonis eloquentia præsidii, ni metu aliquo Dei & superstitione prius ictos occupatosque ad orationem illam cives subdole deduxisset. Itaque refert Ephorus eum, ubi Pythiam aggressus est pervertere, ac mox solicitavit per Phereclem Dodonidas, & rejectus ab his est, ad Ammonis templum profectum, ostensa magna mercede cum sacerdotibus egisse, quos ex indignatione Spartam certos ad accusandum Lysandrum legasse. Absoluto illo, dixisse abeuntes Afros, Nos vero judicabimus, Spartiatæ, rectius, quum apud nos in Africa habitabitis: quod vetus vaticinium esset migraturos Lacedæmonios in Africam. Totam autem technam & astutiam commenti, quæ neque mediocris fuit, neque a vulgari ducta fonte, sed, velut in figura mathematica, multa habuit & magna principia, per spinosaque & contorta lemmata progressa ad conclusionem est, sequuti scripta viri historici & philosophi, explanabimus.

Mulier erat in Ponto, quæ prægnantem ferebat se ex Apolline, cui multi (neque immerito) fidem non habebant, multi etiam credebant. Unde quum filium peperisset, complures

πολλῶν καὶ γνωρίμων σπουδάζεσθαι τὴν ἐκτροφὴν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν. ὄνομα δὲ τῷ παιδὶ Σιληνὸς ἐκ δή τινος αἰτίας ἐτέθη. ταύτην λαβὼν ὁ Λύσανδρος ἀρχὴν, τὰ λοιπὰ παρ' ἑαυτοῦ προσετεκταίνετο καὶ συνύφαινεν, οὐκ ὀλίγοις χρώμενος οὐδὲ φαύλοις τοῦ μύθου προσαγωνισταῖς, οἳ τήν τε φήμην τῆς γενέσεως τοῦ παιδὸς εἰς πίστιν ἀνυπόπτως προσῆγον· ἄλλον τε λόγον ἐκ Δελφῶν ἀντικομίσαντες εἰς τὴν Σπάρτην κατέβαλον καὶ διέσπειραν, ὡς ἐν γράμμασιν ἀπορρήτοις ὑπὸ τῶν ἱερέων φυλάττοιντο παμπάλαιοι δή τινες χρησμοί, καὶ λαβεῖν οὐκ ἔξεστι τούτοις, οὐδ' ἐντυχεῖν θεμιτὸν, εἰ μή τις ἄρα γεγονὼς ἐξ Ἀπόλλωνος ἀφίκοιτο τῷ πολλῷ χρόνῳ, καὶ σύνθημα τοῖς φυλάττουσιν τῆς γενέσεως γνώριμον παρασχὼν, κομίσαιτο τὰς δέλτους ἐν αἷς ἦσαν οἱ χρησμοί. τούτων δὲ προκατεσκευασμένων, ἔδει τὸν Σιληνὸν ἐλθόντα τοὺς χρησμοὺς ἀπαιτεῖν, ὡς Ἀπόλλωνος παῖδα· τοὺς δὲ συμπράττοντας τῶν ἱερέων, ἐξακριβοῦν ἕκαστα, καὶ διαπυνθάνεσθαι περὶ τῆς γενέσεως. τέλος δὲ, πεπεισμένους δῆθεν, ὡς Ἀπόλλωνος υἱῷ δεῖξαι τὰ γράμματα· τὸν δὲ ἀναγνῶναι πολλῶν παρόντων ἄλλας τε μαντείας, καὶ ἧς ἕνεκα πλάσαι τὴν περὶ τῆς βασιλείας, ὡς ἄμεινον εἴη καὶ λῷον Σπαρτιάταις ἐκ τῶν ἀρίστων πολιτῶν αἱρουμένοις τοὺς βασιλέας. ἤδη δὲ τοῦ Σιληνοῦ μειρακίου γεγονότος καὶ πρὸς τὴν πρᾶξιν ἥκοντος, ἐξέπεσε τοῦ δράματος ὁ Λύσανδρος, ἀτολμίᾳ τῶν ὑποκριτῶν καὶ συνεργῶν ἑνὸς, ὡς ἐπ' αὐτὸ τὸ ἔργον ἦλθεν, ἀποδειλιάσαντος καὶ ἀναδύντος. οὐ μὴν ἐφωράθη γε τοῦ Λυσάνδρου ζῶντος οὐθὲν, ἀλλὰ μετὰ τὴν τελευτήν.

Ἐτε-

res & nobiles magnam nutrimentorum ejus atque educationis egerunt curam. Nomen puero aliqua certe ex causa Sileno est inditum. Hoc sumpto Lysander exordio, reliqua de suo assuit & attexit. Nec vero paucos vel contemnendos habuit sibi in hac fabula subministros, qui famam pueri natalium citra suspicionem ullam adstruxerunt. Alium praeterea vulgaverunt & dissipaverunt Spartae, Delphis petitum rumorem: oracula pervetusta a sacerdotibus in arcanis tabulis conservari, neque attrectare has vel legere fas esse, nisi longo post tempore natus ex Apolline venisset, & generationis suae indicio edito, quod notum custodibus esset, tabulas quibus sortes continebantur, accepisset. His praestructis, veniendum sicut Apollinis filio Sileno erat ad poscenda oracula: sacerdotes conscii singula sedulo rimare de natalibus ejus & percontari debebant. Postremo, his adducti scilicet, libellos tanquam Apollinis filio ostendere, atque hic in magna corona cum alia recitare oracula, tum cujus causa hoc institutum commentum fuerat de regno, praestare scilicet & satius esse Spartiatis, ut ex optimis civibus legerent reges. Ut jam adolevit Silenus, atque ad rem agendam veniebat, ecce Lysander a fabula excidit unius ignavia histrionis & administri, qui, quum admovenda operi manus esset, obtorpuit & tergiversatus est. Nihil tamen, dum superstes Lysander fuit, patefactum est, sed post obitum ejus.

De-

Ἐτελεύτησε δὲ πρὶν ἐκ Ἀσίας ἐπανελθεῖν τὸν Ἀγησίλαον, ἐμπεσὼν εἰς τὸν Βοιωτικὸν πόλεμον, ἢ μᾶλλον ἐμβαλὼν τὴν Ἑλλάδα. λέγεται γὰρ ἀμφοτέρως· καὶ τὴν αἰτίαν οἱ μὲν τινες ἐκείνου ποιοῦσιν, οἱ δὲ Θηβαίων, οἱ δὲ κοινήν. Θηβαίοις μὲν ἐγκαλοῦντες τὴν ἐν Αὐλίδι τῶν ἱερῶν διάῤῥιψιν, καὶ ὅτι τῶν περὶ Ἀνδροκλείδην καὶ Ἀμφίθεον χρήμασι βασιλικοῖς διαφθαρέντων, ἐπὶ τῷ Λακεδαιμονίοις Ἑλληνικὸν περιστῆσαι πόλεμον, ἐπέθεντο Φωκεῦσι, καὶ τὴν χώραν αὐτῶν ἐπόρθησαν. Λύσανδρον δέ φασιν ὀργῇ φέρειν, ὅτι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου Θηβαῖοι μόνοι, τῶν ἄλλων συμμάχων ἡσυχαζόντων, καὶ περὶ χρημάτων ἠγανάκτησαν, ἃ Λύσανδρος εἰς Σπάρτην ἀπέστειλε· μάλιστα δὲ ἐπὶ τῷ παρασχεῖν ἀρχὴν Ἀθηναίοις ἐλευθερώσεως ἐπὶ τῶν τριάκοντα τυράννων, οὓς Λύσανδρος μὲν κατέστησεν, Λακεδαιμόνιοι δὲ δύναμιν καὶ φόβον αὐτοῖς προστιθέντες, ἐψηφίσαντο τοὺς φεύγοντας ἐκ Ἀθηνῶν ἀγωγίμους εἶναι πανταχόθεν, ἐκσπόνδους δὲ τοὺς ἐνισταμένους τοῖς ἄγουσι. πρὸς ταῦτα γὰρ ἀντεψηφίσαντο Θηβαῖοι ψηφίσματα πρέποντα καὶ ἀδελφὰ ταῖς Ἡρακλέους καὶ Διονύσου πράξεσιν, οἰκίαν μὲν ἀνεῷχθαι πᾶσαν καὶ πόλιν ἐν Βοιωτίᾳ τοῖς δεομένοις Ἀθηναίων, τὸν δὲ τῷ ἀγομένῳ φυγάδι μὴ βοηθήσαντα, ζημίαν ὀφείλειν τάλαντον· ἂν δέ τις Ἀθήναζε διὰ τῆς Βοιωτίας ἐπὶ τοὺς τυράννους ὅπλα κομίζῃ, μήτε ὁρᾶν τινα Θηβαίων, μήτε ἀκούειν. καὶ οὐκ ἐψηφίσαντο μὲν οὕτως Ἑλληνικὰ καὶ φιλάνθρωπα, τὰς δὲ πράξεις τοῖς γράμμασιν ὁμοίως οὐ παρέχον· ἀλλὰ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ, Φυλὴν καταλαβόντες ἐκ Θηβῶν ὡρμήθησαν, ὅπλα καὶ χρήματα καὶ τὸ λαθεῖν καὶ

Decessit ante reditum ex Asia Agesilai, quum in bellum Bœoticum incidisset, vel potius Græciam conjecisset. Nam obtinet utraque fama, atque alii in illum caussam, alii in Thebanos, nonnulli in utrosque conferunt. Thebanis objiciunt sacrificii Aulide dissipationem, & quod redemptis pecunia regis Androclida & Amphitheo ad illigandos bello Græciæ Lacedæmonios, sint adorti Phocenses, atque fines eorum depopulati. Lysandrum etiam stomachatum ferunt, quod cæteris jacentibus sociis, decimam prædæ soli vendicassent Thebani, missamque a Lysandro Spartam pecuniam indigne tulissent: maxime vero quod eximendi se Atheniensibus primordium dedissent a triginta tyrannis, quos ipse constituerat. Ad quos viribus & terrore armandos decreverant Lacedæmonii exules Atheniensium undique ducendi jus esse, pro hostibus habendos qui obstarent ducentibus. Adversus id decretum sciverunt aliud Thebani dignum & germanum Herculis & Liberi patris factis, omne tectum & oppidum Bœotiæ Atheniensibus, si quibus usus foret, patere: Qui exuli, dum duceretur, opem non tulisset, talentum mulctæ nomine pensurum: Si quis Athenas ferret per Bœotiam in tyrannos arma, neminem id neque videre, neque audire Thebanorum. Neque vero qui hæc tam Græca & humana sciverant, factis decreta non sunt exequuti. Immo Thrasybulus cum sua cohorte occupata Phyle, conatus suos auspicati sunt ex Thebis, quod arma & pecuniam

καὶ τὸ ἄρξασθαι Θηβαίων αὐτοῖς συμπαρασκευασάντων. αἰτίας μὲν οὖν ταύτας ἔλαβε κατὰ τῶν Θηβαίων ὁ Λύσανδρος.

Ἤδη δὲ παντάπασι χαλεπὸς ὢν ὀργὴν, διὰ τὴν μελαγχολίαν ἐπιτείνουσαν εἰς γῆρας, παρώξυνε τοὺς ἐφόρους καὶ συνέπεισε πεμφθῆναι φρουρὰν ἐπ' αὐτοὺς, καὶ λαβὼν τὴν ἡγεμονίαν ἐξεστράτευσεν. ὕστερον δὲ καὶ Παυσανίαν τὸν βασιλέα μετὰ στρατιᾶς ἀπέστειλεν· ἀλλὰ Παυσανίας μὲν κύκλῳ περιελθὼν διὰ τοῦ Κιθαιρῶνος, ἔμελλεν εἰς τὴν Βοιωτίαν εἰσβαλεῖν. Λύσανδρος δὲ διὰ Φωκέων ἀπήντα στρατιώτας ἔχων πολλούς· καὶ τὴν μὲν Ὀρχομενίων πόλιν ἑκουσίως προσχωρήσασαν ἔλαβε, τὴν δὲ Λεβαδίαν ἐπελθὼν διεπόρθησεν. ἔπεμψε δὲ τῷ Παυσανίᾳ γράμματα, κελεύων εἰς Ἁλίαρτον ἐκ Πλαταιῶν συνάπτειν, ὡς αὐτὸς ἅμ' ἡμέρᾳ πρὸς τοῖς τείχεσι τῶν Ἁλιαρτίων γενησόμενος. ταῦτα τὰ γράμματα πρὸς τοὺς Θηβαίους ἀπηνέχθη, τοῦ κομίζοντος εἰς κατασκόπους τινὰς ἐμπεσόντος. οἱ δὲ, προσβεβοηθηκότων αὐτοῖς Ἀθηναίων, τὴν μὲν πόλιν ἐκείνοις διεπίστευσαν, αὐτοὶ δὲ περὶ πρῶτον ὕπνον ἐξορμήσαντες, ἔφθασαν ὀλίγῳ τὸν Λύσανδρον ἐν Ἁλιάρτῳ γενόμενοι, καὶ μέρει τινὶ παρῆλθον εἰς τὴν πόλιν. ἐκεῖνος δὲ τὸ μὲν πρῶτον ἔγνω, τὴν στρατιὰν ἱδρύσας ἐπὶ λόφου, περιμένειν τὸν Παυσανίαν· ἔπειτα προϊούσης τῆς ἡμέρας ἀτρεμεῖν οὐ δυνάμενος, λαβὼν τὰ ὅπλα καὶ τοὺς συμμάχους παρορμήσας, ὀρθίᾳ τῇ φάλαγγι παρὰ τὴν ὁδὸν ἦγε πρὸς τὸ τεῖχος. τῶν δὲ Θηβαίων οἱ μὲν ἔξω μεμενηκότες, ἐν ἀριστερᾷ τὴν πόλιν λαβόντες, ἐβάδιζον ἐπὶ τοὺς ἐσχάτους τῶν πολεμίων, ὑπὸ τὴν κρήνην τὴν Κισοῦσαν προσαγορευομένην· ἔνθα μυθολογοῦσι τὰς τιθήνας νήπιον ἐκ τῆς λοχείας ἀπολοῦσαι τὸν Διόνυσον. καὶ

γὰρ

an comparassent, atque rem secreto aggrederentur auxilio Thebanorum. Has causas arripuit contra Thebanos Lysander.

Qui quum ob atram bilem ex senio turgentem ira arderet plane aspera, incitavit induxitque Ephoros ut adversus illos mitterent præsidium, ac dux creatus cum copiis profectus est. Post rex quoque Pausanias est cum exercitu missus. Cæterum hic ambitu per Cithærona ducens in Bœotiam irrupturus erat, Lysander ei per Phocidem occursurus cum magnis copiis. Atque Orchomeno potitus est per voluntariam deditionem, Lebadiam expugnavit diripuitque. Mox literas misit ad Pausaniam, ut sibi ad Haliartum ex Platæis occurreret. Nam prima luce admoturum se Haliartiorum muris exercitum. Quæ literæ, quod incidisset in speculatores tabellarius, sunt ad Thebanos delatæ. Hi Atheniensibus, qui suppetias ipsis venerant, urbe commissa, prima vigilia eruperunt, & paulo ante Lysandrum venerunt Haliartum, ac partim oppidum ingressi sunt. Ille primo, castris in tumulo positis, statuit Pausaniam operiri: inde crescente die quum quiescere non posset, armis captis sociisque incitatis, per viam longo agmine succedebat ad mœnia. Thebanorum pars quæ subsliterat extra muros, sinistrum latus claudentes oppido invaserunt sub fonte, quam Cissusam appellant, extremum hostium agmen. Hic nutrices fabulantur Liberum patrem infantem modo editum abluisse: quippe

γὰρ οἰνωπὸν ἐπιστίλβει τὸ χρῶμα καὶ διαυγές, καὶ πιεῖν ἥδιστον. οἱ δὲ Κρήσιοι στύρακες οὐ πόρρω παραπεφύκασιν· ἃ τεκμήρια τῆς Ῥαδαμάνθυος αὐτόθι κατοικήσεως Ἁλιάρτιοι ποιοῦνται, καὶ τάφον αὐτοῦ δεικνύουσιν, Ἀλεᾶ καλοῦντες. ἔστι δὲ καὶ τὸ τῆς Ἀλκμήνης μνημεῖον ἐγγύς· ἐνταῦθα γάρ, ὥς φασιν, ἐκηδεύθη, συνοικήσασα Ῥαδαμάνθυι μετὰ τὴν Ἀμφιτρύωνος τελευτήν. οἱ δὲ ἐν τῇ πόλει Θηβαῖοι μετὰ τῶν Ἁλιαρτίων συντεταγμένοι, τέως μὲν ἡσύχαζον· ἐπεὶ δὲ τὸν Λύσανδρον ἅμα τοῖς πρώτοις προσπελάζοντα τῷ τείχει κατεῖδον, ἐξαπίνης ἀνοίξαντες τὰς πύλας καὶ προσπεσόντες, αὐτόν τε μετὰ τοῦ μάντεως κατέβαλον, καὶ τῶν ἄλλων ὀλίγους τινάς· οἱ γὰρ πλεῖστοι, ταχέως ἀνέφυγον πρὸς τὴν φάλαγγα. τῶν δὲ Θηβαίων οὐκ ἀνιέντων, ἀλλὰ προσκειμένων αὐτοῖς, ἐτράποντο πάντες ἀνὰ τοὺς λόφους φεύγειν, καὶ χίλιοι πίπτουσιν αὐτῶν. ἀπέθανον δὲ καὶ Θηβαίων τριακόσιοι, πρὸς τὰ τραχέα καὶ καρτερὰ τοῖς πολεμίοις συνεκπεσόντες. οὗτοι δὲ ἦσαν ἐν αἰτίᾳ τοῦ λακωνίζειν, ἣν σπουδάζοντες ἀπολύσασθαι τοῖς πολίταις, καὶ σφῶν αὐτῶν ἀφειδοῦντες ἐν τῇ διώξει, παραναλώθησαν.

Τῷ δὲ Παυσανίᾳ τὸ πάθος ἀγγέλλεται καθ' ὁδὸν ἐκ Πλαταιῶν εἰς Θεσπιὰς πορευομένῳ, καὶ συνταξάμενος ἧκε πρὸς τὸν Ἁλίαρτον. ἧκε δὲ καὶ Θρασύβουλος ἐκ Θηβῶν, ἄγων τοὺς Ἀθηναίους. βουλομένου δὲ τοῦ Παυσανίου τοὺς νεκροὺς ὑποσπόνδους ἀπαιτεῖν, δυσφοροῦντες οἱ πρεσβύτεροι τῶν Σπαρτιατῶν, αὐτοί τε καθ' ἑαυτοὺς ἠγανάκτουν, καὶ τῷ βασιλεῖ προσιόντες, ἐμαρτύραντο μὴ διὰ σπονδῶν ἀναιρεῖσθαι Λύσανδρον, ἀλλὰ δι' ὅπλων περὶ τοῦ σώ-

quippe colore nitet vinum repræsentante limpidoque, & est potu gratissimus, nec procul styraces Cretenses nascuntur passim. Quæ vestigia Haliartii domicilium ibi Rhadamanthum habuisse jactant. Tumulum quoque ejus ostendunt, quem Alea vocant. Jam Alcmenæ juxta est monumentum, eamque illic autumant funeratam, quum nupsisset defuncto Amphitryone Rhadamantho. Porro qui intra muros Thebani erant, cum Haliartiis instructi non moverunt se in præsentia. Ut vero Lysandrum cum antesignanis successisse viderunt ad mœnia, porta repente patefacta erumpunt, illumque cum vate interficiunt, præterea paucos alios. Nam maxima pars recepit se propere ad aciem. Sed quum Thebani eodem ardore instarent iis, omnes terga dedere, collesque effusi petiere. Mille ex illis desiderati: ex Thebanis ceciderunt trecenti, quos impetus in consectandis hostibus in aspera & munita loca simul abstulit. Hi suspicione erant adspersi facere cum Lacedæmoniis: quam labem dum eluere volunt apud cives, neque sibi parcunt in persequendis hostibus, nequicquam periere.

Hæc clades Pausaniæ in itinere Thespias a Platæis moventi nuntiata est, qui instructo agmine contendit Haliartum. Eodem ex Thebis advenit cum Atheniensibus Thrasybulus. Quum institueret Pausanias per inducias mortuos petere, majores natu Spartiatarum & apud semetipsos fremuerunt, & regem adeuntes testati sunt non sublaturos se per inducias Lysandrum: verum armis de corpore ejus cer-

σώματος ἀγωνισαμένους, καὶ νικήσαντας, οὕτω τὸν ἄνδρα θάπτειν· ἡττημένοις δὲ, καλὸν ἐνταῦθα κεῖσθαι μετὰ τοῦ στρατηγοῦ. ταῦτα τῶν πρεσβυτέρων λεγόντων, ὁρῶν ὁ Παυσανίας μέγα μὲν ἔργον ὑπερβαλέσθαι μάχῃ τοὺς Θηβαίους ἄρτι κεκρατηκότας, ἐγγὺς δὲ τῶν τειχῶν τὸ σῶμα τοῦ Λυσάνδρου παραπεπτωκὸς, ὥστε χαλεπὴν ἄνευ σπονδῶν καὶ νικῶσιν εἶναι τὴν ἀναίρεσιν, ἐπέπεμψε κήρυκα, καὶ σπεισάμενος ἀπήγαγε τὴν δύναμιν ὀπίσω. τὸν δὲ Λύσανδρον, ᾗ πρῶτον κομίζοντες ὑπὲρ τοὺς ὅρους ἐγένοντο τῆς Βοιωτίας, ἐν φίλῃ καὶ συμμαχίδι χώρᾳ τῇ Πανοπαίων κατέθεσαν· οὗ νῦν τὸ μνημεῖόν ἐστι, παρὰ τὴν ὁδὸν εἰς Χαιρώνειαν ἐκ Δελφῶν πορευομένοις. ἐνταῦθα δὴ τῆς στρατιᾶς καταυλισαμένης, λέγεταί τινα τῶν Φωκέων ἑτέρῳ μὴ παρατυχόντι τὸν ἀγῶνα διηγούμενον εἰπεῖν, ὡς οἱ πολέμιοι προσπέσοιεν αὐτοῖς, τοῦ Λυσάνδρου τὸν Ὁπλίτην ἤδη διαβεβηκότος. θαυμάσαντος δὲ, Σπαρτιάτην ἄνδρα τοῦ Λυσάνδρου φίλον ἐρέσθαι τίνα λέγει τὸν Ὁπλίτην· οὐ γὰρ εἰδέναι τοὔνομα. καὶ μὴν ἐκεῖ γε, φάναι, τοὺς πρώτους ἡμῶν οἱ πολέμιοι κατέβαλον. τὸ γὰρ παρὰ τὴν πόλιν ῥεῖθρον Ὁπλίτην καλοῦσιν. ἀκούσαντα δὲ τὸν Σπαρτιάτην, ἐκδακρῦσαι, καὶ εἰπεῖν ὡς ἄφυκτόν ἐστιν ἀνθρώπῳ τὸ πεπρωμένον. ἦν γὰρ, ὡς ἔοικε, τῷ Λυσάνδρῳ δεδομένος χρησμὸς οὕτως ἔχων,

Ὁπλίτην κελάδοντα φυλάξασθαί σε κελεύω,
Γῆς τε δράκονθ' υἱὸν δόλιον κατόπισθεν ἰόντα.

τινὲς δὲ τὸν Ὁπλίτην οὐ πρὸς Ἁλιάρτῳ ῥεῖν λέγουσιν, ἀλλὰ πρὸς Κορώνειαν χειμάῤῥουν εἶναι, τῷ Φλιάρῳ ποταμῷ συμφερόμενον παρὰ τὴν πό-

λιν·

certaturos, victoresque tum eum humaturos, victis vero honestum fore ibidem occumbere cum duce. Jactantibus ea senioribus, Pausanias prœlio superare victores modo Thebanos arduum cernens esse, & corpus Lysandri prope murum concidisse, adeo ut laboriose ablaturi illud sine induciis vel victores essent, petitis per præconem induciis, retro exercitum reduxit. Lysandrum abstulerunt, quem, ut primum finem superaverunt Bœotiæ, in pacato & socio agro Panopæorum sepultura affecere: ubi nunc quoque monumentum ejus extat secus viam quæ Delphis Chæroneam fert. Ibi quum haberent Lacedæmonii stativa, fama tenet Phocensem quendam alteri, qui non interfuerat, recensentem certamen, hostes dixisse in ipsos incurrisse quum Lysander jam Hopliten transcendisset. Quo stupente, Spartiatem quendam Lysandri amicum, quemnam Hopliten diceret, rogasse: neque enim nosse se nomen. Atqui illic, inquit, primos ordines nostros conciderunt hostes. Quippe rivum oppido propinquum vocant Hopliten. Spartiatem eo audito ad lacrymas effusum dixisse, Ut est homini fatum inevitabile! Nempe sortes datæ Lysandro hujuscemodi fuere,

Hopliten jubeo cautum vitare sonantem,
Terrigenumque, dolo sequitur qui terga, draconem.

Aliqui non Haliartum præterfluere Hopliten sed prope Coroneam torrentem autumant esse, & cum Phliaro amne secundum oppidum coire,

λιν, ὃν πάλαι μὲν Ὁπλίαν, νῦν δὲ Ἰσόμαντον προσαγορεύουσιν. ὁ δὲ ἀποκτείνας τὸν Λύσανδρον Ἁλιάρτιος ἀνήρ, ὄνομα Νεόχωρος, ἐπίσημον εἶχε τῆς ἀσπίδος δράκοντα· καὶ τοῦτο σημαίνειν ὁ χρησμὸς εἰκάζετο. λέγεται δὲ καὶ Θηβαίοις ὑπὸ τὸν Πελοποννησιακὸν πόλεμον ἐν Ἰσμηνίου γενέσθαι χρησμόν, ἅμα τήν τε πρὸς Δηλίῳ μάχην, καὶ τὴν πρὸς Ἁλιάρτῳ ταύτην ἐκείνης ὕστερον ἔτει τριακοστῷ γενομένην προμηνύοντα. ἦν δὲ τοιοῦτος·

Ἐσχατιὰν πεφύλαξο λύκου, καμάκεσσι δολίων·
Καὶ λόφον Ὀρχαλίδην, ὃν ἀλώπηξ οὔποτε λείπει.

τὸν μὲν οὖν περὶ Δήλιον τόπον, ἐσχατιὰν προσεῖπε, καθ' ἣν ἡ Βοιωτία τῇ Ἀττικῇ σύνορός ἐστιν· Ὀρχαλίδην δὲ λόφον, ὃν νῦν Ἀλώπεκον καλοῦσιν, ἐν τοῖς πρὸς τὸν Ἑλικῶνα μέρεσι τοῦ Ἁλιάρτου κείμενον.

Τοιαύτης δὲ τῷ Λυσάνδρῳ τῆς τελευτῆς γενομένης, παραχρῆμα μὲν οὕτως ἤνεγκαν βαρέως οἱ Σπαρτιᾶται, ὥστε τῷ βασιλεῖ κρίσιν προσγράψαι θανατικήν. ἣν οὐχ ὑποστὰς ἐκεῖνος, εἰς Τεγέαν ἔφυγε, κἀκεῖ κατεβίωσεν ἱκέτης ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. καὶ γὰρ ἡ πενία τοῦ Λυσάνδρου τελευτήσαντος ἐκκαλυφθεῖσα, φανερωτέραν ἐποίησε τὴν ἀρετήν, ἀπὸ χρημάτων πολλῶν καὶ δυνάμεως, θεραπείας τε πόλεων καὶ βασιλείας τοιαύτης, μηδὲ μικρὸν ἐπιλαμπρύναντος τὸν οἶκον εἰς χρημάτων λόγον, ὡς ἱστορεῖ Θεόπομπος, ᾧ μᾶλλον ἐπαινοῦντι πιστεύσειεν ἄν τις, ἢ ψέγοντι· ψέγει γὰρ ἥδιον ἢ ἐπαινεῖ. χρόνῳ δὲ ὕστερον, Ἔφορός φησιν ἀντιλογίας τινὸς συμμαχικῆς ἐν Σπάρτῃ γενομένης, καὶ τὰ γράμματα διασκέψασθαι δεῆσαν, ἃ παρ' ἑαυτῷ κατεῖχεν ὁ Λύσανδρος, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὸν Ἀγη-

coire, quem Hopliam olim, nunc appellant Isomantum. Qui autem Lysandrum interfecit civis Haliartius, Neochorus nomine, insigne clypei draconem habuit, quod conjectura erat nuntiari oraculo. Ferunt Thebanis quoque sub bellum Peloponnesiacum oraculum Apollinis Ismenii editum, quod simul prœlium ad Delium atque hoc ad Haliartum commissum, quod illi successit anno trigesimo, prædixit. Id fuit hujuscemodi.

Venando cautus vita confine luporum,
Et tumulum Orchaliden, ubi vulpes semper inerrat.

Locum juxta Delium oram confinem vocavit, ubi Bœotiæ & Atticæ est confinium: Orchalidem tumulum, quem hodie nominant Alopecon, qui positus est in finibus Haliarti ad Helicona vergentibus.

Hunc Lysandri exitum Spartiatæ recenti re tulerunt ita graviter, ut regem in capitis judicium vocaverint: quod ille declinans, Tegeam ivit exulatum, atque illic in delubro Minervæ supplex vitam transegit. Etenim detecta defuncti paupertas Lysandri, laudem reddidit ejus illustriorem, qui ex ingenti pecunia, potentia, urbium clientela, & regno tali rem familiarem (quod ad argentum attinet) ne obolo quidem reddidit lautiorem, ut tradit Theopompus: cui celebranti eum credas magis quam obterenti. Vituperant enim homines quam commendant promptius. Postea loci, ait Ephorus, quum disceptatio quædam sociorum Spartæ esset, & scripta, quæ apud se asservaverat Lysander, essent inspicienda, domum ejus Agesilaum

Ἀγησίλαον· εὑρόντα δὲ τὸ βιβλίον ἐν ᾧ γεγραμμένος ἦν ὁ περὶ τῆς πολιτείας λόγος, ὡς χρὴ τῶν Εὐρυτιωντιδῶν καὶ Ἀγιαδῶν τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι, καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίστων, ὁρμῆσαι μὲν εἰς τοὺς πολίτας τὸν λόγον διεξενεγκεῖν, καὶ παραδεικνύναι τὸν Λύσανδρον, οἷος ὢν πολίτης διαλάθοι· Λακρατίδαν δὲ, ἄνδρα φρόνιμον, καὶ τότε προεστῶτα τῶν ἐφόρων, ἐπιλαβέσθαι τοῦ Ἀγησιλάου, καὶ εἰπεῖν ὡς δεῖ μὴ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν, οὕτω συντεταγμένον πιθανῶς καὶ πανούργως. οὐ μὴν ἀλλὰ τάς γε ἄλλας τιμὰς ἀπέδοσαν αὐτῷ τελευτήσαντι, καὶ τοὺς μνηστευσαμένους τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν τοῦ Λυσάνδρου πένητος εὑρεθέντος, ἀπειπαμένους, ἐζημίωσαν, ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες, ἐγκατέλιπον. ἦν γάρ, ὡς ἔοικεν, ἐν Σπάρτῃ, καὶ ἀγαμίου δίκη, καὶ ὀψιγαμίου, καὶ κακογαμίου. ταύτῃ δὲ ὑπῆγον μάλιστα τοὺς ἀντὶ τῶν ἀγαθῶν καὶ οἰκείων τοῖς πλουσίοις κηδεύοντας. τὰ μὲν οὖν περὶ Λυσάνδρου οὕτως ἱστορήσαμεν ἔχοντα.

ſilaum profectum: quem, ut codicem reperit, in quo deſcripta illa de repub. oratio erat, regnum Eurytiontidis & Agiadis eripiendum atque in medio eſſe ponendum, legendoſque reges ex optimis, inſtituiſſe orationem in lucem pro concione proferre, & Lyſandrum aperire qui civis in operto fuiſſet. Verum Lacratidam prudentem virum & principem Ephororum retinuiſſe Ageſilaum, monuiſſeque ne refoderet Lyſandrum, ſed orationem cum eo defoderet, ita artificioſe & aſtute concinnatam. At Lyſandro tamen cum alios honores mortuo habuerunt, tum procis qui nuptias ambierant filiarum ejus, mox inopia ejus poſt vitæ exitum erumpente renuntiaverunt illis, mulctam dixerunt, quod eum quum arbitrarentur pecunioſum, coluiſſent, juſtum & probum ex tenuitate compertum repudiaviſſent. Hinc fuiſſe Lacedæmone liquet cælibatus ſerotinarumque & malarum nuptiarum actiones. Ea perſequebantur potiſſimum illos qui pro bonis & neceſſariis affinitatem cum opulentis jungebant. Habes itaque quæ de Lyſandro comperimus literis mandata.

Σ Υ Λ Λ Α Σ.

Λεύκιος δὲ Κορνήλιος Σύλλας, γένει μὲν ἦν ἐκ πατρικίων, οὓς εὐπατρίδας ἄν τις εἴποι. τῶν δὲ προγόνων αὐτοῦ λέγουσι Ῥουφῖνον ὑπατεῦσαι, καὶ τούτῳ δὲ τῆς τιμῆς ἐπιφανεστέραν γενέσθαι τὴν ἀτιμίαν. εὑρέθη γὰρ ἀργυρίου κοίλου κεκτημένος ὑπὲρ δέκα λίτρας, τοῦ νόμου μὴ διδόντος· ἐπὶ τούτῳ δὲ τῆς βουλῆς ἐξέπεσεν. οἱ δὲ μετ' ἐκεῖνον ἤδη ταπεινὰ πράττοντες διετέλεσαν· αὐτός τε Σύλλας ἐν οὐκ ἀφθόνοις ἐτράφη τοῖς πατρῴοις. γενόμενος δὲ μειράκιον, ᾤκει παρ' ἑτέροις, ἐνοίκιον οὐ πολὺ τελῶν, ὡς ὕστερον ὠνειδίζετο, παρ' ἀξίαν εὐτυχεῖν δοκῶν. σεμνυνομένῳ μὲν γὰρ αὐτῷ, καὶ μεγαληγοροῦντι μετὰ τὴν ἐν Λιβύῃ στρατείαν, λέγεταί τις εἰπεῖν τῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν, καὶ πῶς ἂν εἴης σὺ χρηστός, ὅς, τοῦ πατρός σοι μηδὲν ἐγκαταλιπόντος, τοσαῦτα κέκτησαι; καὶ γὰρ οὐκ ἔτι τῶν βίον ἐν ἤθεσιν ὀρθίοις καὶ καθαροῖς μενόντων, ἀλλ' ἐγκεκλικότων καὶ παραδεδεγμένων τρυφῆς

καὶ

L. Cornelius Sylla, gentis patritiæ fuit. Ex majoribus ejus Rufinum ad conſulatum aiunt aſpiraſſe, nobilioremque hoc honore fuiſſe inflictam infamiam. Nam convictus eſt ſupra decem argenti cælati libras contra legem poſſidere: qua de cauſa eſt ſenatu motus. Hujus deinceps poſteri omnes humiliore vita uſi ſunt. Atque ipſe Sylla, non amplo innutritus patrimonio, ubi adolevit, in conducto habitavit haud magna penſione, ut poſt, quod indignus tanta fortuna videretur, fuit ei exprobratum. Siquidem ad jactantem ſe & gloriantem ab expeditione Africana, fama tenet bonum & probum virum dixiſſe, qui poſſis tu probus eſſe, qui quum nihil a patre acceperis, nunc poſſideas adeo multa? Quanquam enim homines jam morum integritatem & innocentiam non retinerent, ſed deflexiſſent, deliciarumque & luxus caperentur admiratione;

καὶ πολυτελείας ζῆλον. εἰς ἴσον ὅμως ὄνειδος ἐτίθετο τοὺς ὑπάρχουσαν εὐπορίαν ἀπολέσαντας, καὶ τοὺς πενίαν πατρῴαν μὴ διαφυλάξαντας. ὕστερον δὲ ἤδη κρατοῦντος αὐτοῦ, καὶ πολλοὺς ἀποκτιννύντος, ἀπελευθερικὸς ἄνθρωπος, δοκῶν κρύπτειν ἕνα τῶν προγεγραμμένων, καὶ κατακρημνίζεσθαι διὰ τοῦτο μέλλων, ὠνείδιζε τὸν Σύλλαν, ὅτι πολὺν χρόνον ἐν μιᾷ συνοικίᾳ συνδιητῶντο, φέροντες ἐνοίκιον, αὐτὸς μὲν τῶν ἄνω, δισχιλίους νούμμους, ἐκεῖνος δὲ τῶν ὑποκάτω, τρισχιλίους· ὥστε τῆς τύχης αὐτῶν τὸ μεταξὺ, χιλίους νούμμους εἶναι, οἳ πεντήκοντα καὶ διακοσίας δραχμὰς Ἀττικὰς δύνανται. ταῦτα μὲν οὖν ἱστοροῦσι περὶ τῆς παλαιᾶς τοῦ Σύλλα τύχης.

Τοῦ δὲ σώματος αὐτοῦ τὸ μὲν ἄλλο εἶδος ἐπὶ τῶν ἀνδριάντων φαίνεται, τὴν δὲ τῶν ὀμμάτων γλαυκότητα δεινῶς καὶ πικρὰν καὶ ἄκρατον οὖσαν, ἡ χρόα τοῦ προσώπου φοβερωτέραν ἐποίει προσιδεῖν. ἐξήνθει γὰρ τὸ ἐρύθημα τραχὺ, καὶ σποράδην καταμεμιγμένον τῇ λευκότητι. πρὸς ὃ καὶ τοὔνομα λέγουσι γενέσθαι, τῆς χρόας ἐπίθετον· καὶ τῶν Ἀθήνησι γεφυριστῶν ἐπέσκωψέ τις, εἰς τοῦτο ποιήσας,

Συκάμινον ἔσθ' ὁ Σύλλας ἀλφίτῳ πεπασμένον.

τοῖς δὲ τοιούτοις τῶν τεκμηρίων οὐκ ἄτοπόν ἐστι χρῆσθαι περὶ ἀνδρὸς, ὃν οὕτω φιλοσκώμμονα φύσει γεγονέναι λέγουσιν, ὥστε νέον μὲν ἔτι καὶ ἄδοξον ὄντα, μετὰ μίμων καὶ γελωτοποιῶν διαιτᾶσθαι καὶ συνακολασταίνειν· ἐπεὶ δὲ κύριος ἁπάντων κατέστη, συναγαγόντα τῶν ἀπὸ σκηνῆς καὶ θεάτρου τοὺς ἰταμωτάτους ὁσημέραι, πίνειν καὶ διαπληκτίζεσθαι τοῖς σκώμμασι, τοῦ τε γήρως ἀωρότερα

tione; numeravit tamen hic juxta infames eos, qui facultates suas absumpsissent, & qui paternam non retinuissent paupertatem. Inde quum esset rerum potitus, & multos interimeret, quidam libertinus, qui dicebatur unum proscriptorum occultare, atque ideo erat de saxo præcipitandus, convitiatus est Syllam, quod diu una in domo cœnacularia habitassent, ac pependisset ipse mercedem superioris ædificii duo millia nummum sestertiorum, inferioris ille tria millia, ut interesset inter utriusque fortunam mille nummum, qui drachmis Atticis valent ducentis quinquaginta. Hæc de fortunis Syllæ prioribus tradunt.

Corporis ejus reliqua in statuis visitur effigies. Oculos glaucos, qui perquam erant amari & truces, color faciei magis efferabat aspectu. Efflorescebat enim aspera rubedo albedine sparsim intersusa: unde fertur nomen traxisse ex colore appositum. Et sannio quidam Athenis oblique hunc versum in eum jaculatus est,

Mora si spargas farina, tum figura Syllæ erit.

His notis non alienum sit uti in illo, quem ita perhibent dicacem natura fuisse, ut juvenis etiamnum & nondum celebris, cum mimis viveret & scurris, sociumque se iis in omni protervia præberet: atque quum esset rerum potitus, scenicorum & histrionum impudentissimis quibusque coactis, præter ætatem im-

ρότερα πράττειν δοκοῦντα καὶ πρὸς τὸ ἀξίωμα τῆς ἀρχῆς, πολλὰ τῶν δεομένων ἐπιμελείας προϊέμενον. οὐ γὰρ ἦν τῷ Σύλλᾳ περὶ δεῖπνον ὄντι χρήσασθαι σπουδαῖον οὐδέν, ἀλλ' ἐνεργὸς ὢν καὶ σκυθρωπότερος παρὰ τὸν ἄλλον χρόνον, ἀθρόαν ἐλάμβανε μεταβολήν, ὁπότε πρῶτον ἑαυτὸν εἰς συνουσίαν καταβάλοι καὶ πότον· ὥστε μιμῳδοῖς καὶ ὀρχησταῖς τιθασὸς εἶναι, καὶ πρὸς πᾶσαν ἔντευξιν ὑποχείριος καὶ κατάντης. ταύτης δὲ τῆς ἀνέσεως ἔοικε γεγονέναι νόσημα καὶ ἡ πρὸς τοὺς ἔρωτας εὐχέρεια, καὶ ῥύσις αὐτοῦ τῆς φιληδονίας, ἧς οὐδὲ γηράσας ἐπαύσατο. Μητροβίου δὲ τῶν ἀπὸ σκηνῆς τινος ἐρῶν διετέλεσεν ἔτι νέος ὤν· καὶ συνήντησεν αὐτῷ τὸ τοιοῦτον. ἀρξάμενος γὰρ ἐρᾶν κοινῆς μὲν, εὐπόρου δὲ γυναικός, ὄνομα Νικοπόλεως, καὶ διὰ συνήθειαν καὶ χάριν ἣν ἀφ' ὥρας εἶχεν, εἰς ἐρωμένου σχῆμα περιελθὼν, ἀπελείφθη κληρονόμος ὑπὸ τῆς ἀνθρώπου τελευτώσης. ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιὰν, ἀγαπηθεὶς ὥσπερ υἱὸς ὑπ' αὐτῆς· καὶ μετρίως μὲν ἀπὸ τούτων εὐπόρησεν.

Ἀποδειχθεὶς δὲ ταμίας, ὑπατεύοντι Μαρίῳ τὴν πρώτην ὑπατείαν συνεξέπλευσεν εἰς Λιβύην πολεμήσων Ἰουγούρθαν. γενόμενος δὲ ἐπὶ στρατοπέδου, τά τε ἄλλα παρεῖχεν ἑαυτὸν εὐδόκιμον, καὶ καιρῷ παραπεσόντι χρησάμενος εὖ, φίλον ἐποιήσατο τὸν Νομάδων βασιλέα Βόκχον. πρεσβευτὰς γὰρ αὐτοῦ λῃστήριον Νομαδικὸν ἐκφυγόντας ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς, δῶρα καὶ πομπὴν ἀσφαλῆ παρασχὼν, ἀπέστειλεν. ὁ δὲ Βόκχος ἐτύγχανε μὲν ἔτι γε πάλαι γαμβρὸν ὄντα μισῶν καὶ φοβούμενος τὸν Ἰουγούρθαν· τότε

imperiique majestatem potaret quotidie cum eis, dicteriisque digladiaretur, quum multa interim posthaberet gravia negotia. Neque enim inter cœnandum Sylla rei ulli vacabat seriæ, sed qui alias negotiosus esset & tristior, ut primum contulit ad convivium se vel ad compotationem, repente invertebat se, mimisque & saltatoribus tractabilis erat, & omnibus aditu promptus atque deditus. Videtur autem hujus dissolutionis morbus etiam effusio in amores fuisse, in voluptatesque propensio, qua ne in senectute quidem fuit liber. Metrobium scenicum constanti amore est juvenis prosequutus. Contigit autem ei res hujuscemodi. Quum mulierem Nicopolim nomine, meretricem quidem vulgarem, sed opulentam cœpisset amare, fuit ex consuetudine Syllæ & formæ venustate illa in amorem ejus ita effusa, ut hæredem moriens cum reliquerit. Fuit item novercæ hæres, quæ loco filii dilexit eum: ex quibus hæreditatibus satis lautus fuit.

Quæstor creatus, Marium primo consulatu est in Africam comitatus ad bellum Jugurthinum. Postquam in castra venit, probavit cum aliis rebus industriam suam, tum oblata occasione recte usus, amicitiam sibi regis Numidarum conciliavit Bocchi. Nam legatos ejus, e manibus latronum Numidarum elapsos, excepit & liberaliter habuit, dona insuper dedit eis, atque cum præsidio, quod eos in tutum deduceret, dimisit. Bocchus autem jampridem socerum perosus erat & timebat Jugurtham. Tunc fracto,

τότε δὲ ἡττημένῳ καὶ πεφευγότι πρὸς αὐτὸν ἐπιβουλεύων, ἐκάλει τὸν Σύλλαν, δι' ἐκείνου μάλιστα βουλόμενος τὴν σύλληψιν καὶ παράδοσιν τοῦ Ἰουγούρθα γενέσθαι, ἢ δι' αὐτοῦ. κοινωσάμενος δὲ τῷ Μαρίῳ, καὶ λαβὼν στρατιώτας ὀλίγους ὁ Σύλλας, τὸν μέγιστον ὑπέδυ κίνδυνον, ὅτι βαρβάρῳ καὶ πρὸς τοὺς οἰκειοτάτους ἀπίστῳ πιστεύσας, ὑπὲρ τοῦ παραλαβεῖν ἕτερον, ἑαυτὸν ἐνεχείρισεν. οὐ μὴν ἀλλὰ ὁ Βόκχος ὑπ' ἀμφοτέρων κύριος γενόμενος, καὶ καταστήσας ἑαυτὸν εἰς ἀνάγκην τοῦ παρασπονδῆσαι τὸν ἕτερον, καὶ πολλὰ διενεχθεὶς τῇ γνώμῃ, τέλος ἐκύρωσε τὴν πρώτην προδοσίαν, καὶ παρέδωκε τῷ Σύλλᾳ τὸν Ἰουγούρθαν. ὁ μὲν οὖν θριαμβεύων ἐπὶ τούτῳ, Μάριος ἦν· ἡ δὲ δόξα τοῦ κατορθώματος, ἣν ὁ Μαρίου φθόνος Σύλλᾳ προσετίθει, παρελύπει τὸν Μάριον ἡσυχῆ. καὶ γὰρ αὐτὸς ὁ Σύλλας φύσει τε μεγάλαυχος ὤν, καὶ τότε πρῶτον ἐκ βίου ταπεινοῦ καὶ ἀγνῶτος ἔν τινι λόγῳ γεγονὼς παρὰ τοῖς πολίταις, καὶ τοῦ τιμᾶσθαι γευόμενος, εἰς τοῦτο φιλοτιμίας προῆλθεν, ὥστε γλυψάμενος ἐν δακτυλίῳ φορεῖν εἰκόνα τῆς πράξεως· καὶ ταύτῃ γε χρώμενος ἀεὶ διετέλεσεν. ἦν δὲ ἡ γραφὴ, Βόκχος μὲν παραδιδοὺς, Σύλλας δὲ παραλαμβάνων τὸν Ἰουγούρθαν.

Ἠνία μὲν οὖν ταῦτα τὸν Μάριον· ἔτι δὲ ἡγούμενος ἔλαττον αὐτοῦ φθονεῖσθαι τὸν Σύλλαν, ἐχρῆτο πρὸς τὰς στρατείας· τὸ μὲν δεύτερον ὑπατεύων, πρεσβευτῇ· τὸ δὲ τρίτον, χιλιάρχῳ. καὶ πολλὰ δι' ἐκείνου τῶν χρησίμων κατωρθοῦτο. πρεσβεύων τε γὰρ, ἡγεμόνα Τεκτοσάγων Κόπιλλον εἷλε, καὶ χιλιαρχῶν, μέγα καὶ πολυάνθρωπον ἔθνος Μαρσοὺς ἔπεισε φίλους γενέσθαι

καὶ

fracto, & ad ipsum confugienti insidias struens, accivit Syllam, quo per illum potius quam per se corriperetur traderetur que Jugurtha. Re cum Mario communicata, præsidium habens paucorum militum Sylla maximum subiit periculum, quod dum barbaro necessariis suis conjunctissimis infido confidit, ut alium acciperet, in manus ejus commisisset se. Verum habens Bocchus utrumque in arbitrio suo, quum se in eam necessitudinem demisisset, fidem ut violaret in altero, post multos animi æstus, tandem primam proditionem comprobavit, tradiditque Syllæ Jugurtham. Adeoque duxit quidem hac de re triumphum Marius, sed facti gloria, quam Marii invidia Syllæ attribuit, momordit in occulto Marium nonnihil: siquidem quum esset sua sponte Sylla jactabundus, & tunc primum ex vita abjecta & tenebris in lucem civium emersisset, gustumque cepisset honorum, eo erupit ambitionis, ut facti hujus sculptam in annulo imaginem gestaret, qua etiam perpetuo deinceps signavit. Exprimebatur sculptura Bocchus tradens & Sylla accipiens Jugurtham.

Quanquam autem stimularunt ea Marium, minus tamen adhuc quam se ratus invidiosum Syllam, legatum cum ad exercitum in secundo consulatu habuit, & in tertio tribunum militum, ejusque opera multa præclare confecit: siquidem legatus ducem Tectosagarum Copillum cepit, in tribunatu magnam gentem & populosam ad amicitiam & societatem a populo Romano petendam

Mar-

καὶ συμμάχους Ῥωμαίων. ἐκ δὲ τούτων, τὸν Μάριον αἰσθόμενος ἀχθόμενον αὐτῷ, καὶ μηκέτι περιϊέμενον ἡδέως πράξεων ἀφορμὰς, ἀλλὰ ἐνιστάμενον τῇ αὐξήσει, Κάτλῳ τῷ συνάρχοντι τοῦ Μαρίου προσένειμεν ἑαυτὸν, ἀνδρὶ χρηστῷ μὲν, ἀμβλυτέρῳ δὲ πρὸς ἀγῶνας. ὑφ' οὗ τὰ πρῶτα καὶ μέγιστα πιστευόμενος, εἰς δύναμιν ἅμα δόξῃ προῄει. καὶ πολέμῳ μὲν αἱρεῖ πολὺ μέρος τῶν ἐν ταῖς Ἄλπεσι βαρβάρων· ἐπιλιπούσης δὲ τῆς ἀγορᾶς, ἀναδεξάμενος τὴν ἐπιμέλειαν, τοσαύτην ἐποίησε περιουσίαν, ὥστε τῶν Κάτλου στρατιωτῶν ἐν ἀφθόνοις διαγόντων, καὶ τοῖς Μαρίου προσπαρασχεῖν. ἐφ' ᾧ φησὶν αὐτὸν ἰσχυρῶς ἀνιᾶσαι τὸν Μάριον. ἡ μὲν οὖν ἔχθρα βραχεῖαν οὕτω καὶ μειρακιώδη λαβοῦσα τὴν πρώτην ὑπόθεσιν καὶ ἀρχὴν, εἶτα χωροῦσα δι' αἵματος ἐμφυλίου, καὶ στάσεων ἀνηκέστων ἐπὶ τυραννίδα καὶ σύγχυσιν ἁπάντων πραγμάτων, ἀπέδειξε τὸν Εὐριπίδην σοφὸν ἄνδρα καὶ πολιτικῶν ἐπιστήμονα νοσημάτων, διακελευσάμενον φυλάττεσθαι τὴν φιλοτιμίαν, ὡς ὀλεθριωτάτην καὶ κακίστην δαίμονα τοῖς χρωμένοις.

Ὁ δὲ Σύλλας, οἰόμενος αὐτῷ τὴν ἀπὸ τῶν πολεμικῶν δόξαν ἐπὶ τὰς πολιτικὰς πράξεις διαρκεῖν, καὶ δοὺς ἑαυτὸν ἀπὸ τῆς στρατείας εὐθὺς ἐπὶ τὴν τοῦ δήμου πρᾶξιν, ἐπὶ στρατηγίαν πολιτικὴν ἀπεγράψατο, καὶ διεψεύσθη· τὴν δ' αἰτίαν τοῖς ὄχλοις ἀνατίθησι. φησὶ γὰρ αὐτοὺς εἰδότας τὴν πρὸς Βόκχον φιλίαν, καὶ προσδεχομένους, εἰ πρὸ τῆς στρατηγίας ἀγορανομήσει, κυνηγέσια λαμπρὰ, καὶ Λιβυκῶν ἀγῶνας θηρίων, ἑτέρους ἀποδεῖξαι στρατηγοὺς, ὡς αὐτὸν ἀγορανομεῖν ἀναγκάσοντας. ἔοικε δὲ τὴν ἀληθῆ τῆς ἀποτεύξεως

τεύξεως

Marsos impulit. Inde autem infestum sibi Marium animadvertens, atque invitum sibi aliquam occasionem deferre rei gerendæ, sed obsistere incremento suo; ad collegam se Marii contulit Catulum, bonum illum quidem virum, sed ad prœlia segniorem. Hic delegavit ei præcipuas quasque & maximas res. Ita pariter opes & gloriam suam amplificavit. Ac bello complures barbarorum Alpinorum nationes subegit. Quum etiam inopia commeatus laboraretur, ea suscepta procuratione tantam præstitit affluentiam, ut Catuli militibus abundantibus, etiam præberet Marii copiis: qua re dicitur admodum agitasse Marium. Hæc igitur simultas ex tam levi scaturiens & frivola occasione atque fonte, inde per sanguinem civilem & seditiones atrocissimas in tyrannidem erumpens & totius confusionem imperii, sapientem virum Euripidem fuisse, & morborum civilium probavit gnarum, qui ambitionem jubet, ut funestissimum & infestissimum utentibus ea dæmonium devitare.

At Sylla, gloriam quam bello quæsiverat, ratus ad negotia urbana abunde esse, confestim a militia traduxit se ad populum ambiendum, ac præturam petivit: ubi repulsam est passus, cujus causam adscribit multitudini. Ait enim illam, quod suam sciret cum Boccho amicitiam, & si ante præturam ædilis curulis factus esset, magnificas venationes & Africanarum belluarum exspectaret spectacula, alios designasse prætores, quo compelleret ipsum ad ædilitatis petitionem. Cæterum haud veram repulsæ ab

τεύξεως αἰτίαν οὐχ ὁμολογῶν ὁ Σύλλας ἐλέγχεται τοῖς πράγμασι. ἐνιαυτῷ γὰρ κατόπιν ἔτυχε τῆς στρατηγίας, τοῦ δήμου τὸ μέν τι θεραπείᾳ, τὸ δὲ καὶ χρήμασι προσαγαγόμενος. διὸ δὴ καὶ στρατηγοῦντος αὐτοῦ, καὶ πρὸς Καίσαρα μετ' ὀργῆς εἰπόντος ὡς χρήσεται τῇ ἰδίᾳ πρὸς αὐτὸν ἐξουσίᾳ, γελάσας ὁ Καῖσαρ, Ὀρθῶς, ἔφη, τὴν ἀρχὴν ἰδίαν νομίζεις· ἔχεις γὰρ αὐτὴν πριάμενος. μετὰ δὲ τὴν στρατηγίαν, εἰς τὴν Καππαδοκίαν ἀποστέλλεται, τὸν μὲν ἐμφανῆ λόγον ἔχων πρὸς τὴν στρατείαν, Ἀριοβαρζάνην καταγαγεῖν· αἰτίαν δὲ ἀληθῆ, Μιθριδάτην ἐπισχεῖν πολυπραγμονοῦντα, καὶ περιβαλλόμενον ἀρχὴν καὶ δύναμιν οὐκ ἐλάττονα τῆς ὑπαρχούσης. ἰδίαν μὲν οὖν δύναμιν οὐ πολλὴν ἐπήγετο, χρησάμενος δὲ τοῖς συμμάχοις, προθύμοις, καὶ πολλοὺς μὲν αὐτῶν Καππαδοκῶν, πλείονας δ' αὖθις Ἀρμενίων προσβοηθοῦντας ἀποκτείνας, Γόρδιον μὲν ἐξήλασεν, Ἀριοβαρζάνην δὲ ἀπέδειξε βασιλέα. διατρίβοντι δὲ αὐτῷ παρὰ τὸν Εὐφράτην, ἐντυγχάνει Πάρθος Ὀρόβαζος, Ἀρσάκου βασιλέως πρεσβευτής, οὔπω πρότερον ἀλλήλοις ἐπιμεμιγμένων τῶν γενῶν. ἀλλὰ καὶ τοῦτο τῆς μεγάλης δοκεῖ Σύλλα τύχης γενέσθαι, τῷ πρώτῳ Ῥωμαίων ἐκείνῳ Πάρθους συμμαχίας καὶ φιλίας δεομένους διὰ λόγων ἐλθεῖν. ὅτε καὶ λέγεται τρεῖς δίφρους προθέμενος, τὸν μὲν Ἀριοβαρζάνῃ, τὸν δὲ Ὀροβάζῳ, τὸν δὲ αὑτῷ, μέσος ἀμφοῖν καθεζόμενος χρηματίζειν. ἐφ' ᾧ τὸν μὲν Ὀρόβαζον ὕστερον ὁ τῶν Πάρθων βασιλεὺς ἀπέκτεινε· τὸν δὲ Σύλλαν οἱ μὲν ἐπῄνεσαν, ἐντρυφήσαντα τοῖς βαρβάροις, οἱ δὲ, ὡς φορτικὸν ᾐτιάσαντο, καὶ ἀκαίρως φιλότιμον. ἱστορεῖται δέ τις ἀνὴρ τῶν μετ' Ὀροβάζου καταβεβηκότων, Χαλκιδεὺς, εἰς τὸ τοῦ

Σύλ-

ab ipso proditam causam apparet rebus ipsis convinci Syllam. Anno enim post, populi favorem partim blandimentis, partim largitionibus emeritus, prætor factus est. Quare, quum in prætura ad Cæsarem diceret ira incensus, sua se potestate in illum usurum, arridens Cæsar, Recte (inquit) præturam existimas tuam: nempe eam emisti. Peracta prætura, legatus in Cappadociam mittitur specioso expeditionis titulo ad Ariobarzanem in regnum reducendum, revera ut multa molientem Mithridatem, imperiumque & vires adjungentem haud minores quam essent præsentes, reprimeret. Copias haud magnas adduxerat secum, sed prompta usus opera sociorum, magno numero ipsorum Cappadocum, majori Armeniorum, qui Gordio suppetias venerant, interfecto, ejecit eum, & Ariobarzanem constituit regem. Agentem apud Euphratem convenit Parthus Orobazus, regis Arsacis legatus; quum nihil ante eam diem commercii inter utramque gentem intercessisset. Sed & id magnæ fœlicitati Syllæ videtur tribuendum, quod inter Romanos cum illo primo ad societatem & amicitiam petendam congressi Parthi sint. Ibi dicitur tres sedes posuisse, unam Ariobarzani, alteram Orobazo, sibi tertiam, mediusque inter duos sedens audientiam dedisse legato. Quamobrem necavit postmodum rex Parthorum Orobazum. Syllam alii prædicaverunt, quod barbaros fastuose tractaverat, alii ut arrogantem & intempestive ambitiosum culpaverunt. Memoriæ proditum est quendam ex comitatu Orobazi Chalcidensem, inspecto

Syllæ

Σύλλα πρόσωπον ἀπιδὼν, καὶ ταῖς κινήσεσι τῆς τε διανοίας καὶ σώματος οὐ παρέργως ἐπιστήσας, ἀλλὰ πρὸς τὰς τῆς τέχνης ὑποθέσεις τὴν φύσιν ἐπισκεψάμενος, εἰπεῖν ὡς ἀναγκαῖον εἴη τοῦτον τὸν ἄνδρα μέγιστον γενέσθαι, θαυμάζειν δὲ καὶ νῦν πῶς ἀνέχεται μὴ πρῶτος ὢν ἁπάντων. ἀναχωρήσαντι δὲ αὐτῷ δίκην ἔλαχε δώρων Κηνσωρῖνος, ὡς πολλὰ χρήματα συνειληχότι παρὰ τὸν νόμον ἐκ φίλης καὶ συμμάχου βασιλείας. οὐ μὴν ἀπήντησεν ἐπὶ τὴν κρίσιν, ἀλλ' ἀπέστη τῆς κατηγορίας.

Ἡ μέντοι πρὸς Μάριον αὐτῷ στάσις ἀνεῤῥιπίζετο, καινὴν ὑπόθεσιν λαβοῦσα τὴν Βόκχου φιλοτιμίαν, ὃς τὸν δῆμον ἅμα θεραπεύων ἐν Ῥώμῃ, καὶ τῷ Σύλλᾳ χαριζόμενος, ἀνέθηκεν εἰκόνας ἐν Καπιτωλίῳ τροπαιοφόρους, καὶ παρ' αὐτοῖς χρυσοῦν Ἰουγούρθαν ὑφ' ἑαυτοῦ Σύλλᾳ παραδιδόμενον. ἐφ' ᾧ τοῦ Μαρίου βαρυθυμουμένου καὶ καθαιρεῖν ἐπιχειροῦντος, ἑτέρων δὲ ἀμυνόντων τῷ Σύλλᾳ, καὶ τῆς πόλεως ὅσον οὔπω διακεκαυμένης ὑπ' ἀμφοῖν, ὁ συμμαχικὸς πόλεμος, πάλαι τυφόμενος, ἐπὶ τὴν πόλιν ἀναλάμψας, τότε τὴν στάσιν ἐπέσχεν. ἐν τούτῳ μεγίστῳ καὶ ποικιλωτάτῳ γενομένῳ, καὶ πλεῖστα κακὰ καὶ βαρυτάτους παρασχόντι κινδύνους Ῥωμαίοις, Μάριος μὲν οὐδὲν ἀποδεῖξαι μέγα δυνηθεὶς, ἤλεγξε τὴν πολεμικὴν ἀρετὴν ἀκμῆς καὶ ῥώμης δεομένην· Σύλλας δὲ πολλὰ δράσας ἄξια λόγου, δόξαν ἔσχεν ἡγεμόνος μεγάλου μὲν παρὰ τοῖς πολίταις, μεγίστου δὲ παρὰ τοῖς φίλοις, εὐτυχεστάτου δὲ καὶ παρὰ τοῖς ἐχθροῖς. ἀλλ' οὐκ ἔπαθε ταυτὸ Τιμοθέῳ τῷ τοῦ Κόνωνος, ὃς εἰς τὴν τύχην αὐτοῦ τὰ κατορθώματα τῶν ἐχθρῶν τιθεμένων, καὶ γραφόντων ἐν πίναξι κοιμώμενον ἐκεῖ-

Syllæ vultu, animique & corporis haud defunctorie obſervatis motibus, atque ad artis præcepta expenſa ejus natura prædicaſſe, fieri non poſſe quin ſummus hic vir futurus eſſet: mirari etiam ſe, quemadmodum patiatur & nunc non eſſe omnium primus. Regreſſum ad urbem poſtulavit Cenſorinus repetundarum, quod magnam pecuniam contra leges ex amico & ſocio regno cepiſſet: haud occurrit tamen ad judicium, ſed accuſationem reliquit.

At diſſenſio ejus cum Mario ex nova occaſione recruduit, ſcilicet Bocchi dono. Qui ſimul ad demerendum populum, & in gratiam Syllæ ſigna victoriæ in Capitolio dedicavit, juxtaque Jugurtham ex auro factum, ut Syllæ ab ſe fuerat traditum. Qua de re exacerbato Mario, & detrahere ea ſigna parante, aliis vero Syllæ auxilium ferentibus, civitas pene eſt ab utriſque partibus inflammata. Cæterum bellum ſociale jampridem adverſus urbem fumans quum flagraſſet, compreſſit ſeditionem in præſenti. Eo in bello, quod maximum fuit, & maxime variavit, quodque multa vulnera populo Romano, & graviſſima intulit diſcrimina, Marius, qui nihil præclari deſignavit, bellicas artes docuit vigore & robore indigere: Sylla vero factis multis eximiis nomen comparavit ducis apud cives magni, apud ſocios maximi, & fortunatiſſimi vel apud hoſtes. Verum animus ei alius atque Timotheo fuit Cononis filio, qui, quum res ipſius egregie geſtas aſſignarent æmuli fortunæ, atque in tabulis dormientem pingerent, for-

ἐκεῖνον, τὴν δὲ τύχην δικτύῳ τὰς πόλεις περιβάλλουσαν, ἀγροικιζόμενος καὶ χαλεπαίνων πρὸς τοὺς ταῦτα ποιοῦντας, ὡς ἀποστερούμενος ὑπ᾽ αὐτῶν τῆς ἐπὶ ταῖς πράξεσι δόξης, ἔφη ποτὲ πρὸς τὸν δῆμον ἐπανήκων ἐκ στρατείας, οὐδὲν, Ἀθηναῖοι ἄνδρες, τῇ τύχῃ μέτεστι. πρὸς Τιμόθεον μὲν οὖν φασὶν οὕτω φανέντα φιλότιμον, ἀντιμειρακιεύσασθαι τὸ δαιμόνιον, ὥστε μηδὲν ἔτι πρᾶξαι λαμπρὸν, ἀλλ᾽ ὅλως ἀποτυγχάνοντα ταῖς πράξεσι, καὶ προσκρούοντα τῷ δήμῳ, τέλος ἐκπεσεῖν τῆς πόλεως. Σύλλας δὲ οὐ μόνον ἡδέως προσιέμενος τὸν τοιοῦτον εὐδαιμονισμὸν καὶ ζῆλον, ἀλλὰ καὶ συναύξων καὶ συνεπιθειάζων τὰ πραττόμενα τῆς τύχης ἐξῆπτεν, εἴτε κόμπῳ χρώμενος, εἴθ᾽ οὕτως ἔχων τῇ δόξῃ πρὸς τὸ θεῖον. καὶ γὰρ ἐν τοῖς ὑπομνήμασι γέγραφεν, ὅτι τῶν καλῶς αὐτῷ βεβουλεῦσθαι δοκούντων αἱ μὴ κατὰ γνώμην ἀλλὰ πρὸς καιρὸν ἀποτολμώμεναι πράξεις ἔπιπτον εἰς ἄμεινον. ἔτι δὲ καὶ δι᾽ ὧν φησι πρὸς τύχην εὖ πεφυκέναι μᾶλλον ἢ πρὸς πόλεμον, τῇ τύχῃ τῆς ἀρετῆς πλέον ἔοικε νέμειν. καὶ ὅλως ἔοικεν ἑαυτὸν τοῦ δαίμονος ποιεῖν, ὅς γε καὶ τῆς πρὸς Μέτελλον ὁμονοίας, ἰσότιμον ἄνδρα καὶ κηδεστὴν, εὐτυχίαν τινὰ θείαν αἰτιᾶται· πολλὰ γὰρ αὐτῷ πράγματα παρέξειν ἐπίδοξον ὄντα, πρᾳότατον ἐν τῇ κοινωνίᾳ γενέσθαι τῆς ἀρχῆς. ἔτι δὲ Λουκούλλῳ μὲν ἐν τοῖς ὑπομνήμασιν, ὧν ἐκείνῳ τὴν γραφὴν ἀνέθηκε, παραινεῖ μηδὲν οὕτως ἡγεῖσθαι βέβαιον ὡς ὅ,τι ἂν αὐτῷ προστάξῃ νύκτωρ τὸ δαιμόνιον. ἐκπεμπομένου δὲ αὐτοῦ μετὰ δυνάμεως εἰς τὸν συμμαχικὸν πόλεμον, ἱστορεῖ χάσμα τῆς γῆς

μέγα

fortunam autem reti urbes implicantem, tulit inurbane, infestusque ejus rei autoribus, quasi ab eis spoliaretur rerum gestarum laude, dixit quondam pro concione a bello reversus, Nullam partem, cives, vendicare in his fortuna valet. Cæterum cum Timotheo, qui se demonstravit tantopere ambitiosum, pari licentia ferunt fortunam egisse, nihil ut deinceps gesserit insigne, sed adversa ceciderint omnia: itaque tandem ab infesto populo exactus in exilium fuerit. Sylla vero non modo lubens eam fœlicitatis suæ faventisque sibi fortunæ opinionem recipiebat, sed eam etiam in majus tollebat, studensque ut propitii numinis fidem adjungeret, facta sua fortunæ tulit accepta, sive per jactantiam id fecit, sive eam habuit de Diis existimationem. Quando-quidem scripsit in commentariis, quæ non consulte sed ex tempore aggressus temere esset, ea rectius cecidisse quam quæ deliberasse sibi visus fuerat mature. Ad hæc quum melius dicit se ad fortunam comparatum quam ad bellum, plus eum fortunæ tribuere quam virtuti apparet. Brevi in totum videtur se mancipasse fortunæ, qui quidem vel suam cum Metello, paris dignitatis viro & socero, concordiam ad divinam aliquam delegat fœlicitatem. A quo enim magnopere fatigatum iri exspectaverat se, eum collegam lenissimum expertum. Præterea Lucullum in commentariis, quos illi dicavit, admonet, nihil perinde firmum ut ducat ac quod in somnis ei noctu jubeat Deus. Quum autem ad bellum sociale cum exercitu mitteretur,

tradit

μέγα γενέσθαι περὶ Λαβέρνην· ἐκ δὲ τούτου πῦρ ἀναβλύσαι πολὺ, καὶ φλόγα λαμπρὰν στηρίσαι πρὸς τὸν οὐρανόν· εἰπεῖν δὴ καὶ τοὺς μάντεις, ὡς ἀνὴρ ἀγαθὸς, ὄψει διάφορος καὶ περιττὸς, ἄρξας ἀπαλλάξει τῇ πόλει ταραχὰς τὰς παρούσας. τοῦτον δὲ, αὐτὸν εἶναί φησιν ὁ Σύλλας· τῆς μὲν γὰρ ὄψεως ἴδιον εἶναι τὸ περὶ τὴν κόμην χρυσωπὸν, ἀρετὴν δὲ οὐκ αἰσχύνεσθαι μαρτυρῶν ἑαυτῷ, μετὰ πράξεις οὕτω καλὰς καὶ μεγάλας. ταῦτα μὲν οὖν περὶ τῆς θειότητος. τὸν δὲ ἄλλον τρόπον ἀνώμαλός τις ἔοικε γεγονέναι καὶ διάφορος πρὸς ἑαυτὸν, ἀφελέσθαι πολλὰ, χαρίσασθαι πλείονα, τιμῆσαι παραλόγως, ἐφυβρίσαι, θεραπεύειν ὧν δέοιτο, θρύπτεσθαι πρὸς τοὺς δεομένους· ὥστε ἀγνοεῖσθαι πότερον ὑπερόπτης φύσει μᾶλλον ἢ κόλαξ γέγονε. τὴν μὲν γὰρ ἐν ταῖς τιμωρίαις ἀνωμαλίαν, ἐξ ὧν ἔτυχεν αἰτιῶν ἀποτυμπανίζοντος αὐτοῦ, καὶ πάλιν τὰ μέγιστα τῶν ἀδικημάτων πρᾴως φέροντος, καὶ διαλλαττομένου μὲν ἐπὶ τοῖς ἀνηκέστοις μετ' εὐκολίας, τὰ δὲ μικρὰ καὶ φαῦλα προσκρούματα σφαγαῖς καὶ δημεύσεσιν οὐσιῶν μετιόντος, οὕτως ἄν τις διαιτήσειεν, ὡς φύσει μὲν ὀργὴν χαλεπὸν ὄντα καὶ τιμωρητικὸν, ὑφιέμενον δὲ τῆς πικρίας λογισμῷ πρὸς τὸ συμφέρον. ἐν αὐτῷ γε τούτῳ τῷ συμμαχικῷ πολέμῳ, τῶν στρατιωτῶν αὐτοῦ στρατηγικὸν ἄνδρα πρεσβευτὴν, Ἀλβῖνον ὄνομα, ξύλοις καὶ λίθοις διαχρησαμένων, παρῆλθε, καὶ οὐκ ἐπεξῆλθεν ἀδίκημα τοσοῦτον· ἀλλὰ καὶ σεμνυνόμενος διεδίδου λόγον, ὡς προθυμοτέροις διὰ τοῦτο χρήσαιτο πρὸς τὸν πόλεμον αὐτοῖς, ἰώμενος τὸ ἁμάρτημα δι' ἀνδραγαθίας. τῶν δ' ἐγκαλοῦν-

tradit apud Lavernam in ingentem sinum terræ labem desedisse, ex quo grandem ignem erupisse & lucidam flammam ad cœlum extulisse. Nuntiasse vero fatiloquos virum egregium & forma præcellentem atque insignem præsentibus procellis urbem, quum summum imperium cepisset, explicaturum. Hunc se ait esse Sylla. Nam faciei suæ peculiarem esse auri colore rutilantem comam: virtutem vero non erubescere se si sibi sumat, tantis & tam præclaris rebus gestis. Atque hactenus de ejus in Deos fiducia. Cæteris moribus dispar fuit & sibi inconstans. Rapere multa, largiri plura, temere honoribus prosequi, pariterque insultare, colere eos quos utiles sibi ducebat, morosus esse in illos qui quid ab ipso peterent; ut nescias fastidiosior natura an blandior fuerit. Verum de ejus in puniendo varietate, quod quavis de causa obtruncaret homines, e diverso maxima facinora leniter ferret, facile veniam daret atrocissimis, exiguas & leves offensiones cædibus & bonorum publicationibus persequeretur, ita rem possis dijudicare; iracundum nempe eum natura fuisse & ultore animo, sed de acerbitate remisisse, ubi ex usu esset. In ipso hoc bello sociali quum Albinum, virum prætorium, legatum suum, milites ipsius fustibus & lapidibus oppressissent, connivit, neque vindicavit flagitium tantum: immo vero sermonibus glorians distulit, promptiores ideo eos in bello habiturum se virtute peccatum eluentes. Nec eum incusantes move-

λευόντων οὐδὲν ἐφρόντιζεν, ἀλλὰ ἤδη καταλῦσαι Μάριον διανοούμενος, καὶ τοῦ πρὸς τοὺς συμμάχους πολέμου τέλος ἔχειν δοκοῦντος, ἀποδειχθῆναι στρατηγὸς ἐπὶ Μιθριδάτην, ἐθεράπευε τὴν ὑφ' ἑαυτῷ στρατιὰν, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὕπατος μὲν ἀποδείκνυται μετὰ Κοΐντου Πομπηΐου, πεντήκοντα ἔτη γεγονώς. γαμεῖ δὲ γάμον ἐνδοξότατον, Καικιλίαν τὴν Μετέλλου θυγατέρα τοῦ ἀρχιερέως. ἐφ' ᾧ πολλὰ μὲν εἰς αὐτὸν ᾖδον οἱ δημοτικοὶ, πολλοὶ δὲ τῶν πρώτων ἐνεμέσων, οὐκ ἄξιον ἡγούμενοι τῆς γυναικὸς ὃν ἄξιον ὑπατείας ἔκριναν, ὥς φησιν ὁ Τίτος. οὐ μόνην δὲ ταύτην ἔγημεν, ἀλλὰ πρώτην μὲν, ἔτι μειράκιον ὢν, Ἰλίαν ἔσχε, τὴν θυγάτριον αὐτῷ τεκοῦσαν· εἶτα μετ' ἐκείνην, Αἰλίαν· τρίτην δὲ, Κοιλίαν, ἣν ἀπεπέμψατο μὲν ὡς στεῖραν, ἐντίμως καὶ μετ' εὐφημίας, καὶ δῶρα προσθείς· ὀλίγαις δὲ ὕστερον ἡμέραις ἀγαγόμενος τὴν Μετέλλαν, ἔδοξε διὰ τοῦτο τὴν Κοιλίαν οὐ καλῶς αἰτιάσασθαι. τὴν μέντοι Μετέλλαν ἐν πᾶσι θεραπεύων διετέλεσε, ὥστε καὶ τὸν Ῥωμαίων δῆμον, ὅτε τοὺς περὶ Μάριον φυγάδας ἐπεθύμει καταγαγεῖν, ἀρνουμένου τοῦ Σύλλα, δεόμενον ἐπιβοήσασθαι τὴν Μετέλλαν. ἐδόκει δὲ καὶ τοῖς Ἀθηναίοις, ἑλὼν τὸ ἄστυ, προσενεχθῆναι τραχύτερον, ὅτι τὴν Μετέλλαν ἀπὸ τοῦ τείχους γεφυρίζοντες ἐλοιδόρησαν. ἀλλὰ ταῦτα μὲν ὕστερον.

Τότε δὲ τὴν ὑπατείαν πρὸς τὰ μέλλοντα μικρὸν ἡγούμενος, ἐπτόητο τὴν γνώμην πρὸς τὸν Μιθριδατικὸν πόλεμον. ἀντανίστατο δ' αὐτῷ Μάριος, ὑπὸ δοξομανίας καὶ φιλοτιμίας, ἀγηράτων παθῶν, ἀνὴρ τῷ τε σώματι βαρὺς, καὶ ταῖς ἔναγχος ἀπειρηκὼς στρατείαις διὰ γῆρας, ἐκδήμων

καὶ

verunt, sed quum cepisset jam opprimendi Marii consilium, & bello sociali ad exitum perduci jam viso, ut dux contra Mithridatem constitueretur, deliniebat milites suos. Ac reversus ad urbem, consul cum Q. Pompeio declaratur, annos jam quinquaginta natus, & nobilissimum conjugium contrahit, Cæcilia ducta, Metelli pontificis maximi filia. Ob quod cecinit multa in eum probrose vulgus, multique ex primoribus inviderunt ei, indignum illa fœmina existimantes, (ut Titus Livius ait) quem consulatu judicaverant dignum. Non tamen unam duxit hanc uxorem. Primam habuit admodum adolescens Iliam, quæ filiolam ei edidit, ab ea Æliam, Cœliam tertiam: quam ut infœcundam missam fecit, sed citra notam & probrum, additis & muneribus. Verum, quod paucis diebus post Metellam duxit, apparuit eum immerito illam causam in Cœliam prætendisse. At Metellam coluit omnibus in rebus constantissime. Unde populus Romanus quum revocare exules Marianos desideraret, renuente Sylla recurrit ad Metellam, eamque appellavit. In Athenienses quoque, quod Metellam ex muro perstringentes fuissent insectati conviciis, capta urbe consuluit durius: sed hæc postea.

Id temporis consulatum ad futura flocci pendens, gestienti animo affectabat bellum Mithridaticum. Huic se Marius præ insana gloriæ cupiditate & ambitione, semper vigentibus morbis, opponebat; vir qui tunc corpore erat inhabili, & proximis superioribus expeditionibus ob senium impar fuerat,

ex-

καὶ διαποντίων πολέμων ἐφιέμενος. καὶ τοῦ Σύλλα πρὸς τὰς ἐπιλοίπους πράξεις ὁρμήσαντος εἰς τὸ στρατόπεδον, αὐτὸς οἰκουρῶν ἐτεκταίνετο τὴν ὀλεθριωτάτην ἐκείνην, καὶ ὅσα σύμπαντες οἱ πόλεμοι τὴν Ῥώμην οὐκ ἔβλαψαν, ἀπεργασαμένην στάσιν, ὡς καὶ τὸ δαιμόνιον αὐτοῖς προεσήμηνε. πῦρ μὲν γὰρ αὐτόματον ἐκ τῶν τὰ σημεῖα δοράτων ὑποφερόντων ἀνέλαμψε, καὶ κατεσβέσθη μόλις. κόρακες δὲ τρεῖς τοὺς νεοττοὺς προσαγαγόντες κατέφαγον, τὰ δὲ λείψανα πάλιν εἰς τὴν νεοττιὰν ἀνήνεγκαν. καὶ μυῶν δ' ἐν ἱερῷ χρυσὸν ἀνακείμενον διαφαγόντων, μίαν οἱ ζάκοροι πάγῃ θήλειαν λαμβάνουσιν· ἡ δὲ, ἐν αὐτῇ τῇ πάγῃ τεκοῦσα πέντε, κατέφαγε τὰ τρία. τὸ δὲ πάντων μέγιστον, ἐξ ἀνεφέλου καὶ διαίθρου τοῦ περιέχοντος ἤχησε φωνὴ σάλπιγγος, ὀξὺν ἀποτείνουσα καὶ θρηνώδη φθόγγον, ὥστε πάντας ἔκφρονας γενέσθαι, καὶ καταπλῆξαι τὸ μέγεθος. Τυῤῥηνῶν δὲ οἱ λόγιοι μεταβολὴν ἑτέρου γένους ἀπεφαίνοντο, καὶ μετακόσμησιν ἀποσημαίνειν τὸ τέρας. εἶναι μὲν γὰρ αὐτοῖς ὀκτὼ τὰ σύμπαντα γένη διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσι δι' ἀλλήλων, ἑκάστῳ δὲ ἀφωρίσθαι χρόνων ἀριθμὸν, ὑπὸ τοῦ Θεοῦ συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. καὶ ὅταν αὐτὴ σχῇ τέλος, ἑτέρας ἐνισταμένης κινεῖσθαί τι σημεῖον ἐκ γῆς ἢ οὐρανοῦ θαυμάσιον· ὡς δῆλον εἶναι τοῖς πεφροντικόσι τὰ τοιαῦτα καὶ μεμαθηκόσιν εὐθὺς, ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι, καὶ Θεοῖς ἧττον ἢ μᾶλλον τῶν προτέρων μέλοντες. τά τε γὰρ ἄλλα φασὶν ἐν τῇ τῶν γενῶν ἀμείψει λαμβάνειν μεγάλας καινοτομίας, καὶ τὴν μαντικὴν ποτὲ μὲν αὔξεσθαι τῇ τιμῇ, καὶ κατατυγχάνειν ταῖς προσαγορεύσεσι, καθαρὰ καὶ φανερὰ σημεῖα τοῦ δαι-

externa & transmarina bella avens. Hic, dum ad conficienda quædam, quæ restabant ei, profectus in castra Sylla esset, domi reses funestissimam illam, quæ majorem perniciem populo Romano invexit quam universa bella, seditionem fabrificavit, ut ostendit iis Deus prodigiis. Flamma enim sponte eluxit ex hastis quibus signa vehuntur, quæ ægre restincta est. Corvi tres pullos in conspectum hominum apportatos devoraverunt, & reliquias retulerunt in nidum. Mures aurum in templo sacratum arroserunt: fœminam unam ex his ceperunt æditui muscipula: ea in ipsa muscipula quinque editis, tres devoravit. Et (quod omnium fuit maximum) ex claro & sereno cœlo vox increpuit tubæ acuta & lugubris, ut obstupescerent & cohorrescerent ejus magnitudine omnes. Hetrusci vates mundi conversionem prædicaverunt portendi hoc ostento & mutationem in aliam ætatem. Esse enim earum octo genera vita & moribus inter se diffidentia. Unicuique præfinitum a Deo certum temporum numerum, qui magni anni ambitu limitetur. Quum unius terminus adsit, instante alia, moveri ex terra vel cœlo miraculum, ut illis quibus hæc curæ sunt, & qui hæc percepere, perspicuum illico sit natos esse homines, qui alia vita, aliis studiis utuntur, & quorum gerant Dii majorem vel minorem curam quam eorum qui præcesserunt. Quippe, cum alia referunt magnas ex illorum generum capere vicibus novationes, tum vaticinandi scientiam modo inclarescere & certa præsagire, liquidis a Deo & dilucidis insignibus præmissis,

δαιμονίου προπέμποντος, αὖθις δ' ἐν ἑτέρῳ γένει ταπεινὰ πράττειν, αὐτοσχέδιον οὖσαν τὰ πολλά, καὶ δι' ἀμυδρῶν καὶ σκοτεινῶν ὀργάνων τοῦ μέλλοντος ἁπτομένην. ταῦτα μὲν οὖν οἱ λογιώτατοι Τυρρηνῶν, καὶ πλέον τι τῶν ἄλλων εἰδέναι δοκοῦντες, ἐμυθολόγουν. τῆς δὲ συγκλήτου τοῖς μάντεσι περὶ τούτων σχολαζούσης καὶ καθημένης ἐν τῷ ναῷ τῆς Ἐνυοῦς, στρουθὸς εἰσέπτη πάντων ὁρώντων, τέττιγα φέρων τῷ στόματι, καὶ τὸ μὲν ἐκβαλών, μέρος αὐτοῦ κατέλιπε, τὸ δ' ἔχων ἀπῆλθεν. ὑφεωρῶντο δὲ στάσιν οἱ τερατοσκόποι, καὶ διαφορὰν τῶν κτηματικῶν πρὸς τὸν ἀστικὸν ὄχλον καὶ ἀγοραῖον· φωνάεντα γὰρ τοῦτον εἶναι, καθάπερ τέττιγα· τοὺς δὲ χωρίτας, ἀγοραίους.

Μάριος δὲ παραλαμβάνει Σουλπίκιον, ἄνθρωπον οὐδενὸς δεύτερον ἐν ταῖς ἄκραις κακίαις· ὥστε μὴ ζητεῖν τίνος ἐστὶν ἑτέρου μοχθηρότερος, ἀλλὰ πρὸς τί μοχθηρότατος ἑαυτοῦ. καὶ γὰρ ὠμότης καὶ τόλμα καὶ πλεονεξία περὶ αὐτὸν ἦν ἀπερίσκεπτος αἰσχροῦ καὶ παντὸς κακοῦ· ὅς γε τὴν Ῥωμαίων πολιτείαν ἐξελευθερικοῖς καὶ μετοίκοις πωλῶν ἀναφανδόν, ἠρίθμει τιμὴν διὰ τραπέζης ἐν ἀγορᾷ κειμένης. ἔτρεφε δὲ καὶ τρισχιλίους μαχαιροφόρους, καὶ πλῆθος ἱππικῶν νεανίσκων πρὸς ἅπαν ἑτοίμων περὶ αὐτὸν εἶχεν, οὓς ἀντισύγκλητον ὠνόμαζε. νόμον δὲ κυρώσας, μηδένα συγκλητικὸν ὑπὲρ δισχιλίας δραχμὰς ὀφείλειν, αὐτὸς ἀπέλιπε μετὰ τὴν τελευτὴν, ὀφλήματος μυριάδας τριακοσίας. οὗτος εἰς τὸν δῆμον ἀφεθεὶς ὑπὸ τοῦ Μαρίου, καὶ συνταράξας πάντα τὰ πράγματα βίᾳ καὶ σιδήρῳ, νόμους ἔγραψεν ἄλλους τε μοχθηρούς, καὶ τὸν διδόντα Μαρίῳ τοῦ Μιθριδατικοῦ πολέμου τὴν ἡγεμονίαν. ἀπραξίας δὲ διὰ ταῦτα

sis, modo alia in ætate abjectam esse; quod fere extemporali modo peracta sit, exilibusque & involutis vestigiis futurum attingat. Hæc Hetruriæ peritissimi vates, & qui præstare arte videbantur cæteris, fabulabantur. De his dum consulit senatus fatiloquos, atque in æde Bellonæ habetur, passer in omnium conspectu cicadam ore ferens intulit se in ædem, cujus partem abjecit ibique reliquit, cum parte avolavit. Unde harioli seditionem timebant & secessionem ab urbana & forensi turba agrestium. Quippe illam more cicadæ vocalem esse & agrestes ruri agere.

Igitur Marius adscivit sibi Sulpitium, hominem qui nihil reliqui fecerat ad summam improbitatem; ut non quæras quo esset alio sceleratior, sed ubi vinceret semetipse improbitate. Etenim crudelitas & audacia & avaritia coierant in eo, nec, quam turpitudinem vel quod in se admitteret flagitium, quicquam pensi habebat. Nempe civitatem Romanam libertinis & inquilinis propalam venundabat, precium, posita in foro mensa, numerabat: tria millia satellitum alebat, manus ex equestri pube ad omnia parata erat stipatus, quam vocabat Contrasenatum. Hic quum rogationem tulisset, ne quis senator supra duo millia denarium æris alieni contraheret, debuit ipse moriens myriadas ter centum. Qui a Mario in populum emissus, quum rempublicam totam vi ferroque miscuisset, & alias leges perniciosas tulit, & illam de imperio Marii in bello contra Mithridatem. Ob quas justitio a consulibus edicto, dum concio-

ταῦτα τῶν ὑπάτων ψηφισαμένων, ἐπαγαγὼν αὐτοῖς ἐκκλησιάζουσι περὶ τὸν νεὼν τῶν Διοσκούρων ὄχλον, ἄλλους τε πολλοὺς καὶ τὸ Πομπηΐου τοῦ ὑπάτου μειράκιον ἐπὶ τῆς ἀγορᾶς ἀνεῖλεν· αὐτὸς δὲ Πομπήϊος λαθὼν ἐξέφυγε. Σύλλας δὲ εἰς τὴν οἰκίαν τοῦ Μαρίου συνδιωχθεὶς, ἠναγκάσθη προελθὼν τὰς ἀπραξίας λῦσαι· καὶ διὰ τοῦτο τὸν Πομπήϊον ἐπάρχοντα ποιήσας ὁ Σουλπίκιος, οὐκ ἀφείλετο τοῦ Σύλλα τὴν ὑπατείαν, ἀλλὰ τὴν ἐπὶ Μιθριδάτην στρατείαν μόνον εἰς Μάριον μετήνεγκε· καὶ πέμπει χιλιάρχους εὐθὺς εἰς Νῶλαν, παραληψομένους τὸ στράτευμα, καὶ πρὸς τὸν Μάριον ἄξοντας.

Φθάσαντος δὲ τοῦ Σύλλα διαφυγεῖν εἰς τὸ στρατόπεδον, καὶ τῶν στρατιωτῶν, ὡς ἐπύθοντο ταῦτα, καταλευσάντων τοὺς χιλιάρχους, οἱ περὶ τὸν Μάριον αὖθις ἐν τῇ πόλει τοὺς Σύλλα φίλους ἀνῄρουν, καὶ χρήματα διήρπαζον αὐτῶν. ἦσαν δὲ μεταστάσεις καὶ φυγαὶ, τῶν μὲν εἰς πόλιν ἀπὸ στρατοπέδου, τῶν δ' ἐκεῖσε διαφοιτώντων ἐκ τῆς πόλεως. ἡ δὲ σύγκλητος ἦν μὲν οὐχ αὑτῆς, ἀλλὰ τοῖς Μαρίου καὶ Σουλπικίου διῳκεῖτο προστάγμασι· πυθομένη δὲ τὸν Σύλλαν ἐπὶ τὴν πόλιν ἐλαύνειν, ἔπεμψε δύο τῶν στρατηγῶν, Βροῦτον καὶ Σερουΐλιον, ἀπαγορεύσοντας αὐτῷ βαδίζειν. τούτους θρασύτερον Σύλλᾳ διαλεχθέντας ὥρμησαν μὲν ἀνελεῖν οἱ στρατιῶται, τὰς δὲ ῥάβδους κατέκλασαν, καὶ τὰς περιπορφύρους ἀφείλοντο, καὶ πολλὰ περιυβρισμένους ἀπέπεμψαν, αὐτόθεν τε δεινὴν κατήφειαν, ὁρωμένους τῶν στρατηγικῶν παρασήμων ἐρήμους, καὶ τὴν στάσιν οὐκέτι καθεκτὴν ἀλλ' ἀνήκεστον ἀπαγγέλλοντας. οἱ μὲν οὖν περὶ τὸν Μάριον ἐν παρασκευαῖς ἦσαν· ὁ δὲ Σύλλας ἄγων ἓξ τάγματα τέλεια μετὰ τοῦ συνάρχοντος ἀπὸ Νώλης ἐκίνει,

τὸν

cionem ad Castoris habent, immisit in eos multitudinem, atque inter multos alios filium Pompeii consulis adolescentem in foro interfecit: Pompeius ipse clam effugit. Sylla vero, qui confugerat in domum Marii, instantibus adversariis coactus est prodire & justitium solvere. Qua de causa quum Pompeio abrogasset honorem, Syllæ reliquit consulatum, tantum munus gerendi belli Mithridatici ad Marium transtulit. E vestigio igitur tribunos misit Nolam, qui exercitum ad Marium ducerent.

Cæterum quod prævertisset Sylla ad exercitum decurrere, & milites, ubi hæc acceperunt, tribunos lapidibus cooperuissent; trucidavit Marius vicissim in urbe amicos Syllæ, atque bona eorum diripuit. Jamque transibant & profugiebant, hi in urbem ex castris, illi ex urbe se subducebant illuc. Senatus non erat sui juris, sed jussis Marii & Sulpitii parebat. Ac Syllam audiens signa movere ad urbem, duos prætores misit, Brutum & Servilium, qui ei vetarent procedere. Hos ad Syllam loquutos ferocius, paraverunt milites obtruncare. Fasces eorum certe concerpserunt, prætextas detraxerunt, multisque violatos contumeliis remiserunt. Hi jam vel ipso conspectu insignibus exspoliati prætoriis ex fœda mœstitiæ specie non posse ultra seditionem renuntiabant comprimi vel sedari. Erat igitur Marius in apparatu: Sylla cum collega legiones sex integras ducens movit a Nola.

Exercitum

τὸν μὲν στρατὸν ὁρῶν πρόθυμον ὄντα χωρεῖν εὐθὺς ἐπὶ τὴν πόλιν, ἐνδοιάζων δὲ τῇ γνώμῃ παρ' ἑαυτῷ, καὶ δεδοικὼς τὸν κίνδυνον. ὁ δὲ μάντις Ποστύμιος, θύσαντος αὐτοῦ καταμαθὼν τὰ σημεῖα, καὶ τὰς χεῖρας ἀμφοτέρας τῷ Σύλλᾳ προτείνας, ἠξίου δεθῆναι καὶ φυλάττεσθαι μέχρι τῆς μάχης, ὡς, εἰ μὴ πάντα ταχὺ καὶ καλῶς συντελεσθείη, τὴν ἐσχάτην δίκην ὑποσχεῖν βουλόμενος. λέγεται δὲ καὶ κατὰ τοὺς ὕπνους αὐτῷ Σύλλᾳ φανῆναι Θεὸν ἣν τιμῶσι Ῥωμαῖοι, παρὰ Καππαδοκῶν μαθόντες, εἴτε δὴ Σελήνην οὖσαν, εἴτε Ἀθηνᾶν, εἴτε Ἐνυώ. ταύτην ὁ Σύλλας ἔδοξεν ἐπιστᾶσαν ἐγχειρίσαι κεραυνὸν αὐτῷ, καὶ τῶν ἐχθρῶν ἕκαστον ὀνομάζουσαν τῶν ἐκείνου, βάλλειν κελεῦσαι· τοὺς δὲ πίπτειν βαλλομένους, καὶ ἀφανίζεσθαι. θαρσήσας δὲ τῇ ὄψει, καὶ φράσας τῷ συνάρχοντι μεθ' ἡμέραν, ἐπὶ τὴν Ῥώμην ἡγεῖτο. καὶ περὶ Πικίνας αὐτῷ πρεσβείας ἐντυχούσης, καὶ δεομένης μὴ βαδίζειν εὐθὺς ἐξ ἐφόδου, πάντα γὰρ ἔσεσθαι τὰ δίκαια τῆς βουλῆς ψηφισαμένης, ὡμολόγησε μὲν αὐτοῦ καταστρατοπεδεύσειν, καὶ διαμετρεῖν ἐκέλευε χώρας, ὥσπερ εἰώθει, τῷ στρατοπέδῳ τοὺς ἡγεμόνας· ὥστε τοὺς πρέσβεις ἀπελθεῖν πιστεύσαντας. ἐκείνων δὲ ἀπελθόντων, εὐθὺς ἐκπέμψας Λούκιον Βάσιλλον καὶ Γάϊον Μόμμιον, καταλαμβάνει τὴν πύλην δι' αὐτῶν, καὶ τὰ τείχη τὰ περὶ τὸν λόφον τὸν Αἰσχυλῖνον· εἶτ' αὐτὸς ἁπάσῃ σπουδῇ συνῆπτε. τῶν δὲ περὶ τὸν Βάσιλλον εἰς τὴν πόλιν ἐμπεσόντων καὶ κρατούντων, ὁ πολὺς καὶ ἄνοπλος δῆμος ἀπὸ τῶν τειχῶν κεράμῳ καὶ λίθῳ βάλλοντες ἐπέσχον αὐτοὺς τοῦ πρόσω χωρεῖν, καὶ συνέστειλαν εἰς τὸ τεῖχος. ἐν τούτῳ δὲ ὁ Σύλλας παρῆν ἤδη, καὶ συνιδὼν τὸ γινόμενον, ἐβόα

τὰς

Exercitum quidem promptum videbat ad petendam urbem, sed fluctuabat animo secum & timebat periculum. Hic aruspex Posthumius ad sacrificantem Syllam inspectis extis ambas manus protendit, vincirique se & in custodia haberi usque ad prœlium postulat, & ni brevi omnia ei cecidissent ex sententia, non deprecatur ultimum supplicium. Dicitur etiam ipsi Syllæ in somniis se obtulisse Dea, quam ex disciplina Cappadocum Romani colunt, sive ea Luna, sive Minerva, sive Bellona sit. Hæc Syllæ visa est assistere, & fulmen ei tradere, jussisseque, singulis nominatis inimicis ejus, ferire, illi icti concidere atque e medio dilabi. Hoc ostento erectus, narrat id postridie collegæ, ac Romam pergit. Apud Picinas quum occurrissent ei legati, oraverunt ne infesta signa raptim ad urbem ferret; senatum enim ei satisfacturum: pollicitus est se ibi locaturum castra, imperavitque, ut solent militibus duces, ea metari. Ita legati, fide ei habita, læti abiere. Post quorum discessum, confestim Basillum & C. Mommium præmittit ad occupandum per eos portam & murum ad collem Æsquilinum: inde citato sequitur cursu. Quum Basillus in urbem irrupisset, portamque occupasset, plebs pleraque inermis tegulis & lapidibus ex muro incessentes, ne progredi valeret, represserunt eum ac repulerunt ad murum. Interea supervenit Sylla, qui cernens id quod agebatur, clamavit ut ædificia

τὰς οἰκίας ὑφάπτειν, καὶ λαβὼν δᾷδα καιομένην, ἐχώρει πρῶτος αὐτός, καὶ τοὺς τοξότας ἐκέλευε χρῆσθαι τοῖς πυρβόλοις ἄνω τῶν τεγασμάτων ἐφιεμένους· κατ' οὐδένα λογισμόν, ἀλλ' ἐμπαθὴς ὤν, καὶ τῷ θυμῷ παραδεδωκὼς τὴν τῶν πραττομένων ἡγεμονίαν, ὥς γε τοὺς ἐχθροὺς μόνον ἑώρα, φίλους δὲ καὶ συγγενεῖς καὶ οἰκείους εἰς οὐδένα λόγον θέμενος οὐδ' οἶκτον, κατῄει διὰ πυρός, ᾧ τῶν αἰτίων, καὶ μή, διάγνωσις οὐκ ἦν. τούτων δὲ γινομένων, ὁ Μάριος ἐξωσθεὶς πρὸς τὸ τῆς γῆς ἱερόν, ἐκάλει διὰ κηρύγματος ἐπ' ἐλευθερίᾳ τὸ οἰκετικόν· ἐπελθόντων δὲ τῶν πολεμίων κρατηθείς, ἐξέπεσε τῆς πόλεως.

Σύλλας δὲ τὴν βουλὴν συναγαγών, καταψηφίζεται θάνατον αὐτοῦ τε Μαρίου καὶ ὀλίγων ἄλλων, ἐν οἷς Σουλπίκιος ἦν ὁ δήμαρχος. ἀλλὰ Σουλπίκιος μὲν ἀπεσφάγη, προδοθεὶς ὑπὸ θεράποντος, ὃν ὁ Σύλλας ἠλευθέρωσεν, εἶτα κατεκρήμνισε. Μαρίῳ δὲ ἐπεκήρυξεν ἀργύριον, οὐκ εὐγνωμόνως, οὐδὲ πολιτικῶς, ᾧ γε μικρὸν ἔμπροσθεν ὑποχείριον εἰς τὴν οἰκίαν δοὺς ἑαυτόν, ἀσφαλῶς ἀφείθη. καίτοι Μαρίῳ τότε μὴ ἀφεῖναι Σύλλαν, ἀλλ' ἀποθανεῖν ὑπὸ Σουλπικίου προεμένῳ, πάντων κρατεῖν ὑπῆρχεν, ἀλλ' ὅμως ἐφείσατο· καὶ μεθ' ἡμέρας ὀλίγας τὴν αὐτὴν λαβὼν παραχὴν, οὐκ ἔτυχε τῶν ὁμοίων. ἐφ' οἷς ὁ Σύλλας τὴν μὲν σύγκλητον ἀδήλως ἠνίασεν· ἡ δὲ παρὰ τοῦ δήμου δυσμένεια καὶ νέμεσις αὐτῷ φανερὰ δι' ἔργων ἀπήντα. Νώνιον μέν γε τὸν ἀδελφιδοῦν δι' αὐτοῦ καὶ Σερούιον ἀρχὰς μετιόντας ἀποψηφισάμενοι καὶ καθυβρίσαντες, ἑτέρους κατέστησαν ἄρχοντας, οὓς μάλιστα τιμῶν-

ſcia ſuccenderent, ſumptaque ardenti face ipſe flammam primus ſubjecit. Inſuper ſagittariis præcepit ſuperioribus tectis tela ignita injicerent: idque fecit nullo conſilio, ſed commotus auferendum ſe permiſit iræ, quo duce res omnes gerebat. Nempe adverſarios tantum videbat: amicorum, propinquorum, & neceſſariorum nullam ducebat rationem, neque miſeratione eorum captus, ingrediebatur per ignem, qui ſontes & inſontes juxta ducebat. Interea propulſus ad ædem Telluris Marius, ſervitia vocavit per edictum ad libertatem. Cæterum irruentibus hoſtibus, oppreſſus exceſſit urbe.

Sylla, coacto ſenatu, Mario cum paucis aliis, in quibus Sulpitius tribunus plebis fuit, aqua & igni interdicit. At Sulpitius, proditus quum eſſet a ſervo ſuo, obtruncatus eſt: ſervum Sylla manumiſit, inde de ſaxo præcipitavit. In Marii caput pecuniam pronuntiavit: parum grate tamen, vel civiliter, utpote cujus nuper poteſtati domi ejus ſe ipſe permiſerat, fueratque illæſus dimiſſus. Quem Marius ſi tum miſſum non feciſſet, ſed interimendum Sulpitio condonaſſet, potuiſſet rerum potiri: ſed tunc tamen pepercit ei, qui, mox quum in idem incidiſſet diſcriminis, beneficentiam non eſt expertus eandem. Qua in re offendit ſenatum Sylla occulte, populi vero indignationem & invidiam re ipſa liquido ſenſit: ſiquidem Nonio Syllæ ſororis filio commendatione ejus ſubnixo & Servio candidatis ignominioſe repulſis, alios deſignaverunt Conſules, quorum angi illum ar-

τιμῶντες ᾤοντο λυπεῖν ἐκεῖνον. ὁ δὲ τούτοις τε προσεποιεῖτο χαίρειν, ὡς τοῦ δήμου τῷ ποιεῖν ἃ βούλοιτο, δι' αὐτὸν ἀπολαύοντος τῆς ἐλευθερίας· καὶ θεραπεύων τὸ τῶν πολλῶν μῖσος, ὕπατον κατέστησεν ἀπὸ τῆς ἐναντίας στάσεως Λούκιον Κίνναν, ἀραῖς καὶ ὅρκοις καταλαβὼν εὐνοήσειν τοῖς ἑαυτοῦ πράγμασιν. ὁ δὲ ἀναβὰς εἰς τὸ Καπιτώλιον ἔχων ἐν τῇ χειρὶ λίθον, ὤμνυεν, εἶτα ἐπαρασάμενος ἑαυτῷ, μὴ φυλάττοντι τὴν πρὸς ἐκεῖνον εὔνοιαν, ἐκπεσεῖν τῆς πόλεως, ὥσπερ ὁ λίθος διὰ τῆς χειρὸς, κατέβαλε χαμᾶζε τὸν λίθον ἐκ ὀλίγων παρόντων. παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἐπεχείρει τὰ καθεστῶτα κινεῖν καὶ δίκην ἐπὶ τὸν Σύλλαν παρεσκεύασε, καὶ κατηγορεῖν ἐπέστησεν Οὐεργίνιον, ἕνα τῶν δημάρχων, ὃν ἐκεῖνος ἅμα τῷ δικαστηρίῳ χαίρειν ἐάσας, ἐπὶ Μιθριδάτην ἀπῆρε.

Λέγεται δὲ, ὑπὸ τὰς ἡμέρας ἐκείνας ἐν αἷς ὁ Σύλλας ἀπὸ τῆς Ἰταλίας ἐκίνει τὸν στόλον, ἄλλα τε πολλὰ Μιθριδάτῃ διατρίβοντι περὶ τὸ Πέργαμον ἐπισκῆψαι δαιμόνια, καὶ νίκην στεφανηφόρον καθιεμένην ὑπὸ τῶν Περγαμηνῶν ἐπ' αὐτὸν ἔκ τινων ὀργάνων ἄνωθεν, ὅσον οὔπω τῆς κεφαλῆς ψαύουσαν συντριβῆναι, καὶ τὸν στέφανον πεσόντα κατὰ τοῦ θεάτρου φέρεσθαι χαμᾶζε διαθρυπτόμενον· ὥστε φρίκην μὲν τῷ δήμῳ, ἀθυμίαν δὲ πολλὴν Μιθριδάτῃ παρασχεῖν, καίπερ αὐτῷ τότε τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. αὐτὸς μὲν γὰρ Ἀσίαν τε Ῥωμαίων, καὶ Βιθυνίαν καὶ Καππαδοκίαν τῶν βασιλέων ἀφῃρημένος, ἐν Περγάμῳ καθῆστο, πλούτους καὶ δυναστείας καὶ τυραννίδας διανέμων τοῖς φίλοις· τῶν δὲ παίδων ὁ μὲν ἐν Πόντῳ καὶ Βοσ-

πόρῳ

arbitrabantur honore: Quæ sibi esse prætulit jucunda, quod populus pro arbitrio agens, beneficio suo libertate frueretur. Ac quo odium plebis leniret, consulem creavit ex adversis partibus L. Cinnam, devotionibus & jurejurando adactum pro se facturum. Ille nempe scandit Capitolium, lapidemque manu tenens juravit. Inde execratus in caput suum, ni amicitiam cum Sylla conservasset, ita urbe ut exigeretur, sicut e manu sua excidebat lapis, multis præsentibus lapidem projecit in terram. At inito magistratu, actutum moliri cœpit res novas, ac judicium Syllæ est machinatus, accusatoremque apposuit unum ex tribunis plebis, Verginium. Quo ille una cum subselliis relicto, contra Mithridatem est profectus.

Memorant, quo tempore classem Sylla ab Italia solvit, in aliis, quæ agenti Pergami Mithridati oblata fuerunt, miraculis, Victoriam coronatam, quæ a Pergamenis superne demittebatur machinis, quum pene attingeret caput ejus, labefactatam & delapsam, coronam in theatro ad solum diffractam, atque inde horrore populum, Mithridatem ingenti fuisse consternatione perculsum, licet omnia ei id temporis etiam supra exspectationem procederent. Quandoquidem Asiam Romanis, Bithyniam & Cappadociam regibus extorserat, sedebatque Pergami, opes, dynastias & dominatus amicis dispertiens. Filii ejus diversi, unus in Ponto & Bos-

phoro,

πόρρω τὴν παλαιὰν ἄχρι τῶν ὑπὲρ τὴν Μαιῶτιν ἀοίκητον ἀρχὴν κατεῖχεν, οὐδενὸς παρενοχλοῦντος· Ἀριαράθης δέ, Θρᾴκην καὶ Μακεδονίαν ἐπὶ στρατῷ μεγάλῳ προσαγόμενος. ἄλλους δὲ οἱ στρατηγοὶ τόπους ἐχειροῦντο, δυνάμεις ἔχοντες· ὧν ὁ μέγιστος Ἀρχέλαος, ταῖς μὲν ναυσὶν ὁμοῦ τι συμπάσης ἐπικρατῶν τῆς θαλάττης, τάς τε Κυκλάδας νήσους ἐδουλοῦτο καὶ τῶν ἄλλων ὅσαι Μαλέας ἐντὸς ἵδρυνται, καὶ τὴν Εὔβοιαν αὐτὴν εἶχεν· ἐκ δὲ Ἀθηνῶν ὁρμώμενος, τὰ μέχρι Θετταλίας ἔθνη τῆς Ἑλλάδος ἀφίστη, μικρὰ προσκρούσας περὶ Χαιρώνειαν. ἐνταῦθα γὰρ αὐτῷ Βρέττιος Σούρρας ἀπήντησε, πρεσβευτὴς μὲν ὢν Σεντίου, τοῦ στρατηγοῦ τῆς Μακεδονίας, ἀνὴρ δὲ τόλμῃ καὶ φρονήσει διαφέρων. οὗτος Ἀρχελάῳ δίκην ῥεύματος φερομένῳ διὰ τῆς Βοιωτίας ἐπὶ πλεῖστον ἀντιστάς, καὶ τρισὶ μάχαις διαγωνισάμενος περὶ Χαιρώνειαν ἐξέωσε, καὶ συνέστειλε πάλιν ἐπὶ τὴν θάλατταν. Λουκίου δὲ Λουκούλλου κελεύσαντος αὐτὸν ὑποχωρεῖν ἐπιόντι Σύλλᾳ, καὶ τὸν ἐψηφισμένον ἐκείνῳ ἐᾶν πόλεμον, εὐθὺς ἐκλιπὼν τὴν Βοιωτίαν, ὀπίσω πρὸς Σέντιον ἀπήλαυνε, καίπερ αὐτῷ τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων, καὶ τῆς Ἑλλάδος οἰκείως ἐχούσης πρὸς μεταβολήν, διὰ τὴν ἐκείνου καλοκαγαθίαν. ἀλλὰ γὰρ Βρεττίῳ μὲν ταῦτα λαμπρότατα τῶν πεπραγμένων.

Σύλλας δὲ τὰς μὲν ἄλλας πόλεις εὐθὺς εἶχεν ἐπιπρεσβευομένας καὶ καλούσας, ταῖς δὲ Ἀθήναις διὰ τὸν τύραννον Ἀριστίωνα βασιλεύεσθαι ἠναγκασμέναις ἄθρους ἐπέστη· καὶ τὸν Πειραιᾶ περιλαβὼν ἐπολιόρκει, μηχανήν τε πᾶσαν ἐφιστάς, καὶ μάχας παντοδαπὰς ποιούμενος. καίτοι χρόνον οὐ πολὺν ἀνα-

phoro, vetus regnum uſque ad ſolitudines ſuper Mæotin lacum adverſante nullo obtinebat: Ariarathes ingentibus copiis Thraciam & Macedoniam inſiſtebat ſubigere: alias oras domabant cum exercitibus duces ejus; quorum Archelaus princeps claſſe ferme totum obtinens pelagus, inſulas Cycladas in ditionem redigebat, aliaſque quotquot intra Maleam poſitæ ſunt, ipſamque tenebat Eubœam. Athenis etiam ſedem belli habebat: inde Græcas gentes Theſſalia tenus ab Romanis ad ſe traxerat. Nonnihil quidem impegit ad Chæroneam. Illic occurrit ei Brutius Sura prætoris Macedoniæ Sentii legatus, virtute & conſilio vir ſingulari. Hic inſtar torrentis per Bœotiam ruenti Archelao fortiſſime objecit ſe, ac prœliis tribus ad Chæroneam cum hoc colluctatus, repulit eum, atque ad mare denuo redegit. Qui, quum imperaſſet ei Lucullus, ut Syllæ (cui ea provincia decreta erat) cederet, quamvis rebus ei ſupra votum fluentibus, & Græcia ob probitatem ejus ad mutationem prona, confeſtim exceſſit Bœotia, & retro conceſſit ad Sentium. Cæterum hæc ſplendidiſſimæ res geſtæ Brutii fuere.

At Sylla cætera oppida, per legatos ſuos invitatus ab illis, extemplo recepit: Athenas vero, manere in partibus regiis per tyrannum coactas Ariſtionem, magna vi adortus, Piræum undique circumſedit, machinas admovit omnis generis, variiſque modis oppugnavit id. Atqui ſi pauliſper ſuſti-

ἀναχωρουμένῳ, παρῆν ἀκινδύνως ἑλεῖν τὴν ἄνω πόλιν, ὑπὸ λιμοῦ συνηγμένην ἤδη τῇ χρείᾳ τῶν ἀναγκαίων εἰς τὸν ἔσχατον καιρόν. ἀλλ' ἐπειγόμενος εἰς Ῥώμην, καὶ δεδιὼς τὸν ἐκεῖ νεωτερισμὸν, πολλοῖς μὲν κινδύνοις, πολλαῖς δὲ μάχαις, μεγάλαις δὲ δαπάναις κατέσπευδε τὸν πόλεμον. ᾧ γε, δίχα τῆς ἄλλης παρασκευῆς, ἡ περὶ τὰ μηχανήματα πραγματεία ζεύγεσι μυρίοις ὀρικοῖς ἐχορηγεῖτο καθ' ἡμέραν ἐνεργοῖς οὖσι πρὸς τὴν ὑπηρεσίαν. ἐπιλειπούσης δὲ τῆς ὕλης, διακόπτεσθαι πολλὰ τῶν ἔργων περικλώμενα τοῖς αὐτῶν βρίθεσι, καὶ πυρπολεῖσθαι βαλλόμενα συνεχῶς ὑπὸ τῶν πολεμίων, ἐπεχείρησε τοῖς ἱεροῖς ἄλσεσι· καὶ τήν τε Ἀκαδημίαν ἔκειρε δενδροφορωτάτην προαστείων οὖσαν, καὶ τὸ Λύκειον. ἐπεὶ δὲ καὶ χρημάτων ἔδει πολλῶν πρὸς τὸν πόλεμον, ἐκίνει τὰ τῆς Ἑλλάδος ἄσυλα, τοῦτο μὲν ἐξ Ἐπιδαύρου, τοῦτο δὲ ἐξ Ὀλυμπίας, τὰ κάλλιστα καὶ πολυτελέστατα τῶν ἀναθημάτων μεταπεμπόμενος. ἔγραψε δὲ καὶ τοῖς Ἀμφικτύοσιν εἰς Δελφοὺς, ὅτι τὰ χρήματα τοῦ Θεοῦ βέλτιον εἶναι κομισθῆναι πρὸς αὐτόν· ἢ γὰρ φυλάξειν ἀσφαλέστερον, ἢ καὶ ἀποχρησάμενος, ἀποδώσειν οὐκ ἐλάττω. καὶ τῶν φίλων ἀπέστειλε Κάφιν τὸν Φωκέα, κελεύσας σταθμῷ παραλαβεῖν ἕκαστον. ὁ δὲ Κάφις, ἧκε μὲν εἰς Δελφοὺς, ὤκνει δὲ τῶν ἱερῶν θιγεῖν, καὶ πολλὰ, τῶν Ἀμφικτυόνων παρόντων, ἀπεδάκρυσε τὴν ἀνάγκην. ἐνίων δὲ φασκόντων ἀκοῦσαι φθεγγομένης τῆς ἐν τοῖς ἀνακτόροις κιθάρας, εἴτε πιστεύσας, εἴτε τὸν Σύλλαν βουλόμενος ἐμβαλεῖν εἰς δεισιδαιμονίαν, ἐπέστειλε πρὸς αὐτόν. ὁ δὲ σκώπτων ἀντέγραφε, θαυμάζειν τὸν Κάφιν, εἰ μὴ συνίησιν ὅτι χαίροντος οὐ χαλε-

sustineret, impune potuisset superiorem urbem per famem, jam annonæ inopia ad extrema redactam, capere. Sed quia festinabat ad urbem, motusque urbanos timebat, multis periculis, multis certaminibus, grandibus impensis conficere maturavit bellum. Cui quidem, præter reliquum apparatum, machinamentorum molitio decem millibus jugorum mularum, quæ occupata quotidie erant eo in munere, curabatur. Deficiente autem materia, (nam complures machinas & suo labefactatas pondere convelli contigit, & ab hostibus immisso assidue igni conflagrare) lucis sacris injecit manum, atque nemorosissimam inter suburbia Academiam Lyceumque denudavit. Jam quia ingentem pecuniam bellum repostulabat, movit sacros thesauros Græciæ. Atque hinc Epidauro, hinc Olympia deferri ad se jussit pulcherrima & pretiosissima dona. Ad Amphictyonas quoque Delphos scripsit, recte facturos ipsos, si ad se misissent Apollinis thesauros: aut enim hos in securiore apud se custodia fore, aut, si consumpsisset eos, non redditurum se minus. Itaque ex amicis Caphim misit Phocensem cum mandatis ut singula ad pondus acciperet. Venit quidem Caphis Delphos, sed attingere dubitavit sacra, qui etiam coram Amphictyonibus majorem in modum impositam sibi necessitatem deploravit. Quum jactarent nonnulli se citharæ sonum ex adyto audisse, id, sive credidit, sive quo religionem animo Syllæ offerret, scripsit ad eum. Ille joco ludens mirari rescripsit se Caphim, qui non intelligeret gaudentis

χαλεπαίνοντος εἴη τὸ ᾄδειν· ὥστε θαῤῥοῦντα λαμβάνειν ἐκέλευσεν, ὡς ἡδομένου τοῦ Θεοῦ καὶ διδόντος. τὰ μὲν οὖν ἄλλα διέλαθε τοὺς τε πολλοὺς Ἕλληνας ἐκπεμπόμενα· τὸν δὲ ἀργυροῦν πίθον, ὃς ἦν ὑπόλοιπος ἔτι τῶν βασιλικῶν, διὰ βάρος καὶ μέγεθος οὐ δυναμένων ἀναλαβεῖν τῶν ὑποζυγίων, ἀναγκαζόμενοι κατακόπτειν οἱ Ἀμφικτύονες, εἰς μνήμην ἐβάλλοντο, τοῦτο μὲν Τίτον τὸν Φλαμίνιον καὶ Μάνιον Ἀκύλιον, τοῦτο δὲ Αἰμίλιον Παῦλον· ὧν ὁ μὲν Ἀντίοχον ἐξελάσας τῆς Ἑλλάδος, οἱ δὲ τοὺς Μακεδόνων βασιλεῖς καταπολεμήσαντες, οὐ μόνον ἀπέσχοντο τῶν ἱερῶν τῶν Ἑλληνικῶν, ἀλλὰ καὶ δῶρα καὶ τιμὴν αὐτοῖς καὶ σεμνότητα πολλὴν προσέθεσαν. ἀλλ᾽ ἐκεῖνοι μὲν ἀνδρῶν τε σωφρόνων καὶ μεμαθηκότων σιωπῇ τοῖς ἄρχουσι παρέχειν τὰς χεῖρας ἡγούμενοι κατὰ νόμον, αὐτοί τε ταῖς ψυχαῖς βασιλικοὶ, καὶ ταῖς δαπάναις εὐτελεῖς ὄντες, μετρίοις ἐχρῶντο καὶ τεταγμένοις ἀναλώμασι, τὸ κολακεύειν τοὺς στρατιώτας αἴσχιον ἡγούμενοι τοῦ δεδιέναι τοὺς πολεμίους. οἱ δὲ τότε στρατηγοὶ, βίᾳ τὸ πρωτεῖον καὶ ἀρετῇ κτώμενοι, καὶ μᾶλλον ἐπ᾽ ἀλλήλους δεόμενοι τῶν ὅπλων, ἢ τοὺς πολεμίους, ἠναγκάζοντο δημαγωγεῖν ἐν τῷ στρατηγεῖν, εἶθ᾽ ὧν εἰς τὰς ἡδυπαθείας τοῖς στρατευομένοις ἀνήλισκον, ὠνούμενοι τοὺς πόνους αὐτῶν, ἔλαθον ὤνιον ὅλην τὴν πατρίδα ποιήσαντες, ἑαυτούς τε δούλους τῶν κακίστων, ἐπὶ τῷ τῶν βελτιόνων ἄρχειν. ταῦτα ἐξήλαυνε Μάριον, εἶτ᾽ αὖθις ἐπὶ Σύλλαν κατῆγε. ταῦτα Ὀκλαουΐου τοὺς περὶ Κίνναν, ταῦτα Φλάκκου τοὺς περὶ Φιμβρείαν αὐτόχειρας ἐποίησεν: ὧν οὐχ ἥκιστα Σύλλας ἀνέδωκεν εἰς ἀρχὰς, ἐπὶ τὸ διαφθείρειν καὶ μετακαλεῖν τοὺς ὑπ᾽ ἄλλοις ταττομένους,

κατα-

dentis esse non indignantis cantum. Ne ergo capere dubitaret, utpote Deo propitio & dante. Ac reliqua quidem, quæ inde exportata fuere, vulgus præteriere Græcorum. Dolium vero argenteum, quod residuum adhuc erat ex donis regiis, quum ferre jumenta ob pondus & molem non valerent, coacti Amphictyones id concidere, repetierunt memoria, hinc T. Quintium Flaminium & Manium Acilium, hinc Paulum Æmilium: quorum Acilius Antiochum Græcia exegerat, alii duo devicerant reges Macedonum. Nec solum a templis Græciæ temperaverant, sed & dona, & venerationem eis ac religionem addiderant magnam. Atqui modestorum illi & dicto audientium duces legitimi militum, atque animis ipsi regiis præditi, sumptibus autem restricti modicis utebantur & temperatis expensis, assentari vero militibus fœdius ducebant quam formidare hostes: at hujus tempestatis duces, qui vi primatum non virtute parabant, & qui magis in se mutuo arma, quam in hostes quærebant, cogebantur in imperio militibus obsequi. Inde pretio, quod in delicias militum effundebant, mercantes labores eorum, totam patriam imprudentes venalem, ac se nequissimorum servos, quo imperare valerent melioribus, reddidere. Hæc ejecerunt Marium, mox illum contra Syllam reduxerunt: hæc Octavii Cinnam, hæc Fimbriam fecerunt Flacci homicidam. Quorum malorum præcipue Sylla fons fuit: qui quo corrumperet & ad transitionem pelliceret aliorum milites, prolixus & pro-

καταχορηγῶν εἰς τοὺς ὑφ' αὑτοῦ καὶ δαπανώμενος· ὥστε ἅμα τοὺς ἄλλους μὲν εἰς προδοσίαν, τοὺς δὲ ὑπ' αὑτοῦ εἰς ἀσωτίαν διαφθείρειν, χρημάτων δεῖσθαι πολλῶν, καὶ μάλιστα πρὸς τὴν πολιορκίαν ἐκείνην.

Δεινὸς γάρ τις ἔρως καὶ ἀπαραίτητος εἶχεν αὐτὸν ἑλεῖν τὰς Ἀθήνας· εἴτε ζήλῳ τινὶ πρὸς τὴν πάλαι σκιαμαχοῦντα τῆς πόλεως δόξαν, εἴτε θυμῷ τὰ σκώμματα φέροντα καὶ τὰς βωμολοχίας, αἷς αὐτόν τε καὶ τὴν Μετέλλαν ἀπὸ τῶν τειχῶν ἑκάστοτε γεφυρίζων καὶ κατορχούμενος ἐξηρέθιζεν ὁ τύραννος Ἀριστίων, ἄνθρωπος ἐξ ἀσελγείας ὁμοῦ καὶ ὠμότητος ἔχων συγκειμένην τὴν ψυχήν, καὶ τὰ χείριστα τῶν Μιθριδατικῶν συνερρυηκότα νοσημάτων καὶ παθῶν εἰς ἑαυτὸν ἀνειληφώς, καὶ τὴν πόλιν μυρίους μὲν πολέμους, πολλὰς δὲ τυραννίδας καὶ στάσεις διαπεφευγυῖαν πρότερον, ὥσπερ νόσημα θανατηφόρον, εἰς τοὺς ἐσχάτους καιροὺς ἐπιτιθέμενος. χιλίων δραχμῶν ὠνίου τοῦ μεδίμνου τῶν πυρῶν ὄντος ἐν ἄστει τότε, τῶν ἀνθρώπων σιτουμένων τὸ περὶ τὴν ἀκρόπολιν φυόμενον παρθένιον, ὑποδήματα δὲ καὶ ληκύθους ἑφθὰς ἐσθιόντων, αὐτὸς ἐνδελεχῶς πότοις μεθημερινοῖς καὶ κώμοις χρώμενος, καὶ πυῤῥιχίζων καὶ γελωτοποιῶν πρὸς τοὺς πολεμίους, τὸν μὲν ἱερὸν τῆς Θεοῦ λύχνον ἀπεσβηκότα διὰ σπάνιν ἐλαίου περιεῖδε, τῇ δὲ ἱεροφαντίδι πυρῶν ἡμίεκτον προσαιτούσῃ. πεπέρεως ἔπεμψε· τοὺς δὲ βουλευτὰς καὶ ἱερεῖς ἱκετεύοντας οἰκτεῖραι τὴν πόλιν, καὶ διαλύσασθαι πρὸς τὸν Σύλλαν, τοξεύμασι βάλλων διεσκέδασεν. ὀψὲ δὲ ἤδη που μόλις ἐξέπεμψεν ὑπὲρ εἰρήνης δύο ἢ τρεῖς τῶν συμποτῶν πρὸς οὓς οὐδὲν ἀξιοῦντας σωτήριον, ἀλλὰ τὸν Θησέα καὶ τὸν Εὔμολπον

καὶ

profusus fuit in suos. Itaque quum pariter alios ad proditionem, & suos perverteret ad luxuriam, grandi pecunia, praesertim ad obsidionem illam opus habebat.

Miro enim & obstinato tenebatur expugnandarum ardore Athenarum, vel quod aemulatione quadam umbratilem pugnam susciperet cum antiqua illius civitatis gloria, vel quod esset irritatus dicteriis & scurrilitatibus, quibus eum Metellamque assidue ex muris deridendo & insultando exacerbavit tyrannus Aristion, homo cui ex petulantia & saevitia conflatus animus erat, teterrimorumque Mithridaticorum morborum & vitiorum collegerat in se colluviem, atque eam urbem quae ex sexcentis bellis, frequentibus dominationibus & seditionibus ante emerserat, quasi morbus lethalis, in extremum adduxit discrimen. Hic, quum mille drachmarum medimnus tritici in urbe esset, & homines tunc herba parthenio, quod in arce crescebat, sustentarent se, calceamentis & lecythis elixis victitarent, vino comessationibusque diurnis perpetuo confectus, saltans, & illudens hostibus sacram lucernam extingui olei penuria permisit. Hierophantidi, tritici hemina ab ipso mendicanti, aliquantum piperis misit. Senatum & sacerdotes, ut civitatis misereretur & pacem faceret cum Sylla supplicantes, sagittis ingestis disjecit. Vix tandem aliquando misit ad agendum de pace duos aut tres ex compotoribus suis. Quibus nihil salutare postulantibus, sed Theseum, Eumolpum, parta

de

καὶ τὰ Μηδικὰ σεμνολογουμένους, ὁ Σύλλας, Ἄπιτε, εἶπεν, ὦ μακάριοι, τοὺς λόγους τούτους ἀναλαβόντες· ἐγὼ γὰρ οὐ φιλομαθὴς ὢν εἰς Ἀθήνας ὑπὸ Ῥωμαίων ἐπέμφθην, ἀλλὰ τοὺς ἀφισταμένους καταστρεψόμενος.

Ἐν δὲ τούτῳ λέγεται τινὰς ἐν κεραμεικῷ πρεσβυτῶν ἀκούσαντας διαλεγομένων πρὸς ἀλλήλους, καὶ κακιζόντων τὸν τύραννον, ὡς μὴ φυλάττοντα τοῦ τείχους τὴν περὶ τὸ Ἑπτάχαλκον ἔφοδον καὶ προσβολήν, ᾗ μόνῃ δυνατὸν εἶναι καὶ ῥᾴδιον ὑπερβῆναι τοὺς πολεμίους, ἀπαγγεῖλαι ταῦτα πρὸς τὸν Σύλλαν. ὁ δὲ οὐ κατεφρόνησεν, ἀλλὰ ἐπελθὼν νυκτὸς, καὶ θεασάμενος τὸν τόπον ἁλώσιμον, εἴχετο τοῦ ἔργου. λέγει δὲ αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασι, τὸν πρῶτον ἐπιβάντα τοῦ τείχους, Μάρκον Τήϊον, ἀντιστάντος αὐτῷ πολεμίου, δόντα πληγὴν ἐκ καταφορᾶς τῷ κράνει περικλάσαι τὸ ξίφος, οὐ μὴν ὑφέσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν. κατελήφθη μὲν οὖν ἡ πόλις ἐκεῖθεν, ὡς Ἀθηναίων οἱ πρεσβύτατοι διεμνημόνευον. αὐτὸς δὲ Σύλλας τὸ μεταξὺ τῆς Πειραϊκῆς πύλης, καὶ τῆς ἱερᾶς κατασκάψας καὶ συνομαλύνας, περὶ μέσας νύκτας εἰσήλαυνε φρικώδης, ὑπό τε σάλπιγξι καὶ κέρασι πολλοῖς, ἀλαλαγμῷ καὶ κραυγῇ τῆς δυνάμεως ἐφ᾽ ἁρπαγὴν καὶ φόνον ἀφειμένης ὑπ᾽ αὐτοῦ, καὶ φερομένης διὰ στενωπῶν ἐσπασμένοις τοῖς ξίφεσιν· ὥστε ἀριθμὸν μηδένα γενέσθαι τῶν ἀποσφαγέντων, ἀλλὰ τῷ τόπῳ ῥυέντος αἵματος, ἔτι νῦν μετρεῖσθαι τὸ πλῆθος. ἄνευ γὰρ τῶν κατὰ τὴν ἄλλην πόλιν ἀναιρεθέντων, ὁ περὶ τὴν ἀγορὰν φόνος ἐπέσχε πάντα τὸν ἐντὸς τοῦ Διπύλου κεραμεικόν· πολλοῖς δὲ λέγεται καὶ διὰ πυλῶν κατακλύσαι τὸ προάστειον. ἀλ-
λὰ

de Medis decora jactantibus, Sylla, Facessite (inquit) beati, atque verba ista referte vobiscum. Ego quidem Athenas non discendi gratia sum a populo Romano missus, verum ad domandos rebelles.

Inter hæc in Ceramico fama est verba a quibusdam excepta fuisse, colloquentium senum & tyrannum insectantium, quod accessum & aditum ad Heptachalcon, qui unus facile hostibus superabilis esset, non sepsisset statione; illos autem hæc Syllæ renuntiasse. Qui non contemnens id, contulit se eo noctu, contemplatusque capi locum posse, rem aggressus est. Ipse commemorat in commentariis Sylla, primum in murum evasisse M. Teium, ac quum hostem, qui se objiciebat ei, feriret, ex violentia ictus quem cassidi intulit, ensem fregisse, non cessisse loco tamen, sed ibi restitisse atque eum retinuisse. Ergo capta ex illa parte urbs est, ut Atheniensium antiquissimi commemoraverunt. Ipse Sylla, quod muri inter portam Piraicam & Sacram est intermedium, diruto & solo æquato, nocte media magno terrore urbem ingressus est, canentibus tubis & cornibus frequentibus, strepituque & clamore militum ad prædam & cædem ab illo dimissorum. Volabant strictis ensibus per vicos, ut numerus iniri non posset cæsorum, sed loco copiæ inundantis sanguinis etiam hac memoria mensura agatur. Nam, ut præteream per partes urbis reliquas interfectos, qui factus in foro sanguis est, totum Ceramicum usque ad Dipylon mersit: addunt multi & per portam perfudisse suburbium. Quanquam au-

λά· τῶν δ' οὕτως ἀποθανόντων, τοσούτων γενομένων, οὐκ ἐλάσσονες ἦσαν οἱ σφᾶς αὐτοὺς διαφθείροντες, οἴκτῳ καὶ πόθῳ τῆς πατρίδος, ὡς ἀναιρεθησομένης. τοῦτο γὰρ ἀπογνῶναι καὶ φοβηθῆναι τὴν σωτηρίαν ἐποίησε τοὺς βελτίστους, οὐδὲν ἐν τῷ Σύλλᾳ φιλάνθρωπον οὐδὲ μέτριον ἐλπίσαντας. ἀλλὰ γὰρ τοῦτο μὲν, Μειδίου, καὶ Καλλιφῶντος, τῶν φυγάδων δεομένων καὶ προκυλινδουμένων αὐτοῦ, τοῦτο δὲ, τῶν συγκλητικῶν ὅσοι συνεστράτευον ἐξαιτουμένων τὴν πόλιν, αὐτός τε μεστὸς ὢν ἤδη τῆς τιμωρίας, ἐγκώμιόν τι τῶν παλαιῶν Ἀθηναίων ἐπειπὼν, ἔφη χαρίζεσθαι πολλοὺς μὲν ὀλίγοις, ζῶντας δὲ τεθνηκόσιν. ἑλεῖν δὲ τὰς Ἀθήνας αὐτός φησιν ἐν τοῖς ὑπομνήμασι, Μαρτίαις καλάνδαις, ἥτις ἡμέρα συμπίπτει μάλιστα τῇ νουμηνίᾳ τοῦ Ἀνθεστηριῶνος μηνός· ἐν ᾧ κατὰ τύχην ὑπομνήματα πολλῶν τοῦ διὰ τὴν ἐπομβρίαν ὀλέθρου καὶ τῆς φθορᾶς ἐκείνης δρῶσιν, ὡς τότε καὶ περὶ τὸν χρόνον ἐκεῖνον μάλιστα τοῦ κατακλυσμοῦ συμπεσόντος. ἑαλωκότος δὲ τοῦ ἄστεος, ὁ μὲν τύραννος εἰς τὴν ἀκρόπολιν καταφυγὼν ἐπολιορκεῖτο, Κουρίωνος ἐπὶ τούτῳ τεταγμένου· καὶ χρόνον ἐγκαρτερήσας συχνὸν, αὐτὸς ἑαυτὸν ἐνεχείρισε, δίψει πιεσθείς. καὶ τὸ δαιμόνιον εὐθὺς ἐπεσήμηνε· τῆς γὰρ αὐτῆς ἡμέρας τε καὶ ὥρας ἐκεῖνόν τε Κουρίων κατῆγε, καὶ νεφῶν ἐξ αἰθρίας συνδραμόντων, πλῆθος ὄμβρου καταῤῥαγὲν ἐπλήρωσεν ὕδατος τὴν ἀκρόπολιν. εἷλε δὲ καὶ τὸν Πειραιᾶ μετ' οὐ πολὺν χρόνον ὁ Σύλλας, καὶ τὰ πλεῖστα κατέκαυσεν· ὧν ἦν καὶ ἡ Φίλωνος ὁπλοθήκη, θαυμαζόμενον ἔργον.

Ἐν δὲ τούτῳ Ταξίλλης ὁ Μιθριδάτου στρατηγὸς, ἐκ Θρᾴκης καὶ Μακεδο-

νίας

autem numerus fuit tantus ita peremptorum, haud pauciores tamen fuerunt, qui lamentantes & dolentes vicem urbis velut interituræ, sibimetipsi manus intulere. Id enim ad desperationem & timendum de salute adegit optimos quosque, qui nihil clementiæ, nihil moderationis exspectabant a Sylla. Sed enim hinc Midia, hinc Calliphonte, exulibus orantibus & genibus ejus advolutis, hinc quicunque senatorii ordinis castra ejus sequebantur deprecantibus, vindicta jam expletus, postquam veterum Atheniensium præfatus est laudes, multos ait paucis, & defunctis vivos se concedere. Cepisse Athenas se Cal. Martiis refert in commentariis, qui dies plane in primum diem incidit mensis Anthesterionis, quo forte multa in memoriam illius ex imbribus cladis & exitii agunt, quod in idem illud potissimum tempus inciderit diluvium. Urbe capta, tyrannus in arce, quo confugerat, obsessus est, cujus rei fuit Curioni cura demandata. Quum obsidionem ille diu toleravisset, aquæ penuria pressus dedidit se. Divinitus id accidisse comprobatum illico est miraculo: nam eodem & die & momento deduxit illum Curio ex arce, & coierunt ex sereno nubes, unde imber ingentibus fusus procellis arcem aqua implevit. Nec multo post venit in Syllæ potestatem Piræum, cujus pleraque ornamenta inflammavit; in quibus armamentarium Philonis inclytum opus fuit.

Dum hæc aguntur, dux Mithridatis Taxilles ex Thracia & Macedonia centum mil-

νίας καταβεβηκὼς δέκα μυριάσι πεζῶν, καὶ μυρίοις ἱππεῦσι, καὶ τεθρίπποις ἐνενήκοντα δρεπανηφόροις, ἐκάλει τὸν Ἀρχέλαον ἔτι ναυλοχοῦντα περὶ τὴν Μουνυχίαν, καὶ μήτε τῆς θαλάττης βουλόμενον ἀποστῆναι, μήτε πρόθυμον ὄντα συμπλέκεσθαι τοῖς Ῥωμαίοις, ἀλλὰ τρίβειν χρόνῳ τὸν πόλεμον, καὶ τὰς εὐπορείας αὐτῶν ἀφαιρεῖν. ἃ δὴ πολὺ μᾶλλον ἐκείνου συνορῶν ὁ Σύλλας, ἀνέζευξεν εἰς Βοιωτίαν ἐκ χωρίων γλίσχρων, καὶ μηδὲ ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων. καὶ τοῖς πολλοῖς ἐδόκει σφάλλεσθαι τὸν λογισμὸν, ὅτι τὴν Ἀττικὴν τραχεῖαν οὖσαν καὶ δύσιππον ἀπολιπὼν, ἐνέβαλεν ἑαυτὸν πεδιάσι καὶ ἀναπεπταμέναις ταῖς περὶ τὴν Βοιωτίαν χώραις, ὁρῶν ἐν ἅρμασι καὶ ἵπποις τὴν βαρβαρικὴν οὖσαν ἀλκήν. ἀλλὰ φεύγων, ὥσπερ εἴρηται, λιμὸν καὶ σπάνιν, ἠναγκάζετο διώκειν τὸν ἐκ τῆς μάχης κίνδυνον. ἔτι δὲ Ὁρτήσιος αὐτὸν ἐφόβει, στρατηγικὸς ἀνὴρ καὶ φιλόνεικος, ὃν ἐκ Θετταλίας ἄγοντα τῷ Σύλλᾳ δύναμιν, ἐν τοῖς στενοῖς οἱ βάρβαροι παρεφύλαττον. διὰ ταῦτα μὲν εἰς τὴν Βοιωτίαν ἀνέζευξεν ὁ Σύλλας· Ὁρτήσιον δὲ Καφὶς ἡμέτερος ὢν, ἑτέραις ὁδοῖς, ψευσάμενος τοὺς βαρβάρους, διὰ τοῦ Παρνασοῦ κατήγαγεν ὑπ' αὐτὴν τὴν Τιθόραν, οὔπω τοσαύτην πόλιν οὖσαν, ὅση νῦν ἐστιν, ἀλλὰ φρούριον ἀπορρῶγι κρημνῷ περικοπτόμενον, εἰς ὃ καὶ πάλαι ποτὲ Φωκέων οἱ Ξέρξην ἐπιόντα φεύγοντες ἀνεσκευάσαντο καὶ διεσώθησαν. ἐνταῦθα καταστρατοπεδεύσας Ὁρτήσιος, ἡμέρας μὲν ἀπεκρούσατο τοὺς πολεμίους, νύκτωρ δ' ἐπὶ Πατρωνίδα ταῖς δυσχωρίαις καταβὰς, ἀπαντήσαντι τῷ Σύλλᾳ μετὰ τῆς δυνάμεως συνέμιξε.

Γενό-

libus peditum, decem equitum, curribus falcatis nonaginta movens, accivit Archelaum, qui ſtationem adhuc ad Munichiam habebat, neque cedere volebat mari, neque conſerere cum Romanis manus audebat: verum ducere ſtatuerat bellum, & intercipere illis commeatum. Quæ multo Sylla quam ille advertens liquidius, ex regionibus malignis, quæ ne per pacem quidem ad alendum exercitum ejus ſufficiebant, conceſſit in Bœotiam. Ibi multis parum recte viſus eſt conſuluiſſe, qui aſpera Attica terra & inequitabili relicta, in planiciem ſe & campos conjeciſſet Bœotiæ patentes, quum cerneret barbarorum vires curribus contineri & equitatu. Verum ad vitandam (ut diximus) famem & annonæ difficultatem, adigebatur diſcrimen tentari conflictus. Sollicitabat inſuper Syllam Hortenſius, vir rei bellicæ peritus & gloriæ cupidus, quem copias ad eum ex Theſſalia ducentem in ſaltibus captabant barbari. Hæ cauſæ fuerunt ut in Bœotiam Sylla contenderet. At Hortenſium Caphis, qui noſtras erat, illuſis barbaris, alio tramite Parnaſſo ſub ipſam duxit Tithoram, quæ id temporis tanta quanta nunc non erat urbs, verum caſtellum in crepidine præcipiti atque undique dirupta poſitum, quo Phocenſes olim, qui profugiebant Xerxis impreſſionem, contulerant ſe, & ſalutem ſuam tenuerant. Eo loci Hortenſius caſtris locatis, interdiu repulit hoſtes, nocte in Patronidem per loca confragoſa deſcendit, ubi occurrenti cum legionibus ſe conjunxit Syllæ.

Hi

Γενόμενοι δὲ κοινῇ, καταλαμβάνονται βουνὸν ἐκ μέσων ἑστῶτα τῶν Ἐλατικῶν πεδίων εὔγειον καὶ ἀμφιλαφῆ, καὶ παρὰ τὴν ῥίζαν ὕδωρ ἔχοντα. Φιλοβοιωτὸς καλεῖται, καὶ τὴν φύσιν αὐτοῦ καὶ τὴν θέσιν ἐπαινεῖ θαυμασίως ὁ Σύλλας. στρατοπεδεύσαντες δὲ, παντάπασιν ὀλίγοι τοῖς πολεμίοις κατεφάνησαν. ἱππεῖς μὲν γὰρ οὐ πλείους πεντακοσίων καὶ χιλίων ἐγένοντο, πεζοὶ δὲ, πεντακισχιλίων καὶ μυρίων ἐλάττους. ὅθεν ἐκβιασάμενοι τὸν Ἀρχέλαον οἱ λοιποὶ στρατηγοὶ, καὶ παρατάξαντες τὴν δύναμιν, ἀνέπλησαν ἵππων, ἁρμάτων, ἀσπίδων, θυρεῶν το πεδίον. τὴν δὲ κραυγὴν καὶ ἀλαλαγμὸν οὐκ ἔστεγεν ὁ ἀὴρ, ἐθνῶν τοσούτων ἅμα καθισταμένων εἰς τάξιν. ἦν δὲ ἅμα καὶ τὸ κομπῶδες καὶ σοβαρὸν αὐτῶν τῆς πολυτελείας οὐκ ἀργὸν οὐδὲ ἄχρηστον εἰς ἔκπληξιν, ἀλλ᾽ αἵ τε μαρμαρυγαὶ τῶν ὅπλων ἠσκημένων χρυσῷ τε καὶ ἀργύρῳ διαπρεπῶς, αἵ τε βαφαὶ τῶν Μηδικῶν καὶ Σκυθικῶν χιτώνων ἀναμεμιγμέναι χαλκῷ καὶ σιδήρῳ λάμποντι, πυροειδῆ καὶ φοβερὰν ἐν τῷ σαλεύεσθαι καὶ διαφέρεσθαι προσέβαλλον ὄψιν· ὥστε τοὺς Ῥωμαίους ὑπὸ τὸν χάρακα συστέλλειν ἑαυτοὺς, καὶ τὸν Σύλλαν μηδενὶ λόγῳ τὸ θάμβος αὐτῶν ἀφελεῖν δυνάμενον, βιάζεσθαί τε ἀποδιδράσκοντας οὐ βουλόμενον, ἡσυχίαν ἄγειν, καὶ φέρειν βαρέως ἐφυβρίζοντας ὁρῶντα κομπασμῷ καὶ γέλωτι τοὺς βαρβάρους. ὤνησε μέντοι τοῦτο μάλιστα πάντων αὐτόν. οἱ γὰρ ἐναντίοι καταφρονήσαντες ἐτρέποντο πρὸς ἀταξίαν πολλὴν, οὐδὲ ἄλλως ὑπήκοοι τῶν στρατηγῶν διὰ πολυαρχίαν ὄντες, ὀλίγοι μὲν ἐν τῷ χάρακι διεκαρτέρουν, ὁ δὲ πλεῖστος ὄχλος ἁρπαγαῖς καὶ πορθήμασι δελεαζόμενος, ὁδὸν ἡμερῶν πολλῶν ἀπὸ τοῦ στρατο-

Hi junctis copiis tumulum ex mediis assurgentem campis Eleaticis occupant, fertilem & arboribus vestitum: cujus ad radicem aqua est: Philobœotum appellant: hujus indolem & situm prædicat in commentariis Sylla mirifice. Castris positis, perpauci esse hostibus visi sunt. Nam equites erant non plus mille quingenti, pedites minus quindecim millia. Quare expugnarunt Archelaum reliqui duces, instructaque acie campum equis, curribus, clypeis scutisque complerunt. Strepitum & ululatum tam multarum simul stantium in acie nationum non capiebat aer. Neque vero ad terrorem splendoris insolentia & ostentatio otiosa erat vel inutilis, sed armorum fulgor ex auro & argento pulchre fabrefactorum, Medicorumque & Scythicorum colores sagorum æri & ferro confusi micanti, flammeam horridamque in motu & discursu objiciebant speciem; ut Romani contraherent se intra vallum: Sylla vero, quum pavorem eorum abstergere nulla ratione valeret, nec sustineret vim adhibere consternatis, quiesceret discruciareturque illudentes ipsis cum insolentia & risu barbaros cernens. Commodi præbuit id ei tamen plurimum, quando hostes, nec alias ducibus (quod plures haberent) parentes, contemptu Romanorum nihil servaverunt ordines. Pauci in castris manebant, pleraque colluvies rapinis & populationibus inescata diffundebatur multorum dierum itinere a castris, nullius-

τοπέδου διεσπείρετο, καὶ τήν τε τῶν Πανοπέων πόλιν ἐκκόψαι λέγονται, καὶ τὴν Λεβαδαίων διαρπάσαι, καὶ συλῆσαι τὸ μαντεῖον, οὐδενὸς στρατηγοῦ πρόσταγμα δόντος. ὁ δὲ Σύλλας, ἐν ὄμμασιν αὐτοῦ πόλεων ἀπολλυμένων, δυσανασχετῶν καὶ λυπούμενος, οὐκ εἴα τοὺς στρατιώτας σχολάζειν, ἀλλὰ προσάγων αὐτοὺς ἠνάγκαζεν τόν τε Κηφισὸν ἐκ τοῦ ῥεέθρου παρατρέπειν, καὶ τάφρους ὀρύσσειν· ἀνάπαυλαν οὐδενὶ διδοὺς, καὶ τῶν ἐνδιδόντων ἀπαραίτητος ἐφεστὼς κολαστὴς, ὅπως ἀπαγορεύσαντες πρὸς τὰ ἔργα, διὰ τῶν πόνων ἀσπάσωνται τὸν κίνδυνον. ὃ καὶ συνέβη. τρίτην γὰρ ἡμέραν ἐργαζόμενοι, τοῦ Σύλλα παρεξιόντος, ἐδέοντο μετὰ κραυγῆς ἄγειν ἐπὶ τοὺς πολεμίους. ὁ δὲ οὐ μάχεσθαι βουλομένων, ἀλλὰ μὴ βουλομένων πονεῖν, ἔφησεν εἶναι τὸν πόλεμον· εἰ δὲ ὄντως ἔχουσιν ἀγωνιστικῶς, ἐκέλευσεν ἤδη μετὰ τῶν ὅπλων ἐλθεῖν ἐκεῖσε· δείξας αὐτοῖς τὴν πρότερον μὲν γενομένην ἀκρόπολιν τῶν Παραποταμίων, τότε δὲ ἀνῃρημένης τῆς πόλεως, λόφος ἐλείπετο πετρώδης καὶ περίκρημνος, τοῦ Ἡδυλίου διωρισμένος ὄρους, ὅσον ὁ Ἄσος ἐπέχει ῥέων, εἶτα συμπίπτων ὑπὸ τὴν ῥίζαν αὐτὴν τῷ Κηφισῷ, καὶ συνεκτραχυνόμενος, ὀχυρὰν ἐνστρατοπεδεῦσαι τὴν ἄκραν ποιεῖ. διὸ καὶ τοὺς χαλκάσπιδας ὁρῶν τῶν πολεμίων ὠθουμένους ἐπ' αὐτὴν ὁ Σύλλας, ἐβούλετο φθῆναι καταλαβὼν τὸν τόπον, καὶ κατέλαβε, χρησάμενος τοῖς στρατιώταις προθύμοις. ἐπεὶ δὲ ἀποκρουσθεὶς ἐκεῖθεν ὁ Ἀρχέλαος ὥρμησεν ἐπὶ τὴν Χαιρώνειαν, οἱ δὲ συστρατευσάμενοι τῶν Χαιρωνέων ἐδέοντο τοῦ Σύλλα μὴ προέσθαι τὴν πόλιν, ἐκπέμπει τῶν χιλιάρχων ἕνα Γαβίνιον μετὰ τάγματος ἑνὸς, καὶ τοὺς Χαιρωνεῖς ἀφίησι,

liusque juſſu ducis oppidum Panopæorum excidiſſe perhibentur, Lebadæorum diripuiſſe & oraculum expilaſſe. Sylla vero, ſub cujus oculis oppida evertebantur, id indigne patiens anxiuſque, non permiſit feriari milites, ſed admovit eos labori, Cephiſumque derivare & foſſas cogebat ducere, neque laxamentum indulgebat ulli, elangueſcentes ſtatim ſeveriſſime plectebat, ut operum faciendorum confecti laboribus, certamen concupiſcerent: quod evenit. Nam tertio die quam laborare cœpiſſent, quum præteriret Sylla, cum clamoribus rogaverunt eum, duceret ipſos in hoſtes. Ille non pugnare cupientium, ſed laborem defugientium eſſe belli deſiderium dixit: quod ſi dimicare averent, juſſit ut extemplo armati illuc pergerent. Oſtendit his eam quæ arx quondam Parapotamiorum fuerat, tunc vero exciſo oppido collis reſtabat ſaxoſus & abruptus, ab Edylio monte tanto diremptus ſpatio, quantum Aſſus fluvius occupat; qui deinde admiſtus ſub ipſam radicem Cephiſo, redditusque cum eo torrentior, munitum efficit caſtris ponendis cacumen. Quare ubi chalcaſpidas eo vidit Syllа rapi, cupiebat locum prior occupare, & alacritate militum uſus occupavit. Ut repulſus inde Archelaus petit Chæroneam, ac Chæronenſes, qui in præſidiis erant Romanorum, Syllam oraverunt ne dsereret oppidum ſuum, unum miſit tribunum militum Geminium cum una legione, & Chæronenſes dimittit. Qui quum

νοσι, βουληθέντας μὲν, οὐ μὴν δυνηθέντας φθῆναι τὸν Γαβίνιον. οὕτως ἦν ἀγαθὸς καὶ προθυμότερος εἰς τὸ σῶσαι τῶν σωθῆναι δεομένων. ὁ δὲ Ἰόβας οὐ Γαβίνιον φησὶ πεμφθῆναι, ἀλλὰ Ἐρίκιον. ἡ μὲν οὖν πόλις ἡμῶν παρὰ τοσοῦτον ἐξέφυγε τὸν κίνδυνον.

Ἐκ δὲ Λεβαδείας καὶ τοῦ Τροφωνίου φῆμαί τε χρησταὶ καὶ νικηφόρα μαντεύματα τοῖς Ῥωμαίοις ἐξεπέμποντο. περὶ ὧν οἱ μὲν ἐπιχώριοι πλείονα λέγουσιν· ὡς δὲ Σύλλας αὐτὸς ἐν τῷ δεκάτῳ τῶν ὑπομνημάτων γέγραφε, Κόϊντος Τίτος, οὐκ ἀφανὴς ἀνὴρ τῶν ἐν τῇ Ἑλλάδι πραγματευομένων, ἧκε πρὸς αὐτὸν ἤδη τὴν ἐν Χαιρωνείᾳ νενικηκότα μάχην, ἀπαγγέλλων ὅτι καὶ δευτέραν ὁ Τροφώνιος αὐτόθι μάχην καὶ νίκην προσημαίνει ἐντὸς ὀλίγου χρόνου. μετὰ δὲ τοῦτον, ἀνὴρ τῶν ἐν τάξει στρατευομένων, ὄνομα Σαλουήνιος, ἀνήνεγκε παρὰ τοῦ Θεοῦ τέλος οἷον αἱ κατὰ τὴν Ἰταλίαν πράξεις ἔμελλον ἕξειν. ἀμφότεροι δὲ ταὐτὰ περὶ τῆς ὀμφῆς ἔφραζον· τῷ γὰρ Ὀλυμπίῳ Διῒ καὶ τὸ κάλλος καὶ τὸ μέγεθος παραπλήσιον ἰδεῖν ἔφασαν. ἐπεὶ δὲ διέβη τὸν Ἄσον ὁ Σύλλας, παρελθὼν ὑπὸ τὸ Ἡδύλιον, τῷ Ἀρχελάῳ παρεστρατοπέδευσε, βεβλημένῳ χάρακα καρτερὸν ἐν μέσῳ τοῦ Ἀκοντίου καὶ τοῦ Ἡδυλίου, πρὸς τοῖς λεγομένοις Ἀσίοις. ὁ μέντοι τόπος ἐν ᾧ κατεσκήνωσεν, ἄχρι νῦν Ἀρχέλαος ἀπ' ἐκείνου καλεῖται. διαλείπων δὲ μίαν ἡμέραν ὁ Σύλλας, Μουρήναν μὲν ἔχοντα τάγμα καὶ σπείρας δύο πρὸς τὸ τοῖς πολεμίοις ἐνοχλῆσαι ταραττομένοις ἀπέλειπεν· αὐτὸς δὲ παρὰ τὸν Κηφισὸν ἐσφαγιάζετο, καὶ τῶν ἱερῶν γενομένων, ἐχώρει πρὸς τὴν Χαιρώνειαν, ἀναληψόμενός τε τὴν αὐτόθι στρατείαν, καὶ κατοψόμενος τὸ

quum cuperent, non potuerunt Geminium tamen antevertere. Adeo fuit ille probus, & acrior ad subveniendum quam illi qui opem requirebant. Juba non Geminium, sed Ericium ait missum. Tantulum abfuit oppidum nostrum quin in periculum caderet.

A Lebadia & Trophonio tum rumores secundi, tum oracula prospera Romanis nuntiata, de quibus plura incolæ commemorant. Ut vero ipse in decimo commentario Sylla prodidit, Q. Titius, non obscurus inter eos qui in Græcia negotiabantur, adiit eum, quum jam ad Chæroneam fudisset hostes, retulitque ei a Trophonio alterius pugnæ, quæ ibidem esset committenda, brevi palmam sponderi. Post hunc quidam ex cohorte prætoria, Salvenius nomine, futurum rerum Italicarum retulit ex divina inspiratione eventum. Easdem enim uterque sortes annuntiavit. Nam venustatem & magnitudinem Jovis Olympii germanam se narrabant vidisse. Postquam Assum Sylla transmisit, processit sub Edylium, & castra contulit castris Archelai, qui vallum firmum inter Acontium & Edylium juxta Assia, quæ vocant, jecerat. Locus ubi consedit, nominatur ab illo adhuc Archelaus. Sylla, uno die intermisso, Murenam cum una legione & cohortibus duabus ad lacessendos turbatos hostes reliquit. Ipse juxta Cephisum sacrificavit. Sacris peractis, processit Chæroneam ad recipiendas copias eas quæ illic erant, atque

τὸ καλούμενον Θούριον ὑπὸ τῶν πολεμίων προκατειλημμένον. ἔστι δὲ κορυφὴ τραχεῖα, καὶ στροβιλῶδες ὄρος, ὃ καλοῦμεν ὀρθόπαγον. ὑπὸ δὲ αὐτὸ τὸ ῥεῦμα τοῦ Μορίου καὶ Θουρίου ναὸς Ἀπόλλωνος. ὠνόμασται δὲ ὁ Θεὸς ἀπὸ Θουροῦς τῆς Χαίρωνος μητρὸς, ὃν οἰκιστὴν γεγονέναι τῆς Χαιρωνείας ἱστοροῦσιν. οἱ δέ φασι τὴν Κάδμῳ δοθεῖσαν ὑπὸ τοῦ Πυθίου καθηγεμόνα βοῦν ἐκεῖ φανῆναι, καὶ τὸν τόπον ἀπ' αὐτῆς οὕτω προσαγορευθῆναι. θὼρ γὰρ οἱ Φοίνικες τὴν βοῦν καλοῦσι. προσιόντος δὲ τοῦ Σύλλα πρὸς τὴν Χαιρώνειαν, ὁ τεταγμένος ἐν τῇ πόλει χιλίαρχος ἐξωπλισμένους ἄγων τοὺς στρατιώτας, ἀπήντησε στέφανον δάφνης κομίζων. ὡς δὲ δεξάμενος ἠσπάσατο τοὺς στρατιώτας καὶ παρώρμησε πρὸς τὸν κίνδυνον, ἐντυγχάνουσιν αὐτῷ δύο τῶν Χαιρωνέων ἄνδρες, Ὁμολώϊχος καὶ Ἀναξίδαμος, ὑφιστάμενοι τοὺς τὸ Θούριον κατέχοντας ἐκκόψειν, ὀλίγους στρατιώτας παρ' ἐκείνου λαβόντες. ἀτραπὸν γὰρ εἶναι τοῖς βαρβάροις ἄδηλον, ἀπὸ τοῦ καλουμένου Πετρώχου παρὰ τὸ Μουσεῖον ἐπὶ τὸ Θούριον ὑπὲρ κεφαλῆς ἄγουσαν· ᾗ πορευθέντες οὐ χαλεπῶς ἐπιπεσεῖσθαι, καὶ καταλεύσειν ἄνωθεν αὐτοὺς, ἢ συνώσειν εἰς τὸ πεδίον. τοῦ Γαβινίου τοῖς ἀνδράσι μαρτυρήσαντος ἀνδρείαν καὶ πίστιν, ἐκέλευεν ἐπιχειρεῖν ὁ Σύλλας· αὐτὸς δὲ συνέταττε τὴν φάλαγγα, καὶ διένειμε τοὺς ἱππότας ἐπὶ κέρως ἑκατέρου, τὸ δεξιὸν αὐτὸς ἔχων, τὸ δ' εὐώνυμον ἀποδοὺς Μουρήνᾳ. Γάλλος δὲ καὶ Ὁρτήσιος, οἱ πρεσβευταὶ, σπείρας ἐπιτάκτους ἔχοντες ἔσχατοι, παρενέβαλον ἐπὶ τῶν ἄκρων φύλακες πρὸς τὰς κυκλώσεις. ἑωρῶντο γὰρ οἱ πολέμιοι κατα-

atque ut Thurion, ita locum dicunt, contemplaretur, quod præverterant hoſtes occupare. Cacumen eſt aſperum, & in turbinem faſtigiatum, quod ὀρθόπαγον vocamus. Sub hoc Morius labitur, & fanum eſt Apollinis Thurii. Nomen hic Deus a Thuro Chæronis matre dicitur ſortitus, quem condidiſſe ferunt Chæroneam. Alii vaccam, quam dederat Cadmo Pythius viæ ducem, ibi autumant oculis ejus ſe obtuliſſe, ac locum ab ea nomen inveniſſe, quod vaccam Thor appellent Phœnices. Syllæ autem, quum Chæroneam appropinquaret, tribunus, quem præfecerat oppido, proceſſit cum armatis militibus obviam, ferens ei coronam lauream. Qua accepta, ubi milites ſalutavit, & ad diſcrimen ſubeundum incendit, cives duo Chæronenſes adeunt eum, Homoloichus & Anaxidamus. Hi polliciti ſunt ei, ſi paucos milites traderet ſibi, præſidium Thurii ſe dejecturos. Nam callem eſſe hoſtibus ignotum, qui a Petrocho (ſic locum dicunt) ſecundum Muſeum ducit in Thurion ſupra illorum caput. Eam ſemitam ſi iniiſſent, haud difficulter evaſuros ſe ſupra illos, & ſuperne ſaxis eos obruituros, aut depulſuros in planiciem. Quorum quum Geminius virtutem ac fidem commendaret, juſſit Sylla ut rem aggrederentur. Hinc aciem inſtruit, & equitatum diſtribuit in cornua. In dextro ipſe egit, Murenæ attribuit ſiniſtrum. Gallus & Hortenſius legati, cum cohortibus ſubſidiariis noviſſimam aciem claudebant, & in jugis montium conſederunt occulte, intenti ne circumveniretur acies. Videbant enim equi-

κατασκευάζοντες ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς ποδώκεσιν εἰς ἐπιστροφὴν τὸ κέρας ἀκαμπὲς καὶ κοῦφον, ὡς μακρὰν ἀνάξοντες, καὶ κυκλωσόμενοι τοὺς Ῥωμαίους.

Ἐν δὲ τούτῳ, τὸν τῶν Χαιρωνέων Ἐρίκιον ἄρχοντα παρὰ τοῦ Σύλλα λαβόντων, καὶ περιελθόντων ἀδήλως τὸ Θούριον, εἶτα ἐπιφανέντων, θόρυβος ἦν πολὺς καὶ φυγὴ τῶν βαρβάρων, καὶ φόνος ὑπ᾽ ἀλλήλων ὁ πλεῖστος. οὐ γὰρ ὑπέμειναν, ἀλλὰ κατὰ πρανοῦς φερόμενοι, τοῖς τε δόρασι περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν, καὶ κατεκρήμνιζον ὠθοῦντες ἀλλήλους, ἄνωθεν ἐπικειμένων τῶν πολεμίων, καὶ τὰ γυμνὰ παιόντων· ὥστε τρισχιλίους πεσεῖν περὶ τὸ Θούριον. τῶν δὲ φευγόντων τοὺς μὲν εἰς τάξιν ἤδη καθεστὼς ὁ Μουρήνας ἀπετέμνετο, καὶ διέφθειρεν ὑπαντιάζων· οἱ δὲ ὠσάμενοι πρὸς τὸ φίλιον στρατόπεδον, καὶ τῇ φάλαγγι φύρδην ἐμπεσόντες, ἀνέπλησαν δέους καὶ ταραχῆς τὸ πλεῖστον μέρος, καὶ διατριβὴν τοῖς στρατηγοῖς ἐνεποίησαν, οὐχ ἥκιστα βλάψασαν αὐτούς. ὀξέως γὰρ ὁ Σύλλας ταρασσομένοις ἐπαγαγὼν, καὶ τὸ μέσον διάστημα τῷ τάχει συνελὼν, ἀφείλετο τὴν τῶν δρεπανηφόρων ἐνέργειαν. ἔρρωνται γὰρ μάλιστα μήκει δρόμου, σφοδρότητα καὶ ῥύμην διεξελάσει διδόντος, αἱ δὲ ἐκ βραχέος ἀφέσεις, ἄπρακτοι καὶ ἀμβλεῖαι, καθάπερ βελῶν τάσεις οὐ λαβόντων. ὃ δὴ καὶ τότε τοῖς βαρβάροις ἀπήντα, καὶ τὰ πρῶτα τῶν ἁρμάτων ἀργῶς ἐξελαυνόμενα, καὶ προσπίπτοντα νωθρῶς, ἐκκρούσαντες οἱ Ῥωμαῖοι μετὰ κρότου καὶ γέλωτος, ἄλλα ᾔτουν, ὥσπερ εἰώθασιν ἐν ταῖς θεατρικαῖς ἱπποδρομίαις. τοὐντεῦθεν αἱ πεζαὶ δυνάμεις συνέρραγησαν, τῶν μὲν βαρβάρων προβαλ-

equitatus multitudine & pernicitate levis armaturæ hostes moliri, ut cornua flexibilia & agilia ad intorquendum, in longum porrigerent & cicumjicerent Romanos.

Interea quum Chæronenses, qui acceperant præfectum a Sylla Ericium, flexo occulte Thurio ostendissent se, ingens turba & fuga exorta barbarorum est, stragesque mutua plurima. Neque enim manere sustinuerunt, sed præcipites in suas ipsorum se induerunt hastas, mutuoque impulsu deturbaverunt semetipsi, superne ingruentibus hostibus, & nuda terga cædentibus. Ita circa Thurium tria millia cecidere. Fugientes partim Murena instructa jam acie excipiens concidit obtruncavitque, partim rejecti ad suorum castra & in phalangem irruentes tumultuarie, maximam partem terrore & æstu concivere, distinuerunt que duces: quæ res eis magnum detrimentum attulit. Nam in turbatos Sylla acriter invectus, atque interjecto intervallo celeriter percurso, currus falcatos reddidit irritos. Quippe pollent præcipue prolixitate cursus, qui concitationem & impetum præbet vi perruptionis: spatia brevia vanos efficiunt & languidos, telorum modo arcus nervo minus intenso jaculatorum. Quod quidem tum usu venit barbaris. Primos enim currus molliter emissos ac lente invectos repellentes Romani cum plausu & risu, ut ludis Circensibus solent, alios poscebant. Hinc pedestres copiæ concurrerunt. Barbari longas hastas infestas prætenderunt, quo

βαλλομένων τὰς σαρίσας μακράς, καὶ πειρωμένων τῷ συνασπισμῷ τὴν φάλαγγα διατηρεῖν ἐν τάξει· τῶν δὲ Ῥωμαίων τοὺς μὲν ὑσσοὺς αὐτοῦ καταβαλόντων, σπασαμένων δὲ τὰς μαχαίρας, καὶ παρακρουομένων τὰς σαρίσας, ὡς τάχιστα προσμίξειαν αὐτοῖς δι' ὀργήν. προτεταγμένους γὰρ ἑώρων τῶν πολεμίων μυρίους καὶ πεντακισχιλίους θεράποντας, οὓς ἐκ τῶν πολεμίων κηρύγμασιν ἐλευθεροῦντες οἱ βασιλέως στρατηγοί, κατελόχιζον εἰς τοὺς ὁπλίτας. καί τις ἑκατοντάρχης λέγεται Ῥωμαῖος εἰπεῖν, ὡς ἐν Κρονίοις μόνον εἰδείη τῆς παρρησίας δούλους μετέχοντας. τούτους μὲν οὖν διὰ βάθος καὶ πυκνότητα βραδέως ἐξωθουμένους ὑπὸ τῶν ὁπλιτῶν, καὶ παρὰ φύσιν μένειν τολμῶντας, αἵ τε βελοσφενδόναι καὶ οἱ γρόσφοι, χρωμένων ἀφειδῶς τῶν κατόπιν Ῥωμαίων, ἀπέστρεφον καὶ συνετάραττον.

Ἀρχελάου δὲ τὸ δεξιὸν κέρας εἰς κύκλωσιν ἀνάγοντος, Ὁρτήσιος ἐφῆκε τὰς σπείρας δρόμῳ προσφερομένας, ὡς ἐμβαλῶν πλαγίοις. ἐπιστρέψαντος δὲ ταχέως ἐκείνου τοὺς περὶ αὐτὸν ἱππεῖς δισχιλίους, ἐκθλιβόμενος ὑπὸ πλήθους, προσεστέλλετο τοῖς ὀρεινοῖς, κατὰ μικρὸν ἀπορρηγνύμενος τῆς φάλαγγος, καὶ περιλαμβανόμενος ὑπὸ τῶν πολεμίων. πυθόμενος δὲ ὁ Σύλλας, ἀπὸ τοῦ δεξιοῦ μήπω συμπεπτωκότος εἰς μάχην ἐδίωκε βοηθῶν. Ἀρχέλαος δὲ τῷ κονιορτῷ τῆς ἐλάσεως ὅπερ ἦν τεκμηράμενος, Ὁρτήσιον μὲν εἴα χαίρειν, αὐτὸς δὲ ἐπιστρέψας ὅθεν ὥρμησεν ὁ Σύλλας πρὸς τὸ δεξιόν, ὡς ἔρημον ἄρχοντος αἱρήσων. ἅμα δὲ καὶ Μουρήνᾳ Ταξίλλης ἐπῆγε ἐπὶ τοὺς χαλκάσπιδας· ὥστε τῆς κραυγῆς διχόθεν φερομένης, καὶ τῶν ὀρῶν ἀν-

quo phalangem conferta acie integram retinerent. Romani projectis extemplo pilis, strinxerunt gladios, quibus sarissas avesterunt, quo flagrantes propere manus cum illis conferrent. Conspiciebant enim ante signa hostium quindecim millia servorum, quos de hostibus duces regii per edictum manumissos inter ordines militares centuriaverant. Fertur hic centurio quidam Romanus dixisse, non nisi Saturnalibus vidisse se libertatem usurpare servos. Hos, quum ob profundam & densam aciem tarde ab Romanis legionariis impellerentur, & præter ingenium suum tenere ausos locum, grandine missilium & fundis emissarum abunde glandium secunda acies Romana avertit & turbavit.

Quum dextro cornu producto, circumvenire Archelaus pararet Romanos, emisit Hortensius citato cursu cohortes suas, in latus ut inveherentur. Sed quum flexisset ille cito in latus duo millia equitum, quos circa se habebat, pressus a multitudine Hortensius, recepit se pedetentim ad montana, avulsusque ab acie sua circumvenitur ab hostibus. Quo nuntiato, Sylla ab dextro cornu, quod nondum contulerat signa, expedito cursu accurrit eo ad ferendas suppetias. Archelaus ex pulvere ab equitibus excitato suspicatus id quod erat, reliquit Hortensium, atque, unde advehebatur Sylla, se ad cornu dextrum flexit, sperans id se sine duce inventurum. Simul in Murenam infert Taxilles chalcaspidas. Itaque, quum clamor duobus ex locis acci-

ἀνταποδιδόντων τὴν περιήχησιν, ἐπιστήσαντα τὸν Σύλλαν διαπορεῖν ὁποτέρωσε χρὴ προσγενέσθαι. δόξαν δὲ τὴν ἑαυτοῦ τάξιν ἀναλαμβάνειν, Μουρήνᾳ μὲν ἀρωγὸν ἔπεμψεν Ὁρτήσιον, ἔχοντα τέσσαρας σπείρας, αὐτὸς δὲ, τὴν πέμπτην ἕπεσθαι κελεύσας, ἐπὶ τὸ δεξιὸν ἠπείγετο, καὶ καθ᾽ ἑαυτὸ μὲν ἀξιομάχως ἤδη τῷ Ἀρχελάῳ συνεστηκός. ἐκείνου δὲ ἐπιφανέντος, παντάπασιν ἐξεβιάσαντο, καὶ κρατήσαντες ἐδίωκον πρός τε τὸν ποταμὸν καὶ τὸ Ἀκόντιον ὄρος προτροπάδην φεύγοντας. οὐ μὴν ὅ γε Σύλλας ἠμέλησε Μουρήνα κινδυνεύοντος, ἀλλὰ ὥρμησε τοῖς ἐκεῖ βοηθεῖν· ἰδὼν δὲ νικῶντας, τότε τῆς διώξεως μετεῖχε. πολλοὶ μὲν οὖν ἐν τῷ πεδίῳ τῶν βαρβάρων ἀνῃροῦντο, πλεῖστοι δὲ τῷ χάρακι προσφερόμενοι κατεκόπησαν· ὥστε μυρίους διαπεσεῖν εἰς Χαλκίδα μόνους ἀπὸ τοσούτων μυριάδων. ὁ δὲ Σύλλας λέγει τέσσαρας καὶ δέκα ἐπιζητῆσαι τῶν αὐτοῦ στρατιωτῶν, εἶτα καὶ τούτων δύο πρὸς τὴν ἑσπέραν παραγενέσθαι. διὸ καὶ τοῖς τροπαίοις ἐπέγραψεν Ἄρη καὶ Νίκην καὶ Ἀφροδίτην, ὡς οὐχ ἧττον εὐτυχίᾳ κατορθώσας ἢ δεινότητι καὶ δυνάμει τὸν πόλεμον. ἀλλὰ τοῦτο μὲν τὸ τρόπαιον ἕστηκε τῆς πεδιάδος μάχης, ᾗ πρῶτον ἀνέκλιναν οἱ περὶ Ἀρχέλαον μέχρι παρὰ τὸ Μόλου ῥεῖθρον. ἕτερον δ᾽ ἐστὶ τοῦ Θουρίου κατὰ κορυφὴν βεβηκὸς, ἐπὶ τῇ κυκλώσει τῶν βαρβάρων, γράμμασιν Ἑλληνικοῖς ἐπισημαῖνον Ὁμολόϊχον καὶ Ἀναξίδαμον ἀριστεῖς. ταύτης τὰ ἐπινίκια τῆς μάχης ἦγεν ἐν Θήβαις, περὶ τὴν Οἰδιπόδειον κρήνην κατασκευάσας θυμέλην. οἱ δὲ κρίνοντες, ἦσαν Ἕλληνες ἐκ τῶν ἄλλων ἀνακεκλημένοι πόλεων· ἐπεὶ πρός γε Θηβαίους ἀδιαλλάκτως εἶχε, καὶ τῆς χώρας

cideret, & montes undique ſtrepitum referrent, reſtitit ſuſpenſus Sylla utram ad partem accurreret. Tandem ut ſatius viſum ad locum ſuum redire, Murenæ Hortenſium cum quatuor cohortibus ſubmiſit, juſſoque ut ſe quinta ſequeretur, properavit ad dexterum cornu, quod jam æquo Marte per ſe præliabatur cum Archelao. At illo conſpecto, Archelaum ſemel profligaverunt. Fuſos & ad flumen montemque Acontium effuſe fugientes inſectati ſunt. Porro Murenæ periculum non neglexit Sylla, ſed contendit ad ferendam illi parti opem. Quos ubi victores conſpexit, tunc ipſe ad conſectandum ſe contulit hoſtem. Multi igitur barbari per campum cæſi, plurimi quos fuga ad caſtra detulit, obtruncati: adeo ut decem millia ſolum ex tam multis legionibus Chalcidem effugere. Sylla de exercitu ſuo refert quatuordecim deſideratos, quorum etiam duos ſub veſperam adfuiſſe. Unde trophæis Martem, Victoriam, & Venerem inſcripſit, quod non minus fœlicitate palmam eo prœlio, quam conſilio & virtute tuliſſet. Cæterum hoc trophæum fuit de campeſtri victoria erectum, quo loco primum Archelai copiæ uſque ad Moli ripam pedem retulerunt. Alterum in Thurii vertice poſitum eſt de circumventis barbaris. Id literis Græcis Homoloichi & Anaxidami virtute partam victoriam ſignificat. Ludos hujus pugnæ cauſa Thebis extructa apud fontem OEdipodium ſcena edidit. Judices ex aliis Græciæ civitatibus evocati: quandoquidem in Thebanos implacabili exarſerat ira, eos dimidio agri mul-

ρας αὐτῶν ἀποτεμόμενος τὴν ἡμίσειαν, τῷ Πυθίῳ καὶ τῷ Ὀλυμπίῳ καθιέρωσεν, ἐκ τῶν προσόδων κελεύσας ἀποδίδοσθαι τὰ χρήματα τοῖς Θεοῖς ἅπερ αὐτὸς εἰλήφει.

Μετὰ ταῦτα, πυνθανόμενος Φλάκκον, ἀπὸ τῆς ἐναντίας στάσεως ὕπατον ᾑρημένον, διαπερᾶν τὸν Ἰόνιον μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ Μιθριδάτην, ἔργῳ δὲ ἐπὶ ἐκεῖνον αὐτὸν, ὥρμησεν ἐπὶ Θετταλίας ὡς ἀπαντήσων· γενομένῳ δὲ αὐτῷ περὶ πόλιν Μελίτειαν, ἀφικνοῦνται πολλαχόθεν ἀγγελίαι, πορθεῖσθαι τὰ κατόπιν αὖθις οὐκ ἐλάττονι στρατιᾷ βασιλικῇ τῆς προτέρας. Δορύλαος γὰρ εἰς Χαλκίδα καταχθεὶς παρασκευῇ νεῶν πολλῇ, ἐν αἷς ἦγεν ὀκτὼ μυριάδας, ἠσκημένας καὶ συντεταγμένας ἄριστα δὴ τῆς Μιθριδατικῆς στρατείας, εὐθὺς εἰς Βοιωτίαν ἐνέβαλε, καὶ κατεῖχε τὴν χώραν, προθυμούμενος εἰς μάχην ἐπισπάσασθαι τὸν Σύλλαν· οὐ προσέχων Ἀρχελάῳ διακωλύοντι, καὶ λόγον περὶ τῆς προτέρας μάχης διαδοὺς, ὡς οὐκ ἄνευ προδοσίας μυριάδες τοσαῦται διαφθαρεῖεν. οὐ μὴν ἀλλὰ ὁ Σύλλας ταχέως ὑποστρέψας, ἀπέδειξε τῷ Δορυλάῳ τὸν Ἀρχέλαον ἄνδρα φρόνιμον, καὶ τῆς Ῥωμαίων ἐμπειρότατον ἀρετῆς· ὥστε μικρὰ αὐτὸν τῷ Σύλλᾳ περὶ τὸ Τιλφώσιον ἐμπεσόντα, πρῶτον εἶναι τῶν οὐκ ἀξιούντων κρίνεσθαι διὰ μάχης, ἀλλὰ δαπάναις καὶ χρόνῳ τρίβειν τὸν πόλεμον. ὅμως δὲ θάρσος τι τῷ Ἀρχελάῳ παρεῖχεν ὁ πρὸς Ὀρχομενῷ τόπος, ἐν ᾧ κατεστρατοπέδευσαν, εὐφυέστατος ὢν ἱπποκρατοῦσιν ἐναγωνίσασθαι. τῶν γὰρ Βοιωτίων πεδίων, ὅ, τι περ ἐστὶ κάλλιστον καὶ μέγιστον, τοῦτο τῆς Ὀρχομενίων ἐξηρτημένον πόλεως, μόνον ἀναπέπλαται),

mulctavit, quod Apollini & Jovi Olympio consecravit, atque ex proventibus argentum quod ceperat, exsolvi Diis imperavit.

Hinc nuntiato, Flaccum, qui ex adversa factione fuerat consul creatus, transmeare cum legionibus mare Ionium, verbo contra Mithridatem, revera contra se ipsum: huic ut occurreret, contendit in Thessaliam. Ut ad oppidum Meliteam venit, diversis ex locis allatum est, regionem, quam reliquerat a tergo, ab non minore exercitu regio quam ante conculcari. Siquidem Dorylaus, qui Chalcidem appulerat grandi navium apparatu, qua advexerat armatorum octogiata millia, qui erant in omnibus Mithridatis militibus optime exercitati & instructi, confestim Bœotiam incurrit, atque ea ora potitus, contendit Syllam ad dimicandum elicere. Nec audivit Archelaum qui ipsum deterrebat, sparsitque de superiore pugna rumorem, haud citra proditionem tot legiones cæsas. Atqui regressus celeriter Sylla, cito Dorylao virum non modo prudentem Archelaum, sed Romanæ etiam virtutis demonstravit peritissimum; adeo ut ipse post levia quædam prœlia ad Tilphossium cum Sylla commissa, primus autor fuerit ne acie decerneretur, verum sumptibus & diuturnitate belli attererent Syllam. Attamen nonnihil animi dedit Archelao locus ad Orchomenum, ubi castra habebat, qui commodissimus ad prœliandum equitatu prævalentibus est. Namque ex campis Bœotiis optimus & spatiosissimus adjacet Orchomeniorum oppido, qui solus expanditur

πέπταται, καὶ ἄδενδρον, ἄχρι τῶν ἑλῶν ἐν οἷς ὁ Μέλας καταναλίσκεται ποταμός, ἀνατέλλων μὲν ὑπὸ τὴν πόλιν τῶν Ὀρχομενίων πολὺς καὶ πλώϊμος ἐν πηγαῖς μόνος τῶν Ἑλληνικῶν ποταμῶν· αὐξόμενος δὲ ὑπὸ τροπὰς θερινάς, ὥσπερ Νεῖλος, καὶ φέρων ὅμοια τοῖς ἐκεῖ τὰ φυόμενα, πλὴν ἄκαρπα καὶ ἀναυξῆ. πόρρω δ' οὐ πρόεισιν, ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς εἰς λίμνας τυφλὰς καὶ ὑλώδεις ἀφανίζεται· μέρος δ' οὐ πολὺ τῷ Κηφισῷ συμμίγνυται, περὶ ὃν μάλιστα τόπον ἡ λίμνη δοκεῖ τὸν αὐλητικὸν ἐκφέρειν κάλαμον.

Ἐπεὶ δ' ἐγγὺς κατεστρατοπέδευσαν, ὁ μὲν Ἀρχέλαος ἡσύχαζεν, ὁ δὲ Σύλλας ὤρυττε τάφρους ἑκατέρωθεν, ὅπως, εἰ δύναιτο, τῶν στερεῶν καὶ ἱππασίμων ἀποτεμόμενος τοὺς πολεμίους, ὤσειεν εἰς τὰ ἕλη. τῶν δ' οὐκ ἀνασχομένων, ἀλλ', ὡς ἀφείθησαν ὑπὸ τῶν στρατηγῶν, ἐντόνως καὶ ῥύδην ἐλαυνόντων, οὐ μόνον οἱ περὶ τὰ ἔργα τοῦ Σύλλα διεσκεδάσθησαν, ἀλλὰ καὶ τοῦ παρατεταγμένου συνεχύθη τὸ πλεῖστον φυγόν. ἔνθα δὴ Σύλλας αὐτὸς ἀποπηδήσας τοῦ ἵππου, καὶ σημεῖον ἀναρπάσας, ὠθεῖτο διὰ τῶν φευγόντων εἰς τοὺς πολεμίους βοῶν, Ἐμοὶ μὲν ἐνταῦθα καλόν, ὦ Ῥωμαῖοι, τελευτᾶν· ὑμεῖς δὲ τοῖς πυνθανομένοις ποῦ προδεδώκατε τὸν αὐτοκράτορα, μεμνημένοι φράζειν ὡς ἐν Ὀρχομενῷ. τούτους τε δὴ τὸ ῥηθὲν ἐπέστρεψε, καὶ τῶν ἀπὸ τοῦ δεξιοῦ κέρως σπειρῶν δύο προσεβοήθησαν, ἃς ἐπαγαγὼν τρέπεται τοὺς πολεμίους. ἀναγαγὼν δὲ μικρὸν ὀπίσω, καὶ δοὺς ἄριστον αὐτοῖς, αὖθις ἀπετάφρευε τὸν χάρακα τῶν πολεμίων. οἱ δ' αὖθις ἐν τάξει μᾶλλον ἢ πρό-

τερον

tur nuduſque eſt arboribus uſque ad paludes a quibus Melas amnis ſorbetur. Oritur hic ſub mœnibus Orchomeniorum largus, unuſque Græciæ fluviorum ex fontibus navium patiens. Inflatur Nili more ſub ſolſtitium æſtivum, fruticeſque edit illis germanos, niſi quod infœcundi ſint, neque aſſurgant in altum. Nec progreditur longe, ſed maxima ſtatim parte in paludes cæcas & ſylvoſas conditur. Modica tamen portione commiſcetur Cephiſo, quo maxime loco ſtagnum calamum tibialem effert.

Poſtquam caſtra juncta caſtris ſunt, Archelaus quietus conſedit. At Sylla foſſas hinc inde duxit, quo firmis & equitabilibus campis hoſtes excluſos conjiceret in paludes. Id illi non tulere, ſed, ut ſignum datum ab ducibus eſt, acriter ſe effuſis habenis intulerunt. Ibi non modo ii qui in opere erant, diſſipati ſunt, ſed & illi qui ſtabant in acie, plerique in fugam effuſi. Hic Sylla ipſe deſiliit ex equo, arreptoque ſigno per medias cædes ruit in hoſtes clamans, Mihi milites hic alicubi decorum eſt occumbere: vos rogantibus ubi imperatorem veſtrum prodidiſtis, memineritis reſpondere, Orchomeni. Hæc vox convertit eos, atque ex dextero cornu duæ cohortes ſubvenere, quarum ope avertit hoſtes. Reductis paululum retro militibus & prandio refectis, rediit ad circumvallandos hoſtes: qui compoſite magis quam ante ex integro in-

τερον προσεφέροντο. καὶ Διογένης μὲν ὁ τῆς Ἀρχελάου γυναικὸς υἱός, ἀριστεύων ἐπὶ τοῦ δεξιοῦ περιόπτως ἔπεσεν. οἱ δὲ τοξόται, τῶν Ῥωμαίων ἐκβιαζομένων, οὐκ ἔχοντες ἀναστροφὴν, ἀθρόοις τοῖς οἰστοῖς ἐκ χειρὸς, ὥσπερ ξίφεσι, παίοντες ἀνέκοπτον αὐτούς· τέλος δὲ κατακλεισθέντες εἰς τὸν χάρακα μοχθηρῶς ὑπὸ τραυμάτων καὶ φόνου διενυκτέρευσαν. ἡμέρας δὲ πάλιν τῷ χάρακι τοὺς στρατιώτας προσαγαγὼν ὁ Σύλλας ἀπετάφρευεν. ἐξελθόντας δὲ τοὺς πολλοὺς ὡς ἐπὶ μάχην, συμβαλὼν τρέπεται, καὶ πρὸς τὸν ἐκείνων φόβον οὐδενὸς μένοντος, αἱρεῖ κατὰ κράτος τὸ στρατόπεδον. καὶ κατέπλησαν ἀποθνήσκοντες αἵματος τὰ ἕλη, καὶ νεκρῶν τὴν λίμνην· ὥστε μέχρι νῦν πολλὰ βαρβαρικὰ τόξα, καὶ κράνη, καὶ θωράκων ἀποσπάσματα σιδηρῶν, καὶ μαχαίρας ἐμβεβαπτισμένας τοῖς τέλμασιν εὑρίσκεσθαι, σχεδὸν ἐτῶν διακοσίων ἀπὸ τῆς μάχης διαγεγονότων. τὰ μὲν οὖν περὶ Χαιρώνειαν καὶ πρὸς Ὀρχομενῷ, τοιαῦτα λέγεται γενέσθαι.

Κίννα δὲ καὶ Κάρβωνος ἐν Ῥώμῃ τοῖς ἐπιφανεστάτοις ἀνδράσι χρωμένων παρανόμως καὶ βιαίως, πολλοὶ τὴν τυραννίδα φεύγοντες, ὥσπερ εἰς λιμένα τοῦ Σύλλα τὸ στρατόπεδον κατεφέροντο, καὶ περὶ αὐτὸν ὀλίγου χρόνου σχῆμα βουλῆς ἐγεγόνει. καὶ Μετέλλα μόλις διακλέψασα ἑαυτὴν καὶ τοὺς παῖδας, ἧκεν ἀγγέλλουσα τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις ὑπὸ τῶν ἐχθρῶν ἐμπεπρῆσθαι, καὶ δεομένη τοῖς οἴκοι βοηθεῖν. ἀπορουμένῳ δ' αὐτῷ, καὶ μήτε τῆς πατρίδος ἀμελεῖν ὑπομένοντι κακουμένης, μήτε ὅπως ἄπεισιν ἀτελὲς λιπὼν τοσοῦτον ἔργον, τὸν Μιθριδατικὸν πόλεμον, ἐπινοοῦντι, παραγίνεται Δηλιακὸς ἔμπορος

invexerunt se. Ibi Archelai privignus Diogenes, in dextro cornu fortiter pugnans, magna cum laude cecidit. Sagittarii, prementibus Romanis exclusi receptu, confertis sagittis comminus quasi gladiis ferientes, repellere conati sunt Romanos. Tandem vallo inclusi, acerbam noctem ob vulnera & funera transegere. Postquam diluxit, Sylla, eductis denuo vallo militibus, fossam instituit absolvere. Ibi magnam partem exercitus hostilis ut ad certamen prægredientem signis collatis fudit fugavitque: quorum trepidatione omnibus aversis, castra expugnavit. Horum sanguine interfectorum paludes inundarunt, & stagnum cadaveribus est oppletum. Itaque nostro quoque ævo, annis prope ducentis post eam pugnam, multi barbarici arcus, galeæ, loricarum ferrearum fragmenta, gladii, cœno reperiuntur immersa. Atque ad Chæroneam & Orchomenum quidem ad hunc modum fama est pugnatum fuisse.

Porro quum Cinna & Carbo in clarissimos viros Romæ violentissime & sævissime consulerent, declinantes complures tyrannidem eorum, sicut in portum, castra Syllæ confugerunt, ac brevi species apud eum senatus fuit. Metella quoque ægre se liberosque subduxit, venitque domum ejus nuntians & villas ab inimicis inflammatas, atque oravit ut opem ferret urbi. Æstuanti, ac neque patriam sustinenti affectam deserere, neque quemadmodum decederet, imperfecto tanto opere relicto bello Mithridatico, expendenti negotiator Deliacus se offert

πορ⊙ Ἀρχέλα⊙, ἐλπίδας τινὰς ϗ λόγυς κρύφα παρὰ τῦ βασιλικῦ κομίζων Ἀρχελάυ. ϗ τὸ πρᾶγμα Σύλλας ὅτως ἠγάπησεν, ὥστε αὐτὸν εἰς λόγυς σπεῦσαι τῷ Ἀρχελάῳ συνελθεῖν· ϗ συνῆλθον ἐπὶ θαλάττῃ περὶ Δήλιον, ὅ τὸ ἱερὸν τῦ Ἀπόλλωνός ἐστιν. ἀρξαμένυ δὲ τῦ Ἀρχελάυ διαλέγεσθαι, ϗ τὸν Σύλλαν ἀξιῦντ⊙, ἀφέντα τὴν Ἀσίαν ϗ τὸν Πόντον, ἐπὶ τὸν ἐν Ῥώμῃ πόλεμον πλεῖν, χρήματα λαβόντα ϗ τριήρεις ϗ δύναμιν ὅσlω βύλοιτο παρὰ τῦ βασιλέως· ὑπολαβὼν ὁ Σύλλας, Μιθριδάτυ μὲν ἀμελεῖν ἐκέλευεν, αὐτὸν δὲ βασιλεύειν ἀντ' ἐκείνυ, σύμμαχον Ῥωμαίων γενόμενον, ϗ παραδόντα τὰς ναῦς. ἀφοσιυμένυ δὲ τῦ Ἀρχελάυ τὴν προδοσίαν, εἶτα ἔφη, σὺ μὲν, ὦ Ἀρχέλαε, Καππαδόκης ὢν, ϗ βαρβάρυ βασιλέως δῦλ⊙, εἰ δὲ βύλει, φίλ⊙, ὐχ ὑπομένεις ἐπὶ τηλικύτοις ἀγαθοῖς τὸ αἰσχρόν; ἐμοὶ δὲ ἡγεμόνι Ῥωμαίων ὄντι ϗ Σύλλᾳ, τολμᾷς διαλέγεσθαι περὶ προδοσίας; ὥσπερ ὐκ ἐκεῖν⊙ ὢν Ἀρχέλα⊙, ὁ φυγὼν μὲν ἐκ Χαιρωνείας ὀλιγοστὸς ἀπὸ μυριάδων δυοκαίδεκα, κρυφθεὶς δὲ δύο ἡμέρας ἐν τοῖς Ὀρχομενίων ἕλεσιν, ἄβατον δὲ τlὼ Βοιωτίαν ὑπὸ νεκρῶν πλήθυς ἀπολελοιπώς; ἐκ τύτυ μεταβαλὼν ὁ Ἀρχέλα⊙ ϗ προσκυνήσας, ἐδεῖτο παύσασθαι τῦ πολέμυ, ϗ διαλλαγlῶαι πρὸς τὸν Μιθριδάτlω. δεξαμένυ δὲ τῦ Σύλλα τlὼ πρόκλησιν, ἐγένοντο συνθῆκαι, Μιθριδάτlω μὲν Ἀσίαν ἀφεῖναι ϗ Παφλαγονίαν, ἐκστlῶαι δὲ Βιθυνίας Νικομήδῃ, Καππαδοκίας Ἀριοβαρζάνῃ, καταβαλεῖν δὲ Ῥωμαίοις δισχίλια τάλαντα, ϗ δῦναι ναῦς ἑβδομήκοντα χαλκήρεις μετὰ τῆς οἰκείας παρασκευῆς· Σύλλαν δὲ ἐκεί-

νῳ

fert Archelaus, ſpem aliquam & mandata occulta ab regio duce Archelao adferens. Ea res adeo fuit cordi Syllæ, ut ipſe ad colloquium Archelai properaret. Congreſſi in mari ſunt circa Delium, ubi templum Apollinis eſt. Exorſus orationem Archelaus, poſtulavit ab Sylla ut expeditione relicta Aſiana & Pontica, ad bellum civile proficiſceretur: regem ei argenti, navium, militum quantum vellet præbiturum. Excipiens Sylla, hortatus eſt eum, Mithridatem ut relinqueret, ipſe loco illius regnaret, appellaturum ſe eum ſocium & amicum populi Romani, ſi claſſem regis ſibi tradidiſſet. Proditionem Archelao deteſtante, Et tu (inquit) Archelae, qui Cappadox es & regis ſervus barbari, aut ſi mavis, amicus, recuſas præmiis propoſitis tantis ſubire turpitudinem; apud me vero, Romanum imperatorem & Syllam, mentionem audes facere de proditione? Quaſi non ille ſis Archelaus, qui Chæroneæ exigua cum manu de centum & viginti millibus militum fugiſti, inde dies duos in Orchomeniorum delituiſti paludibus, atque inviam Bœotiam ob cadaverum ſtragem reliquiſti? Tum immutatus Archelaus oravit eum ſupplex, bellum ut componeret pacemque præſtaret Mithridati. Ejus poſtulatis annuente Sylla, fœdus his conditionibus initum eſt. Mithridates Aſia & Paphlagonia abſtineret, Bithynia cederet Nicomedi, Ariobarzani Cappadocia, duo millia talentorum Romanis penderet, & naves roſtratas cum proprio apparatu ſeptuaginta daret; Sylla imperium ejus reli-

quum

νῳ τὴν τε ἄλλην ἀρχὴν βεβαιοῦν, καὶ σύμμαχον Ῥωμαίων ψηφίζεσθαι.

Τούτων ὁμολογηθέντων, ἀναστρέψας ἐβάδιζε διὰ Θετταλίας καὶ Μακεδονίας ἐπὶ τὸν Ἑλλήσποντον, ἔχων μετ' αὐτοῦ τὸν Ἀρχέλαον ἐν τιμῇ· καὶ νοσήσαντος ἐπισφαλῶς περὶ Λάρισαν, ἐπιστήσας τὴν πορείαν, ὡς ἑνὸς τῶν ὑπ' αὐτὸν ἡγεμόνων καὶ συστρατηγῶν ἐπεμελήθη. ταῦτά τε δὴ διέβαλε τὸ περὶ Χαιρώνειαν ἔργον, οὐχὶ καθαρῶς ἀγωνισθέν, καὶ ὅτι τοὺς ἄλλους Μιθριδάτη φίλους, οὓς εἶχεν αἰχμαλώτους, ἀποδιδοὺς ὁ Σύλλας, Ἀριστίωνα μόνον τὸν τύραννον ἀνεῖλε διὰ φαρμάκων, Ἀρχελάῳ διάφορον ὄντα· μάλιστα δ' ἡ δοθεῖσα γῆ τῷ Καππαδόκῃ μυρίων πλέθρων ἐν Εὐβοίᾳ, καὶ τὸ Ῥωμαίων φίλον αὐτὸν καὶ σύμμαχον ὑπὸ Σύλλα ἀναγραφῆναι. περὶ μὲν οὖν τούτων αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασιν ἀπολογεῖται. τότε δὲ πρεσβευτῶν παρὰ τοῦ Μιθριδάτου παραγενομένων, καὶ τὰ μὲν ἄλλα φασκόντων δέχεσθαι, Παφλαγονίαν δὲ ἀξιούντων μὴ ἀφαιρεθῆναι, τὰς δὲ ναῦς οὐδὲ ὅλως ὁμολογηθῆναι, χαλεπήνας ὁ Σύλλας, Τί φατέ; εἶπε· Μιθριδάτης Παφλαγονίας ἀντιποιεῖται, καὶ περὶ τῶν νεῶν ἔξαρνός ἐστιν, ὃν ἐγὼ προσκυνήσειν ἐνόμιζον εἰ τὴν δεξιὰν αὐτῷ καταλείποιμι χεῖρα, δι' ἧς τοσούτους Ῥωμαίων ἀνεῖλεν. ἑτέρας μέντοι τάχα φωνὰς ἀφήσει διαβάντος εἰς Ἀσίαν ἐμοῦ· νῦν δ' ἐν Περγάμῳ καθήμενος, ὃν οὐχ ἑώρακε διαστρατηγείτω πόλεμον. οἱ μὲν οὖν πρέσβεις φοβηθέντες ἡσύχαζον· ὁ δὲ Ἀρχέλαος ἐδεῖτο τοῦ Σύλλα, καὶ κατεπράϋνε τὴν ὀργήν, ἁπτόμενος τῆς δεξιᾶς αὐτοῦ, καὶ δακρύων. τέλος δὲ ἔπεισεν ἀποσταλῆναι αὐτὸν πρὸς τὸν Μιθριδάτην· διαπράξεσθαι γὰρ ἐφ'

οἷς

quum comprobaret, sociumque & amicum populi Romani appellaret.

His pactis digressus, tendit per Thessaliam & Macedoniam ad Hellespontum. Habebat honorifice secum Archelaum: cujus, quum gravi morbo esset Larissæ oppressus, egit resistens in itinere, sicut unius ex legatis vel collegis suis, curam. Hæc obtrectationi causam dederunt, haud bona fide pugnatum ad Chæroneam fuisse, & quod Mithridati cæteros amicos, quos in vinculis habebat, restituerit Sylla, unum tyrannum Aristionem, quod alienus foret ab Archelao, veneno necaverit. Præcipue vero ager Cappadoci in Eubœa decem millium jugerum datus, & quod a Sylla socius & amicus populi Romani fuerit appellatus. Cæterum hæc in commentariis diluit Sylla. At quum Mithridatis legati adissent eum ibi, comprobarentque cætera, verum amittere nollent Paphlagoniam, & naves nullo modo contenderent promissas, indignatus Sylla, Quid dicitis? infit. Paphlagoniam asserit Mithridates, & de navibus it inficias? Quem ego, si ei relinquerem manum dexteram, qua tot millia interfecit civium Romanorum, ad genua mea arbitrabar procubiturum. Sed mox, ubi transmisero in Asiam, alias voces mittet: nunc Pergami desidens, quod non aspexit dispenset bellum. Tum perculsi obmutuerunt legati. At Archelaus deprecatus est Syllam, amplexusque dexteram ejus & lacrymans iram mulsit. Impetravit denique, ut ad Mithridatem dimitteretur. Nam aut præscriptis

ab

οἷς βούλεται τὴν εἰρήνην· εἰ δὲ μὴ πείθοι, κτενεῖν αὐτὸς ἑαυτόν. ἐπὶ τούτοις ἐκπέμψας ἐκεῖνον, αὐτὸς εἰς τὴν Μηδικὴν ἐνέβαλε, καὶ τὰ πολλὰ διαπορθήσας, πάλιν ἀνέστρεψεν εἰς Μακεδονίαν. καὶ τὸν Ἀρχέλαον ἐδέξατο περὶ Φιλίππους, ἀγγέλλοντα καλῶς ἔχειν πάντα· δεῖσθαι δὲ πάντως αὐτῷ τὸν Μιθριδάτην εἰς λόγους ἐλθεῖν. αἴτιος δὲ ἦν μάλιστα Φιμβρίας, ὃς τὸν ἀπὸ τῆς ἑτέρας στάσεως ἄρχοντα Φλάκκον ἀνελὼν, καὶ τῶν Μιθριδατικῶν στρατηγῶν κρατήσας, ἐπ' αὐτὸν ἐκεῖνον ἐβάδιζε. ταῦτα γὰρ δείσας ὁ Μιθριδάτης, μᾶλλον εἵλετο τῷ Σύλλᾳ φίλος γενέσθαι.

Συνῆλθον οὖν τῆς Τρωάδος ἐν Δαρδάνῳ, Μιθριδάτης μὲν ἔχων ναῦς αὐτόθι διακοσίας ἐνήρεις, καὶ τῆς πεζῆς δυνάμεως, ὁπλίτας μὲν δισμυρίους, ἱππεῖς δὲ ἑξακισχιλίους, καὶ συχνὰ τῶν δρεπανηφόρων· Σύλλας δὲ, τέσσαρας σπείρας καὶ διακοσίους ἱππεῖς. ἀπαντήσαντος δὲ τοῦ Μιθριδάτου, καὶ τὴν δεξιὰν προτείναντος, ἠρώτησεν αὐτὸν εἰ καταλύσεται τὸν πόλεμον ἐφ' οἷς ὡμολόγησεν Ἀρχέλαος· σιωπῶντος δὲ τοῦ βασιλέως, ὁ Σύλλας, Ἀλλὰ μὴν, ἔφη, τῶν δεομένων ἐστὶ τὸ προτέρους λέγειν, τοῖς δὲ νικῶσιν ἐξαρκεῖ τὸ σιωπᾶν. ἐπεὶ δὲ ἀρξάμενος τῆς ἀπολογίας ὁ Μιθριδάτης, ἐπειρᾶτο τοῦ πολέμου τὰ μὲν εἰς δαίμονας τρέπειν, τὰ δὲ αὐτοὺς αἰτιᾶσθαι τοὺς Ῥωμαίους· ὑπολαβὼν ὁ Σύλλας ἔφη, πάλαι μὲν ἑτέρων ἀκούειν, νῦν δ' αὐτὸς ἐγνωκέναι τὸν Μιθριδάτην δεινότατον ὄντα ῥητορεύειν, ὃς ἐπὶ πράξεσιν οὕτω πονηραῖς καὶ παρανόμοις, λόγων ἐχόντων εὐπρέπειαν οὐκ ἠπόρηκας. ἐξελέγξας δὲ τὰ πεπραγμένα πικρῶς ὑπ' αὐτοῦ καὶ κατηγορήσας, πάλιν ἠρώτησεν εἰ ποιεῖ τὰ

ab ipſo legibus confecturum pacem, aut ni aſſentiretur ille, ſibimet ipſum manum allaturum. Ita Archelao dimiſſo, incurrit Sylla in Medicam, fœdatoque late agro, retro in Macedoniam eſt regreſſus. Rediit ad eum Archelaus apud Philippos, omnia nuntians ex ſententia eſſe, cupere autem ante omnia Mithridatem ipſum convenire. In cauſa potiſſimum erat Fimbria, qui, alterius partis conſule interfecto Flacco, ac ducibus Mithridaticis fuſis, illi ipſi jam imminebat. Hoc Mithridates metu prætulit Syllæ amicitiam.

Congreſſi ſunt igitur Dardani Troadis. Habebat ibi Mithridates ſecum naves remigio inſtructas ducentas, & terreſtrium copiarum pedites viginti millia, equites ſex millia, & curruum falcatorum vim ingentem: Sylla, quatuor cohortes & equites ducentos. Quum ei obviam prodiiſſet Mithridates & dextram porrexiſſet, rogavit eum, acciperetne, quibus conditionibus pepigerat Archelaus, pacem? Tacente rege, Sylla, Atqui deprecantium eſt, inquit, priore loco dicere, victoribus ſatis eſt tacere. Ubi exorſus Mithridates excuſationem eſt, conatuſque bellum partim ad Deos referre, partim ipſos culpare Romanos; excipiens Sylla, jamdudum ait ſe de aliis accepiſſe, nunc vero ipſum intelligere diſertiſſimum eſſe Mithridatem, qui in factis adeo tetris & pravis non deficiatur ſpecioſa oratione. Inde, quum ejus facinora coarguiſſet & exagitaſſet acerbe, quæſivit iterum, Ecquid iis quæ cum Archelao con-

συγκείμενα δι' Ἀρχελάου. φήσαντος δὲ ποιεῖν, οὕτως ἠσπάσατο, καὶ περιλαβὼν ἐφίλησεν αὐτόν· Ἀριοβαρζάνην δὲ αὖθις καὶ Νικομήδην τοὺς βασιλεῖς προσαγαγὼν διήλλαξεν. ὁ μὲν οὖν Μιθριδάτης ἑβδομήκοντα ναῦς παραδοὺς, καὶ τοξότας πεντακοσίους, εἰς Πόντον ἀπέπλευσεν. ὁ δὲ Σύλλας, αἰσθόμενος ἀχθομένους τοὺς στρατιώτας τῇ διαλύσει (τὸν γὰρ ἔχθιστον τῶν βασιλέων, καὶ δεκαπέντε μυριάδας ἡμέρᾳ μιᾷ τῶν ἐν Ἀσίᾳ Ῥωμαίων κατασφαγῆναι παρασκευάσαντα, δεινὸν ἡγοῦντο μετὰ πλούτου καὶ λαφύρων ὁρᾶν ἐκπλέοντα τῆς Ἀσίας, ἣν ἔτη τέσσαρα λεηλατῶν καὶ φορολογῶν διετέλεσεν) ἀπελογεῖτο πρὸς αὐτοὺς, ὡς οὐκ ἂν ἅμα Φιμβρείᾳ καὶ Μιθριδάτῃ πολεμεῖν, εἰ συνέστησαν ἀμφότεροι κατ' αὐτοῦ, δυνηθείς.

Ὁρμήσας δὲ ἐκεῖθεν ἐπὶ Φιμβρείαν πρὸς Θυατείροις στρατοπεδεύοντα, καὶ πλησίον καταζεύξας, τάφρον τῷ στρατοπέδῳ περιέβαλεν. οἱ δὲ τοῦ Φιμβρείου στρατιῶται, μονοχίτωνες ἐκ τοῦ στρατοπέδου προϊόντες, ἠσπάζοντο τοὺς ἐκείνου, καὶ συνελάμβανον αὐτοῖς τῶν ἔργων προθύμως. ὁρῶν δὲ ὁ Φιμβρείας τὴν μεταβολὴν, καὶ τὸν Σύλλαν ὡς ἀδιάλλακτον δεδοικὼς, αὐτὸς ἑαυτὸν ἐν τῷ στρατοπέδῳ διέφθειρε. Σύλλας δὲ κοινῇ μὲν ἐζημίωσε τὴν Ἀσίαν δισμυρίοις ταλάντοις, ἰδίᾳ δὲ τοὺς οἴκους ἐξέτριψεν, ὕβρει καὶ πολιορκίᾳ τῶν ἐπισταθμευόντων. ἐτέτακτο γὰρ ἑκάστης ἡμέρας τῷ καταλύτῃ τὸν ξένον διδόναι τέσσαρα τετράδραχμα, καὶ παρέχειν δεῖπνον αὐτῷ καὶ φίλοις, ὅσους ἂν ἐθέλῃ καλεῖν· ταξίαρχον δὲ πεντήκοντα δραχμὰς λαμβάνειν τῆς ἡμέρας, ἐσθῆτα δὲ ἄλλην μὲν οἰκουρῶν, ἄλλην δὲ εἰς ἀγορὰν προερχόμενος.

Ἀνα-

venissent, staret. Ubi staret respondit, ita demum salutavit eum, ac complexu est osculatus. Mox Ariobarzanem & Nicomedem reges accivit, ac controversias eorum cum illo diremit. Mithridates, ubi septuaginta naves & sagittarios quingentos ei tradidit, Pontum classe repetivit. At Sylla, quod animadvertisset offensos ea pace milites (nam infestissimum regem, qui civium Romanorum uno die centum quinquaginta millia trucidari in Asia curaverat, rem intolerandam ducebant, discedentem videre cum opulentia & præda Asiæ, quam annos quatuor perpetuos denudaverat exhauseratque) allegavit apud eos, non potuisse Fimbriæ se simul & Mithridati, si coissent ambo in se, subsistere.

Ex eo loco movit contra Fimbriam, qui castra juxta Thyatira habebat. Quum tetendisset in propinquo, ad sepienda munimenta fossam ducebat. Hic milites Fimbriæ sagati præsidiis egressi salutaverunt Syllanos, & in opere faciendo propense juverunt. Eam mutationem cernens Fimbria, Syllamque ut implacabilem timens, confodit semetipse in castris. Sylla mulctam publicam irrogavit Asiæ viginti millia talentorum, privatim vero domos insolentia & vexatione consumpsit eorum qui apud quemque diversabantur. Siquidem edixit ut militi hospes apud se divertenti tetradrachma in diem quaterna daret. Cœnam insuper præberet ei ejusque amicis, quotquot vocare liberet. Centurio acciperet quinquagenas in diem drachmas, vestem præterea aliam qua domi, aliam qua in publico uteretur.

Ex

Ἀναχθεὶς δὲ πάσαις ταῖς ναυσὶν ἐξ Ἐφέσου, τριταῖος ἐν Πειραιεῖ καθωρμίσθη· καὶ μυηθεὶς ἐξεῖλεν ἑαυτῷ τὴν Ἀπελλικῶνος τοῦ Τηΐου βιβλιοθήκην, ἐν ᾗ τὰ πλεῖστα τῶν Ἀριστοτέλους καὶ Θεοφράστου βιβλίων ἦν, οὔπω τότε σαφῶς γνωριζόμενα τοῖς πολλοῖς. λέγεται δὲ κομισθείσης αὐτῆς εἰς Ῥώμην, Τυραννίωνα τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλὰ, καὶ παρ' αὐτοῦ τὸν Ῥόδιον Ἀνδρόνικον εὐπορήσαντα τῶν ἀντιγράφων εἰς μέσον θεῖναι, καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας. οἱ δὲ πρεσβύτεροι Περιπατητικοὶ φαίνονται μὲν καθ' ἑαυτοὺς γενόμενοι χαρίεντες καὶ φιλολόγοι, τῶν δὲ Ἀριστοτέλους καὶ Θεοφράστου γραμμάτων οὔτε πολλοῖς οὔτε ἀκριβῶς ἐντετυχηκότες, διὰ τὸν Νηλέως τοῦ Σκηψίου κληρονόμον, ᾧ τὰ βιβλία κατέλιπε Θεόφραστος, εἰς ἀφιλοτίμους καὶ ἰδιώτας ἀνθρώπους περιγενέσθαι. Σύλλᾳ δὲ διατρίβοντι περὶ τὰς Ἀθήνας, ἄλγημα ναρκῶδες μετὰ βάρους εἰς τοὺς πόδας ἐνέπεσεν, ὅ φησιν ὁ Στράβων ποδάγρας ψελλισμὸν εἶναι. διαπλεύσας οὖν εἰς Ἄδιψον, ἐχρῆτο τοῖς θερμοῖς ὕδασι, ῥᾳθυμῶν ἅμα καὶ συνδιημερεύων τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. περιπατοῦντος δὲ πρὸς τὴν θάλατταν, ἁλιεῖς τινες ἰχθῦς αὐτῷ παγκάλους προσήνεγκαν. ἡσθεὶς δὲ τοῖς δώροις, καὶ πυθόμενος ὡς ἐξ Ἀλαιῶν εἶεν, ἔτι γὰρ ζῇ τις Ἀλαιῶν; ἔφη· ἐτύγχανε γὰρ ὅτε τὴν πρὸς Ὀρχομενῷ μάχην νενικηκὼς, ἐδίωκε τοὺς πολεμίους, ἅμα τρεῖς πόλεις τῆς Βοιωτίας, Ἀνθηδόνα, Λάρυμναν, Ἀλαίας ἀνῃρηκώς. τῶν δὲ ἀνθρώπων ὑπὸ δέους ἀφώνων γενομένων, διαμειδιάσας, ἐκέλευσεν ἀπιέναι χαίροντας, ὡς οὐ μετὰ φαύλων οὐδὲ ἀξίων ὀλιγωρίας ἥκοντας παραιτητῶν. Ἀλαιοὶ μὲν ἐκ τούτου λέγουσι θαρρήσαντες, αὖθις εἰς τὴν πόλιν συνελθεῖν.

Σύλ-

Ex Epheso quum totam classem solvisset, tenuit tertio die Piræum. Ibi mysteriis initiatus, desumpsit sibi bibliothecam Apelliconis Teii, in qua plerique Aristotelis & Theophrasti libri erant nondum satis in vulgus noti. Ex ea, ubi deportata Romam fuit, ferunt plurima intervertisse Tyrannionem grammaticum, a quo accepisse Andronicum Rhodium exemplaria, eaque in lucem edidisse, & vulgasse hos qui nunc manibus teruntur indices. Enimvero Peripatetici antiquiores videntur illi quidem elegantes fuisse & eruditi, sed Aristotelis & Theophrasti scripta neque pleraque neque exacte volvisse, verum ob hæredem Nelei Scepsii, cui libros suos reliquit Theophrastus, ea ad inertes homines recidisse atque indoctos. Agenti Athenis Syllæ dolor cum gravedine torpidus decubuit in pedes, quem podagræ balbutiem Strabo ait esse. Quare Adipsum navigavit. Ibi aquis calidis usus est, ferians simulque tempus traducens cum mimis. Deambulanti in littore obtulerunt piscatores quidam eximios pisces. Lætus donis, ut audivit Alæos esse, Et aliquis, inquit, adhuc superest Alæorum? Quum enim victor prœlio ad Orchomenum consectaretur hostes, obiter oppida tria Bœotiæ, Anthedona, Larymnam & Alæas evertit. Illis vero obmutescentibus pavore, arridens abire eos bono animo jussit. Neque enim cum vilibus vel contemnendis ipsos venisse deprecatoribus. Alæi erecti, inde oppidum aiunt se de integro frequentasse.

Σύλλας δὲ διὰ Θετταλίας καὶ Μακεδονίας καταβὰς ἐπὶ θάλατταν, παρεσκευάζετο χιλίαις ναυσὶ καὶ διακοσίαις ἀπὸ Δυρραχίου διαβάλλειν εἰς Βρεντέσιον. ἡ δ' Ἀπολλωνία πλησίον ἐστί, καὶ πρὸς αὐτῇ τὸ Νύμφαιον, ἱερὸς τόπος, ἐκ χλοερᾶς νάπης καὶ λειμώνων ἀναδιδοὺς πυρὸς πηγὰς σποράδας ἐνδελεχῶς ῥέοντος. ἐνταῦθα φασὶ κοιμώμενον ἁλῶναι σάτυρον, οἷον οἱ πλάσται καὶ γραφεῖς εἰκάζουσιν· ἀχθέντα δὲ ὡς Σύλλαν, ἐρωτᾶσθαι δι' ἑρμηνέων πολλῶν ὅστις εἴη· φθεγξαμένου δὲ μόλις οὐδὲν συνετῶς, ἀλλὰ τραχεῖαν καὶ μάλιστα μεμιγμένην ἵππου τε χρεμετισμῷ καὶ τράγου μηκασμῷ φωνὴν ἀφέντος, ἐκπλαγέντα τὸν Σύλλαν ἀποδιοπομπήσασθαι. μέλλοντος δὲ τοὺς στρατιώτας διαπεραιοῦν, καὶ δεδιότος μὴ τῆς Ἰταλίας ἐπιλαβόμενοι, κατὰ πόλεις ἕκαστοι διαρρυῶσι, πρῶτον μὲν ὤμοσαν ἀφ' αὐτῶν παραμενεῖν, καὶ μηδὲν ἑκουσίως κακουργήσειν τὴν Ἰταλίαν· ἔπειτα χρημάτων δεόμενον πολλῶν ὁρῶντες, ἀπήρχοντο καὶ συνεισέφερον ὡς ἕκαστος εὐπορίας εἶχεν. οὐ μὴν ἐδέξατο τὴν ἀπαρχὴν ὁ Σύλλας, ἀλλ' ἐπαινέσας καὶ παρορμήσας, διέβαινεν ὥς φησιν αὐτὸς, ἐπὶ πεντεκαίδεκα στρατηγοὺς πολεμίους, πεντήκοντα καὶ τετρακοσίας σπείρας ἔχοντας, ἐνδηλότατα τοῦ Θεοῦ τὰς εὐτυχίας προσημαίνοντος αὐτῷ. θύσαντος μὲν γὰρ εὐθέως ᾗ διέβη περὶ Τάραντα, δάφνης στεφάνου τύπον ἔχων ὁ λοβὸς ὤφθη, καὶ λημνίσκων δύο κατηρτημένων. μικρὸν δὲ πρὸ τῆς διαβάσεως, ἐν Καμπανίᾳ περὶ τὸ Ἥφαιον ὄρος ἡμέρας ὤφθησαν δύο τράγοι μεγάλοι συμφερόμενοι, καὶ πάντα δρῶντες καὶ πάσχοντες ἃ συμβαίνει μαχομένοις ἀνθρώποις. ἦν δ' ἄρα φάσμα, καὶ κατὰ

μι-

Sylla hinc, per Thessaliam & Macedoniam itinere ad mare facto, instituit mille ducentis navibus traducere ex Dyrrhachio exercitum Brundusium. Prope Dyrrhachium est Apollonia, & in vicino Nymphæum, sacer locus, qui ex virenti valle & pratis ignis venas dispersas perpetuo manantis eructat. Ibi stratum somno Satyrum, qualem plastæ & pictores adumbrant, ferunt captum. Adductum ad Syllam percunctatos multos interpretes, quinam esset: quum vocem tandem edidisset, non quidem humanam vel claram, sed asperam & omnino ex hinnitu equi & hirci balatu confusam, obstupuisse Syllam & monstrum aversatum. Transvecturus exercitum, quum vereretur ne, ubi Italiam attigissent, dilaberetur quisque per oppida, primum adjurarunt ultro milites ad signa se mansuros, nec Italiam volentes vexaturos. Deinde quia magna pecunia considerabant eum indigere, intulerunt tanquam primitias obtuleruntque ei pro suis quisque facultatibus argentum. Non admisit tamen istam munificentiam, verum collaudatis illis & excitatis, transmisit (ut ipse ait) contra quindecim partium adversarum duces, qui cohortes quinquaginta & quadringentas habebant. Verum Deus ei omnia fausta clarissime pronuntiavit. Nam illico sacrificanti apud Tarentum, quo decurrerat, jecur coronæ laureæ & lemniscorum binorum ex illa dependentium habere visum est figuram. Paulo etiam ante quam trajiceret, in Campania circa Hephæum montem hirci duo interdiu visi confligere, omniaque facere & pati quæ viri in pugna solent. Spectrum autem fuit, quod

sensim

μικρὸν αἰρόμενον ἀπὸ γῆς, διεσπείρετο πολλαχοῦ τοῦ ἀέρος, εἰδώλοις ἀμαυροῖς ὅμοιον, εἶτα οὕτως ἠφανίσθη. καὶ μετ' οὐ πολὺν χρόνον ἐν τῷ τόπῳ τούτῳ, Μαρίου τοῦ νέου καὶ Νορβανοῦ τοῦ ὑπάτου μεγάλας δυνάμεις ἐπαγαγόντων, ὁ Σύλλας, οὔτε τάξιν ἀποδοὺς, οὔτε λοχίσας τὸ οἰκεῖον στράτευμα, ῥώμῃ δὲ προθυμίας κοινῆς καὶ φορᾷ τόλμης ἀποχρησάμενος, ἐτρέψατο τοὺς πολεμίους, καὶ κατέκλεισεν εἰς Καπύην πόλιν τὸν Νορβανὸν, ἑπτακισχιλίους ἀποκτείνας. τοῦτο αἴτιον αὐτῷ γενέσθαι φησὶ τοῦ μὴ διαλυθῆναι τοὺς στρατιώτας κατὰ πόλεις, ἀλλὰ συμμεῖναι καὶ καταφρονῆσαι τῶν ἐναντίων, πολλαπλασίων ὄντων. ἐν δὲ Σιλβίῳ, φησὶν οἰκέτην Ποντίου θεοφόρητον ἐντυχεῖν αὐτῷ, λέγοντα παρὰ τῆς Ἐνυοῦς κράτος πολέμου καὶ νίκην ἀπαγγέλλειν· εἰ δὲ μὴ σπεύσειεν, ἐμπεπρῆσθαι τὸ Καπιτώλιον· ὃ καὶ συμβῆναι τῆς ἡμέρας ἐκείνης ἧς ὁ ἄνθρωπος προηγόρευσεν. ἦν δὲ αὕτη πρὸ μιᾶς νόνων Κυϊντιλίων, ἃς νῦν Ἰουλίας καλοῦμεν. ἔτι δὲ Μάρκος Λεύκολλος, εἷς τῶν ὑπὸ Σύλλᾳ στρατηγούντων, περὶ Φιδεντίαν ἑκκαίδεκα σπείραις πρὸς πεντήκοντα τὰς τῶν πολεμίων ἀντιταχθεὶς, τῇ μὲν προθυμίᾳ τῶν στρατιωτῶν ἐπίστευεν, ἀνόπλους δὲ τοὺς πολλοὺς ἔχων, ὤκνει. βουλευομένου δὲ αὐτοῦ καὶ διαμέλλοντος, ἀπὸ τοῦ πλησίον πεδίου λειμῶνα ἔχοντος αὔρα φέρουσα μαλακὴ πολλὰ τῶν ἀνθέων ἐπέβαλε τῇ στρατιᾷ καὶ κατέσπειρεν, αὐτομάτως ἐπιμένοντα καὶ περιπίπτοντα τοῖς θυρεοῖς καὶ τοῖς κράνεσιν αὐτῶν, ὥστε φαίνεσθαι τοῖς πολεμίοις ἐστεφανωμένους. γενόμενοι δὲ ὑπὸ τούτου προθυμότεροι συνέβαλλον, καὶ νικήσαντες, ὀκτακισχιλίους ἐπὶ μυρίοις ἀπέκτειναν, καὶ τὸ στρατόπεδον εἷλον. οὗτος ὁ Λεύκολλος, ἀδελφὸς

ſenſim a terra elatum, inde in diverſas partes aeris, obſcurorum ſimulacrorum ſimile, diſſipatum eſt, hinc tandem ex oculis elapſum. Nec multo poſt, quum Marius junior & conſul Norbanus eo in loco exercitus habentes ingentes aggreſſi ſunt, Sylla, non acie inſtructa, non compoſitis ordine copiis ſuis, communis ardore alacritatis, atque impetu uſus audaciæ militum ſuorum, profligavit hoſtes, cæſiſque ſeptem millibus, Norbanum incluſit mœnibus Capuæ. Atque hoc potiſſimum in cauſa fuiſſe tradit, quod per oppida milites ſui non ſpargerentur, ſed cohærerent hoſteſque deſpicerent, quamvis illi numero eſſent multo plures. In Silvinis ſervum Pontii narrat fanaticum alloquutum ſe, qui nuntiare ipſi a Bellona diceret ſe belli palmam & victoriam: quod ni maturaret, Capitolium conflagraturum; idque eodem eveniſſe quo ille prædixerat die, qui fuit pridie Non. Quintiles, quas nunc vocamus Julias. Jam M. Lucullus, unus ex Syllanis ducibus, ad Fidentiam cohortibus ſexdecim adverſus hoſtiles quinquaginta rem gerens, alacritati quidem militum fidebat, ſed quod eſſent complures inermes, dubitabat. Dum autem hæſitat & cunctatur, flores ex campo propinquo herbido mollis ventus affatim vehens conjecit in exercitum, eumque aſperſit, ſponte adhæreſcentibus iis, ſcutaque & galeas comprehendentibus, ut coronati putarentur ab hoſtibus. Unde magis erecti, ſigna contulerunt, obtinueruntque victoriam, cæſis octodecim millibus; inſuper caſtris hoſtem exuerunt. Lucullus hic frater fuit Luculli illius

φὸς τὴν Λουκόλλου τοῦ Μιθριδάτην ὕστερον καὶ Τιγράνην καταπολεμήσαντος.

Ὁ δὲ Σύλλας ἔτι πολλοῖς στρατοπέδοις καὶ μεγάλαις δυνάμεσι περικεχυμένους αὐτῷ τοὺς πολεμίους ὁρῶν πανταχόθεν, ἥττετο δυνάμει καὶ δι' ἀπάτης προκαλούμενος εἰς διαλύσεις τὸν ἕτερον τῶν ὑπάτων Σκιπίωνα. δεξαμένου δ' ἐκείνου, σύλλογοι μὲν ἐγίνοντο καὶ κοινολογίαι πλείονες, ἀεὶ δέ τινα διαγωγὴν καὶ πρόφασιν ἐμβάλλων ὁ Σύλλας, διέφθειρε τοὺς περὶ Σκιπίωνα τοῖς ἑαυτοῦ στρατιώταις, ἠσκημένοις πρὸς ἀπάτην καὶ γοητείαν ἅπασαν, ὥσπερ αὐτὸς ὁ ἡγεμών. εἰσιόντες γὰρ εἰς τὸν χάρακα τῶν πολεμίων καὶ ἀναμιγνύμενοι, τοὺς μὲν εὐθὺς ἀργυρίῳ, τοὺς δὲ ὑποσχέσεσι, τοὺς δὲ κολακεύοντες καὶ ἀναπείθοντες προσήγοντο. τέλος δὲ, τοῦ Σύλλα μετὰ σπειρῶν εἴκοσι προσελθόντος ἐγγὺς, οἱ μὲν ἀσπασάμενοι προσεχώρησαν, ὁ δὲ Σκιπίων, ἔρημος ἐν τῇ σκηνῇ ληφθεὶς, ἠφείθη. Σύλλας δὲ ταῖς εἴκοσι σπείραις, ὥσπερ ἠθάσιν ὄρνισι, τεσσαράκοντα τὰς τῶν πολεμίων παλεύσας, ἀπήγαγεν εἰς τὸ στρατόπεδον ἅπαντας. ὅτε καὶ Κάρβωνα φασὶν εἰπεῖν ὡς ἀλώπεκι καὶ λέοντι πολεμῶν ἐν τῇ Σύλλα ψυχῇ κατοικοῦσιν, ὑπὸ τῆς ἀλώπεκος ἀνιῷτο μᾶλλον. ἐκ τούτου περὶ Σίγνιον Μάριος ὀγδοήκοντα καὶ πέντε σπείρας ἔχων προὐκαλεῖτο Σύλλαν. ὁ δὲ καὶ πάνυ πρόθυμος ἦν διαγωνίσασθαι κατ' ἐκείνην τὴν ἡμέραν· ἐτύγχανε γὰρ ὄψιν ἑωρακὼς τοιάνδε κατὰ τοὺς ὕπνους. ἐδόκει τὸν γέροντα Μάριον τεθνηκότα πάλαι τῷ παιδὶ Μαρίῳ παραινεῖν, φυλάξασθαι τὴν ἐπιοῦσαν ἡμέραν ὡς μεγάλην αὐτῷ δυστυχίαν φέρουσαν. διὰ τοῦτο μὲν δὴ προ-

illius qui postea debellavit Mithridatem & Tigranem.

At Sylla, multis adhuc exercitibus & ingentibus copiis hostium circumfusum se quum videret, omnibus impar viribus, dolo invitavit alterum consulem Scipionem ad pacem. Non aspernante illo, congressus & colloquia crebra fiebant. Sed semper moram aliquam Sylla & causam injiciendo, militibus suis ad omnem fraudem & præstigias, sicut ipse erat dux, compositis, exercitum Scipionis corrupit. Nam ingressi in hostium castra, iisque admisti, alios pecunia, pollicitis alios, nonnullos blandimentis & suasionibus pellexere. Postremo Syllam viginti cohortibus castris admotum salutarunt, seque ei conjunxerunt: Scipionem, in tabernaculo desertum quum cepisset, dimisit. Sylla, cohortibus viginti quasi avibus cicuribus quadraginta in laqueum illectas adversarias, abduxit omnes in castra sua. Quo tempore Carbonem ferunt dixisse, bellum se cum vulpe & leone in animo Syllæ habitantibus gerentem, magis infestari a vulpe. Ad Signium inde Marius, quinque & octoginta cohortibus succinctus, lacessivit Syllam, qui perquam paratus erat illo die dimicare. Visum enim ei secundum quietem oblatum hujuscemodi fuerat: Visus est ei senior Marius, qui jampridem erat defunctus, Marium filium, ut insequentem diem caveret, tanquam ingens ei infortunium allaturum, monere. Erat itaque ea de

πρόθυμος ὁ Σύλλας ἦν μάχεσθαι, καὶ μετεπέμπετο τὸν Δολοβέλλαν ἄπωθεν στρατοπεδεύοντα. τῶν δὲ πολεμίων ἐφισταμένων ταῖς ὁδοῖς καὶ ἀποφραττόντων, οἱ τοῦ Σύλλα προσμαχόμενοι καὶ ὁδοποιοῦντες ἔκαμνον· καὶ πολὺς ὄμβρος ἅμα τοῖς ἔργοις ἐπιγενόμενος, μᾶλλον ἐκάκωσεν αὐτούς. ὅθεν οἱ ταξίαρχοι, προσιόντες τῷ Σύλλᾳ, ἐδέοντο τὴν μάχην ἀναβαλέσθαι, δεικνύντες ἅμα τοὺς στρατιώτας ἐρριμμένους ὑπὸ κόπου, καὶ προσαναπαυομένους χαμᾶζε τοῖς θυρεοῖς κεκλιμένους. ἐπεὶ δὲ συνεχώρησεν ἄκων, καὶ πρόσταγμα καταζεύξεως ἔδωκεν, ἀρχομένων αὐτῶν τὸν χάρακα βάλλειν καὶ τάφρον ὀρύσσειν πρὸ τῆς στρατοπεδείας, ἐπήλαυνε σοβαρῶς ὁ Μάριος προϊππεύων, ὡς ἀτάκτους καὶ τεθορυβημένους διασκεδάσων. ἐνταῦθα τῷ Σύλλᾳ τὴν κατὰ τοὺς ὕπνους φωνὴν ὁ δαίμων συνετέλει. ὀργὴ γὰρ αὐτοῦ τοῖς στρατιώταις παρέστη, καὶ παυσάμενοι τῶν ἔργων, τοὺς μὲν ὑσσοὺς κατέπηξαν ἐπὶ τῇ τάφρῳ, σπασάμενοι δὲ τὰ ξίφη καὶ συναλαλάξαντες, ἐν χερσὶν ἦσαν τῶν πολεμίων. οἱ δὲ οὐ πολὺν ὑπέστησαν χρόνον, ἀλλὰ γίνεται πολὺς φόνος αὐτῶν τραπέντων. Μάριος δὲ φεύγων εἰς Πραινεστὸν, ἤδη τὰς πύλας εὗρε κεκλεισμένας· καλωδίου δὲ ἄνωθεν ἀφεθέντος, ἐνζώσας ἑαυτὸν, ἀνελήφθη πρὸς τὸ τεῖχος. ἔνιοι δέ φασιν, ὧν καὶ Φενεστέλλας ἐστὶν, οὐδὲ αἰσθέσθαι τῆς μάχης τὸν Μάριον, ἀλλ' ἐξ ἀγρυπνιῶν καὶ κόπων, ὑπὸ σκιᾷ τινι χαμαὶ κατακλινέντα, τοῦ συνθήματος δοθέντος, ἐνδοῦναι πρὸς ὕπνον, εἶτα μόλις ἐξεγείρεσθαι τῆς φυγῆς γινομένης. ἐν ταύτῃ τῇ μάχῃ Σύλλας φησὶν εἴκοσι τρεῖς μόνους ἀποβαλεῖν, ἀποκτεῖναι δὲ τῶν πολεμίων δισμυρίους, καὶ λαβεῖν ζῶντας ὀκτακισχιλίους. καὶ τἄλλα δὲ

ὁμοίως

de causa ad pugnandum Sylla alacris, & Dolobellam, qui procul ab eo consederat, accersivit. Cæterum, hostibus iter interpellantibus & obmolientibus, Syllani prœliantes & iter facientes lassitudine sunt confecti, simulque excipiens laborem largus imber vehementius fatigavit eos. Ita Syllam ordinum ductores adierunt, orantes ut prœlium proferret, monstraveruntque ei fractos fatigatione milites, & inclinatis scutis humi incumbentes. Ubi annuit invitus, & signum metandis castris dedit, instituentibusque militibus vallum jacere, & fossam pro castris ducere, incurrit censeo ferociter Marius ante signa provectus, quasi incompositos & tumultuantes dissipaturus. Hic Syllæ vocem, quam in somnis audierat, explevit Deus. Quippe inflammati ira milites ejus, omisso opere pila defixerunt in margine fossæ, strictisque gladiis & sublato clamore manus cum hostibus conseruere. Haud diu substiterunt illi, sed ingens strages edita est fugientium. Marius Præneste fuga delatus, quum portas jam clausas offendisset, demisso ex muro funiculo alligavit se, atque ita est eo receptus. Quidam, in quibus est Fenestella, Marium aiunt ne vidisse quidem prœlium, sed quod esset vigiliis laboribusque confectus, humi in umbra stratum signo pugnæ dato tradidisse se quieti, inde profligato jam exercitu, ægre fuisse excitatum. Qua in pugna viginti tres tantum ait Sylla ex suis desideratos, ex hostibus cecidisse viginti millia, captos octo millia. Pari ei

fortuna

ὁμοίως εὐτυχεῖτο διὰ τῶν στρατηγῶν, Πομπηΐου, Κράσσου, Μετέλλου, Σερουϊλίου. οὐδὲν γὰρ ἢ μικρὰ προσκρούσαντες οὗτοι, μεγάλας συνέτριψαν δυνάμεις τῶν πολεμίων, ὥστε τὸν μάλιστα τὴν ἐναντίαν στάσιν συνέχοντα Κάρβωνα, νύκτωρ ἀποδράντα τὴν ἑαυτοῦ στρατιὰν, εἰς Λιβύην ἐκπλεῦσαι.

Τὸν μέντοι τελευταῖον ἀγῶνα, καθάπερ ἔφεδρος ἀθλητὴς καταπόνῳ προσενεχθεὶς, ὁ Σαυνίτης Τελεσῖνος ἐγγὺς ἦλθεν τοῦ σφῆλαι καὶ καταβαλεῖν ἐπὶ θύραις τῆς Ῥώμης. ἔσπευδε μὲν γὰρ ἅμα Λαμπονίῳ τῷ Λευκανῷ χεῖρα πολλὴν ἀθροίσας ἐπὶ Πραινεστὸν, ὡς ἐξαρπασόμενος τῆς πολιορκίας τὸν Μάριον. ἐπεὶ δὲ ᾔσθετο Σύλλαν μὲν κατὰ στόμα, Πομπήϊον δὲ κατ' οὐρὰν, βοηδρομοῦντας ἐπ' αὐτὸν, εἰργόμενος τοῦ πρόσω καὶ ὀπίσω, πολεμιστὴς ἀνὴρ καὶ μεγάλων ἀγώνων ἔμπειρος, ἄρας νυκτὸς ἐπ' αὐτὴν ἐχώρει παντὶ τῷ στρατοπέδῳ τὴν Ῥώμην. καὶ μικροῦ μὲν ἐδέησεν ἐμπεσεῖν εἰς ἀφύλακτον· ἀποσχὼν δὲ τῆς Κολλίνης πύλης δέκα σταδίους, ἐπηυλίσατο τῇ πόλει, μεγαλοφρονῶν καὶ ταῖς ἐλπίσιν ἐπηρμένος, ὡς τοσούτους ἡγεμόνας καὶ τηλικούτους κατεστρατηγηκώς. ἅμα δ' ἡμέρᾳ, τῶν λαμπροτάτων νέων ἐξιππασαμένων ἐπ' αὐτὸν, ἄλλους τε πολλοὺς καὶ Κλαύδιον Ἄππιον, εὐγενῆ καὶ ἀγαθὸν ἄνδρα, κατέβαλε. θορύβου δὲ, οἷον εἰκὸς, ὄντος ἐν τῇ πόλει, καὶ βοῆς γυναικείας, καὶ διαδρομῶν, ὡς ἁλισκομένων κατὰ κράτος, πρῶτος ὤφθη Βάλβος ἀπὸ Σύλλα προσελαύνων ἀνὰ κράτος ἱππεῦσιν ἑπτακοσίοις. διαλιπὼν δὲ ὅσον ἀναψῦξαι τὸν ἱδρῶτα τῶν ἵππων, εἶτ' αὖθις ἐγχαλινώσας διὰ ταχέων, ἐξήπ-

fortuna apud duces ipsius Pompeium, Crassum, Metellum, Servilium respondit, qui nihil vel parum titubaverunt, & magnas vires hostium deleverunt. Itaque præcipuum adversarum partium Carbo firmamentum, relicto nocte exercitu suo, ex Italia navigavit in Africam.

At novissimo certamine, ut athleta exsurgens integer, defessum aggressus Samnis Telesinus, non multum abfuit quin ad portas urbis everteret & prosterneret eum. Properabat enim una cum Lamponio Lucano ingenti contracta manu Præneste ad eripiendum obsidione Marium. Cæterum ut Syllam intellexit a fronte, a tergo magno cum impetu instare sibi Pompeium, atque interclusisse se, ne progressum haberet nec receptum, bellator & magnis inveteratus certaminibus, nocte cum toto exercitu ad ipsam movit urbem, nihilque propius factum est quam ut neglectam sine præsidio & statione invaserit. Quum a porta Collina mille ducentos quinquaginta passus abesset, pernoctavit ibi prope urbem animo & spe erectus, quod tot & tantis imposuisset ducibus. Simul cum luce ex nobilissimis juvenibus invehentibus in eum, & alios complures, & Appium Claudium oppressit, clarum & probum virum. Quum jam urbem tumultus, qualem verisimile est, & clamor mulierum & discursus sicut vi captam tenerent, primus advolare a Sylla Balbus equitibus citatis septingentis est conspectus, tantisper dato spatio ut sudor equorum exsiccaretur, mox denuo infrænatis eis propere in-

ἐξήπλετο τῶν πολεμίων. ἐν τούτῳ δὲ καὶ Σύλλας ἐφαίνετο, καὶ τοὺς πρώτους εὐθὺς ἀριστᾶν κελεύων, εἰς τάξιν καθίστη. πολλὰ δὲ Δολοβέλλα καὶ Τορκουάτου δεομένων ἐπισχεῖν, καὶ μὴ κατακόπους ἔχοντα τοὺς ἄνδρας, ἀποκινδυνεῦσαι περὶ τῶν ἐσχάτων (οὐ γὰρ Κάρβωνα καὶ Μάριον, ἀλλὰ Σαυνίτας καὶ Λευκανοὺς, τὰ ἔχθιστα τῇ Ῥώμῃ καὶ τὰ πολεμιώτατα φῦλα συμφέρεσθαι) παρωσάμενος αὐτοὺς ἐκέλευσε σημαίνειν τὰς σάλπιγγας ἀρχὴν ἐφόδου, σχεδὸν εἰς ὥραν δεκάτην ἤδη τῆς ἡμέρας καταστρεφούσης. γενομένου δὲ ἀγῶνος οἵου οὐχ ἑτέρου, τὸ μὲν δεξιὸν, ἐν ᾧ Κράσσος ἐτέτακτο, λαμπρῶς ἐνίκα· τῷ δὲ εὐωνύμῳ πονοῦντι καὶ κακῶς ἔχοντι Σύλλας παρεβοήθει λευκὸν ἵππον ἔχων, θυμοειδῆ καὶ ποδωκέστατον· ἀφ᾽ οὗ γνωρίσαντες αὐτὸν δύο τῶν πολεμίων, διετείνοντο τὰς λόγχας ὡς ἀφήσοντες. αὐτὸς μὲν οὖν οὐ προενόησε, τοῦ δ᾽ ἱπποκόμου μαστίξαντος τὸν ἵππον, ἔφθη παρενεχθεὶς τοσοῦτον, ὅσον περὶ τὴν οὐρὰν τοῦ ἵππου τὰς αἰχμὰς συμπεσούσας εἰς τὴν γῆν παγῆναι. λέγεται δὲ ἔχων τι χρυσοῦν Ἀπόλλωνος ἀγαλμάτιον ἐκ Δελφῶν, ἀεὶ μὲν αὐτὸ κατὰ τὰς μάχας περιφέρειν ἐν τῷ κόλπῳ, ἀλλὰ καὶ τότε τοῦτο καταφιλεῖν, οὕτω δὴ λέγων, ὦ Πύθιε Ἄπολλον, τὸν εὐτυχῆ Σύλλαν Κορνήλιον ἐν τοσούτοις ἀγῶσιν ἄρας λαμπρὸν καὶ μέγαν, ἐνταῦθα ῥίψεις ἐπὶ θύραις τῆς πατρίδος ἀγαγὼν, αἴσχιστα τοῖς ἑαυτοῦ συναπολούμενον πολίταις; τοιαῦτα φησὶ τὸν Σύλλαν θεοκλυτοῦντα, τοὺς μὲν ἀντιβολεῖν, τοῖς δὲ ἀπειλεῖν, τῶν δὲ ἐπιλαμβάνεσθαι· τέλος δὲ τοῦ εὐωνύμου συντριβέντος, ἀναμιχθέντα τοῖς φεύγουσιν, εἰς τὸ στρατόπεδον καταφυγεῖν, πολλοὺς ἀποβαλόντα

institit carpere hostes. Interea supervenit Sylla, primosque repente prandere jussos instruxit in aciem. Institit apud eum magnopere Dolobella & Torquatus, ne, confectis militibus, extremam aleam jaceret. Non Carbonem nec Marium, sed Samnites Lucanosque, infestissimas urbi & bellicosissimas gentes cum ipso congredi. Verum repulsis his, præcipitante jam fere in decimam horam die, classicum jussit signa canere. Dum certatur ut quum acerrime, dextrum cornu, quod tenebat Crassus, egregie vincebat: sinistro laboranti & inclinato ivit subsidio Sylla, albo equo insidens feroci & pernicissimo. In eum hinc cognitum duo ex hostibus lanceas connixi ad emittendum direxerunt. Id non advertit ille, sed verberato ab equisone equo hactenus est præterlatus, ut secundum caudam equi spicula simul delapsa defigerentur in solum. Dicitur sigillum habuisse Apollinis aureum Delphis sublatum, quod cum semper in sinu inter dimicandum circumtulisse, tum illo tempore exosculatus esse, atque ita fatus, Felicemne Cornelium Syllam, Pythie Apollo, quem tot splendidum & inclytum evexisti certaminibus, huc adduxisti ut projicias eum, & in patriæ foribus una cum civibus suis fœdissime cadat? Ita precatum Syllam aiunt alios orasse, aliis minitatum fuisse, manu prehendisse alios, denique sinistro cornu obtrito permistum fugientibus, multis desideratis amicis & fa-

λόντα τῶν ἑταίρων καὶ γνωρίμων. οὐκ ὀλίγοι δὲ καὶ τῶν ἐκ τῆς πόλεως ἐπὶ θέαν προελθόντες, ἀπώλοντο καὶ κατεπατήθησαν· ὥστε τὴν μὲν πόλιν οἴεσθαι διαπεπρᾶχθαι, παρ' ὀλίγον δὲ καὶ τὴν Μαρίου πολιορκίαν λυθῆναι, πολλῶν ἐκ τῆς τροπῆς ὠσαμένων ἐκεῖ, καὶ τὸν ἐπὶ τῇ πολιορκίᾳ τεταγμένον Ὀφέλλαν Λουκρήτιον ἀναζευγνύναι κατὰ τάχος κελευόντων, ὡς ἀπολωλότος τοῦ Σύλλα, καὶ τῆς Ῥώμης ἐχομένης ὑπὸ τῶν πολεμίων.

Ἤδη δὲ νυκτὸς οὔσης βαθείας ἧκον εἰς τὸ τοῦ Σύλλα στρατόπεδον παρὰ τοῦ Κράσσου, δεῖπνον αὐτῷ καὶ τοῖς στρατιώταις μετιόντες. ὡς γὰρ ἐνίκησε τοὺς πολεμίους, εἰς Ἄντεμναν καταδιώξαντες, ἐκεῖ κατεστρατοπέδευσαν. ταῦτ' οὖν πυθόμενος ὁ Σύλλας, καὶ ὅτι τῶν πολεμίων οἱ πλεῖστοι διολώλασιν, ἧκεν εἰς Ἄντεμναν ἅμ' ἡμέρᾳ, καὶ τρισχιλίων ἐπικηρυκευσαμένων πρὸς αὐτὸν, ὑπέσχετο δώσειν τὴν ἀσφάλειαν, εἰ κακόν τι τοὺς ἄλλους ἐργασάμενοι πολεμίους ἔλθοιεν πρὸς αὐτόν. οἱ δὲ πιστεύσαντες ἐπέθεντο τοῖς λοιποῖς, καὶ πολλοὶ κατεκόπησαν ὑπ' ἀλλήλων. οὐ μὴν ἀλλὰ καὶ τούτους, καὶ τῶν ἄλλων τοὺς περιγενομένους εἰς ἑξακισχιλίους, ἀθροίσας παρὰ τὸν ἱππόδρομον, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τῆς Ἐνυοῦς ἱερόν. ἅμα δὲ αὐτός τε λέγειν ἀνήρχετο, καὶ κατέκοπτον οἱ τεταγμένοι τοὺς ἑξακισχιλίους. κραυγῆς δὲ, ὡς εἰκὸς, ἐν χωρίῳ μικρῷ τοσούτων σφαττομένων φερομένης, καὶ τῶν συγκλητικῶν ἐκπλαγέντων, ὥσπερ ἐτύγχανε λέγων ἀτρέπτῳ καὶ καθεστηκότι τῷ προσώπῳ, προσέχειν ἐκέλευσεν αὐτοὺς τῷ λόγῳ, τὰ δ' ἔξω γινόμενα μὴ πολυπραγμονεῖν· νουθετεῖσθαι γὰρ, αὐτοῦ κελεύσαντος, ἐνίους τῶν πονηρῶν. τοῦτο καὶ τῷ βραδυτάτῳ Ῥωμαίων νοῆσαι παρέστησεν, ὡς ἀλ-

familiaribus in caſtra eſſe delatum. Magnus numerus etiam ex urbe ad ſpectaculum pugnæ progreſſorum periit & eliſus eſt; ut actum putaret eſſe de civitate, atque obſidio pene eſſet ſoluta Marii, multis eo ex fuga delatis, qui Lucretium Ofellam ad continuandam relictum obſidionem monuerunt, ſicut oppreſſo Sylla occupataque ab hoſtibus urbe, ut ſe reciperet.

Intempeſta jam nocte venerunt in caſtra Syllæ a Craſſo nuntii, ei militibuſque ejus cœnam petitum. Nam fuſos hoſtes inſequuti Antemnam uſque, caſtra ibi poſuerant. Quo audito, ſimul hoſtes prope omnes interiiſſe, contendit, ubi diluxit, Antemnam: quo quum tria millia miſiſſent ad eum legatos ad veniam petendam, promiſit eis impunitatem, ſi aliquid cladis intuliſſent cæteris hoſtibus, atque ita ad ſe commeaſſent. Qui habita fide, reliquos ſunt adorti, atque magna cædes extitit ſe mutuo conficientium. Nihilominus, & his & quotquot eſſent ex aliis ſuperſtites, ad ſex millia in circo maximo coactis, ſenatum in ædem Bellonæ indixit. Simul atque dicere inſtituit, trucidaverunt, quibus id demandatum erat, illa ſex millia. Vociferatione, ſcilicet a tanta multitudine, quæ loco anguſto jugulabatur, elata, & patribus attonitis, eodem quo dicebat, immoto & conſtanti vultu advertere patres animum juſſit iis quæ loquebatur, neque curare quid ageretur foris: nonnullos improbos juſſu ſuo caſtigari. Id vel ſtupidiſſimum Romanorum docuit intelligere mu-

ἀλλαγὴ τὸ χρῆμα τυραννίδος, οὐκ ἀπαλλαγὴ γέγονε. Μάριος μὲν οὖν ἀπ' ἀρχῆς χαλεπὸς ὤν, ἐπέτεινεν, οὐ μετέβαλε τῇ ἐξουσίᾳ τὴν φύσιν. Σύλλας δὲ, μετρίως τὰ πρῶτα καὶ πολιτικῶς ὁμιλήσας τῇ τύχῃ, καὶ δόξαν ἀριστοκρατικοῦ καὶ δημωφελοῦς ἡγεμόνος παρασχὼν, ἔτι δὲ καὶ φιλόγελως ἐκ νέου γενόμενος, καὶ πρὸς οἶκτον ὑγρὸς, ὥστε ῥᾳδίως ἐπιδακρύειν, εἰκότως προσετρίψατο ταῖς μεγάλαις ἐξουσίαις διαβολὴν, ὡς τὰ ἤθη μένειν οὐκ ἐώσαις ἐπὶ τῶν ἐξ ἀρχῆς τρόπων, ἀλλ' ἔμπληκτα καὶ χαῦνα καὶ ἀπάνθρωπα ποιούσαις. τοῦτο μὲν οὖν, εἴτε κίνησίς ἐστι καὶ μεταβολὴ φύσεως ὑπὸ τύχης, εἴτε μᾶλλον ὑποκειμένης ἀποκάλυψις ἐν ἐξουσίᾳ κακίας, ἑτέρα τις ἂν διορίσειε πραγματεία.

Τοῦ δὲ Σύλλα πρὸς τὸ σφάττειν τραπομένου, καὶ φόνων οὔτε ἀριθμὸν οὔτε ὅρον ἐχόντων ἐμπιπλάντος τὴν πόλιν, ἀναιρουμένων πολλῶν καὶ κατ' ἰδίας ἔχθρας, οἷς οὐδὲν ἦν πρᾶγμα πρὸς Σύλλαν, ἐφιέντος αὐτοῦ καὶ χαριζομένου τοῖς περὶ αὐτὸν, ἐτόλμησε τῶν νέων εἷς Γάϊος Μέτελλος ἐν τῇ συγκλήτῳ τοῦ Σύλλα πυθέσθαι, τί πέρας ἔσται τῶν κακῶν, καὶ ποῖ προελθόντος αὐτοῦ δεῖ πεπαῦσθαι τὰ γινόμενα προσδοκᾶν. Παραιτούμεθα γὰρ, εἶπεν, οὐχ οὓς σὺ ἔγνωκας ἀναιρεῖν τῆς τιμωρίας, ἀλλὰ τῆς ἀμφιβολίας οὓς ἔγνωκας σώζειν. ἀποκριναμένου δὲ τοῦ Σύλλα, μηδέπω γινώσκειν οὓς ἀφίησιν· ὑπολαβὼν ὁ Μέτελλος, Οὐκοῦν, ἔφη, δήλωσον οὓς μέλλεις κολάζειν. καὶ ὁ Σύλλας ἔφη τοῦτο ποιήσειν. ἔνιοι δὲ οὐ τὸν Μέτελλον, ἀλλὰ Ἀφίδιόν τινα τῶν πρὸς χάριν ὁμιλούντων τῷ Σύλλᾳ, τὸ τελευταῖον εἰπεῖν λέγουσιν. ὁ δ' οὖν Σύλλας εὐθὺς

mutationem factam, non liberationem tyranni. Ac Marius quidem, qui a prima ætate acerbus fuerat, intendit non invertit potestate ingenium. Sylla vero, qui moderate tulerat initio & civiliter fortunam, existimationemque dederat principis optimatum reique publicæ studiosi, insuper ad risum a juventute propensus, & promptus ad misericordiam fuerat, ut facile ei lacrymæ manarent; merito hanc inussit magnæ potentiæ maculam, mores eam non pati in priore hærere statu, sed vecordes, arrogantes, & inhumanos reddere. Sive autem motio ea sit & conversio a fortuna naturæ, an insitæ potius pravitatis in potentia detectio, alterius sit commentationis disceptare.

Postquam Sylla ad mactandum convertit se, cædibusque inundavit urbem infinitis & immensis, dum multi etiam ex privatis simultatibus, quibuscum nihil Syllæ intercedebar, concedente eo & connivente in gratiam suorum obtruncantur; unus ex juventute C. Metellus ausus fuit in senatu ex Sylla percunctari, quis tandem esset malorum futurus finis, & quousque progressum istis factis exspectarent temperaturum. Deprecamur enim (inquit) non eorum quos tu tollere deliberasti supplicia, sed dubitationem eorum quos statuisti conservare. Ubi Sylla respondit, nondum certum se esse quos esset incolumes relicturus: excipiens Metellus, Quin igitur (inquit) expromis, quos velis punire? Id ostendit se ille facturum. Sunt qui non Metellum, sed unum ex adulatoribus ejus ferant Aufidium, hoc postremum dixisse. Igitur Sylla e vestigio,

εὐθὺς ὀγδοήκοντα προέγραψεν, οὐδενὶ τῶν ἐν τέλει κοινωσάμενος. ἀγανακτούντων δὲ πάντων, μίαν ἡμέραν διαλιπὼν, ἄλλους προέγραψεν εἴκοσι καὶ διακοσίους, εἶτα τρίτῃ πάλιν οὐκ ἐλάττους. ἐπὶ δὲ τούτοις δημηγορῶν, εἶπεν ὅσους μεμνημένος τυγχάνει προγράφειν· τοὺς δὲ νῦν διαλανθάνοντας, αὖθις προγράψειν. προέγραψε δὲ τῷ μὲν ὑποδεξαμένῳ καὶ διασώσαντι τὸν προγεγραμμένον, ζημίαν τῆς φιλανθρωπίας ὁρίζων θάνατον, οὐκ ἀδελφὸν, οὐχ υἱὸν, οὐ γονεῖς ὑπεξελόμενος· τῷ δὲ ἀποκτείναντι, γέρας, δύο τάλαντα τῆς ἀνδροφονίας, κἂν δοῦλος δεσπότην, κἂν πατέρα υἱὸς ἀνέλῃ. ὃ δὲ πάντων ἀδικώτατον ἔδοξε, τῶν γὰρ προγεγραμμένων ἠτίμωσε καὶ υἱοὺς καὶ υἱωνοὺς, καὶ τὰ χρήματα πάντων ἐδήμευσε. προεγράφοντο δὲ οὐκ ἐν Ῥώμῃ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ πόλει τῆς Ἰταλίας· καὶ φονευομένων, οὔτε ναὸς ἦν καθαρὸς Θεοῦ, οὔτε ἑστία ξένιος, οὔτε οἶκος πατρῷος, ἀλλὰ καὶ παρὰ γυναιξὶ γαμεταῖς ἄνδρες ἐσφάττοντο, καὶ παρὰ μητράσι παῖδες. ἦσαν δὲ οἱ δι' ὀργὴν ἀπολλύμενοι καὶ δι' ἔχθραν, οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων. ἀλλὰ καὶ λέγειν ἐπῄει τοῖς κολάζουσιν, ὡς τόνδε μὲν ἀνῄρηκεν οἰκία μεγάλη, τόνδε δὲ κῆπος, ἄλλον ὕδατα θερμά. Κόϊντος δὲ Αὐρήλιος, ἀνὴρ ἀπράγμων, καὶ τοσοῦτον αὐτῷ μετεῖναι τῶν κακῶν νομίζων, ὅσον ἄλλοις συναλγεῖν ἀτυχοῦσιν, εἰς ἀγορὰν ἐλθὼν, ἀνεγίνωσκε τοὺς προγεγραμμένους· εὑρὼν δὲ ἑαυτὸν, Οἴμοι τάλας, εἶπε· διώκει με τὸ ἐν Ἀλβανῷ χωρίον. καὶ βραχὺ προελθὼν, ὑπό τινος ἀπεσφάγη καταδιώξαντος.

Ἐν

gio, re cum nemine ex magiſtratibus communicata, proſcripſit octoginta. Omnibus id indigne ferentibus, alios uno interjecto die ducentos viginti, mox tertio adjunxit rurſus non pauciores. Adjecit pro concione, eos quorum meminiſſet, ſe proſcripſiſſe: qui ipſum nunc fugerent proſcripturum deinceps. Adſcripſit ei qui recepiſſet & ſervaſſet proſcriptum, mulctam ſe humanitatis capitalem ſancire. Nec fratrem, vel filium, vel parentes excepit. Percuſſori præmium cædis bina talenta, etiamſi ſervus dominum, etiamſi genitorem interfeciſſet filius. Quod vero omnium eſt viſum iniquiſſimum, notavit proſcriptorum liberos nepoteſque infamia, omniumque publicavit bona. Proſcribebantur autem non Romæ modo, ſed & per omnes Italiæ urbes. Nullius templum Dei a cæde erat inviolatum, non penates hoſpitales, non domus paterna, ſed in ſinu conjugum viri, in ſinu matrum jugulabantur filii. Atque eorum qui ex ira vel odio necabantur, exiguus numerus erat præ illis qui bonorum cauſa tollebantur. Immo ſubinde dicebant homicidæ, Hunc occiderunt amplæ ædes, illum horti, alium aquæ calidæ. Quintus Aurelius, vir quietus, atque hactenus illa mala pertinere ad ſe arbitratus, quod aliorum doleret infortunia, quum in forum veniſſet, legit proſcriptos, ac reperto nomine ſuo, Væ miſero mihi, inquit, fundus mihi Albanus procurat necem, paulumque progreſſus quum eſſet, a quodam, qui inſequebatur eum, eſt interemptus.

 Dum

Ἐν τούτῳ δὲ Μάριος μὲν ἁλισκόμενος ἑαυτὸν διέφθειρε· Σύλλας δὲ εἰς Πραινεστὸν ἐλθὼν, πρῶτα μὲν ἰδίᾳ κατ᾽ ἄνδρα κρίνων ἐκόλαζεν, εἶτα, ὡς οὐ σχολῆς οὔσης, πάντας ἀθρόως εἰς ταυτὸ συναγαγὼν, μυρίους καὶ δισχιλίους ὄντας, ἐκέλευσεν ἀποσφάττειν, μόνῳ τῷ ξένῳ διδοὺς ἄδειαν. ὁ δὲ, εὐγενῶς πάνυ φήσας πρὸς αὐτὸν, ὡς οὐδέποτε σωτηρίας χάριν εἴσεται τῷ φονεῖ τῆς πατρίδος, ἀναμιχθεὶς ἑκὼν συγκατεκόπη τοῖς πολίταις. ἔδοξε δὲ καινότατον γενέσθαι τὸ περὶ Λεύκιον Κατιλίναν. οὗτος γὰρ, οὔπω τῶν πραγμάτων κεκριμένων, ἀνῃρηκὼς ἀδελφὸν, ἐδεήθη τοῦ Σύλλα τότε προγράψαι τὸν ἄνθρωπον, ὡς ζῶντα· καὶ προσεγράφη. τούτου δὲ τῷ Σύλλᾳ χάριν ἐκτίνων, Μάρκον τινὰ Μάριον τῶν ἐκ τῆς ἐναντίας στάσεως ἀποκτείνας, τὴν μὲν κεφαλὴν ἐν ἀγορᾷ καθεζομένῳ τῷ Σύλλᾳ προσήνεγκε, τῷ δὲ περιρραντηρίῳ τοῦ Ἀπόλλωνος ἐγγὺς ὄντι προσελθὼν, ἀπενίψατο τὰς χεῖρας.

Ἔξω δὲ τῶν φονικῶν καὶ τὰ λοιπὰ τοὺς ἀνθρώπους ἐλύπει. δικτάτωρα μὲν γὰρ ἑαυτὸν ἀνηγόρευσε, δι᾽ ἐτῶν ἑκατὸν εἴκοσι τοῦτο τὸ γένος τῆς ἀρχῆς ἀναλαβών. ἐψηφίσθη δὲ αὐτῷ πάντων ἄδεια τῶν γεγονότων· πρὸς δὲ τὸ μέλλον, ἐξουσία θανάτου, δημεύσεως, κληρουχιῶν, κτίσεως, πορθήσεως, ἀφελέσθαι βασιλείαν, ᾧ βούλοιτο χαρίσασθαι. τὰς δὲ διαπράσεις τῶν δεδημευμένων οἴκων οὕτως ὑπερηφάνως ἐποιεῖτο καὶ δεσποτικῶς, ἐπὶ βήματος καθεζόμενος, ὥστε τῶν ἀφαιρέσεων ἐπαχθεστέρας αὐτοῦ τὰς δωρεὰς εἶναι, καὶ γυναιξὶν εὐμόρφοις,

καὶ

Dum hæc aguntur, Marius filius, quum jamjam comprehenderetur, conscivit sibi necem. Sylla Præneste profectus, animadvertit primum causa cognita in singulos, deinde, quasi non vacaret, cunctos uno in loco contractos, ad duodecim millium numerum, confici jussit. Uni hospiti concessit incolumitatem. Qui sane quam generose dixit ei, nunquam se patriæ suæ homicidæ gratias acturum de salute sua. Ita immiscuit ultro se catervæ civium, unaque cum illis trucidatus est. Indignissimum autem Lucii Catilinæ visum est facinus. Hic, quum sustulisset rebus nondum decretis fratrem, rogavit Syllam tunc, ut quasi incolumem proscriberet, & proscriptus fuit. Hanc ob rem ut Syllæ gratiam referret, M. quendam Marium ex adversa factione occidit, caputque ad sedentem in foro Syllam retulit. Inde ad amulam se Apollinis propinquam contulit, ac manus abluit.

Porro extra neces erant reliqua quoque hominibus odiosa. Dictatorem enim se ipse renuntiavit, cumque magistratum ab annis centum viginti assumpsit. Omnium præteritorum data ei fuit ex lege impunitas, in futurum autem jus necis, publicationis bonorum, coloniarum deducendarum, urbium condendarum & diruendarum, jus regna auferendi & pro libito condonandi. Hastam bonorum publicatorum adeo superbe & tyrannice sedens pro rostris exercuit, ut exceptionibus ejus graviores essent condonationes, qui venustis mulieribus, lyricinibus,

hi-

καὶ λυρῳδοῖς καὶ μίμοις, καὶ καθάρμασιν ἐξελευθερικοῖς ἐθνῶν χώρας καὶ πόλεων χαριζομένους προσόδους, ἐνίοις δὲ γάμους ἀκουσίως ζευγνυμένων γυναικῶν. Πομπήϊον γέ τοι βουλόμενος οἰκειώσασθαι τὸν Μάγνον, ἣν μὲν εἶχε γαμετὴν ἀφεῖναι προσέταξεν· Αἰμιλίαν δὲ, Σκαύρου θυγατέρα καὶ Μετέλλης τῆς ἑαυτοῦ γυναικὸς, ἀποσπάσας Μάγνου Γλαβρίωνος, ἐγκύμονα συνῴκισεν αὐτῷ· ἀπέθανε δὲ ἡ κόρη παρὰ τῷ Πομπηΐῳ τίκτουσα. Λουκρητίου δὲ Ὀφέλλα τοῦ Μάριον ἐκπολιορκήσαντος, αἰτουμένου καὶ μετιόντος ὑπατείαν, πρῶτον μὲν ἐκώλυε· ὡς δὲ ἐκεῖνος ὑπὸ πολλῶν σπουδαζόμενος εἰς τὴν ἀγορὰν ἐνέβαλε, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἑκατοντάρχων, ἀπέσφαξε τὸν ἄνδρα, καθεζόμενος ἐπὶ βήματος ἐν τῷ Διοσκουρείῳ, καὶ τὸν φόνον ἐφορῶν ἄνωθεν. τῶν δὲ ἀνθρώπων τὸν ἑκατοντάρχην συλλαβόντων, καὶ προσαγαγόντων τῷ βήματι, σιωπῆσαι κελεύσας τοὺς θορυβοῦντας, αὐτὸς ἔφη κελεῦσαι τοῦτο, καὶ τὸν ἑκατοντάρχην ἀφεῖναι προσέταξεν.

Ὁ μέντοι θρίαμβος αὐτοῦ, τῇ πολυτελείᾳ καὶ καινότητι τῶν βασιλικῶν λαφύρων σοβαρὸς γενόμενος, μείζονα κόσμον ἔχε καὶ καλὸν θέαμα, τοὺς φυγάδας. οἱ γὰρ ἐνδοξότατοι καὶ δυνατώτατοι τῶν πολιτῶν ἐστεφανωμένοι παρείποντο, σωτῆρα καὶ πατέρα τὸν Σύλλαν ἀποκαλοῦντες, ἅτε δὴ δι' ἐκεῖνον εἰς τὴν πατρίδα κατιόντες, καὶ κομιζόμενοι παῖδας καὶ γυναῖκας. ἤδη δὲ συνῃρημένων ἁπάντων, ἀπολογισμὸν ἐν ἐκκλησίᾳ τῶν πράξεων ποιούμενος, οὐκ ἐλάσσονι σπουδῇ τὰς εὐτυχίας, ἢ τὰς ἀνδραγαθίας κατηριθμεῖτο· καὶ πε-

hiſtrionibus, & ſceleſtis libertis, gentium agros & civitatum concederet vectigalia, nonnullis nuptias, invitis ad connubia adactis fœminis. Pompeium quidem Magnum quum conglutinare ſibi vellet propinquitate, cum uxore, quam habebat, imperavit ei ut nuptias dirimeret, eique Æmiliam, Scauri & Metellæ uxoris ſuæ filiam, quam a M. Glabrione abduxit, collocavit prægnantem: verum illa eſt apud Pompeium ex partu mortua. Quum Lucretius Ofella, qui Marium expugnaverat, conſulatum peteret & ambiret, vetuit ei primum. Ubi ille multorum gratiæ ſubnixus deſcendit in forum, miſit unum ex centurionibus, quibus ſeptus erat, ad eum interficiendum, ac ſedens pro tribunali in Caſtoris ſpectavit ipſe ex edito cædem. Centurionem arripuerunt cives ſtatueruntque ad tribunal ejus. Quibus ſilere tumultuantibus juſſit, & ſe id ait mandaſſe, ac centurionem imperavit dimitti.

At triumphus ejus, magnificentia & raritate manubiarum regiarum grandis, majorem ſpeciem & pulchrum ſpectaculum præbuit exulum cauſa. Siquidem clariſſimi viri & principes civitatis ſequuti ſunt coronati currum Syllæ, ſervatorem & parentem eum appellantes, quod illius beneficio eſſent in patriam reduces, liberoſque & conjuges reciperent. Tranſacto triumpho, rerum ſuarum geſtarum reddens pro concione rationem, non minore ſtudio quæ fœliciter ſibi eveniſſent, quam quæ fortiter feciſſet,

πέρας, ἐκέλευσεν ἑαυτὸν ἐπὶ τούτοις εὐτυχῆ προσαγορεύεσθαι. τοῦτο γὰρ ὁ φῆλιξ βούλεται μάλιστα δηλοῦν. αὐτὸς δὲ τοῖς Ἕλλησι γράφων καὶ χρηματίζων, ἑαυτὸν Ἐπαφρόδιτον ἀνηγόρευε. καὶ παρ' ἡμῖν ἐν τοῖς τροπαίοις οὕτως ἀναγέγραπται, ΛΕΥΚΙΟΣ ΚΟΡΝΗΛΙΟΣ ΣΥΛΛΑΣ ΕΠΑΦΡΟΔΙΤΟΣ. ἔτι δὲ τῆς Μετέλλης παιδία τεκούσης δίδυμα, τὸ μὲν ἄρρεν, Φαῦστον, τὸ δὲ θῆλυ, Φαῦσταν ὠνόμασε. τὸ γὰρ εὐτυχὲς καὶ ἱλαρὸν Ῥωμαῖοι φαῦστον καλοῦσιν. οὕτω δὲ ἄρα οὐ ταῖς πράξεσιν ὡς τοῖς εὐτυχήμασιν ἐπίστευεν, ὥστε παμπόλλων μὲν ἀνῃρημένων ὑπ' αὐτοῦ, καινοτομίας δὲ γενομένης καὶ μεταβολῆς ἐν τῇ πόλει τοσαύτης, ἀποθέσθαι τὴν ἀρχὴν, καὶ τὸν δῆμον ἀρχαιρεσιῶν ὑπατικῶν ποιῆσαι κύριον· αὐτὸς δὲ μὴ προσελθεῖν, ἀλλ' ἐν ἀγορᾷ τὸ σῶμα παρέχων τοῖς βουλομένοις ὑπεύθυνον, ὥσπερ ἰδιώτης ἀναστρέφεσθαι. καί τις παρὰ γνώμην αὐτοῦ, θρασὺς ἀνὴρ καὶ πολέμιος, ἐπίδοξος ἦν ὕπατος αἱρεθήσεσθαι, Μάρκος Λέπιδος, οὐ δι' ἑαυτὸν, ἀλλὰ Πομπηΐῳ σπουδάζοντι καὶ δεομένῳ τοῦ δήμου χαριζομένου. διὸ καὶ χαίροντα τῇ νίκῃ τὸν Πομπήϊον, ὁ Σύλλας ἰδὼν ἀπιόντα, καλέσας πρὸς ἑαυτὸν, Ὡς καλὸν, ἔφη, σοῦ τὸ πολίτευμα, ὦ νεανία, τὸ Κάτλου πρότερον ἀναγορεῦσαι Λέπιδον, τοῦ πάντων ἀρίστου, τὸν ἐμπληκτικώτατον. ὥρα μέντοι σοι μὴ καθεύδειν, ὡς ἰσχυρότερον πεποιηκότι κατὰ σεαυτοῦ τὸν ἀνταγωνιστήν. τοῦτο μὲν οὖν ὁ Σύλλας ὥσπερ ἀπεθέσπισε· ταχὺ γὰρ ἐξυβρίσας ὁ Λέπιδος, εἰς πόλεμον κατέστη τοῖς περὶ τὸν Πομπήϊον.

Ἀπο-

set, recensuit, & ad extremum jussit hac de causa nominari se Fœlicem. Græcis quum scriberet vel responderet, Epaphroditum, id est Veneri gratum, appellabat se. Atque in trophæis apud nos in hunc modum est nomen ejus perscriptum, L. CORNELIUS SYLLA EPAPHRODITUS. Ad hæc quum geminos Metella edidisset, filium Faustum, filiam vocavit Faustam. Ita enim res lætas Romani exprimunt. Adeo autem non ita rebus gestis, ut fœlicitate nitebatur, ut permultis ab eo necatis, tam multis in republica innovatis mutatisque, abdicaverit se dictatura, & jus consulum creandorum populo reddiderit, neque interfuerit ipse comitiis, sed in foro corpus cuilibet præbens ad injuriam opportunum privati modo versaretur. Advertit quendam præter sententiam suam, audacem hominem & hostem suum, consulem designari M. Lepidum, non per se, sed favore populari ob Pompeium ejus studiosum & pro eo prensantem. Quare, quum exultantem victoria videret Pompeium Sylla, accersivit digredientem, dixitque, Præclaram vero rem adolescens gessisti, qui priorem Catulo Lepidum, omnium optimo stolidissimum fecisti consulem. At tu fac vigiles, quum in teipsum effeceris adversarium tuum valentiorem. Sane illud Sylla quasi vaticinatus est. Brevi enim oppugnavit in insolentiam erumpens Lepidus Pompeium.

Pa-

Ἀποθύων δὲ τῆς οὐσίας ἁπάσης ὁ Σύλλας τῷ Ἡρακλεῖ δεκάτην, ἑστιάσεις ἐποιεῖτο τῷ δήμῳ πολυτελεῖς· καὶ τοσοῦτον περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας, ὥστε παμπληθῆ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ποταμὸν ὄψα ῥιπτεῖσθαι, πίνεσθαι δὲ οἶνον ἐτῶν τεσσαράκοντα, καὶ παλαιότερον. διὰ μέσου δὲ τῆς θοίνης πολυημέρου γινομένης, ἀπέθνησκεν ἡ Μετέλλα νόσῳ· καὶ τῶν ἱερέων τὸν Σύλλαν οὐκ ἐώντων αὐτῇ προσελθεῖν, οὐδὲ τὴν οἰκίαν τῷ κήδει μιανθῆναι, γραψάμενος διάλυσιν τοῦ γάμου πρὸς αὐτὴν ὁ Σύλλας, ἔτι ζῶσαν ἐκέλευσεν εἰς ἑτέραν οἰκίαν μετακομισθῆναι. καὶ τοῦτο μὲν ἀκριβῶς τὸ νόμιμον ὑπὸ δεισιδαιμονίας ἐτήρησε· τὸν δὲ τῆς ταφῆς ὁρίζοντα τὴν δαπάνην νόμον αὐτὸς παρεισενηνοχὼς παρέβη, μηδενὸς ἀναλώματος φεισάμενος. παρέβαινε δὲ καὶ τὰ περὶ τῆς εὐτελείας τῶν δείπνων ὑπ' αὐτοῦ τεταγμένα, πότοις καὶ συνδείπνοις τρυφὰς καὶ βωμολοχίας ἔχουσι παρηγορῶν τὸ πένθος. ὀλίγων δὲ μηνῶν διαγινομένων ἦν μὲν θέα μονομάχων· οὔπω δὲ τῶν τόπων διακεκριμένων, ἀλλ' ἔτι τοῦ θεάτρου συμμιγοῦς ἀνδράσι καὶ γυναιξὶν ὄντος, ἔτυχε πλησίον τοῦ Σύλλα καθεζομένη γυνὴ τὴν ὄψιν εὐπρεπὴς καὶ γένους λαμπροῦ. Μεσσάλα γὰρ ἦν θυγάτηρ, Ὁρτησίου δὲ τοῦ ῥήτορος ἀδελφή, Οὐαλερία δὲ τοὔνομα. συνεβεβήκει δὲ αὐτῇ νεωστὶ πρὸς ἄνδρα διάστασις. αὕτη περὶ τὸν Σύλλαν ἐξόπισθεν παραπορευομένη, τήν τε χεῖρα πρὸς αὐτὸν ἀπηρείσατο, καὶ κροκίδα τοῦ ἱματίου σπάσασα, παρῆλθεν ἐπὶ τὴν ἑαυτῆς χώραν. ἐμβλέψαντος δὲ τοῦ Σύλλα καὶ θαυμάσαντος, Οὐδέν, ἔφη, δεινὸν αὐτοκράτορ· ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν. τοῦτο ἤκουσεν οὐκ

ἀηδῶς

Patrimonii ſui univerſi conſecrans Sylla Herculi decimam, præbuit ſplendidum epulum populo, tantoque exuberantior uſu apparatus fuit, ut quotidie magna copia cibariorum in amnem projiceretur, vinum diffunderet quadraginta annis vetuſtius. Medio hoc epulo, quod multorum fuit dierum, deceſſit ex morbo Metella. Quia vero vetuerunt ſacerdotes ei illam adire, vel funere domum ejus pollui, miſit ei libellum repudii Sylla, juſſitque ſpirantem adhuc in aliud domicilium transferri. Atque hac in re leges curioſe ex ſuperſtitione ſervavit: at legem funerariam, quam tulerat ipſe, convulſit nullo habito ſumptus modo. Perrupit item ad leniendum luctum ſumptuarias, quas de conviviis & cœnis luxu illecebriſque diffluentibus ipſe fixerat. Paucis intercedentibus menſibus, ludi gladiatorii edebantur, nondum diſcretis cuneis, ſed quum in promiſcuo etiam tum viri fœminæque ſpectarent: ſedebat autem forte prope Syllam eleganti mulier forma & genere illuſtri. Meſſalæ filia erat, ſoror Hortenſii oratoris, Valeria nomine, quæ nuper forte diverterat a viro. Ea prætериens a tergo Syllam, extendit in eum manum, floccoque ex toga ejus avulſo, tranſiit in locum ſuum. Quum eam Sylla intueretur mirareturque, Nihil eſt, imperator, (inquit) quod te moveat, ſed cupio ego quoque tantillum conſors fieri felicitatis tuæ. Fuit id non ingratum audi-

in

ἀηδῶς ὁ Σύλλας, ἀλλὰ καὶ δῆλος εὐθὺς ἦν ὑποκεκνισμένος. ἠρώτα γὰρ ὑποπέμπων αὐτῆς ὄνομα, καὶ γένος καὶ βίον ἐμάνθανεν. ἐκ δὲ τούτων, ῥίψεις ὀμμάτων ὑπ' ἀλλήλους ἐγίνοντο, καὶ παρεπιστροφαὶ συνεχεῖς προσώπων, καὶ μειδιαμάτων διαδόσεις. τέλος δὲ, ὁμολογίαι καὶ συνθέσεις περὶ γάμων, ἐκείνῃ μὲν ἴσως ἄμεμπτοι· Σύλλας δὲ, εἰ καὶ τὰ μάλιστα σώφρονα καὶ γενναίαν, ἀλλ' οὐκ ἐκ σώφρονος καὶ καλῆς ἔγημεν ἀρχῆς, ὄψει καὶ λαμυρίᾳ μειρακίου δίκην παραβληθεὶς, ὑφ' ὧν τὰ αἴχιστα καὶ ἀναιδέστατα πάθη κινεῖσθαι πέφυκεν.

Οὐ μὴν ἀλλὰ καὶ ταύτην ἔχων ἐπὶ τῆς οἰκίας, συνῆν μίμοις γυναιξὶ, καὶ κιθαριστρίαις, καὶ θυμελικοῖς ἀνθρώποις ἐπὶ στιβάδων ἀφ' ἡμέρας συμπίνων. οὗτοι γὰρ οἱ τότε παρ' αὐτῷ δυνάμενοι μέγιστον ἦσαν, Ῥώσκιος ὁ κωμῳδὸς, καὶ Σῶριξ ὁ ἀρχιμῖμος, καὶ Μητρόβιος λυσιῳδὸς, οὗ καίπερ ἐξώρου γενομένου διετέλει μέχρι παντὸς ἐρᾷν οὐκ ἀρνούμενος. ὅθεν καὶ τὴν νόσον ἀπ' αἰτίας ἐλαφρᾶς ἀρξαμένην ἐξέθρεψε, καὶ πολὺν χρόνον ἠγνόει περὶ τὰ σπλάγχνα γεγονὼς ἔμπυος· ὑφ' ἧς καὶ τὴν σάρκα διαφθαρεῖσαν, εἰς φθεῖρας μετέβαλε πᾶσαν· ὥστε πολλῶν δι' ἡμέρας ἅμα καὶ νυκτὸς ἀφαιρούντων, μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου τὸ ἀποκρινόμενον, ἀλλὰ πᾶσαν ἐσθῆτα, καὶ λουτρὸν καὶ ἀπόνιμμα καὶ σιτίον ἀναπίμπλασθαι τοῦ ῥεύματος ἐκείνου καὶ τῆς φθορᾶς· τοσοῦτον ἐξήνθει. διὸ πολλάκις τῆς ἡμέρας εἰς ὕδωρ ἐνέβαινεν, ἐκκλύζων τὸ σῶμα καὶ ἀπορρυπτόμενος. ἦν δ' οὐδὲν ὄφελος. ἐκράτει γὰρ ἡ μεταβολὴ τῷ τάχει, καὶ περιεγίνετο παντὸς καθαρμοῦ τὸ πλῆθος. λέγεται δὲ, τῶν μὲν

tæ Syllæ, verum confestim prodidit nonnihil se titillatum. Siquidem misit clanculum certos, per quos nomen, natales, & mores ejus disceret. Hinc oculorum invicem annictus, assiduæ ac leves in se mutuo vultus conversiones, risuum reciprocationes, sponsalia denique & pacta connubialia, huic fortasse non pudenda. Sylla vero, etsi castam alias & insignem non ex moderato tamen & honesto duxit primordio, more adolescentis obtutu & leporibus, quibus solent fœdissimi & impudentissimi excitari animi motus, illectus.

Atqui, quamvis hanc haberet domi, cum mulieribus tamen mimis citharistriisque & thymelicis viris vivebat, de die cum iis in lectis potans. Hi erant enim illa tempestate, qui plurimum apud eum poterant, Roscius comœdus, Sorex archimimus, & Metrobius lysiodus: quem, licet exoletum, non dissimulabat perpetuo amare. Unde etiam morbum aluit ex levi ortum occasione, & perdiu exulcerata viscera sua ignoravit. Hinc putrefactum corpus & in pediculos totum versum, ut, quum multi interdiu & noctu tollerent eos, nulla parte potuerit tamen, quod rejiciebatur, æquare illud quod succedebat, verum omnes vestes, balneum, pollubrum, cibus illo repleretur fluxu & tabe: adeo suppullulabat. Ideo sæpius die ingrediebatur balneum, abluens & abstergens corpus: cæterum nihil proficiebatur. Vincebat enim celeritate conversio, superabatque copia omnem purgationem. Memorant ex priscis

μὲν πάνυ παλαιῶν, Ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι, τῶν δὲ ὑστέρων, Ἀλκμᾶνα τὸν μελοποιόν, καὶ Φερεκύδην τὸν θεολόγον, καὶ Καλλισθένην τὸν Ὀλύνθιον, ἐν εἱρκτῇ φρουρούμενον· ἔτι δὲ Μούκιον τὸν νομικόν. εἰ δὲ δεῖ καὶ τῶν ἀπ' οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δὲ ἄλλως, ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην, Εὔνουν ὄνομα, μετὰ τὴν ἅλωσιν εἰς Ῥώμην ἀγόμενον, ὑπὸ φθειριάσεως ἀποθανεῖν.

Ὁ δὲ Σύλλας οὐ μόνον προέγνω τὴν ἑαυτοῦ τελευτήν, ἀλλὰ τρόπον τινὰ καὶ γέγραφε περὶ αὐτῆς. τὸ γὰρ εἰκοστὸν καὶ δεύτερον τῶν ὑπομνημάτων, πρὸ δυεῖν ἡμερῶν ἢ ἐτελεύτα, γράφων ἐπαύσατο· καί φησι, τούς τε Χαλδαίους αὐτῷ προειπεῖν, ὡς δέοι βεβιωκότα καλῶς αὐτὸν ἐν ἀκμῇ τῶν εὐτυχημάτων καταστρέψαι. λέγει δὲ καὶ τὸν υἱὸν αὐτοῦ τεθνηκότα μικρὸν ἔμπροσθεν τῆς Μετέλλης φανῆναι κατὰ τοὺς ὕπνους, ἐν ἐσθῆτι φαύλῃ παρεστῶτα, καὶ δεόμενον τοῦ πατρὸς παύσασθαι τῶν φροντίδων, ἰόντα δὲ σὺν αὐτῷ παρὰ τὴν μητέρα Μετέλλαν, ἐν ἡσυχίᾳ καὶ ἀπραγμόνως ζῆν μετ' αὐτῆς. οὐ μὴν ἐπαύσατό γε τοῦ πράττειν τὰ δημόσια. δέκα μὲν γὰρ ἡμέραις ἔμπροσθεν τῆς τελευτῆς, τοὺς ἐν Δικαιαρχίᾳ στασιάζοντας διαλλάξας, νόμον ἔγραψεν αὐτοῖς καθ' ὃν πολιτεύσονται. πρὸ μιᾶς δὲ ἡμέρας, πυθόμενος τὸν ἄρχοντα Γράνιον, ὡς ὀφείλων δημόσιον χρέος οὐκ ἀποδίδωσιν, ἀλλ' ἀναμένει τὴν αὐτοῦ τελευτήν, μετεπέμψατο τὸν ἄνθρωπον εἰς τὸ δωμάτιον· καὶ περιστήσας τοὺς ὑπηρέτας ἐκέλευσε πνίγειν, τῇ δὲ κραυγῇ καὶ τῷ σπαραγμῷ τὸ ἀπόστημα ῥήξας,

πλῆθος

eis pediculari morbo Acastum Peliæ consumptum, ex inferioribus Alcmana poetam, Pherecydem theologum, & Olynthium Callisthenem, dum in vinculis fuit, Mucium præterea jurisconsultum. Quod si istos quoque, qui nulla quidem virtute, nobilitati sunt tamen, commemorare oportet: fama est eum qui bellum servile movit in Sicilia, fugitivum, Eunum nomine, postquam attractus Romam captivus est, morbo pediculari absumptum.

Porro Sylla non tantum prævidit fatum suum, verum etiam de eo aliquatenus scripsit. Siquidem vigesimo secundo commentario biduo antequam decessit extremam manum imposuit, ac prædixisse ait sibi Chaldæos, ubi præclare vixisset, in flore se felicitatis excessurum. Narrat etiam filium suum, qui paulo ante Metellam obierat, visum per somnum obsoleta in veste sibi assistere, patremque orasse, deponeret solicitudines, pergeretque secum ad matrem Metellam: ibi quiete cum illa in otio victurum. Ab negotiis publicis tamen non abstitit: quippe decem ante exitum diebus, quum Puteolanorum dissensiones composuisset, scripsit iis leges quibus rempublicam moderarentur. Pridie nuntiato Granium, qui magistratum gerebat, reipublicæ quod debebat non exsolvere, sed diem suum supremum exspectare, accivit eum in cubiculum, ubi ministris suis circumfusum præcepit strangulari. Inter vociferationem & corporis jactationem dirupta vomica vim mag-

nam

πλῆθος αἵματος ἐξέβαλεν. ἐκ δὲ τούτου τῆς δυνάμεως ἐπιλιπούσης, διαγαγὼν τὴν νύκτα μοχθηρῶς, ἀπέθανε, δύο παῖδας ἐκ τῆς Μετέλλης νηπίους καταλιπών. ἡ γὰρ Οὐαλερία μετὰ τὴν τελευτὴν αὐτοῦ, θυγάτριον ἀπεκύησεν, ὃ Ποστοῦμαν ἐκάλουν. τοὺς γὰρ ὕστερον τῆς τῶν πατέρων τελευτῆς γενομένους, οὕτω Ῥωμαῖοι προσαγορεύουσιν.

Ὥρμησαν μὲν οὖν πολλοὶ καὶ συνέστησαν πρὸς Λέπιδον, ὡς εἴρξοντες τὸ σῶμα κηδείας τῆς νενομισμένης. Πομπήϊος δὲ, καίπερ ἐγκαλῶν τῷ Σύλλᾳ, (μόνον γὰρ αὐτὸν ἐν ταῖς διαθήκαις τῶν φίλων παρέλιπε) τοὺς μὲν χάριτι καὶ δεήσει, τοὺς δὲ ἀπειλῇ διακρουσάμενος, εἰς Ῥώμην παρέπεμψε τὸ σῶμα, καὶ ταῖς ταφαῖς ἀσφάλειαν ἅμα καὶ τιμὴν παρέσχε. λέγεται δὲ τοσοῦτον πλῆθος ἀρωμάτων ἐπενεγκεῖν τὰς γυναῖκας αὐτῷ, ὥστε ἄνευ τῶν ἐν φορήμασι δέκα καὶ διακοσίοις διακομιζομένων, πλασθῆναι μὲν εἴδωλον εὐμέγεθες αὐτοῦ Σύλλα, πλασθῆναι δὲ καὶ ῥαβδοῦχον ἔκ τε λιβανωτοῦ πολυτελοῦς καὶ κινναμώμου. τῆς δὲ ἡμέρας συννεφοῦς ἕωθεν οὔσης, ὕδωρ ἐξ οὐρανοῦ προσδοκῶντες, ἐνάτης ἦραν μόλις ὥρας τὸν νεκρόν. ἀνέμου δὲ λαμπροῦ καταιγίσαντος εἰς τὴν πυρὰν, καὶ φλόγα πολλὴν ἐγείραντος, ἔφθη τὸ σῶμα συγκομισθέν· ὅσον δὲ ἤδη τῆς πυρᾶς μαραινομένης, καὶ τοῦ πυρὸς ἀπιόντος, ἐκχυθῆναι πολὺν ὄμβρον καὶ κατασχεῖν ἄχρι νυκτός· ὥστε τὴν τύχην αὐτοῦ δοκεῖν τὸ σῶμα συνθάπτειν παραμένουσαν. τὸ μὲν οὖν μνημεῖον ἐν τῷ πεδίῳ τοῦ Ἄρεως ἐστί· τὸ δὲ ἐπι-

nam profudit sanguinis. Hinc viribus defectus, nocte per gravem cruciatum transacta, vitam reddidit. Liberos reliquit duos ex Metella infantes. Nam Valeria post excessum ejus edidit filiolam, quam appellaverunt Posthumiam. Qui enim post patrum fata nati sunt, hos vocant Romani Posthumos.

Porro conspiraverunt multi partes Lepidi secuti, ut privarent justis exequiarum corpus Syllæ: verum Pompeius, quamvis offensus Syllæ, (solum enim amicorum tabulis prætericrat) partim gratia, partim precibus, minis etiam nonnullos summovit, corpusque Romam est prosequutus, ac tribuit funeri pariter securitatem & honorem. Ferunt eum vi tanta aromatum fuisse a fœminis cumulatum, ut præter illata decem & ducentis ferculis, simulacrum ipsius Syllæ grande fictum fuerit, fictum etiam lictoris ex pretioso thure & cinamomo. Quum esset a prima luce nubilum cœlum, quia expectabant imbrem, non nisi nona hora extulerunt cadaver. Tum vento increbrescente & delato in rogum, flammamque excitante luculentam, tanto prius combustum corpus fuit, quatenus rogo jam tabescente atque igne emoriente, excussa est larga pluvia, quæ ad noctem usque tenuit. Ita perpetua fœlicitas eum etiam funere peragendo est comitata. Extat monumentum ejus in campo Martio. Epigram-

ἐπίγραμμα φασὶν αὐτὸν ὑπογραψάμενον καταλιπεῖν, οὗ κεφάλαιόν ἐστιν, ὡς οὔτε τῶν φίλων τις αὐτὸν εὖ ποιῶν, οὔτε τῶν ἐχθρῶν κακῶς, ὑπερεβάλετο.

gramma autem perhibent delineatum ipſum reliquiſſe, cujus eſt ſumma, A nemine ſe amicorum beneſactis, vel inimicorum maleſactis ſuperatum.

Ἐπεὶ

Digitized by Google

ΕΠΕΙ δὲ καὶ τὸν τούτου διεληλύθαμεν βίον, ἴωμεν ἤδη πρὸς τὴν σύγκρισιν. τὸ μὲν οὖν ἀφ' ἑαυτῶν αὐξήσεως ἀρχὴν λαβοῦσι μεγάλους γενέσθαι, κοινὸν ἀμφοτέροις ὑπῆρξεν· ἴδιον δὲ Λυσάνδρου, τὸ βουλομένων τῶν πολιτῶν καὶ ὑγιαινόντων ὅσας ἔσχεν ἀρχὰς λαβεῖν, βιάσασθαι δὲ μηδὲν ἀκόντων, μηδ' ἰσχῦσαι παρὰ τοὺς νόμους.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς·

ὥσπερ ἐν Ῥώμῃ τότε, διεφθαρμένου τοῦ δήμου, καὶ νοσοῦντος αὐτοῖς τοῦ πολιτεύματος, ἄλλος ἀλλαχόθεν ἀνίστατο δυνάστης. καὶ οὐδὲν ἦν θαυμαστόν, εἰ Σύλλας ἦρχεν, ὅτε Γλαυκίαι καὶ Σατορνῖνοι Μετέλλους ἤλαυνον ἐκ τῆς πόλεως, ὑπάτων δὲ ἀπεσφάττοντο παῖδες ἐν ἐκκλησίαις, ἀργυρίῳ δὲ καὶ χρυσίῳ τὰ ὅπλα παρελάμβανον ὠνούμενοι τοὺς στρατευομένους· πυρὶ δὲ καὶ σιδήρῳ τοὺς νόμους ἐτίθεσαν, βιαζόμενοι τοὺς ἀντιλέγοντας. οὐκ αἰτιῶμαι δὲ τὸν ἐν τοσούτοις πράγμασι μέγιστον ἰσχῦσαι διαπραξάμενον, ἀλλὰ σημεῖον οὐ τίθεμαι τοῦ βέλτιστον εἶναι, τὸ γενέσθαι πρῶτον, οὕτω πονηρᾶ πραττούσης τῆς πόλεως. ὁ δὲ ἀπὸ τῆς Σπάρτης εὐνομουμένης τότε μάλιστα καὶ σωφρονούσης, ἐπὶ τὰς με-

EXPLANATA vita Syllæ, pergamus nunc ad collationem. Atque illud quidem, quod, exordio incrementi a semetipsis sumpto, magni evaserint, ambobus est commune: sed Lysandri proprium, quod volentibus civibus suis & sanis, quoscunque gessit, cepit honores, invitis nihil expressit, neque valuit præter leges. Verum

Dissidio in populi capit & sceleratus honorem:

sicut id temporis Romæ corrupto populo & ægra ibi repub. dominus alius aliunde exoriebatur. Et quid miri, si dominatus Sylla est, quum Glauciæ & Saturnini exigerent urbe Metellos, consulum filii in concione occiderentur, auro & argento arma pararent milites redimentes, ferro & igni leges figerent, vim adhibentes repugnantibus? Equidem non reprehendo eum qui in tanta rerum mole potentiam summam sibi comparavit, verum in civitate adeo male affecta non continuo censeo optimum fuisse qui fuit primus. Qui vero a Sparta tum vel maxime legibus florente & moribus ad bella maxima & ad res

μεγίστας ἐκπεμπόμενος ἡγεμονίας καὶ πράξεις, σχεδὸν ἀρίστων ἄριστος ἐκρίνετο, καὶ πρώτων πρῶτος. ὅθεν, ὁ μὲν, πολλάκις τὴν ἀρχὴν ἀποδοὺς τοῖς πολίταις, ἀνέλαβε πολλάκις· διέμενε γὰρ ἡ τιμὴ τῆς ἀρετῆς ἔχουσα τὸ πρωτεῖον. ὁ δὲ, ἅπαξ αἱρεθεὶς στρατεύματος ἡγεμὼν, ἔτη συνεχῶς δέκα, νῦν μὲν ὕπατον, νῦν δὲ ἀνθύπατον, νῦν δὲ δικτάτωρα ποιῶν ἑαυτὸν, ἀεὶ δὲ ὢν τύραννος, ἐν τοῖς ὅπλοις ἔμενεν.

Ἐπεχείρησε μὲν οὖν ὁ Λύσανδρος, ὡς εἴρηται, μεταστῆσαι τὰ περὶ τὴν πολιτείαν, πρᾳότερον καὶ νομιμώτερον ἢ Σύλλας· πειθοῖ γὰρ, οὐ δι' ὅπλων, οὐδὲ πάντα συλλήβδην ἀναιρῶν, ὥσπερ ἐκεῖνος, ἀλλ' αὐτὴν ἐπανορθούμενος τὴν κατάστασιν τῶν βασιλέων. καὶ φύσει που δίκαιον ἐδόκει, τὸν ἐξ ἀρίστων ἄριστον ἄρχειν ἐν πόλει τῆς Ἑλλάδος ἡγουμένῃ δι' ἀρετὴν, οὐ δι' εὐγένειαν. ὥσπερ γὰρ κυνηγὸς οὐ ζητεῖ τὸ ἐκ κυνὸς, ἀλλὰ κύνα, καὶ ἱππικὸς ἵππον, οὐ τὸ ἐξ ἵππου· τί γὰρ ἂν ἐξ ἵππου ἡμίονος γένηται; οὕτω τε ὁ πολιτικὸς ἁμαρτήσεται τοῦ παντὸς, ἐὰν μὴ ζητῇ τὸν ἄρχοντα τίς ἐστιν, ἀλλὰ ἐκ τίνος. αὐτοί γέ τοι Σπαρτιᾶται βασιλεύοντας ἐνίους ἀφείλοντο τὴν ἀρχὴν, ὡς οὐ βασιλικοὺς, ἀλλὰ φαύλους καὶ τὸ μηδὲν ὄντας. ἡ δὲ κακία καὶ μετὰ γένους, ἄτιμον· οὐδ' ἀρετὴ, δι' εὐγένειαν, ἀλλ' ἀφ' ἑαυτῆς ἔντιμον. αἱ τοίνυν ἀδικίαι, τῷ μὲν ὑπὲρ φίλων, τῷ δὲ, ἄχρι φίλων ἐπράχθησαν. Λύσανδρος μὲν γὰρ ὁμολογεῖται τὰ πλεῖστα διὰ τοὺς ἑταίρους ἐξαμαρτεῖν, καὶ τὰς πλείστας σφαγὰς ὑπὲρ τῆς ἐκείνων ἀπεργάσασθαι δυναστείας καὶ τυραννίδος. Σύλλας δὲ καὶ Πομπηΐου τὸ στρατιωτικὸν φθονήσας, καὶ Δολοβέλλα τὴν ναυαρχίαν

res gerendas missus fuit, hic pene optimorum optimus, & primorum numerabatur primus : quare quod sæpe reddiderat, sæpe recepit imperium. Perennabat enim apud eum primas obtinens virtutis honos. At hic semel dux exercitus creatus, annos continuos decem, nunc consulem, nunc proconsulem, nunc dictatorem semetipse faciens, & semper tyrannum agens, retinuit arma.

Jam novare (ut diximus ante) instituit Lysander reipubl. statum lenius & justius quam Sylla. Inducendo enim, non armis cogendo, neque semel cuncta, ut ille, evertendo, verum ipsam emendando regum designationem. Et quidem naturæ consentaneum videbatur, ut ea in civitate quæ virtutis causa non nobilitatis imperabat Græciæ, ex optimis optimus regnum teneret. Ut enim non quærit venator id quod cane est prognatum, sed canem : neque eques quod equo, sed equum : quid enim si equa natus, mulus sit? Ita prorsus hallucinatus fuerit vir in repub. versatus, in præside si non requirat qui sit, sed ex quibus. Ipsi quidem certe Spartiatæ nonnullis regnantibus, ut non regalibus, sed indignis & nihili hominibus regnum abrogavere. Quod si pravitas est vel cum generis claritate infamis, neque ex nobilitate virtus, sed ex semetipsa est veneranda. Porro injurias hic pro amicis, ille usque ad amicos intulit. Quippe Lysandrum constat fraudes fere amicorum gratia admisisse, pro illorumque opibus & dominatu plerasque patrasse cædes. Sylla vero exercitum Pompeio invidia adductus, & Dolobellæ classis præfecturam,

χίαν ἐπεχείρησε δοὺς ἀφελέσθαι, καὶ Λουκρήτιον Ὀφέλλαν, ἀντὶ πολλῶν καὶ μεγάλων ὑπατείαν μνώμενον, ἐν ὀφθαλμοῖς ἀποσφάξαι προσέταξε, φρίκην καὶ δέος ἐμποιῶν πρὸς αὑτὸν ἀνθρώποις ἅπασι, διὰ τῆς τῶν φιλτάτων ἀναιρέσεως.

Ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς ἡδονὰς καὶ τὰ χρήματα σπουδὴ δείκνυσι τοῦ μὲν ἡγεμονικήν, τοῦ δὲ, τυραννικὴν τὴν προαίρεσιν οὖσαν. ὁ μὲν γὰρ οὐδὲν ἀκόλαστον, οὐδὲ μειρακιῶδες ἐν ἐξουσίᾳ καὶ δυνάμει τηλικαύτῃ φαίνεται διαπεπραγμένος, ἀλλ', εἴ γέ τις ἄλλος, ἐκπεφευγὼς τουτὶ τὸ περίακτον,

Οἴκοι λέοντες, ἐν ὑπαίθρῳ δ' ἀλώπεκες.

οὕτω σώφρονα καὶ Λακωνικὴν καὶ κεκολασμένην ἐπεδείκνυτο πανταχοῦ τὴν δίαιταν. ὁ δὲ, οὔτε νέος ὢν περὶ τὰς ἐπιθυμίας ἐμετρίαζε διὰ τὴν πενίαν, οὔτε γηράσας, διὰ τὴν ἡλικίαν. ἀλλὰ τοὺς περὶ γάμων καὶ σωφροσύνης εἰσηγεῖτο νόμους τοῖς πολίταις, αὐτὸς ἐρῶν καὶ μοιχεύων, ὥς φησι Σαλούστιος. ὅθεν οὕτω τὴν πόλιν πτωχὴν καὶ κενὴν ἐποίησε χρημάτων, ὥστε ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀργυρίου πωλεῖν τὴν ἐλευθερίαν, καὶ τὴν αὐτονομίαν· καίτοι τοὺς πολυαργυρωτάτους οἴκους καὶ μεγίστους ὁσημέραι δημεύοντος αὐτοῦ καὶ ἀποκηρύττοντος. ἀλλὰ μέτρον οὐδὲν ἦν τῶν ῥιπτουμένων καὶ καταχορηγουμένων εἰς τοὺς κόλακας. τίνα γὰρ εἰκὸς εἶναι λογισμὸν ἢ φειδὼ πρὸς τὰς παρ' οἶνον συνουσίας αὐτοῦ καὶ χάριτας; ὃς ἐν φανερῷ ποτὲ τοῦ δήμου περιεστῶτος, οὐσίαν μεγάλην διαπιπράσκων τιμῆς τῆς τυχούσης εἰς ἕνα τῶν φίλων, ἐκέλευε κατακηρύσσειν· ἑτέρου δὲ τὴν τιμὴν ὑπερβαλλομένου,

καὶ

fecturam, quæ dederat, machinatus est eripere: Lucretium Ofellam pro multis & magnis meritis consulatum ambientem interfici in conspectu suo imperavit, ex amicissimorum nece horrorem sui omnibus mortalibus & formidinem injiciens.

Multo magis voluptatis & pecuniæ studium alterius principalem, alterius tyrannicum declarat animum. Lysandri enim nulla intemperantia, nulla in tanto imperio & potentia protervia apparet, sed effugit, si quis alius, hoc vulgare dictum,

Domi leones, at foris vulpeculæ.

Adeo frugalem, Laconicam, & adstrictam vitam egit ubique. Alter, nec juvenis libidines refrænavit ab inopia, nec ab ætate senex; verum leges connubiales & sumptuarias tulit civibus, quum interim ipse amoribus & adulteriis (ut est Salustius autor) indulgeret. Unde rempub. ad mendicitatem tantam & pecuniæ redegit egestatem, ut quamvis quotidie publicaret & sub hasta venderet pecuniosissimas & maximas domos, fœderatis & sociis civitatibus tamen libertatem immunitatemque venundaret argento. Verum profundendi atque dissipandi in adulatores nullus erat modus. Quam enim verisimile est rationem vel parsimoniam interiore in convictu & largitionibus ejus fuisse, qui publice aliquando in corona populi opulentum patrimonium distrahens, vili pretio jussit uni amicorum addici? Quum autem superaret illum alius licitatione, &

pro-

καὶ τοῦ κήρυκος τὸ προστεθὲν ἀγορεύσαντος, διηγανάκτησε· Δεινά γε, ὦ φίλοι πολῖται, καὶ τυραννικὰ πάσχω, φάμενος, εἰ τὰ ἐμά μοι λάφυρα διαθέσθαι μὴ ἔξεστιν ὡς βούλομαι. Λύσανδρος δὲ καὶ τὰς αὐτῷ δοθείσας δωρεὰς μετὰ τῶν ἄλλων ἐπέπεμψε τοῖς πολίταις. καὶ οὐκ ἐπαινῶ τὸ ἔργον· ἴσως γὰρ ἔβλαψε τῇ κτήσει τῶν χρημάτων τὴν Σπάρτην οὗτος, ὅσον οὐκ ἔβλαψε τῇ ἀφαιρέσει τὴν Ῥώμην ἐκεῖνος· ἀλλὰ τεκμήριον τοῦτο ποιοῦμαι τῆς ἀφιλοπλουτίας τοῦ ἀνδρός. ἴδιον δέ τι πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάτερος ἔπαθε. Σύλλας μὲν γὰρ ἀκόλαστος ὢν καὶ πολυτελὴς, ἐσωφρόνιζε τοὺς πολίτας· Λύσανδρος δ', ὧν αὐτὸς ἀπείχετο παθῶν, ἐνέπλησε τὴν πόλιν· ὥστε ἁμαρτάνειν, τὸν μὲν, αὐτὸν ὄντα χείρονα τῶν ἰδίων νόμων, τὸν δὲ, αὐτοῦ χείρονας ἀπεργαζόμενον τοὺς πολίτας. δεῖσθαι γὰρ ἐδίδαξε τὴν Σπάρτην ὧν αὐτὸς ἔμαθε μὴ προσδεῖσθαι. καὶ τὰ μὲν πολιτικὰ, ταῦτα.

Πολέμων δὲ ἀγῶσι, καὶ στρατηγικαῖς πράξεσι, καὶ πλήθει τροπαίων, καὶ μεγέθει κινδύνων, ἀσύγκριτος ὁ Σύλλας. ὁ μέντοι γε δύο νίκας ἐξηνέγκατο ναυμαχίαις δυσί· προσθήσω δὲ αὐτῷ τὴν Ἀθηνῶν πολιορκίαν, ἔργον μὲν οὐ μεγάλην, τῇ δὲ δόξῃ λαμπροτάτην γενομένην. τὰ δ' ἐν Βοιωτίᾳ καὶ Ἁλιάρτῳ, δυστυχίᾳ μὲν ἴσως ἐπράχθη τινὶ, κακοβουλίᾳ δὲ προσέοικεν, οὐκ ἀναμείναντος ὅσον οὔπω παροῦσαν ἐκ Πλαταιῶν τὴν μεγάλην βασιλέως δύναμιν, ἀλλὰ θυμῷ καὶ φιλοτιμίᾳ παρὰ καιρὸν ὠσαμένου πρὸς τὸ τεῖχος· ὥστε τοὺς τυχόντας ἀνθρώπων ἐκπηδήσαντας, ἐν οὐδενὶ λόγῳ καταβαλεῖν

proclamaret præco pretii adjectionem, ſtomachatus eſt, &, Quid hoc mali, Quirites, inquit, quæ hæc vis eſt, quod prædam meam mihi non liceat pro arbitrio meo diſtrahere? At Lyſander etiam collata in ſe dona miſit cum præda alia civitati ſuæ. Nec factum commendo. Plus enim fortaſſis pecuniæ invectione attulit hic Spartæ detrimenti, quam Romæ ille extorſione. Verum hoc ſtatuo viri illius indicium, quam a pecuniæ cupiditate abhorruerit. At peculiare quiddam ſuæ uterque civitati fecit. Nam Sylla luxu ipſe diffluens ſumptuoſuſque cives compoſuit ad frugalitatem: Lyſander, quibus ipſe temperabat vitiis, his civitatem inundavit. Peccaverunt itaque, ille, qui legibus ſuis ſeipſum præſtitit deteriorem, hic, qui ſe cives deteriores reddidit: quandoquidem docuit Spartam indigere illis quibus non indigere ſe ipſe didicerat. Igitur tales domi fuere.

Bellicis vero certaminibus, factis imperatoriis, victoriarum numero, magnitudine periculorum incomparabilis eſt Sylla. Siquidem alter duas palmas tamen pugnis duabus navalibus retulit. Adjiciam ei Athenarum obſidionem, facto ſane haud magnam, ſed gloria clariſſimam. At geſta in Bœotia atque ad Aliartum, quamvis infortunio aliquo acciderunt fortaſſe, inconſultam præferunt temeritatem tamen non operientis jamjam adfuturas Platæis validas regis copias, ſed bile & ambitione in muros ruentis intempeſtive, ut opprimerent eum fœde eruptione facta nihili

βαλὼν αὐτόν. οὐ γὰρ, ὡς Κλεόμβροτος ἐν Λεύκτροις, ἀντερείδων ἐπικειμένοις τοῖς πολεμίοις, οὐδὲ ὡς Κῦρος, οὐδὲ ὡς Ἐπαμεινώνδας κατέχων ἐκκεκλικότας, καὶ τὸ νίκημα βεβαιούμενος, πληγῇ καιρίᾳ περιέπεσεν. ἀλλ' οὗτοι μὲν βασιλέων καὶ στρατηγῶν θάνατον ἀπέθνησκον· Λύσανδρος δὲ πελταστοῦ καὶ προδρόμου δίκην ἀκλεῶς παραναλώσας ἑαυτὸν, ἐμαρτύρησε τοῖς παλαιοῖς Σπαρτιάταις, ὅτι καλῶς ἐφυλάττοντο τὰς τειχομαχίας, ἐν αἷς οὐχ ὑπ' ἀνδρὸς μόνον τοῦ τυχόντος, ἀλλὰ καὶ ὑπὸ παιδὸς καὶ γυναικὸς ἀποθανεῖν ἂν συντύχοι πληγέντα τὸν κράτιστον· ὥσπερ τὸν Ἀχιλλέα φασὶν ὑπὸ τοῦ Πάριδος ἐν ταῖς πύλαις ἀναιρεθῆναι. Σύλλας μὲν οὖν ὅσας ἐκ παρατάξεως ἐνίκησε νίκας, καὶ κατέβαλε μυριάδας πολεμίων, οὐδὲ ἀριθμῆσαι ῥᾴδιόν ἐστιν· αὐτὴν δὲ τὴν Ῥώμην δὶς εἷλε, καὶ τὸν Πειραιᾶ τῶν Ἀθηνῶν, οὐ λιμῷ, καθάπερ Λύσανδρος, ἀλλὰ πολλοῖς ἀγῶσι καὶ μεγάλοις ἐκβαλὼν Ἀρχέλαον ἐκ τῆς γῆς ἐπὶ τὴν θάλατταν, κατέσχεν. ἔστι δὲ μέγα καὶ τὸ τῶν ἀντιστρατηγῶν. τρυφὴν γὰρ οἶμαι καὶ παιδιὰν, πρὸς Ἀντίοχον διαναυμαχεῖν τὸν Ἀλκιβιάδου κυβερνήτην, καὶ Φιλοκλέα τὸν Ἀθηναίων ἐξαπατᾶν δημαγωγὸν,

Ἄδοξον ἄκραν γλῶσσαν ἠκονημένον·

οὓς οὐκ ἂν ἱπποκόμῳ Μιθριδάτης, οὐδὲ ῥαβδούχῳ Μάριος ἠξίωσε παραβαλεῖν τῶν ἑαυτοῦ. τῶν δὲ πρὸς τὸν Σύλλαν ἀνταραμένων δυναστῶν, ὑπάτων, στρατηγῶν, δημαγωγῶν, ἵνα τοὺς ἄλλους ἐάσω, τίς ἦν Ῥωμαίων Μαρίου φοβερώτερος, ἢ Μιθριδάτου βασιλέων δυνατώτερος, ἢ Λαμπωνίου καὶ Τελεσίνου,

bili homines. Neque enim, ut ad Leuctra insistens urgentibus hostibus Cleombrotus, neque ut Cyrus & Epaminondas inclinatos premens ac stabiliens victoriam, plagam incurrit mortiferam: cæterum occubuerunt hi digno regibus & imperatoribus fato. Lysander autem gregarii militis & antecursoris modo turpiter vitam projiciens, veteribus Spartiatis testimonium præbuit, recte eos murorum oppugnationes declinasse; ubi non solum a viro abjecto, verum etiam contingat a puero & fœmina vulneratum cadere vel fortissimum: quomodo a Paride Achillem aiunt interemptum in porta. Sylla vero quot signis collatis reportaverit victorias, & legiones hostium oppresserit, haud proclive sit inire numerum. Ipsam vero bis cepit Romam, & Atheniensium Piræo, non ut Lysander fame, sed multis magnisque prœliis, Archelao ex continente in pontum summoto, potitus est. Multum etiam ex adversis ducibus accedit momenti. Jocum enim & ludum existimo cum Alcibiadis gubernatore Antiocho prœlio navali decertasse, & Philoclem circumscripsisse concionatorem Atheniensium,

Inglorium, gerentem in ore cuspidem:

quos ne cum equisone quidem Mithridates, nec Marius cum lictore suo dignatus sit contendere. At ex dynastis, consulibus, ducibus, concionatoribus, qui luctati cum Sylla sunt, ut alios præteream, quis Mario erat inter Romanos formidabilior, aut in regibus Mithridate potentior, aut pugnacior Lamponio Telesinoque

λεσίνου, τῶν Ἰταλικῶν, μαχιμώτερος; ὧν ἐκεῖνος τὸν μὲν ἐξέβαλε, τὸν δὲ ὑπέταξε, τοὺς δὲ ἀπέκτεινε.

Τὸ δὲ πάντων μέγιστον, ὡς ἐγὼ νομίζω, τῶν εἰρημένων ἐκεῖνό ἐστιν, ὅτι Λύσανδρος μὲν κατώρθου πάντα, τῶν οἴκοι συναγωνιζομένων· Σύλλας δὲ φυγὰς ὢν καὶ κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν, καθ' ὃν χρόνον ἠλαύνετο μὲν αὐτοῦ γυνὴ, κατεσκάπτετο δὲ οἰκία, φίλοι δὲ ἀπέθνησκον, αὐτὸν ἐν Βοιωτίᾳ ταῖς ἀναριθμήτοις μυριάσι παραταττόμενος καὶ κινδυνεύων ὑπὲρ τῆς πατρίδος, ἵστη τρόπαιον. καὶ Μιθριδάτῃ συμμαχίαν διδόντι καὶ δύναμιν ἐπὶ τοὺς ἐχθροὺς, οὐδὲν οὐδαμῆ μαλακὸν ἀνέδωκεν οὐδὲ φιλάνθρωπον· ἀλλ' οὐδὲ προσεῖπεν, οὐδὲ τὴν δεξιὰν ἐνέβαλε, πρότερον ἢ πυθέσθαι παρόντος ὅτι καὶ τὴν Ἀσίαν ἀφίησι, καὶ τὰς ναῦς παραδίδωσι, καὶ τοῖς βασιλεῦσιν ἐξίσταται καὶ Βιθυνίας καὶ Καππαδοκίας. ὧν οὐδὲν ὅλως δοκεῖ Σύλλας κάλλιον ἔργον οὐδὲ ἀπὸ μείζονος εἰργάσθαι φρονήματος· ὅτι τὸ κοινὸν τοῦ οἰκείου πρόσθεν θέμενος, καὶ καθάπερ οἱ γενναῖοι κύνες, οὐκ ἀνεὶς τὸ δῆγμα καὶ τὴν λαβὴν πρότερον ἢ τὸν ἀνταγωνιστὴν ἀπειπεῖν, τότε πρὸς τὴν τῶν ἰδίων ἄμυναν ὥρμησεν. ἐπὶ πᾶσι δὲ καὶ τὸ περὶ τὰς Ἀθήνας ἔχει τινὰ ῥοπὴν εἰς ἤθους σύγκρισιν· εἴγε Σύλλας μὲν ὑπὲρ τῆς Μιθριδάτου δυνάμεως καὶ ἡγεμονίας πολεμήσασαν αὐτῷ τὴν πόλιν ἑλὼν, ἐλευθέραν ἀφῆκε καὶ αὐτόνομον· Λύσανδρος δὲ, τοσαύτης ἡγεμονίας καὶ ἀρχῆς ἐκπεσοῦσαν οὐκ ᾤκτειρεν, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἀφελόμενος, ὠμοτάτους αὐτῇ καὶ παρανόμους ἀπέδειξε τοὺς τυράννους. ὥρα δὴ σκοπεῖν μὴ πολὺ

lesinoque ex Italis? Quorum Sylla illum exterminavit, hunc subjecit, postremos occidit.

Jam omnium, quæ memoravimus, illud meo judicio summum sit, quod quicquid præclare Lysander gessit, id civitate sua gessit opitulante. Sylla vero extorris, & factione oppressus malevolorum, quo tempore ejiciebatur uxor ejus, diruebantur penates, interficiebantur amici, ipse signa cum innumeris legionibus in Bœotia conferens atque pro patria decertans statuit trophæum. Mithridatique, contra inimicos suos societatem sibi & copias offerenti, nihilo usquam remissiorem se aut benigniorem præbuit. Immo ne salutem quidem dedit, neque dextram ante porrexit, quam ex præsente audivit relinquere eum Asiam, naves tradere, regibus Bithynia & Cappadocia cedere: quibus factum Syllam pulchrius plane nullum, neque animo designasse judico excelsiore; quod prælata privatis rationibus republ. & generosorum more canum, non prius morsu & prehensione laxata quam oppresso adversario, tunc insurrexerit in privatarum ultionem injuriarum. Quod denique consultum in Athenienses fuit, ad morum eorum contentionem refert nonnihil; quando captam urbem, quæ arma secum pro Mithridatis opibus & imperio contulerat, liberam & legibus suis reliquit immunem: Lysander tanto principatu & imperio exutam non est miseratus, immo vero reipubl. spoliatæ populari atrocissimos violentissimosque imposuit tyrannos. Videamus ergo nunc num mul-

λὺ τἀληθοῦς διαμαρτάνωμεν, ἀποφαινόμενοι πλεῖστα μὲν κατωρθωκέναι Σύλλαν, ἐλάττονα δὲ ἐξημαρτηκέναι Λύσανδρον· καὶ τῷ μὲν ἐγκρατείας καὶ σωφροσύνης, τῷ δὲ στρατηγίας καὶ ἀνδρείας ἀποδιδόντες τὸ πρωτεῖον.

multum erraverimus a vero, plura præclare facta si Syllæ esse, Lysandri peccata dicamus pauciora: atque huic abstinentiæ & temperantiæ, artium illi bellicarum & virtutis primatum tribuamus.

K I M Ω N.

ΠΕΡΙΠΟΛΤΑΣ ὁ μάντις, ἐκ Θετταλίας εἰς Βοιωτίαν Ὀφέλταν τὸν βασιλέα καὶ τοὺς ὑπ' αὐτῷ λαοὺς καταγαγών, γένος εὐδοκιμῆσαν ἐπὶ πολλοὺς χρόνους κατέλιπεν· οὗ τὸ πλεῖστον ἐν Χαιρωνείᾳ κατῴκησεν, ἣν πρώτην πόλιν ἔσχον, ἐξελάσαντες τοὺς βαρβάρους. οἱ μὲν οὖν πλεῖστοι τοῦ γένους, φύσει μάχιμοι καὶ ἀνδρώδεις γενόμενοι, κατηναλώθησαν ἐν ταῖς Μηδικαῖς ἐπιδρομαῖς, καὶ τοῖς Γαλατικοῖς ἀγῶσιν, ἀφειδήσαντες ἑαυτῶν· λείπεται δὲ παῖς ὀρφανὸς γονέων, ὄνομα Δάμων, παρωνύμιον δὲ Περιπόλτας, πολὺ δή τι καὶ σώματος κάλλει καὶ ψυχῆς φρονήματι τοὺς καθ' αὐτὸν ὑπεραίρων νέους, ἄλλως δ' ἀπαίδευτος καὶ σκληρὸς τὸ ἦθος. τούτου Ῥωμαῖος, ἡγεμὼν σπείρας τινὸς ἐν Χαιρωνείᾳ διαχειμαζούσης, ἐρασθεὶς, ἄρτι τὴν παιδικὴν ἡλικίαν παρηλλαχότος, ὡς οὐκ ἔπειθε πειρῶν καὶ διδοὺς, δῆλος ἦν

Vates Peripoltas, qui in Bœotiam ex Theſſalia regem Opheltam & parentes ei gentes deduxit, claram familiam in longum ævum reliquit: cujus maxima manus Chæroneæ, quam primam tenuerunt urbem, exactis barbaris, conſedit. Hujus ſtirpis plerique, quod eſſent bellicoſi & fortes viri, incurſionibus Medicis & certaminibus Gallicis, dum nullam haberent rationem ſui, conſumpti ſunt: reliquus puer unus fuit, orbus parentibus, Damon nomine, qui Peripoltas cognomine dictus fuit. Hunc corporis venuſtate animique magnitudine longe æqualibus antecellentem juvenibus, ſed rudem alias & moribus aſperum, Romanus quidam cohortis, quæ hybernabat Chæroneæ, ductor, modo adultum amans, ubi precibus & muneribus obnoxium ſibi facere nequivit, vim præ ſe fere-

ἣν οὐκ ἀφεξόμενος βίας, ἅτε δὴ καὶ τῆς πατρίδος ἡμῶν τότε λυπρὰ πραττούσης, καὶ διὰ μικρότητα καὶ πενίαν παρορωμένης. τοῦτο δὴ δεδιὼς ὁ Δάμων, καὶ τὴν πεῖραν αὐτὴν δι' ὀργῆς πεποιημένος, ἐπεβούλευε τῷ ἀνδρί· καὶ συνίστη τῶν ἡλικιωτῶν τινας ἐπ' αὐτόν, οὐ πολλούς, ἕνεκα τοῦ λανθάνειν. ἀλλ' οἱ σύμπαντες, ἑκκαίδεκα γενόμενοι, χρίονται μὲν αἰθάλῳ τὰ πρόσωπα νύκτωρ, ἐμπιόντες δὲ ἄκρατον, ἅμ' ἡμέρᾳ προσπίπτουσι τῷ Ῥωμαίῳ κατ' ἀγορὰν θύοντι· καὶ καταβαλόντες αὐτόν τε καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγους, ἐκ τῆς πόλεως μετέστησαν. γενομένης δὲ ταραχῆς, ἡ τῶν Χαιρωνέων βουλὴ συνελθοῦσα, θάνατον αὐτῶν κατέγνω· καὶ τοῦτο ἦν ὑπὲρ τῆς πόλεως ἀπολόγημα πρὸς τοὺς Ῥωμαίους. ἑσπέρας δὲ τῶν ἀρχόντων, ὥσπερ ἔθος ἐστί, κοινῇ δειπνούντων, οἱ περὶ τὸν Δάμωνα παρεισπεσόντες εἰς τὸ ἀρχεῖον, ἀποσφάξαντες αὐτούς, καὶ πάλιν ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Λεύκιος Λούκουλλος ἐπί τινα πρᾶξιν μετὰ δυνάμεως παρερχόμενος. ἐπιστήσας δὲ τὴν πορείαν, καὶ τῶν γεγονότων προσφάτων ὄντων ἐξέτασιν ποιησάμενος, εὗρε τὴν πόλιν οὐδενὸς αἰτίαν, ἀλλὰ μᾶλλον συνηδικημένην· καὶ τοὺς στρατιώτας ἀναλαβών, ἀπήγαγε μεθ' ἑαυτοῦ. τὸν δὲ Δάμωνα λῃστείαις καὶ καταδρομαῖς πορθοῦντα τὴν χώραν, καὶ τῇ πόλει προσκείμενον, ὑπηγάγοντο πρεσβείαις καὶ ψηφίσμασι πολυτρόποις οἱ πολῖται· κατελθόντα δέ, γυμνασίαρχον κατέστησαν, εἶτ' ἀλειφόμενον ἐν τῷ πυριατηρίῳ διέφθειραν. ἐπὶ πολὺν δὲ χρόνον εἰδώλων τινῶν ἐν τῷ τόπῳ προφαινομένων, καὶ στεναγμῶν ἐξακουομένων, ὡς οἱ πατέρες ἡμῶν λέγουσι, τὰς θύρας ἀνῳκοδόμησαν τοῦ πυριατηρίου·

bat allaturum: quippe patriæ noſtræ nullæ tunc opes erant, ob exilitatemque & tenuitatem nullo loco habebatur. Id veritus Damon, atque ipſam caſtitatis ſuæ oppugnationem ægre ferens, ſtruxit ei inſidias, ac coitionem in eum æqualium ſuorum fecit, non multorum, quo clam eſſent. Fuerunt autem omnes ſexdecim. Hi noctu, infecta fuligine facie, mero onuſti prima luce ſacrificantem in foro Romanum adoriuntur. Illo & non paucis, qui circa eum erant, obtruncatis, profugiunt urbe. Turbata civitate ſenatus Chæronenſis hos, concilio habito, capitis damnavit, ut ea ſuppeditaret ipſis ad Romanos ſatisfactio. Veſperi autem magiſtratibus una de more cœnantibus, cohors Damonis, facta in curiam irruptione, contrucidat omnes, iterumque ex oppido ſe retrahit. Sub idem forte tempus Lucullus cum copiis, in expeditionem aliquam iturus, tranſibat illac: qui ſubſtitit ibi, ac recenti adhuc facinore quæſtione habita, civitatem reperit non ſolum inſontem, verum etiam pariter violatam. Itaque milites inde ſecum abduxit. Porro Damonem, qui latrociniis & incurſionibus agrum oppido finitimum deprædabatur, cives verſutis legationibus & decretis pellexerunt ad redeundum in oppidum, reducemque præfecerunt gymnaſio; inde ungentem in ſudatorio interemere. Quia vero perdiu ibi ſpectra conſpiciebantur, & gemitus exaudiebantur (ut perhibent patres noſtri) obſtruxerunt fores ſudatorii, atque in

είου· καὶ μέχρι νῦν οἱ τῷ τόπῳ γειτνιῶντες, οἴονταί τινας ὄψεις καὶ φωνὰς ταραχώδεις φέρεσθαι. τοὺς δ' ἀπὸ τοῦ γένους αὐτοῦ (διασώζονται γὰρ ἔνιοι, μάλιστα τῆς Φωκίδος περὶ Στεῖριν, αἰολίζοντες) ἀσβολωμένους καλοῦσι διὰ τὸ τὸν Δάμωνα πρὸς τὸν φόνον ἀσβόλῳ χρησάμενον ἐξελθεῖν.

Ἐπεὶ δ' ἀσυγείτονες ὄντες Ὀρχομένιοι καὶ διάφοροι τοῖς Χαιρωνεῦσιν, ἐμισθώσαντο Ῥωμαϊκὸν συκοφάντην, ὁ δ', ὥσπερ ἑνὸς ἀνθρώπου, τὸ τῆς πόλεως ὄνομα κατενεγκὼν, ἐδίωκε φόνου τῶν ὑπὸ Δάμωνος ἀνῃρημένων. ἡ δὲ κρίσις ἦν ἐπὶ τοῦ στρατηγοῦ τῆς Μακεδονίας, (οὔπω γὰρ εἰς τὴν Ἑλλάδα Ῥωμαῖοι στρατηγοὺς διεπέμποντο) οἱ δὲ λέγοντες ὑπὲρ τῆς πόλεως, ἐπεκαλοῦντο τὴν Λουκούλλου μαρτυρίαν. γράψαντος δὲ τοῦ στρατηγοῦ πρὸς Λούκουλλον, ἐκεῖνος ἐμαρτύρησε τἀληθῆ, καὶ τὴν δίκην οὕτως ἀπέφυγεν ἡ πόλις, κινδυνεύουσα περὶ τῶν μεγίστων. ἐκεῖνοι μὲν οὖν οἱ τότε σωθέντες, εἰκόνα τοῦ Λουκούλλου λιθίνην ἐν ἀγορᾷ παρὰ τὸν Διόνυσον ἀνέστησαν· ἡμεῖς δ', εἰ καὶ πολλαῖς ἡλικίαις λειπόμεθα, τὴν μὲν χάριν οἰόμεθα διατείνειν καὶ πρὸς ἡμᾶς τοὺς νῦν ὄντας, εἰκόνα δὲ πολὺ καλλίονα νομίζοντες εἶναι τῆς τὸ σῶμα καὶ τὸ πρόσωπον ἀπομιμουμένης, τὴν τὸ ἦθος καὶ τὸν τρόπον ἐμφανίζουσαν, ἀναληψόμεθα τῇ γραφῇ τῶν παραλλήλων βίων τὰς πράξεις τοῦ ἀνδρὸς, τἀληθῆ διεξιόντες. ἀρκεῖ γὰρ ἡ τῆς μνήμης χάρις· ἀληθοῦς δὲ μαρτυρίας οὐδ' ἂν αὐτὸς ἐκεῖνος ἠξίωσε μισθὸν λαβεῖν, ψευδῆ καὶ πεπλασμένην ὑπὲρ αὐτοῦ διήγησιν. ὥσπερ γὰρ τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχοντα χάριν εἴδη ζωγραφοῦντας, ἂν προσῇ τι μι-

in hanc ætatem quotquot locum illum accedunt, species illic versari & voces audiri terribiles arbitrantur. Illius posteros (supersunt enim nonnulli, potissimum circa Stirin Phocidis, qui jam in Æolorum morem abierunt) Asbolomenos Damonis causa vocant, quod ille ad cædem tinctus fuligine, quam asbolum vocant, erupit.

Ut vero contermini Orchomenii, quibus contentiones erant cum Chæronensibus, quadruplatorem Romanum redemerunt, qui sicut unius hominis, nomen detulit civitatis, adduxitque eam ob cædem ab Damone interemptorum in judicium, cujus quæstionis fuit Macedoniæ prætor judex: (neque enim dum mittebant Romani in Græciam prætores) patroni civitatis testem laudaverunt Lucullum. Ad quem quum prætor scripsisset, perhibuit testimonium ille veritati. Ita civitas hæc, quæ versabatur in summo periculo, fuit judicio liberata. Quare illi, qui tunc assequuti fuerunt incolumitatem, statuam marmoream Lucullo in foro juxta Liberum patrem posuere. Nos vero, etsi multis ætatibus illis sumus inferiores, hoc beneficium ad nos quoque, qui nunc vivimus, ducimus pertinere, statuamque rati multo venustiorem illa quæ corpus & vultum adumbravit, hanc quæ mores patefacit & ingenium, in his comparatarum vitarum commentariis res illius gestas complectemur ac quam verissime exponemus. Sat enim est memoriæ gratiâ. Veri autem testimonii ne ille ipse quidem præmium capere vanam & fictam rerum suarum commemorationem dignetur. Nam ut pictores, qui decoras & eximie venustas pingunt imagines, si aliquid

μικρὸν αὐτοῖς δυσχερὲς, ἀξιοῦμεν μήτε παραλιπεῖν τοῦτο τελέως, μήτε ἐξακριβοῦν· τὸ μὲν γὰρ αἰσχρὰν, τὸ δ' ἀνομοίαν παρέχεται τὴν ὄψιν· οὕτως ἐπεὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἴσως ἀμήχανον, ἀμεμφῆ καὶ καθαρὸν ἀνδρὸς ἀποδεῖξαι βίον, ἐν τοῖς καλοῖς ἀναπληρωτέον, ὥσπερ ὁμοιότητα, τὴν ἀλήθειαν· τὰς δ' ἐκ πάθους τινὸς ἢ πολιτικῆς ἀνάγκης ἐπιτρεχούσας ταῖς πράξεσιν ἁμαρτίας καὶ κῆρας, ἐλλείμματα μᾶλλον ἀρετῆς τινος, ἢ κακίας πονηρεύματα νομίζοντας, οὐ δεῖ πάνυ προθύμως ἐναποσημαίνειν τῇ ἱστορίᾳ καὶ περιττῶς, ἀλλ' ὥσπερ αἰδουμένους ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, εἰ καλὸν οὐδὲν εἰλικρινὲς οὐδ' ἀναμφισβήτητον εἰς ἀρετὴν ἦθος γεγονὸς ἀποδίδωσιν.

Ὁ δ' οὖν Λούκουλλος ἐδόκει σκοποῦσιν ἡμῖν τῷ Κίμωνι παραβλητέος εἶναι. πολεμικοὶ γὰρ ἀμφότεροι, καὶ πρὸς τοὺς βαρβάρους λαμπροί· πρᾶοι δὲ τὰ πολιτικὰ, καὶ μάλιστα τῶν ἐμφυλίων στάσεων ἀναπνοὴν ταῖς πατρίσι παρασχόντες· ἑκάτερος δέ τις αὐτῶν στήσαντες τρόπαια, καὶ νίκας ἀνελόμενοι περιβοήτους. οὔτε γὰρ Ἑλλήνων, Κίμωνος, οὔτε Ῥωμαίων, Λουκούλλου πρότερος οὐδεὶς, οὕτω μακρὰν πολεμῶν προῆλθεν, ἔξω λόγου τιθεμένων τῶν καθ' Ἡρακλέα καὶ Διόνυσον εἴτε τι Περσέως πρὸς Αἰθίοπας ἢ Μήδους καὶ Ἀρμενίους, ἢ Ἰάσονος ἔργον ἀξιόπιστον ἐκ τῶν τότε χρόνων μνήμῃ φερόμενον εἰς τοὺς νῦν ἀφῖχθαι. κοινὸν δέ πως αὐτῶν καὶ τὸ ἀτελὲς γέγονε τῆς στρατηγίας, ἑκατέρου μὲν συντρίψαντος, οὐδετέρου δὲ καταλύσαντος τὸν ἀνταγωνιστήν. μάλιστα δ' ἡ περὶ τὰς ὑποδοχὰς καὶ τὰς φιλανθρωπίας ταύτας ὑγρότης καὶ δαψι-

quid insit iis levis vitii, nolumus neque ut prætereant id prorsus, neque ut undequaque exprimant; quippe hoc deformem, discrepantem illud reddat effigiem: ita quando arduum est, vel fieri non potest potius, hominis ostendere ullius vitam, quæ omni vacet macula & pura sit, veritas, sicut simulacrum, in honestis complenda est. Illas vero quæ ex motu animi aliquo aut ex reipublicæ temporibus intercurrunt actionibus offensas & vitia, claudicationes potius virtutis alicujus quam improbitatis ea fraudes existimantes, non debemus nimium diligenter, & ad amussim in scribendo explicare, sed tanquam rubore capti sortis humanæ, quæ nihil boni sincerum, neque mores ad virtutem edat inculpatos.

Videbatur autem judicio nostro Cimoni Lucullus opponendus: siquidem fuerunt bellaces ambo, atque adversus barbaros inclyti: contra in rebus civilibus placidi, ac potissimum ab discordiis intestinis patrias suas recreaverunt. Ad hæc erexit uterque trophæa, & victorias retulit insignes. Neque enim, si ab Hercule & Libero patre discesseris, aut si quod Persei contra Æthiopas vel Medos & Armenios, aut Jasonis veritati factum consonum ex vetustate tanta ad memoriam delatum nostram sit, ex Græcis Cimone, vel Lucullo ex Romanis tam procul arma prior protulit ullus. Jam est hoc quoque iis commune, quod bellum mutilum reliquerint, atque fregerit quidem uterque, sed neuter oppresserit hostem. Præcipue vero benignitatem & effusionem in conviviis & co-

διαψίλεια, καὶ τὸ νεαρὸν καὶ ἀνειμένον ἐν τῇ διαίτῃ, παραπλήσιον ἐπ' ἀμφοτέρων ἰδεῖν ὑπάρχει. παραλείπομεν δ' ἴσως καὶ ἄλλας τινὰς ὁμοιότητας, ἃς οὐ χαλεπὸν ἐκ τῆς διηγήσεως αὐτῆς συναγαγεῖν.

Κίμων ὁ Μιλτιάδου, μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται. διὸ καὶ Θουκυδίδης ὁ ἱστορικός, τοῖς περὶ Κίμωνα κατὰ γένος προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν, καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ, τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον, λέγεται, φονευθεὶς ἐκεῖ· μνῆμα δ' αὐτοῦ, τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις δείκνυται, παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος γέγονε τῶν δήμων, οἱ δὲ περὶ τὸν Μιλτιάδην, Λακιάδαι. Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὄφλων δίκην, καὶ πρὸς τὴν ἔκτισιν εἰρχθείς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ· Κίμων δὲ, μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇ πόλει, καὶ κακῶς ἤκουεν ὡς ἄτακτος καὶ πολυπότης, καὶ τῷ πάππῳ Κίμωνι προσεοικὼς τὴν φύσιν· ὃν δι' εὐήθειαν φασὶ Κοάλεμον προσαγορευθῆναι. Στησίμβροτος δ' ὁ Θάσιος, περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ Κίμωνι γεγονώς, φησὶν αὐτὸν οὔτε μουσικὴν, οὔτ' ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι· δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ

comitate hæc, ſplendidamque & prolixam menſam ac vitam quotidianam adſpicere in utroque licet parem. Præterimus fortaſſis alias nonnullas congruentias, quas haud difficile fuerit ex ipſa colligere narratione.

Cimon Miltiadis filius, matrem Hegeſipylam habuit natione Threſſam, filiam regis Olori, ut eſt Archelai & Melanthii poematibus, in ipſius Cimonis laudem ſcriptis, proditum. Unde & Thucydides hiſtoricus, Cimonis propinquus, patrem habuit Olorum, qui ad generis autorem retulit ſimilem nominis appellationem, & metalla auri in Thracia poſſedit; quem perhibent in Scapte hyle (id locus eſt in Thracia, quaſi effoſſam ſylvam dicas) defunctum atque ibidem interfectum. Monumentum ejus reliquiarum, quæ in terram Atticam fuerunt relatæ, inter monumenta Cimonis viſitur juxta Elpinices Cimonis ſororis tumulum. Cæterum Thucydides curia Alimuſius fuit, Miltiades Laciades. Miltiades igitur, quum lis ei æſtimata quinquaginta talentis eſſet, & ad ſolvendum in vincula ductus, diem ſuum obiit in carcere. Cimon autem admodum adoleſcens cum ſorore adhuc virgine & innupta orbus in prima ætate ad populum infamis fuit, & male audivit ex luſtris & vinolentia, quaſi avum referens ingenio Cimonem, quem aiunt ob mentis ſtuporem Coalemum fuiſſe dictum. Steſimbrotus Thaſius, Cimoni fere coætaneus, nec muſica eum, nec ulla alia inſtructum liberali diſciplina & Græcis uſitata, memorat fuiſſe, atque ab Attico acumine leporibuſque quam re-

καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν, καὶ μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός,

Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα. ταῦτα γάρ ἐστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῇ ἀδελφῇ. καὶ γὰρ οὐδ' ἄλλως τὴν Ἐλπινίκην εὔτακτόν τινα γεγονέναι λέγουσιν, ἀλλὰ καὶ πρὸς Πολύγνωτον ἐξαμαρτεῖν τὸν ζωγράφον· καὶ διὰ τοῦτό φασιν ἐν Πλησιανακτίῳ τότε καλουμένῃ, ποικίλῃ δὲ νῦν στοᾷ, γράφοντα τὰς Τρῳάδας, τὸ τῆς Λαοδίκης ποιῆσαι πρόσωπον ἐν εἰκόνι τῆς Ἐλπινίκης. ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων, οὐδ' ἀπ' ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν, ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι, καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον,

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησε καὶ ἡμιθέων ἀγοραῖσι.

εἰσὶ δ' οἱ τὴν Ἐλπινίκην οὐ κρύφα τῷ Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν. ἐπεὶ δὲ Καλλίας τῶν εὐπόρων τις Ἀθήνησιν ἐρασθεὶς προσῆλθε, τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίνειν ἕτοιμος ὢν πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι, καὶ τὸν Κίμωνα τῷ Καλλίᾳ συνοικίσαι τὴν Ἐλπινίκην. οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι. καὶ γὰρ Ἀστερίας τῷ γένει Σαλαμινίας, καὶ πάλιν Μνήστρας τινὸς ὁ ποιη-

τὴς

remotissimum: mores vero insigni generositate & sinceritate tinctos, potiusque ingenium hujus viri Peloponnesium fuisse,

Et candidum simplexque, bonumque in maximis,

ut apud Euripidem Herculis: hæc enim Stesimbroti elogio adjicias licet. Adolescentia ejus famosa fuit, quasi sorori suæ illuderet. Siquidem referunt nec alias omnino fuisse Elpinicen pudicam, sed & pictori se Polygnoto subjecisse. Quapropter quum pingeret in porticu Pisianactia (ut tunc vocabatur, quæ nunc Pœcile a varietate dicitur) Troadas, faciem perhibetur Laodices ad Elpinices reddidisse imaginem. Non erat tamen in operariis Polygnotus, neque pingendam redemerat porticum illam, verum gratuitam eam munificentiam exhibuit publice. Ita scriptores memoriæ traditum reliquerunt, ac Melanthius poeta in hunc ait modum,

Ipse suo sumptu Divorum templa, forumque
Cecropium ornavit semideûm effigie.

Sunt qui Elpinicen non clam cum Cimone, sed aperte ferant contractis nuptiis ut uxorem habitasse, quod sponsum pro generis dignitate non inveniret ob inopiam. Ubi vero Callias, qui Athenis inter locupletes erat, ejus amore captus, obtulit patris ejus mulctam dissolvere, illam accepisse conditionem, ac Cimonem Calliæ Elpinicen despondisse. Atqui apparet omnino obnoxium fuisse ob mulierum libidines Cimonem. Nam Asteriæ, quæ erat Salamine oriunda, & mox Mnestræ cujusdam poeta meminit

Me-

τὰς Μελάνθιος μνημονεύει, πρὸς τὸν Κίμωνα παίζων δι' ἐλεγείας, ὡς σπουδαζομένων ὑπ' αὐτοῦ. δῆλος δ' ἐστὶ καὶ πρὸς Ἰσοδίκην, τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ' αὐτῷ συμβιώσασαν, ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς, καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτὸν· ὧν Παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἀπὸ τρόπου τοῖς χρόνοις εἰκάζων.

Τὰ δ' ἄλλα πάντα τοῦ ἤθους ἀγαστὰ καὶ γενναῖα τοῦ Κίμωνος. οὔτε γὰρ τόλμῃ Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμιστοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι· καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. ὅτε γὰρ τὸν δῆμον ἐπιόντων Μήδων Θεμιστοκλῆς ἔπειθε, προέμενον τὴν πόλιν, καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶν τὰ ὅπλα θέσθαι, καὶ διαγωνίσασθαι κατὰ θάλατταν ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ Θεῷ διὰ χειρῶν κομίζων· ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. ἀναθεὶς δὲ τὸν χαλινὸν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων, καὶ προσευξάμενος τῇ Θεῷ, κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος. ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτὸς, ὡς Ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας,

οὔλῃ

Melanthius, elegiis cum Cimone ludens, ab eo adamatarum. Jam non obſcuro amore filiam Euryptolemi Megaclis filii, juſtam tamen uxorem, eſt Cimon proſequutus, ejuſque mortem tulit ægerrime; quatenus conjicere licet ex ſcriptis ad leniendum luctum ejus elegiis, quas Panætius philoſophus condidiſſe phyſicum Archelaum putat, neque abſurde ducit ex temporibus conjecturam.

Reliqui mores præſtantes Cimonis & egregii omnes fuere. Quum enim nec fortitudine concederet Miltiadi, nec Themiſtocli prudentia, utroque fuiſſe cum conſtat innocentiorem. Ac, quum virtute bellica ne tantillo quidem eſſet illis inferior, mirum quantum pacis artibus antecelluit iis, idque juvenis etiamnum & ſcientiæ militaris rudis. Quum enim populo ingruentibus Medis conſuleret Themiſtocles, ut relicta urbe & agro deſerto, in freto juxta Salamina dimicaret & claſſe certaret, omnibus ferme conſilium tam præceps ſtupentibus, conſpectus Cimon primus eſt per Ceramicum alacris comitantibus ſodalibus arcem ſcandere, ac frænum equi, quod manibus ferebat, Minervæ conſecrare; quaſi non requireret civitas equeſtre robur in præſens, ſed milites prœliorum navalium ſcientes. Sacrato fræno ſumptoque clypeo ex illis qui in templo pendebant, adoravit Deam, atque ad mare deſcendit: qua re non paucis ad audendum præivit. Neque vero forma indecora fuit, (ut poeta ait Ion) ſed ſtatura eminenti, criſpaque

οὔλῃ καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν. φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράσσειν. ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεστὸς ὢν τοῦ Θεμιστοκλέους, ἀνῆγε τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς, εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. οὐχ ἥκιστα δὲ αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου, τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει, καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

Ἐπεὶ δὲ, Μήδων φυγόντων ἐκ τῆς Ἑλλάδος, ἐπέμφθη στρατηγὸς κατὰ θάλατταν, οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πράως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. οἱ δὲ καὶ τούτους ἅμα προσήγοντο, καὶ τοῖς ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης, καὶ ταραττομένης τῆς Ἑλλάδος,

paque & denſa capitis inſignis coma. Quum in prœlio ſtrenue & fortiter dimicaſſet, illico nomen quæſivit apud cives & benevolentiam, multique illum adibant, incitabantque ut digna jam Marathone conſilia & facta ſuſciperet. Capeſſentem rempub. excepit populus lubens, cumque faſtidio Themiſtoclis provexit, quod acceptus plebi gratuſque ex comitate & candore eſſet, ad ſummos honores & magiſtratus. Præcipue autem evexit eum Ariſtides Lyſimachi, quod indolem perſpiceret in moribus ejus probam, & quo tanquam adverſarium, cum Themiſtoclis ingenio & audaciæ objiceret.

Ut vero, pulſis Græcia Medis, claſſi fuit præfectus, nondum imperio potitis Athenienſibus, ſed Pauſaniam adhuc & Lacedæmonios ſequentibus, primum in expeditionibus cives mirifice compoſitos atque alacritate omnibus præbuit præcellentes. Hinc, ut Pauſanias de proditione cum barbaris in ſermonem venit, ſcripſitque ad regem literas, cum ſociis autem aſpere & procaciter egit, effrænatamque licentiam ex imperio & amenti uſurpavit faſtu, hic excipiendo comiter offenſos & humaniter appellando, imperium Græciæ non armis, ſed benigno ſermone & moribus blandis imprudenti ei abſtulit. Complures enim ſocii, moroſitatem & ſuperbiam exoſi Pauſaniæ, aggregaverunt ad ſe illum & Ariſtidem; qui ſimul & hos rapuerunt ad ſe, & Ephoris per nuntios ſignificaverunt ut Pauſaniam, quod infamia involveret Spartam & concitaret Græciam,

Ἑλλάδος, ἀνακαλεῖν τὸν Παυσανίαν. λέγεται δὲ παρθένον τινὰ Βυζαντίαν ἐπιφανῶν γονέων, ὄνομα Κλεονίκην, ἐπ' αἰσχύνῃ τοῦ Παυσανίου μεταπεμπομένου, τοὺς μὲν γονεῖς ὑπ' ἀνάγκης καὶ φόβου προέσθαι τὴν παῖδα· τὴν δὲ τῶν πρὸ τοῦ δωματίου δεηθεῖσαν ἀνελέσθαι τὸ φῶς, διὰ σκότους καὶ σιωπῆς τῇ κλίνῃ προσιοῦσαν, ἤδη τοῦ Παυσανίου καθεύδοντος, ἐμπεσεῖν καὶ ἀνατρέψαι τὸ λυχνίον ἄκουσαν. τὸν δὲ, ὑπὸ τοῦ ψόφου ταραχθέντα καὶ σπασάμενον τὸ παρακείμενον ἐγχειρίδιον, ὥς τινος ἐπ' αὐτὸν ἐχθροῦ βαδίζοντος, πατάξαι καὶ καταβαλεῖν τὴν παρθένον. ἐκ δὲ τῆς πληγῆς ἀποθανοῦσαν αὐτὴν, οὐκ ἐᾶν τὸν Παυσανίαν ἡσυχάζειν, ἀλλὰ νύκτωρ εἴδωλον αὐτῷ φοιτῶσαν εἰς τὸν ὕπνον, ὀργῇ λέγειν τόδε τὸ ἡρῷον,

Στεῖχε δίκης ἆσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.

ἐφ' ᾧ καὶ μάλιστα χαλεπῶς ἐνεγκόντες οἱ σύμμαχοι, μετὰ τοῦ Κίμωνος ἐξεπολιόρκησαν αὐτόν. ὁ δ' ἐκπεσὼν τοῦ Βυζαντίου, καὶ τῷ φάσματι ταραττόμενος, ὡς λέγεται, κατέφυγε πρὸς τὸ νεκυομαντεῖον εἰς Ἡράκλειαν, καὶ τὴν ψυχὴν ἀνακαλούμενος τῆς Κλεονίκης, παρῃτεῖτο τὴν ὀργήν. ἡ δ' εἰς ὄψιν ἐλθοῦσα, ταχέως ἔφη παύσεσθαι τῶν κακῶν αὐτὸν, ἐν Σπάρτῃ γενόμενον· αἰνιττομένη, ὡς ἔοικε, τὴν μέλλουσαν αὐτῷ τελευτήν. ταῦτα μὲν οὖν ὑπὸ πολλῶν ἱστόρηται.

Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως Ἠϊόνα πόλιν ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας, ἐνοχλεῖν

Græciam, revocarent. Fama est virginem Byzantinam illustribus ortam parentibus, nomine Cleonicen, quam stupri causa accersiverat Pausanias, a parentibus fuisse necessitate & metu subactis dimissam. Eam pro cubiculo precatam ut lumen auferretur, quum per tenebras silentio ad cubile pergeret sopiti jam Pausaniæ, incurrisse invitam in lucernam, eamque evertisse. At illum ex strepitu obturbatum, stricto pugione, qui prope jacebat, quasi ab hoste aliquo peteretur, percussisse ac prostravisse puellam: quam ex vulnere mortuam non permisisse Pausaniæ quietem; sed spectrum noctu se offerens in somno hunc versum cum indignatione ad illum protulisse,

I propere ad pœnas, dat maxima damna libido.

Quod factum socii cum Cimone iniquo animo ferentes, arcte obsederunt eum Byzantii. Elapsus tamen est, & viso illo (uti fertur) exterritus Heracleam confugit ad oraculum quo manes evocantur, evocataque Cleonices anima, offensam deprecatus est. Illa in conspectum Pausaniæ venit, ac brevi eum illis malis ostendit explicatum iri, ubi Spartam venisset; obscure nimirum imminentia ei fata designans. Hæc multi scripta reliquere.

At Cimon, quum adjunxissent se ei socii, dux in Thraciam est profectus, quod nuntiatum esset ex Persis viros claros & regis necessarios, Eione oppido, quod ad Strymonem amnem positum est, occupato,

χλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν· ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν, καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην τὸν βασιλέως στρατηγὸν, ἀπογνόντα τὰ πράγματα, τῇ πόλει πῦρ ἐνεῖναι, καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεστάτην οὖσαν καὶ καλλίστην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις. καὶ τοὺς Ἑρμᾶς αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀναθεῖναι συνεχώρησεν, ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ,

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοὰς,
Λιμόν τ' αἴθωνα κρυερόν τ' ἐπάγοντες Ἄρηα,
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

τῷ δὲ δευτέρῳ,

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,
Ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν.
Μᾶλλόν τις τάδ' ἰδὼν, καὶ ἐπεσσομένων, ἐθελήσει
Ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν.

τῷ δὲ τρίτῳ,

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον.

Ὅν

to, conterminos infestare Græcos. Hic primum fudit acie Persas ipsos, atque intra mœnia oppidi compulit: deinde accolas Strymonis Thracas, unde supportabatur illis commeatus, sedibus expulit, totamque regionem stationibus cingens ad eas redegit obsessos difficultates, ut regius dux Butes, rebus deploratis, flammam subderet oppido, seque cum amicis & rebus suis concremaret. Ita potitus oppido, nullum cepit aliud magnopere compendium, quod fuissent pleraque cum barbaris incendio hausta; sed lætissimum & amœnissimum oppido circumjectum agrum Atheniensibus dedit incolendum. Quare statuas istas Mercurii lapideas populus ei ut poneret indulsit: quarum primæ est inscriptum,

Nempe fuere viri magni quoque pectoris illi,
Qui quondam Medos mœnibus Eionis
Afflixere fame, clausos ad Strymonis undam,
Qui primi Martis damna tulere gravis.

Secundæ,

Hæc vero ducibus retulerunt præmia grati
Cecropidæ, factis quæ meruere bonis.
Cernentem hæc aliquem de posteritate juvabit
Bella subire magis, pro patriaque mori.

Tertiæ,

Agmina quum quondam Mnestheus duxisset Atri- [dis
Ex hac urbe virum lata per arva Phrygum,

Gna-

Ὃν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων,
Κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Ταῦτα καίπερ οὐδαμοῦ τὸ Κίμωνος ὄνομα δηλοῦντα, τιμῆς ὑπερβολὴν ἔχειν ἐδόκει τοῖς τότε ἀνθρώποις. οὔτε γὰρ Θεμιστοκλῆς τοιούτου τινὸς οὔτε Μιλτιάδης ἔτυχεν· ἀλλὰ τούτῳ γε θαλλοῦ στέφανον αἰτοῦντι, Σωχάρης ὁ Δεκελεὺς ἐκ μέσου τῆς ἐκκλησίας ἀναστὰς, ἀντεῖπεν, οὐκ εὐγνώμονα μὲν, ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφείς· Ὅταν γὰρ, ἔφη, μόνος ἀγωνισάμενος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος ἀξίου. διὰ τί τοίνυν τὸ Κίμωνος ὑπερηγάπησαν ἔργον; ἢ ὅτι τῶν μὲν ἄλλων στρατηγούντων, ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους, τούτου δὲ, καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν, ἐπὶ τὴν ἐκείνων αὐτοὶ στρατεύσαντες, καὶ προσεκτήσαντο χώρας, αὐτήν τε τὴν Ἠιόνα καὶ τὴν Ἀμφίπολιν οἰκίσαντες; ᾤκισαν δὲ καὶ Σκῦρον, ἑλόντος Κίμωνος ἐξ αἰτίας τοιαύτης. Δόλοπες ᾤκουν τὴν νῆσον, ἐργάται κακοὶ γῆς, λῃζόμενοι δὲ τὴν θάλασσαν ἐκ παλαιοῦ, τελευτῶντες οὐδὲ τῶν εἰσπλεόντων παρ' αὐτοὺς καὶ χρωμένων ἀπείχοντο ξένων, ἀλλὰ Θετταλούς τινας ἐμπόρους περὶ τὸ Κτήσιον ὁρμισαμένους συλήσαντες εἷρξαν. ἐπεὶ δὲ διαδράντες ἐκ τῶν δεσμῶν οἱ ἄνθρωποι, δίκην κατεδικάσαντο τῆς πόλεως Ἀμφικτυονικὴν, οὐ βουλομένων τὰ χρήματα τῶν πολλῶν συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας καὶ διηρπακότας ἀποδοῦναι κελευόντων, δεί-

σαντες

Gnarum præ reliquis quem cantat Homerus Achivis
Compoſitis acies inſtruere ordinibus.
Sic etiam meritis primi dicentur ubique
Virtute inſigni Marteque Cecropidæ.

Hæc quanquam nomen nuſquam præferunt Cimonis, eximium honorem tamen illius ſeculi homines ducebant eſſe. Neque Themiſtocles ſimile quiddam eſt neque Miltiades aſſequutus: verum huic coronam oleaginam petenti, ſurgens ex media concione Sochares Decelenſis, adverſatus eſt, vocemque miſit non illam quidem æquam, ſed populo id temporis gratam, Ubi unus (inquit) certaveris Miltiades, & barbaros viceris, tunc etiam unus pete honorem. Quid igitur tantopere ſunt Cimonis factum amplexi? An quod ſub cæteris ducibus de ſalute ſua dimicaverint cum hoſtibus, hoc vero duce inferre etiam illis cladem, facta in ditionem eorum irruptione, potuerint, provincias ſubegerint, ipſamque Eiona & Amphipolim colonias deduxerint? In Scyrum inſuper, quam cepit Cimon ex hujuſcemodi occaſione: Dolopes eam inſulam tenebant, ignavi agricolæ: hi prædando, mare infeſtum antiquitus habebant. Nec a commeantibus denique ad ipſos & commercia ſecum habentibus temperabant hoſpitibus, ſed mercatores aliquot Theſſalos, negotiandi cauſa eo profectos, ſpoliaverunt vinxeruntque. Qui, cum ex cuſtodia effugiſſent, damnaverunt eam civitatem in jus vocatam apud Amphictyonas. Quia vero pendere una mulctam renuit plebs, eos autem qui prædam abſtuliſſent poſſiderentque juſſerunt ſolvere, illi

σαντες ἐκεῖνοι, πέμπουσι γράμματα πρὸς Κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν νεῶν ληψόμενον τὴν πόλιν ὑπ' αὐτῶν ἐνδιδομένην. παραλαβὼν δ' οὕτω τὴν νῆσον ὁ Κίμων, τοὺς μὲν Δόλοπας ἐξήλασε, καὶ τὸν Αἰγαῖον ἠλευθέρωσε· πυνθανόμενος δὲ τὸν παλαιὸν Θησέα τὸν Αἰγέως φυγόντα μὲν ἐξ Ἀθηνῶν εἰς Σκῦρον, αὐτοῦ δ' ἀποθανόντα δόλῳ διὰ φόβον ὑπὸ Λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε τὸν τάφον ἀνευρεῖν. καὶ γὰρ ἦν χρησμὸς Ἀθηναίοις, τὰ Θησέως λείψανα κελεύων ἀνακομίζειν εἰς ἄστυ, καὶ τιμᾶν ὡς ἥρωα πρεπόντως. ἀλλ' ἠγνόουν ὅπου κεῖται, Σκυρίων οὐχ ὁμολογούντων οὐδ' ἐώντων ἀναζητεῖν. τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ Κίμων εἰς τὴν αὑτοῦ τριήρη τὰ ὀστᾶ, καὶ τἆλλα κοσμήσας μεγαλοπρεπῶς, κατήγαγεν εἰς τὴν αὑτοῦ δι' ἐτῶν σχεδὸν τετρακοσίων. ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν. ἔθεντο δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος, Ἀφεψίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος· ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ Θεῷ τὰς νενομισμένας σπονδὰς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας, ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαστον. ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα, τὴν φιλοτιμίαν ὑπερέβαλε. νικήσαντος δὲ τοῦ Σοφοκλέους, λέγεται τὸν Αἰσχύλον περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα, χρό-

νον

li metu perculſi, mittunt literas ad Cimonem, invitantque eum, ut cum claſſe adſit ad oppidum capiendum, quod ſe ei oſtendunt tradituros. Potitus ad eum modum Cimon inſula, Dolopas extruſit, & mare Ægæum pacavit. Quum autem veterem accepiſſet Theſeum Ægei filium, profugum Athenis contuliſſe in Scyrum ſe, atque ibi ab rege Lycomede ex ſuſpicione dolo ſublatum, laboravit ſepulchrum ejus veſtigare. Siquidem oraculum erat Athenis, quod reliquias Theſei in urbem referri, eumque pro heroe præcipiebat eximie coli. Cæterum ubi conditus eſſet ignorabant, quod Scyrii fateri nollent, neque concederent inveſtigari. Tunc vero ingenti ſtudio tandem invenit Cimon conditorium, impoſuitque navi prætoriæ oſſa, eaque omni magnificentia decorata, in patriam annis prope quadringentis poſt reduxit: quamobrem ſummam gratiam apud populum comparavit. In hujus quoque memoriam tragœdorum celebratum certamen conſtituere. Nam quum primam fabulam Sophocles etiamnum juvenis dediſſet, contentio autem eſſet & concertatio ſpectatorum, Aphepſion archon non erat ſortitus judices certaminis. Ubi vero Cimon cum collegis ducibus theatrum ingreſſus ſolennia libamina Deo fecit, non dimiſit eos, ſed illos decem ex ſingulis tribubus ſingulos coegit juratos conſidere & diſceptare. Exceſſit autem ob dignitatem judicum certamen ambitionem. Victore Sophocle, Æſchylum fama tenet diſcruciatum, atque id iniquo animo ferentem non diu A-

the-

νον οὐ πολλὴν Ἀθήνῃσι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

Συνδειπνῆσαι δὲ τῷ Κίμωνί φησιν ὁ Ἴων παντάπασι μειράκιον, ἥκων εἰς Ἀθήνας ἐκ Χίου παρὰ Λαομέδοντι, καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντα ᾆσαι, καὶ ᾄσαντος οὐκ ἀηδῶς ἐπαινεῖν τοὺς παρόντας ὡς δεξιώτερον Θεμιστοκλέους. ἐκεῖνον γὰρ ᾄδειν μὲν οὐ φάναι μαθεῖν, οὐδὲ κιθαρίζειν· πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι. ἐντεῦθεν, οἷον εἰκός, ἐν πότῳ τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος, καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τὸ ἴδιον ὡς σοφώτατον. ἐπεὶ γὰρ ἐκ Σηστοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι, τῷ Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτούς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον αὐτῶν ἔθηκεν, ᾐτιῶντο τὴν διανομὴν ὡς ἄνισον. ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ' ἂν ἐκεῖνοι καταλίπωσιν, ἀγαπήσειν Ἀθηναίους. Ἡροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον, Ἀθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. καὶ τότε μὲν ὁ Κίμων ἀπῄει, γελοῖος εἶναι δοκῶν διανομεύς, τῶν μὲν συμμάχων ψέλλια χρυσᾶ καὶ μανιάκας, καὶ στρεπτοὺς καὶ κάνδυας καὶ πορφύραν φερομένων, τῶν δ' Ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. μικρὸν δὲ ὕστερον οἱ τῶν ἑαλωκότων φίλοι καὶ οἰκεῖοι, καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας, ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαστον· ὥστε τῷ Κίμωνι τεσσάρων

μη-

thenis hæſiſſe, inde profectum fuiſſe ex indignatione in Siciliam, ubi defunctus quoque & circa Gelam humatus eſt.

Ion cœnatum ſe cum Cimone narrat apud Laomedontem, quum admodum adoleſcens ex Chio veniſſet Athenas. Secundum libamina quum accubuiſſet, cantaſſe eum: quem, quum non illepide cecinisſet, commendatum fuiſſe a convivis ut Themiſtocle feſtiviorem. Illum enim ſcire ſe negaſſe canere vel citharam pulſare: urbem vero amplificare & opibus augere, id tenere. Hinc ſermone (ut fit) inter pocula ad res geſtas Cimonis delapſo, commemoratiſque maximis, hoc unum conſilium illum ipſum ex ſuis ut ſolertiſſimum propoſuiſſe. Quum enim magnum numerum barbarorum, qui capti Seſti & Byzantii fuerant, ſocii denuntiaſſent Cimoni ut divideret, atque ille hinc captivos, illinc quæ illi gerebant corporibus ornamenta poſuiſſet, iniquam partitionem queſti ſunt. Ibi juſſit ille eis, alteram portionem ſumerent, quam ipſi reliquiſſent, ea fore ait Athenienſes contentos. Autore Samio Herophyto, ut res Perſarum præ Perſis deligerent, illi ornamenta cepere, Athenienſibus reliquerunt captivos. Atque in præſentia quidem ridiculus diviſor habitus Cimon eſt, quod ſocii aureas armillas, catellas, torques, candyes, & purpuram ferrent, Athenienſibus vero nuda cederent corpora male ad laborem comparata. Verum brevi poſt captivorum amici & propinqui ex Phrygia & Lydia venientes ſingulos grandi pretio redemerunt. Unde Cimon claſ-

ſi

μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι, καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

Ἤδη δ' εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς στρατιᾶς, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας· καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ, λιτὸν μὲν, ἀρκοῦν δὲ πολλοῖς ἐποιεῖτο καθ' ἡμέραν· ἐφ' ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. ὡς Ἀριστοτέλης φησὶν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. αὐτῷ δὲ νεανίσκοι παρείποντο συνήθεις, ἀμπεχόμενοι καλῶς, ὧν ἕκαστος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἀστῶν πρεσβύτερος ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια. καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας. ὧν δὴ καὶ Κρατῖνος κωμικὸς ἐν Ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων,

Κἀγὼ γὰρ ηὔχουν Μητρόβιος ὁ γραμματεὺς
Σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ
Καὶ πάντ' ἀρίστῳ τῶν πανελλήνων πρώτῳ,
Κίμωνι, λιπαρὸν γῆρας εὐωχούμενος
Αἰῶνα πάντα συνδιατρίψειν. ὁ δὲ
Λιπὼν, βέβηκε πρότερος.

ἔτι

si in quatuor menses alimenta præbuit, insuperque non parum reipub. ex redemptione illorum superfuit auri.

Jam abundans Cimon, imperii sui compendia, quæ præclare ab hostibus paraverat, præclarius impendit in cives. Prædiis enim suis septa detraxit, ut & peregrini & cives quotquot quærerent libere sumerent fructus. Cœna domi apud eum frugalis illa quidem, sed multis tamen sufficiens erat quotidie instructa: quo quilibet pauper admittebatur, ubi alimenta habebat citra laborem suum, ut vacare solis negotiis publicis posset. Aristoteles vero autor est, non omnibus Atheniensibus, sed curialium tantum ejus Laciadarum cuivis paratam cœnam fuisse. Comitabantur eum familiares adolescentes honeste amicti, quorum quisque ubi occurrebat Cimoni ex civibus major natu obsoletius vestitus, pallium cum eo commutabat. Habebat ea res magnificam speciem. Nummos iidem ferebant cumulate, qui in foro adjungebant se inopibus, siqui honesti forent, eosque his silentio injiciebant in manum. Cujus rei apparet Cratinum comicum in Archilochis meminisse hisce verbis,

In dulcibus votis mihi Metrobio erat
Scribæ, suavem transigere vitam seni
Summe hospitali cum viro divinitus
Facto, melior inter Pelasgos quo fuit
Nemo aut prior, Cimone: sed fato gravi
Defunctus abscessit prior.

Ad

ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνός φησι τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν ὡς χρῷτο, χρῆσθαι δὲ ὡς τιμῷτο. Κριτίας δὲ, τῶν τριάκοντα γενόμενος, ἐν ταῖς ἐλεγείαις εὔχεται,

Πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
Νίκας δ᾽ Ἀγησίλα τοῦ Λακεδαιμονίου.

καί τοι Λίχαν γε τὸν Σπαρτιάτην ἀπ᾽ οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαστὸν γενόμενον, ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδείαις ἐδείπνιζεν· ἡ δὲ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν. οἱ μὲν γὰρ, ἐφ᾽ οἷς ἡ πόλις μέγα φρονεῖ δικαίως, τότε σπέρμα τῆς τροφῆς εἰς τοὺς Ἕλληνας ἐξέδωκαν, ὑδάτων τε πηγαίων καὶ πυρὸς ἔναυσιν χρῄζουσιν ἀνθρώποις ἐδίδαξαν. ὁ δὲ τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινὸν, ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχὰς, καὶ ὅσα ὧραι καλὰ φέρουσι, χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων, τρόπον τινὰ τὴν ἐπὶ Κρόνου μυθολογουμένην κοινωνίαν εἰς τὸν βίον αὖθις κατῆγεν. οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης. ὅς γε καὶ Θεμιστοκλεῖ πέρα τοῦ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν, ἀντέβαινε μετ᾽ Ἀριστείδου· καὶ πρὸς Ἐφιάλτην ὕστερον χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου πάγου βουλὴν διηνέχθη. λημμάτων δὲ δημοσίων τοὺς ἄλλους, πλὴν Ἀριστείδου καὶ Ἐφιάλτου, πάντας ἀναπιμπλαμένους ὁρῶν, αὐτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα πρι-

Ad hæc Gorgias Leontinus Cimonem refert pecuniam quæſiſſe, ut uteretur: uſum, ut honorem aſſequeretur. Critias etiam ex triginta tyrannis unus optat in Elegiis,

Divitias Scopadum, generoſaque facta Cimonis,
Ageſilae etiam parta trophæa tibi.

Licham quidem ſcimus Laconem nulla re celebrem alia in Græcia evaſiſſe, quam quod ludis gymnicis eſſet ſolitus cœna excipere peregrinos. Enimvero Cimonis liberalitas etiam veterum Athenienſium ſuperavit hoſpitalitem & benignitatem. Illi enim, unde urbs hæc jure gloriatur, alimentorum ſemen ediderunt inter Græcos, atque aquam fontanam accendendique copiam ignis hominibus, quibus eſſet opus, largiti ſunt. At hic ædes ſuas pro cœnatione publica aperiendo, & ruri fructus tempeſtivos capiendos, ac quæcunque anni tempora gignunt bona, fruenda ſumenda peregrinis præbendo, quaſi fabuloſam illam, quæ Saturni regno fuit, rerum communionem in orbem reduxit. Qui autem blandimenta hæc ad vulgus & populares calumniabantur eſſe aſſentationes, eos retundebant reliqua illius viri inſtituta, optimatium partibus conſentanea & Laconica. Quippe Themiſtocli plus ſatis populi jus evehenti reluctatus eſt ſocio Ariſtide: & cum Ephialte poſt, curiam Areopagi in gratiam populi molientе diſſolvere, contentiones ſuſcepit. Porro capturis publicis alios extra Ariſtidem & Ephialtem omnes cernens repletos, incorruptum ſe & intactum a quæſtu in repub. præſtitit, omniaque

προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε. λέγεται γέ τοι Ῥοισάκην τινὰ βάρβαρον, ἀποστάτην βασιλέως ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς Ἀθήνας, καὶ παρατριβόμενον ὑπὸ τῶν συκοφαντῶν, καταφυγεῖν πρὸς Κίμωνα, καὶ θεῖναι παρὰ τὴν αὔλειον αὐτοῦ φιάλας δύο, τὴν μὲν ἀργυρείων ἐμπλησάμενον Δαρεικῶν, τὴν δὲ χρυσῶν· ἰδόντα δὲ τὸν Κίμωνα, καὶ μειδιάσαντα, πυθέσθαι τοῦ ἀνθρώπου πότερον αἱρεῖται, Κίμωνα μισθωτὸν ἢ φίλον ἔχειν· τοῦ δὲ φήσαντος φίλον, οὐκοῦν, φάναι, ταῦτ' ἄπιθι μετὰ σεαυτοῦ κομίζων· χρήσομαι γὰρ αὐτοῖς ὅταν δέωμαι, φίλος γενόμενος.

Ἐπεὶ δ' οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν, ἄνδρας δὲ καὶ ναῦς ὡς ἐτάχθησαν οὐ παρεῖχον, ἀλλ' ἀπαγορεύοντες ἤδη πρὸς τὰς στρατείας, καὶ πολέμου μὲν οὐδὲν δεόμενοι, γεωργεῖν δὲ καὶ ζῆν καθ' ἡσυχίαν ἐπιθυμοῦντες, ἀπηλλαγμένων τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν, οὔτ' ἄνδρας ἀπέστελλον, οἱ μὲν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν, καὶ τοὺς ἐλλείποντας ὑπάγοντες δίκαις καὶ κολάζοντες, ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν. Κίμων δὲ τὴν ἐναντίαν ὁδὸν ἐν τῇ στρατηγίᾳ πορευόμενος, βίαν μὲν οὐδενὶ τῶν Ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ βουλομένων στρατεύεσθαι καὶ ναῦς κενάς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰκεῖα διατρίβειν, γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους ἐκ πολεμικῶν ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους. τῶν δ' Ἀθηναίων ἀνὰ μέρος πολλοὺς ἐμβιβάζων, καὶ διαπονῶν ταῖς στρατείαις, ἐν ὀλίγῳ χρόνῳ τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι δεσπότας αὐτῶν τῶν διδόντων

διδόντων

que gratis & innocenter per totam vitam & fecit & dixit. Ferunt nempe Rœſacem quemdam barbarum, qui a rege deſciverat, Athenas cum magna pecunia ſe contuliſſe. Hunc, quum fatigaretur a ſycophantis, confugiſſe ad Cimonem, ac phialas duas aureas ad veſtibulum ejus poſuiſſe, unam argenteorum Daricorum, alteram aureorum plenam: Cimonem vero, ubi vidit, arriſiſſe, atque hominem rogaſſe, mercenario Cimone, an uti mallet amico? Qui ut reſpondit, Amico, tum dixiſſe, Ergo aufer iſta tecum: utar iis, quia amicus tuus ſum, ubi opus habuero.

Quum autem penderent vectigalia ſocii, milites vero & naves completas, ut indictum iis fuerat, non præberent, verum eſſent jam ab expeditionibus averſi, atque a bello abhorrerent, agros vero colere & quietam vitam geſtirent ducere, quia barbari receperant ſe, nec quicquam faceſſebant negotii: ad hæc munera ſubeundà compellebant eos reliqui Athenienſium duces; eoſque qui non parebant, judiciis mulctiſque coercendo invidioſum reddebant imperium Athenienſium & amarum. At Cimon diverſa via imperator incedens vim nulli afferebat Græco: pecuniam autem ab illis qui nomina dare nolebant, & naves vacuas accipiebat, illos otio delinitos domi manere, agricolaſque & negotiatores & quæſtus ſectatores imbelles ex bellatoribus per mollitiam & vecordiam permittebat effici. Athenienſes vero magno numero viciſſim imponebat in naves & expeditionibus ſubigebat. Quare brevi ſpatio eos ſociorum dominos ipſorum præbentium ſtipendiis,

δούλων ἐποίησε. πλέοντας γὰρ αὐτοὺς συνεχῶς, καὶ διὰ χειρὸς ἔχοντας ἀεὶ τὰ ὅπλα, καὶ τρεφομένους καὶ ἀσκοῦντας ἐκ τῶν αὐτῶν στρατείας, ἐθισθέντες φοβεῖσθαι καὶ κολακεύειν, ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες.

Καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον ἢ Κίμων. οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δὲ ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν· ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν, ἄχρι Παμφυλίας παντάπασιν Περσικῶν ὅπλων ἐρημῶσαι. πυθόμενος δὲ τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν, καὶ βουλόμενος αὐτοῖς ἄπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων ποιήσασθαι θάλατταν, ὥρμησεν ἄρας ἀπὸ Κνίδου καὶ Τριοπίου διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις· ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς, καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ τῶν πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πολεμίοις. ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν, Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει, καὶ προσέβαλε τοῖς τείχεσιν. οἱ δὲ Χῖοι συμπλέοντες αὐτῷ, πρὸς δὲ τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσκεί-

μενα

diis & nummis reddidit. Hos enim qui navigabant assidue, arma perpetuo tractabant, sustinebant & exercebant se suis expeditionibus, quia assuescebant illi formidare & assentari, evadebant imprudentes pro sociis vectigales eorum & servi.

Jam magni regis quidem nemo spiritus magis quam Cimon infregit atque imminuit. Neque enim fugatum ex Græcia dimisit, sed, quasi vestigiis inhærens, priusquam respirarent, & consisterent barbari, alia depopulatus est & delevit, alia ad defectionem impulit subjunxitque Græcis, ut in Asia ab Ionia usque ad Pamphyliam nusquam Persica arma apparerent. Quum autem allatum ad eum esset regios duces magno exercitu & ingenti classe circa Pamphyliam stativa habere, quo iis mare, quod inter insulas Chelidonias est, undequaque redderet infestum & inaccessum, provectus est a Cnido & Triopio navibus ducentis, quæ agiles ut essent & versatiles, optime fuerant a principio per Themistoclem paratæ: tunc vero effecit hic latiores quoque, pontemque foris addidit, ut multis instructæ armatis cum hostibus concurrerent pugnaciores. Postquam infestus decurrit ad Phaselim, cujus oppidi erant Græci quidem incolæ, sed classem ipsius non recipiebant, neque desciscere volebant a rege, agrum eorum vastavit & muros oppugnavit. Chii autem qui erant in ejus præsidiis, quod cum Phaselitis antiquitus amicitia intercesset, hinc Cimonem lenierunt, hinc libellos sagittis annexos super muros miserunt,

μένα τοῖς οἰστοῖς, ἐξήγγελλον τοῖς Φασηλίταις. τέλος δὲ διήλλαξαν αὐτοὺς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. Ἔφορος μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν, καὶ τοῦ πεζοῦ Φερενδάτην· Καλλισθένης δὲ Ἀριομάνδην τὸν Γωβρύου, κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. οἱ δὲ πρῶτον μὲν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν· ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον· οἱ δὲ καταλαμβανόμενοι, διεφθείροντο μετὰ τῶν νεῶν. ᾧ καὶ δῆλον ἐστιν ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε πολλῶν μὲν, ὡς εἰκὸς, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δὲ, ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε

serunt, atque omnia significarunt Phaselitis. Postremo pacem inter eos his conciliaverunt legibus, ut talenta decem numerarent, Cimonem sequerentur, unaque arma ferrent in barbaros. Porro Ephorus quidem Tithraustem classi regiæ tradit præfuisse, terrestribus copiis Pherendatem: Callisthenes vero, Ariomandis Gobryæ filii summum imperium in exercitu fuisse. Hunc classem ad Eurymedontem in statione habuisse, nec fuisse ad certandum cum Græcis promptum, sed naves Phœnissas ex Cypro adventantes præstolatum. Ad hæc prævertenda Cimon in altum provectus est, si detrectarent certamen, vi eos adacturus. Illi primo, ne cogi possent, amnem subierunt. Cæterum ubi ingruerunt Athenienses, sexcentis navibus, ut scribit Phanodemus, ut Ephorus, trecentis quinquaginta occurrerunt ei. Enimvero nihil hi mari pro tanta classe ediderunt memorabile, sed illico proras verterunt ad littus, ac primi se ejecerunt in terram, atque ad exercitum pedestrem, qui erat in propinquo instructus, refugere, cæteri oppressi una cum navibus periere. Unde liquet permultas fuisse barbaris completas naves, ubi multis (ut est verisimile) elapsis, multis obtritis, ducentas tamen captivas abstraxerint Athenienses.

Quum vero pedestres copiæ ad mare infestæ descendissent, magni quidem laboris opus Cimoni videbatur vi descensionem facere, defessosque cum integris, qui multi essent singulis comparati, committere Græcos. Attamen, viribus & victoriæ fiducia cernens eos elatos alacresque ad pedem cum barbaris conferen-

βάζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, καρτερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον· πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾕρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινός, ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθώς, τρόπαιον ἐπηγωνίσατο ταῖς νίκαις, καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν· οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων· ᾗ καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν. τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν. καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα, καὶ τριάκοντα μόναις Ἐφιάλτην ἐπέκεινα πλεῦσαι Χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. ἐν δὲ τοῖς ψηφίσμασιν ἃ συνήγαγε Κρατερός, ἀντίγραφα

ferendum, pedites ex prœlio navali adhuc calidos exposuit. Hi cum clamore & impetu irruerunt in hostem: quos quia Persæ exceperunt non ignaviter, acris commissa pugna est. Ex Atheniensibus fortissimus quisque & dignitate primus splendidissimusque cecidit. Verum magno tandem labore fuderunt fugaveruntque barbaros. Inde & reliquos ceperunt & tentoriis omni opulentia refertis potiti sunt. Cimon vero, ut insignis athleta, prœliis uno die duobus victor, ac decus Salaminium terrestri pugna, navali Platæense transgressus, certamen aliud quasi additamentum victoriis & trophæum quærens subiit: atque naves Phœnissas octoginta, quæ non interfuerant prœlio, ubi stare ad Hydrum est allatum, direxit eo propere cursum; quum de majore exercitu nondum quicquam duces certi intellexissent, sed fidem nondum adhibentes essent suspensi. Quo magis perterriti omnes naves amisere, unaque homines maxima ex parte interiere. Hoc factum adeo animum fregit regis, ut nobilem illam pacem iniret, ut semper a mari Græco curriculum equi abstineret, neque intra insulas Cyaneas & Chelidonias longam navem vel rostratam haberet. Callisthenes vero negat ita fœdere pactum barbarum, sed re id illius metu victoriæ præstitisse, ac tam procul a Græcia se removisse, ut quinquaginta navibus Pericles, & Ephialtes triginta tantum Chelidonias supervecti, nihil sibi obvium viderint classis barbaricæ. Verum inter plebiscita quæ consarcinavit Craterus, exemplum est

γράφα συνθηκῶν ὡς γενομένων κατατέτακται. φασὶ δὲ καὶ βωμὸν εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι, καὶ Καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. πραθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων, εἴς τε τὰ ἄλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη, καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν, ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν, ἃ σκέλη καλοῦσι, συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν, τὴν δὲ πρώτην θεμελίωσιν, εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων ἐμπεσόντων, ἐρεισθῆναι διὰ Κίμωνος ἀσφαλῶς, χάλικι πολλῇ καὶ λίθοις βαρέσι τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς διατριβαῖς, αἳ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ· τὴν μὲν ἀγορὰν πλατάνοις καταφυτεύσας, τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς, κατάρρυτον ἀποδείξας ἄλσος, ἠσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χερρόνησον καταλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο, καταφρονοῦντες τοῦ Κίμωνος μετ' ὀλίγων παντάπασι τριηρῶν Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς, τέσσαρσι μὲν ναυσὶ τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν· ἐξελάσας δὲ τοὺς Πέρσας, καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χερρόνησον. ἐκ δὲ τούτου, Θασίους μὲν ἀποστάντας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε, καὶ τὴν πόλιν ἐξεπολιόρκησε, καὶ τὰ χρυσία τὰ πέραν

est hujus fœderis, quasi ita facti relatum. Aram pacis quoque hac de causa perhibent Athenienses erexisse, ac Calliam qui eam legationem obierat, summis decorasse honoribus. Præda divendita, cum ad alios usus polluit populus pecunia, tum de illius belli manubiis australem arcis murum extruxit. Ad hæc longorum murorum, (quos crura vocant) quorum absoluta postmodum est molitio, primum fundamentum, quum opus incideret in loca palustria & uliginosa, solo palustri multa glarea gravibusque saxis adstricto firmiter fuisse a Cimone pecuniam suppeditante & præbente suffultum. Item elegantibus illis exercitationis & disputationis liberalis locis, quibus mirifice sunt postea oblectati, urbem primus exornavit. Forum enim platanis consevit, Academiam ex sitienti & squalida irriguum nemus effecit, instruxitque planis curriculis & ambulationibus opacis.

Porro quia nonnulli Persæ excedere detrectabant Chersoneso, opemque evocabant superiorum Thracum, despicientes Cimonem, qui paucas naves ab Athenis solverat, fecit in illos impetum, ac quatuor navibus tredecim de illis cepit, ejectisque Persis & Thracibus domitis, redegit totam Chersonesum in ditionem Atheniensium. Hinc rebellantes Atheniensibus Thasios prœlio navali fudit, tres & triginta naves eorum cepit, oppidum expugnavit, auri metalla in opposita continente posita, populo

ραν Ἀθηναίοις προσεκτήσατο, καὶ χώραν ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας, καὶ πολλὴν ἀποτεμέσθαι παρέχον, ὡς ἐδόκει, μὴ θελήσας, αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ Ἰώνων ἔφη προξενεῖν, οὐδὲ Θετταλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Μακεδόνων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην, ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτος, φησὶ τὴν Ἐλπινίκην ὑπὲρ τοῦ Κίμωνος δεομένην ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους. οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος. τὸν δὲ, μειδιάσαντα, γραῦς εἶ, φάναι, γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα. πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι, καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

Ἐκείνην μὲν οὖν ἀπέφυγε τὴν δίκην· ἐν δὲ τῇ λοιπῇ πολιτείᾳ, παρὼν μὲν ἐκράτει καὶ συνέστελλε τὸν δῆμον ἐπιβαίνοντα τοῖς ἀρίστοις, καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν. ὡς δὲ πάλιν ἐπὶ στρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες οἱ πολλοὶ, καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον, τὰ πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον, Ἐφιάλτου προεστῶτος, ἀφείλοντο τῆς ἐξ Ἀρείου πάγου βουλῆς τὰς κρίσεις, πλὴν ὀλίγων ἁπάσας·
καὶ

pulo Athenienſi adjunxit, regionem Thaſiis, quæ parebat iis ademit. Illinc quum magnam facultatem incurſandi Macedoniam atque amplos fines ejus extorquendi haberet, ubi uti hac apparuit eum nolle, in ſuſpicionem incidit quaſi muneribus ab rege Alexandro delinitus, atque adverſariorum coitione in judicium eſt vocatus. At in defenſione ſua expoſuit judicibus, non cum Ionibus ſibi neque cum Theſſalis hominibus locupletibus, neceſſitudinem intercedere hoſpitii, ſicut multis, quo colerentur & diteſcerent, verum quod Macedonas æmularetur, eorumque amplecteretur frugalitatem & continentiam, cui nullas præferret divitias, augeret vero hoſtium opibus cives, gloriari ſe. Iſtius judicii Steſimbrotus mentionem habens, Elpinicen refert ſupplicem Cimonis gratia domum ventitaſſe ad Periclem: (quippe erat hic inter accuſatores acerrimus) eum vero arridentem, Anus es, dixiſſe, Elpinice, anus es nimium quam ut res tantas tranſigas. In judicio fuiſſe tamen eum leniſſimum Cimoni, atque ad accuſandum quaſi defunctorie ſemel tantum exſurrexiſſe.

Ab eo itaque judicio fuit abſolutus. In reliquis actionibus ſuis inſultantem optimatibus populum omneque arbitrium & autoritatem ſibi vendicantem, dum domi fuit, retinuit ac refrænavit. Verum poſtquam iterum ad bellum gerendum navigavit, cum ſemel effrænis plebs confuſo præſenti reipub. ordine inveteratoque jure, quo fuerat ad eam diem uſus, eripuit duce Ephialte Areopago judicia paucis demptis omnia, omnibuſque

καὶ τῶν δικαστηρίων κυρίους ἑαυτοὺς ποιήσαντες, εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη Περικλέους δυναμένου, καὶ τὰ τῶν πολλῶν φρονοῦντος. διὸ καὶ τοῦ Κίμωνος, ὡς ἐπανῆλθεν, ἀγανακτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι τὸ ἀξίωμα τοῦ συνεδρίου, καὶ πειρωμένου πάλιν ἄνω τὰς δίκας ἀνακαλεῖσθαι, καὶ τὴν ἐπὶ Κλεισθένους ἐγείρειν ἀριστοκρατίαν, κατεβόων συνιστάμενοι, καὶ τὸν δῆμον ἐξηρέθιζον, ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι, καὶ λακωνισμὸν ἐπικαλοῦντες. εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύλληται περὶ Κίμωνος, ὅτι

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής.
Κἀνίοτ' ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
Κἂν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

εἰ δ' ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε, καὶ τοσαύτας νίκας ἐνίκησε, δηλονότι νήφοντος αὐτοῦ καὶ προσέχοντος, οὐδεὶς ἂν οὔτε τῶν πρότερον οὔτε τῶν ὕστερον Ἑλλήνων παρῆλθε τὰς πράξεις.

Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων· καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον, Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον, Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλιτορίας γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· διὸ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. Διόδωρος δ' ὁ περιηγητὴς καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν Θεσσαλὸν ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους. ηὐξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῷ Θεμιστοκλεῖ προσπολεμούντων, καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν

καὶ

que tribunalibus ad nutum ſuum revocatis, rempub. potentia Periclis, qui partes ſectabatur plebis, in meram demerſit populi ditionem. Quapropter in Cimonem, qui a reditu ob autoritatem illius concilii violatam ſtomachabatur, & reducere iterum eo enitebatur cauſas, illamque ſub Cliſthene reſtituere optimatum potentiam, conſpiratione facta inſurrexerunt clamoribus, populumque exaſperaverunt, refricantes iſta de ſorore ejus crimina, ac ſtudium objicientes Lacedæmoniorum. In quæ illa quadrant Eupolidis de Cimone decantata carmina, quod

Malus haud erat, ſed negligens bibaxque erat:
Aliquando dormitavit & Lacedæmone,
Solam relinquens Elpinicen hic ſuam.

Qui ſi ſupinus & temulentus cepit tam multas urbes, atque tot victorias reportavit, profecto ſobrii & intenti nemo neque prioris neque poſterioris memoriæ Græcorum res geſtas tranſcendiſſet.

Enimvero fuit ille Lacedæmoniorum a prima ætate ſtudioſior. Ac filiorum quidem geminorum (ut tradit Steſimbrotus) alterum Lacedæmonium, Eleum alterum appellavit, quos genuerat ex conjuge Clitoria: quapropter exprobravit iis crebro Pericles genus maternum. Diodorus Periegetes tam hos quam tertium Cimonis filium Theſſalum Iſodice ait Euryptolemi filii Megaclis filia natos. Evectus autem ab Lacedæmoniis fuit, qui erant Themiſtocli infeſti, & hunc juvenem Athenis tum pollere ac

prin-

καὶ κρατεῖν βουλομένων. οἱ δ' Ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων, οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας τῶν Σπαρτιατῶν ἀπολαύοντες. αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχὰς καὶ τὰ συμμαχικὰ πολυπραγμονοῦσιν, οὐκ ἤχθοντο τιμῇ καὶ χάριτι τοῦ Κίμωνος. τὰ γὰρ πλεῖστα δι' ἐκείνου τῶν Ἑλληνικῶν διεπράττετο, πράως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ τοῖς Λακεδαιμονίοις ὁμιλοῦντος. ἔπειτα δυνατώτεροι γενόμενοι, καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον ὁρῶντες, ἤχθοντο. καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους, καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς, ἢ παροξύνων, ὥς φησι Στησίμβροτος, εἰώθει λέγειν, ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι· ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. ἡ δ' οὖν ἰσχύσασα μάλιστα κατ' αὐτοῦ τῶν διαβολῶν, αἰτίαν ἔσχε τοιαύτην. Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ· μεγίστου δὴ τῶν μνημονευομένων πρότερον, ἥτε χώρα τῶν Λακεδαιμονίων χάσμασιν ἐνώλισθε πολλοῖς, καὶ τῶν Ταϋγέτων τιναχθέντων κορυφαί τινες ἀπερράγησαν. αὐτὴ δ' ἡ πόλις ὅλη συνεχύθη, πλὴν οἰκιῶν πέντε, τὰς δ' ἄλλας ἤρειψεν ὁ σεισμός. ἐν δὲ μέσῃ τῇ στοᾷ γυμναζομένων ὁμοῦ τῶν ἐφήβων καὶ τῶν νεανίσκων, λέγεται μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι, καὶ τοὺς μὲν νεανίσκους, ὥσπερ ἦσαν ἀληλιμμένοι, μετὰ παιδιᾶς ἐκδραμεῖν καὶ διώκειν, τοῖς δ' ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμνάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν

principem esse malebant. Erat id populo Atheniensi primum jucundum, quod benevolentia in eum Lacedæmoniorum magnum fructum ipsis ferret. Initio enim incrementi, quod essent negotiis socialibus implicati, honore & gratia Cimonis non offendebantur. Siquidem res Græciæ pleræque explicabantur per eum, qui comiter cum sociis & cum Lacedæmoniis ageret gratiose. Inde facti opulentiores, quum Cimonem Lacedæmoniis non obscure cernerent devotum, fremuerunt. Etenim extollebat semper in concione Lacedæmonem, præcipue vero si quid incusaret eos aut ad quidpiam incitaret (ut Stesimbrotus refert) habebat in ore, Atqui non sunt Lacedæmonii certe tales. Unde invidiam sibi & odium ad populum conflavit. Quæ vero potissimum in eum valuit calumnia, ex causa orta est hujuscemodi: Anno regni quarto Archidami filii Zeuxidami, Lacedæmoniorum regis, maximo omnis prioris memoriæ terræmotu, cum Laconiæ labes in multos hiatus desedit, tum Taygetus concussus & vertices sunt aliqui ejus collapsi. Ipsa convulsa urbs est tota præter quinque ædificia, cætera terræ tremor labefecit. Media porticu, ubi adolescentia & juventus una exercebant se, fama est paulo ante quam terra quateretur, leporem percurrisse: juvenes autem, ut erant uncti, evolasse ludibundos ad consectandum. Adolescentes vero qui remanserant, gymnasii ruina oppressos periisse cunctos. Horum tumulum vocant etiam hoc

νῦν σεισματίαν προσαγορεύουσιν. ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ Ἀρχίδαμος, καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα πειρωμένους σώζειν, ἐκέλευε τῇ σάλπιγγι σημαίνειν ὡς πολεμίων ἐπιόντων, ὅπως ὅτι τάχιστα μετὰ τῶν ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν Σπάρτην διέσωσεν. οἱ γὰρ Εἵλωτες ἐκ τῶν ἀγρῶν συνέδραμον πανταχόθεν ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν Σπαρτιατῶν. ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες, ἀνεχώρησαν ἐπὶ τὰς πόλεις, καὶ φανερῶς ἐπολέμουν, τῶν τε περιοίκων ἀναπείσαντες οὐκ ὀλίγους, καὶ Μεσσηνίων ἅμα τοῖς Σπαρτιάταις συνεπιθεμένων. πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν, ὅν φησι κωμῳδῶν Ἀριστοφάνης, καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι, στρατιὰν ἀπαιτεῖν. Ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν, μηδ᾽ ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς Ἀθήνας, ἀλλ᾽ ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνα φησὶ Κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος, ἀναπείσαντα τὸν δῆμον, ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. ὁ δ᾽ Ἴων ἀπομνημονεύει καὶ τὸν λόγον ᾧ μάλιστα τοὺς Ἀθηναίους ἐκίνησε, παρακαλῶν μήτε τὴν Ἑλλάδα χωλὴν, μήτε τὴν πόλιν ἑτερόζυγα περιϊδεῖν γεγενημένην.

Ἐπεὶ δὲ βοηθήσας τοῖς Λακεδαιμονίοις, ἀπῄει διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος αὐτῷ, πρὶν ἐντυχεῖν τοῖς πολίταις, εἰσαγα-

γόντι

hoc ævo Siſmatiam, nomine a terræmotu ducto. Porro Archidamus ſtatim ex præſenti inſequens proſpiciens diſcrimen, civeſque cernens ex tectis quæcunque chariſſima erant, egerentes, claſſicum cani tanquam adventantibus præcipit hoſtibus, ut quam ocyſſime armati ad ipſum concurrerent. Hoc fuit unum Spartæ ea tempeſtate ſaluti. Ilotæ enim concurrerunt undique ex agris, ut Spartiatas, qui incolumes eſſent, opprimerent: quos ubi offenderunt armatos & inſtructos, in oppida ſua ſunt dilapſi, bellumque ex profeſſo fecerunt, adſcitis non paucis finitimis: ac ſimul Spartiatas adorti ſunt Meſſenii. Mittunt itaque Athenas ad petendum auxilium Lacedæmonii Periclidam, quem cavillans dicit Ariſtophanes ad aras pallidum ſedentem in veſte punicea exercitum poſtulare. Hic quum adverſaretur Ephialtes, ac teſtato negaret ſubveniendum, neque excitandam urbem Athenis adverſariam, ſed negligendam eſſe jacentem, & ſpiritus conculcandos Lacedæmoniis, Cimonem narrat Critias patriæ incremento utilitati Lacedæmoniorum poſthabito, inductoque populo, eis frequenti exercitu iviſſe ſuppetias. Ion etiam verba commemorat quibus imprimis in adhortando populum Athenienſem commovit, ne Græciam claudam reddi, neu urbem ſinerent deſtitui ſocia.

Poſtquam opem tulit Lacedæmoniis, atque in reditu iter cum exercitu per fines Corinthiorum fecit, incuſavit Lachartus eum, quod priuſquam cives appellaſſet, invexiſ-

γόντι τὸ στράτευμα· καὶ γὰρ θύρας κόψαντας ἀλλοτρίας, οὐκ εἰσιέναι πρότερον ἢ τὸν κύριον κελεῦσαι. καὶ ὁ Κίμων, Ἀλλ' οὐχ ὑμεῖς, εἶπεν, ὦ Λάχαρτε, τὰς Κλεωναίων καὶ Μεγαρέων θύρας κόψαντες, ἀλλὰ κατασχίσαντες, εἰσεβιάζεσθε μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεῳγμένα πάντα τοῖς μεῖζον δυναμένοις. οὕτω μὲν ἐθρασύνατο πρὸς τὸν Κορίνθιον ἐν δέοντι, καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. οἱ δὲ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους αὖθις ἐκάλουν ἐπὶ τοὺς ἐν Ἰθώμῃ Μεσσηνίους καὶ Εἵλωτας· ἐλθόντων δὲ, τὴν τόλμαν καὶ τὴν λαμπρότητα δείσαντες, ἀπεπέμψαντο μόνους τῶν συμμάχων ὡς νεωτεριστάς. οἱ δὲ, πρὸς ὀργὴν ἀπελθόντες, ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον, καὶ τὸν Κίμωνα, μικρᾶς ἐπιλαβόμενοι προφάσεως, ἐξωστράκισαν εἰς ἔτη δέκα. τοσοῦτον γὰρ ἦν χρόνου τεταγμένον ἅπασι τοῖς ἐξοστρακιζομένοις. ἐν δὲ τούτῳ τῶν Λακεδαιμονίων, ὡς ἐπανήρχοντο Δελφοὺς ἀπὸ Φωκέων ἐλευθερώσαντες, ἐν Τανάγρᾳ καταστρατοπεδευσάντων, Ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι, Κίμων δὲ μετὰ τῶν ὅπλων ἧκεν εἰς τὴν αὐτοῦ φυλὴν τὴν Οἰνηΐδα, πρόθυμος ὢν ἀμύνεσθαι τοὺς Λακεδαιμονίους μετὰ τῶν πολιτῶν. ἡ δὲ βουλὴ τῶν πεντακοσίων πυθομένη καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ καταβοώντων, ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου, καὶ τῇ πόλει Λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. κἀκεῖνος μὲν ᾤχετο δεηθεὶς Εὐθίππου τοῦ Ἀναφλυστίου, καὶ τῶν ἄλλων ἑταίρων, ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν εἶχον, ἐρρωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους, καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν πρὸς τοὺς πολίτας. οἱ δὲ λαβόν-

τες

ſet exercitum. Siquidem eos qui fores pulſant alienas, non ante quam dominus juſſerit dicebat ingredi. Cui Cimon, Atqui vos, Lacharte, (inquit) Cleonæorum & Megarenſium non pulſatis foribus, ſed refractis irrupiſtis armati, cenſentes omnia patere potentioribus. Ita in loco inſultavit Corinthio, ac cum copiis tranſiit. Porro Lacedæmonii exciverunt iterum Athenienſes contra eos qui Ithomen tenebant, Meſſenios & Ilotas. Quorum, ubi adfuerunt, audaciam & alacritatem veriti, ſolos ex ſociis tanquam novis rebus intentos ablegaverunt. Hi cum indignatione reverſi ſunt, fueruntque deinceps aperte Lacedæmoniorum fautoribus infeſti, ac Cimonem levi anſa arrepta in decennium exterminavere. (Tantum enim præfinitum temporis erat oſtraciſmo. Interea quum Lacedæmonii (Tanagræ in reditu liberatis à Phocenſibus Delphis conſediſſent, eruperunt Athenienſes ad manus cum iis conferendas. Ibi Cimon armatus aggregavit ſe ad tribum ſuam OEneidem, eratque paratus ad aggrediendum cum civibus ſuis Lacedæmonios. Verum concilium quingentorum re intellecta, timens, quod eum adverſarii calumniarentur turbare aciem velle atque invehere in urbem Lacedæmonios, edixerunt ducibus ne reciperent eum. Ita abſceſſit Cimon orans Euthippum Anaphlyſtium, reliquoſque ſodales ſuos, qui erant potiſſimum ut facientes pro Lacedæmoniis ſuſpecti, ut fortiter cum hoſtibus dimicarent, crimenque diluerent apud cives factis. Hi centum numero, ar-

mis

τες αὐτοῦ τὴν πανοπλίαν εἰς τὸν λόχον ἔθεντο· καὶ μετ᾽ ἀλλήλων συστάντες, ἐκθύμως, ἑκατὸν ὄντες, ἔπεσον, πολὺν αὑτῶν πόθον καὶ μεταμέλειαν ἐφ᾽ οἷς ἠτιάθησαν ἀδίκως, ἀπολιπόντες τοῖς Ἀθηναίοις. ὅθεν οὐδὲ τὴν πρὸς Κίμωνα θυμὸν πολὺν χρόνον ἐνέμειναν, τὰ μὲν, ὡς εἰκὸς, ὧν ἔπαθον εὖ μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου. νενικημένοι γὰρ ἐν Τανάγρᾳ μάχῃ μεγάλῃ, καὶ προσδοκῶντες εἰς ὥραν ἔτους στρατιὰν Πελοποννησίων ἐπ᾽ αὐτοὺς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν Κίμωνα, καὶ κατῆλθε, τὸ ψήφισμα γράψαντος Περικλέους. οὕτω τότε πολιτικαὶ μὲν ἦσαν αἱ διαφοραὶ, μέτριοι δ᾽ οἱ θυμοὶ, καὶ πρὸς τὸ κοινὸν εὐανάκλητοι συμφέρον· ἡ δὲ φιλοτιμία πάντων ἐπικρατοῦσα τῶν παθῶν, τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς.

Εὐθὺς μὲν οὖν ὁ Κίμων κατελθὼν, ἔλυσε τὸν πόλεμον, καὶ διήλλαξε τὰς πόλεις. γενομένης δ᾽ εἰρήνης, ὁρῶν τοὺς Ἀθηναίους ἡσυχίαν ἄγειν μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς στρατείαις βουλομένους, ἵνα μὴ τοῖς Ἕλλησι διοχλῶσι, μηδὲ περὶ τὰς νήσους ἢ Πελοπόννησον ἀναστρεφόμενοι ναυσὶ πολλαῖς, αἰτίας ἐμφυλίων πολέμων, καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς ἐπισπάσωνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις, ὡς ἐπ᾽ Αἴγυπτον καὶ Κύπρον αὖθις ἐκστρατευσόμενος· ἅμα μὲν ἐμμελετᾶν τοῖς πρὸς τοὺς βαρβάρους ἀγῶσι βουλόμενος τοὺς Ἀθηναίους, ἅμα δ᾽ ὠφελεῖσθαι δικαίως, τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας εἰς τὴν Ἑλλάδα κομίζοντας. ἤδη δὲ παρεσκευασμένων ἁπάντων, καὶ τοῦ στρατοῦ παρὰ ταῖς ναυσὶν ὄντος,

mis Cimonis in manipulo suo receptis, & globo inter se facto, ruerunt in mortem alacriter, magnumque sui desiderium & pœnitentiam populo Atheniensi injusti criminis reliquere. Unde non diu retinuerunt in Cimonem offensam, hinc priorum illius in ipsos beneficiorum haud dubie memores, hinc temporis etiam rationem reputantes. Siquidem quod ingenti prœlio ad Tanagram essent fusi, exspectarentque in æstatem expeditionem in se Peloponnesiorum, Cimonem ab exilio revocarunt. Rediit in patriam ex rogatione Periclis. Adeo civiles erant id temporis dissensiones, adeo moderata ira atque e reipub. usu revocabilis, ambitioque, quæ affectus exsuperat omnes, temporibus patriæ concedebat.

At Cimon simul atque domum est regressus, sustulit bellum, civitatesque in gratiam reduxit. Pace composita, quia Athenienses videbat otii impatientes, & negotia quærentes quæstumque ex bello, ne solicitarent Græciam, neu vagantes magna classe circa insulas & Peloponnesum, causas bellorum intestinorum & socialium querelarum semina consciscerent civitati, complevit naves ducentas tanquam ad invadendam denuo Ægyptum & Cyprum; quo simul pugnando Athenienses cum barbaris exercerent se, & opimi evaderent justa ratione, prædam ab hostibus natura comparatis in Græciam deportantes. Omnibus jam paratis, quum esset exercitus conscensurus, somnium

τος, ὄναρ εἶδεν ὁ Κίμων. ἐδόκει κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτὸν, ἐκ δὲ ὑλακῆς μεμιγμένον ἀφεῖσαν ἀνθρώπου φθόγγον εἰπεῖν,

Στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἐμοῖς σκυλάκεσσιν.

οὕτω δὲ δυσκρίτου τῆς ὄψεως οὔσης, Ἀστύφιλος ὁ Ποσειδωνιάτης, μαντικὸς ἀνὴρ, καὶ συνήθης τῷ Κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν· κύων ἀνθρώπῳ, πρὸς ὃν ὑλακτεῖ, πολέμιος· πολεμίῳ δ᾽ οὐκ ἄν τις μᾶλλον ἢ τελευτήσας φίλος γένοιτο. τὸ δὲ μίγμα τῆς φωνῆς Μῆδον ἀποδηλοῖ τὸν ἐχθρόν. ὁ γὰρ Μήδων στρατηγὸς Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις μέμικται. μετὰ δὲ ταύτην τὴν ὄψιν, αὐτοῦ τῷ Διονύσῳ θύσαντος, ὁ μὲν μάντις ἀπέτεμε τὸ ἱερεῖον, τοῦ δ᾽ αἵματος τὸ πηγνύμενον ἤδη μύρμηκες πολλοὶ λαμβάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν Κίμωνα, καὶ τοῦ ποδὸς περὶ τὸν μέγαν δάκτυλον περιέπλαττον, ἐπὶ πολὺν χρόνον λανθάνοντες. ἅμα δέ πως ὅ, τε Κίμων τῷ γινομένῳ προσέσχε, καὶ παρῆν ὁ θύτης ἐπιδεικνύμενος αὐτῷ τὸν λοβὸν οὐκ ἔχοντα κεφαλήν. ἀλλ᾽, οὐ γὰρ ἦν ἀνάδυσις τῆς στρατείας, ἐξέπλευσε, καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς Αἴγυπτον, ταῖς δ᾽ ἄλλαις πάλιν ἔπλει, καὶ καταναυμαχήσας Φοινισσῶν νεῶν καὶ Κιλισσῶν βασιλικὸν στόλον, ἀνεκτᾶτό τε τὰς ἐν κύκλῳ πόλεις, καὶ τοῖς περὶ Αἴγυπτον ἐφήδρευεν, οὐδὲν μικρὸν, ἀλλ᾽ ὅλης ἐπινοῶν τῆς βασιλέως ἡγεμονίας κατάλυσιν· καὶ μάλιστα ὅτι τοῦ Θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖς βαρβάροις μεγάλην, ὑποδεδεγμένου βασιλεῖ κινοῦντι τὸν Ἑλληνικὸν πόλεμον στρατηγήσειν. Θεμιστοκλῆς μὲν οὖν οὐχ ἥκιστα λέγεται τὰς Ἑλληνικὰς πράξεις

um vidit Cimon hoc: Canis exacerbata visa eum est allatrare, atque ex latratu mistam edens humanam vocem dicere,

I, mihi nam catulisque meis redderis amicus.

Ex hoc tam obscuro viso Astyphilus Posidoniates, vaticinandi peritus, qui erat familiaris Cimonis, docet eum mortem ei hoc viso denuntiari: atque ita explicat, Canis est homini, quem allatrat, hostis: hosti autem nulla ratione potius quam defunctus, amicus efficiaris. Vocis commistio hostem denotat Medum: Medorum enim exercitus ex Græcis est & barbaris mistus. Secundum hanc visionem quum Libero patri sacrificaret, & victimam aruspex prosecuisset, quod sanguinis jam concreverat, id examen formicarum rapuit, paulatimque ad Cimonem detulit, atque ejus pollici pedis circumjecit. Diu hoc non est animadversum. Inde, ut animadvertit Cimon, adiit aruspex eum, & jecur sine capite ostendit. Attamen, qui expedire se nequivit provincia, classem solvit. Naves misit sexaginta in Ægyptum: cum reliquis rursus provectus, afflicta Phœnissarum & Cilissarum navium regia classe, oppida circumcirca subjugavit, & Ægyptiis imminebat, nihil mediocre, verum totius regis imperii agitans convulsionem: præsertim quia Themistoclem acceperat ingenti apud barbaros opinione & autoritate esse, quod regi recepisset, ubi bellum Græcis moveret, ducturum se exercitum. Cæterum Themistoclem ferunt spe abjecta belli Græci, quia

πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑπερβαλόμενος τὴν Κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. Κίμων δὲ μεγάλων ἐπαιρόμενος ἀρχὰς ἀγώνων καὶ περὶ Κύπρον συνέχων τὸ ναυτικὸν, ἔπεμψεν εἰς Ἄμμωνος ἄνδρας ἀπόρρητόν τινα μαντείαν ποιησομένους παρὰ τοῦ Θεοῦ. γινώσκει γὰρ οὐδεὶς ὑπὲρ ὧν ἐπέμφθησαν· οὐδὲ χρησμὸν αὐτοῖς ὁ Θεὸς ἐξήνεγκεν, ἀλλ' ἅμα τῷ προσελθεῖν, ἐκέλευσεν ἀπιέναι τοὺς θεοπρόπους, αὐτὸν γὰρ ἤδη τὸν Κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα. ταῦτα ἀκούσαντες οἱ θεοπρόποι, κατέβαινον ἐπὶ θάλασσαν· γενόμενοι δὲ ἐν τῷ στρατοπέδῳ τῶν Ἑλλήνων, ὃ τότε περὶ Αἴγυπτον ἦν, ἐπύθοντο τεθνάναι τὸν Κίμωνα· καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον ἀνάγοντες, ἔγνωσαν ᾐνιγμένην τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ Θεοῖς ὄντος.

Ἀπέθανε δὲ πολιορκῶν Κίτιον, ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας· ἔνιοι δέ φασιν ἐκ τραύματος, ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν, ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ· καὶ συνέβη, μήτε τῶν πολεμίων, μήτε τῶν συμμάχων αἰσθομένων, ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι, στρατηγουμένους ὑπὸ Κίμωνος, ὥς φησι Φανόδημος, τεθνηκότος ἐφ' ἡμέρας τριάκοντα. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν λαμπρὸν ὑπ' οὐδενὸς ἐπράχθη στρατηγοῦ τῶν Ἑλλήνων, ἀλλὰ τραπέντες ὑπὸ δημαγωγῶν καὶ πολεμοποιῶν ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διαχόντος, συνερράγησαν εἰς τὸν πόλεμον· ἀναπνοὴν μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόρον δ' ἀμύθητον τῆς Ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. ὀψὲ δ' οἱ περὶ τὸν Ἀγησίλαον

εἰς

quia diffidebat Cimonis se fœlicitatem & virtutem superare posse, voluntaria occubuisse morte. Volvens autem Cimon ingentis rudimenta belli, & circa Cyprum tenens classem, legatos ad templum Ammonis misit de re occulta Deum consultum. Nec patet ulli quamobrem missi fuerunt. Neque dedit legatis Deus responsum, verum, simul ut adfuerunt, redire jussit eos: jam enim ipsum Cimonem apud se esse. His auditis, repetierunt legati mare: qui ut venerunt in castra, quæ tunc erant circa Ægyptum, de obitu Cimonis didicere. Supputatis autem ad oraculum diebus, perspexerunt recte significatum Cimonis exitum, quasi jam apud cælites esset.

Decessit in obsidione Citii (ut plerique referunt) ex morbo, alii volunt ex vulnere quod confligens cum barbaris accepit. Moriens monuit suos ut extemplo discederent, & mortem suam tegerent. Contigit autem ut nemine sentiente neque hostium neque sociorum illi reverterentur incolumes ductu auspiciisque Cimonis (ut Phanodemus ait) dies jam triginta defuncti. Ab illius fatis nihil ultra contra barbaros præclari ab Græco duce est ullo editum, sed a concionatoribus & belli facibus in se mutuo versi, quum intercederet nemo, in bellum exarsere, ac laxamentum rebus regis dederunt, exitium vero opum Græciæ invexerunt supra quam dicendo exæquaris grave. Diu post quidem Agesilaus

unius

εἰς τὴν Ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα, βραχὺν ἥψαντο πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ βασιλέως στρατηγούς, καὶ λαμπρὸν οὐδὲν οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς Ἑλληνικαῖς στάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες, ᾤχοντο τοὺς Περσῶν φορολόγους ἐν μέσαις ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀπολιπόντες· ὧν οὐδὲ γραμματοφόρος κατέβαινεν, οὐδ' ἵππος πρὸς θαλάσσῃ τετρακοσίων σταδίων ἐντὸς ὤφθη, στρατηγοῦντος Κίμωνος. ὅτι μὲν οὖν εἰς τὴν Ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ, μαρτυρεῖ τὰ μνημάτια τὰ μέχρι νῦν Κιμώνεια προσαγορευόμενα· τιμῶσι δὲ καὶ Κιτιεῖς τάφον τινὰ Κίμωνος, ὡς Ναυσικράτης ὁ ῥήτωρ φησίν, ἐν λοιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ Θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν Κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. τοιοῦτος μὲν ὁ Ἑλληνικὸς ἡγεμών.

armis in Aſiam promotis, bellum cum ducibus regiis, qui provinciis maritimis præerant, breve libavit; nec re magnifica ulla vel memorabili geſta, Græcorum ſeditionibus & tumultibus abreptus de integro exortis, recepit ſe, in mediiſque ſociorum & amicorum oppidis exactores ſtipendiorum reliquit Perſas: quorum ne tabellarius quidem deſcendit, nec equus citra quinquaginta millia paſſuum a mari conſpectus eſt, duce Cimone. Relata in Atticam fuiſſe oſſa ejus teſtantur monumenta quæ hac quoque ætate Cimonia appellantur. At colunt Citienſes quoque tumulum quendam Cimonis, quod Deus iis (ut Nauſicrates orator tradit) in fame & ſterilitate præcepiſſet, ne deſpicerent Cimonem, ſed tanquam forte majorem humana eum honorarent & venerarentur. Is Græcus dux fuit.

ΛΟΥ-

ΛΟΥΚΟΥΛΛΟΣ.

ΤΩ ΔΕ Λουκούλλῳ πάππος μὲν ἦν ὑπατικός, θεῖος δὲ πρὸς μητρὸς, Μέτελλος ὁ Νομαδικὸς ἐπικληθείς. τῶν δὲ γονέων, ὁ μὲν πατὴρ ἑάλω κλοπῆς, Καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν, ὡς οὐ βεβιωκυῖα σωφρόνως. αὐτὸς δ' ὁ Λούκουλλος, ἔτι μειράκιον ὢν, πρὶν ἀρχήν τινα μετελθεῖν καὶ πολιτείας ἅψασθαι, πρῶτον ἔργον ἐποιήσατο, τὸν τοῦ πατρὸς κατήγορον κρῖναι Σερβίλιον Αὔγουρα, λαβὼν ἀδικοῦντα δημοσίᾳ. καὶ τὸ πρᾶγμα λαμπρὸν ἐφάνη Ῥωμαίοις, καὶ τὴν δίκην ἐκείνην, ὥσπερ ἀριστείαν, διὰ στόματος ἔχον. ἐδόκει δὲ καὶ ἄλλως αὐτοῖς ἄνευ προφάσεως οὐκ ἀγεννὲς εἶναι τὸ τῆς κατηγορίας ἔργον· ἀλλὰ καὶ πάνυ τοὺς νέους ἐβούλοντο τοῖς ἀδικοῦσιν ἐπιφυομένους ὁρᾶν, ὥσπερ θηρίοις εὐγενεῖς σκύλακας. οὐ μὴν ἀλλὰ μεγάλης περὶ τὴν δίκην ἐκείνην φιλονεικίας γενομένης, ὥστε καὶ τρωθῆναί τινας

Lucullus avum habuit conſularem, avunculum Metellum cognomento Numidicum. Ex parentibus ejus pater repetundarum damnatus eſt, mater fuit Cæcilia ob vitam probroſam infamis. Ipſe Lucullus admodum juvenis, priuſquam ad petitionem honorum deſcendiſſet, aut rempub. attigiſſet, rudimenta in poſtulando peculatus accuſatore patris ſui poſuit, Servilio augure. Ea viſa res eſt populo Romano magnifica, eamque cauſam ut ingens decus in ore habuit. Et quidem videbatur alioqui vel non ſuppetente cauſa res non pudenda accuſatio, ſed delectabantur juvenibus improbos ut generoſis canibus feras conſectantibus. Atqui ingenti exorta in eo judicio contentione uſque ad aliquorum vul-

νας καὶ πεσεῖν, ἀπέφυγεν ὁ Σερουΐλιος. ὁ δὲ Λούκουλλος ἤσκητο καὶ λέγειν ἱκανῶς ἑκατέραν γλῶτταν· ὥστε καὶ Σύλλας τὰς αὐτοῦ πράξεις ἀναγράφων, ἐκείνῳ προσεφώνησεν ὡς συνταξομένῳ καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον. ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος, καθάπερ ὁ τῶν ἄλλων τὴν μὲν ἀγορὰν

Θύννος βολαῖος πέλαγος ὡς διεσπάρει·

γενόμενος δὲ τῆς ἀγορᾶς ἐκτὸς,

Αὖος ἀμουσίᾳ τεθνηκώς·

ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῷ καλῷ προσεποιεῖτο παιδείαν, ἔτι καὶ μειράκιον ὤν. γενόμενος δὲ πρεσβύτερος, ἤδη παντάπασιν, ὥσπερ ἐκ τῶν πολλῶν ἀγώνων, ἀφῆκε τὴν διάνοιαν ἐν φιλοσοφίᾳ σχολάζειν καὶ ἀναπαύεσθαι, τὸ θεωρητικὸν αὐτῆς ἐγείρας· καταλύσας δ' ἐν καιρῷ καὶ κολούσας τὸ φιλότιμον ἐκ τῆς πρὸς Πομπήϊον διαφορᾶς. περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον, καὶ Σισενναν τὸν ἱστορικὸν, ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ, τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐκτενεῖν πόλεμον. καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι. διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου. τῆς δὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ Μάρκον εὐνοίας πολλῶν τεκμηρίων ὄντων, μάλιστα Ῥωμαῖοι τοῦ πρώ-

vulnera & cædes, Servilius est liberatus. Lucullus autem eloquens valde fuit atque utraque lingua exercitatus. Itaque rerum suarum gestarum commentarios ab se scriptos Lucullo dedicavit Sylla, tanquam ad concinnandam & digerendam historiam magis esset idoneus. Fuit enim ejus non ad usum modo accurata & prompta oratio, ut, sicut aliorum, forum,

Ut thunnus exagitaret impetu salum:

ubi vero ex foro discessisset, esset,

Exsucca inelegantiaque emortua:

verum etiam honestas hasce atque ingenuas, quas vocant, literas paraverat etiamnum adolescens earum pulchritudine ductus. Ætate vero jam provectiore mentem ex multis certaminibus laxatam ad otium & quietem detulit philosophiæ, eamque ad rerum cognitionem excitavit, inhibens in tempore & constringens ex concertatione cum Pompeio ambitionem. De illius eruditione præter cætera hoc commemoratur: Apud Hortensium causidicum & Sisennam historiographum quum ex joco in serium juvenis adhuc esset delapsus, professus est proposito carmine & oratione soluta Græca pariter & Latina, utram earum dictionum sors dedisset, ea bellum Marsicum se conscripturum; atque obtigisse sorte videtur ei oratio Græca: extat enim belli Marsici Græce composita historia. Hujus in Marcum fratrem amoris quum multa sint vestigia, Romani præcipue comme-

πρώτου μνημονεύουσι. πρεσβύτερος γὰρ ὢν αὐτοῦ, λαβεῖν ἀρχὴν μόνος οὐκ ἠθέλησεν, ἀλλὰ τὸν ἐκείνου καιρὸν ἀναμείνας, οὕτως ὑπηγάγετο τὸν δῆμον, ὥστε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι.

Νέος δ' ὢν ἐν τῷ Μαρσικῷ πολέμῳ, πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως. μᾶλλον γε μὴν αὐτὸν δι' εὐστάθειαν καὶ πρᾳότητα Σύλλας προσηγάγετο, καὶ χρώμενος ἀπ' ἀρχῆς ἐπὶ τὰ πλείστης ἄξια σπουδῆς διετέλεσεν· ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. δι' ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖστον ἐν Πελοποννήσῳ, περὶ τὸν Μιθριδατικὸν πόλεμον, καὶ Λουκούλλειον ἀπ' ἐκείνου προσηγορεύθη, καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν στρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. ἐκ τούτου τῆς μὲν γῆς ἐπικρατῶν ὁ Σύλλας ἐν ταῖς Ἀθήναις, περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ' Αἰγύπτου καὶ Λιβύης τὸν Λούκουλλον, ἄξοντα ναῦς ἐκεῖθεν. ἦν μὲν οὖν ἀκμὴ χειμῶνος· ἐξέπλευσε δὲ, τρισὶν Ἑλληνικαῖς μυοπάρωσι, καὶ δικρότοις ἴσαις Ῥοδιακαῖς, πρὸς μέγα πέλαγος, καὶ ναῦς πολεμίας πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας παραβαλλόμενος. οὐ μὴν ἀλλὰ καὶ Κρήτην κατάρας ᾠκειώσατο, καὶ Κυρηναίους καταλαβὼν ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους, ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, Πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. δεομένων γὰρ, ὡς ἔοικεν, ὅπως τοὺς νόμους γράψῃ, καὶ τὸν δῆμον αὐτὸν εἰς τύπον τινὰ καταστήσῃ πολιτείας σώφρονος, ἔφη χαλεπὸν εἶναι Κυρηναίοις οὕτως

memorant primum. Nam quum natu major esset illo, solus capere honores noluit, verum illius exspectatis temporibus, ita sibi conciliavit populum, ut ædilis una cum illo absens designaretur.

Bello Marsico audacia ejus juvenis pariter & prudentia eluxit, constantiæ causa potius tamen & mansuetudinis comprehendit eum Sylla amicitia, ejusque opera maximis quibusque in rebus perpetuo usus est, in quibus fuit monetæ negotium: siquidem bello Mithridatico pleraque in Peloponneso per eum signata est, a quo Lucullia est dicta, diuque duravit in bello, ex usu militari cito permutata. Hinc Sylla Athenis terra victor, quod pollentibus classe hostibus commeatu circumcideretur mari, misit Lucullum in Ægyptum & Africam ad classem illinc contrahendam. Media hyeme solvit, tribusque Græcis myoparonibus & dicrotis totidem Rhodiis in tantum periculum se demisit vasti pelagi ac navium hostilium, quæ, quod mari potirentur, passim vagabantur frequentes. Attamen in Cretam decurrit eamque adjunxit. Cyrenæos quum offendisset continenter a tyrannis & bello exagitatos, recreavit eos & rempubl. eorum constituit, vocem Platonis, quam fuerat ipsis vaticinatus, refricans apud civitatem. Quum enim illum scilicet rogassent ut leges ipsis scriberet, populumque ipsum ad formam aliquam ordinaret bonam moderandæ reipublicæ, arduum dixit esse adeo for-

οὕτως εὐτυχοῦσι νομοθετεῖν. οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον εὖ πράσσειν δοκοῦντος· οὐδ᾽ αὖ πάλιν δεκτικώτερον ἐπιστασίας, συσταλέντος ὑπὸ τῆς τύχης. ὃ καὶ τότε Κυρηναίοις νομοθετοῦντι Λευκόλλῳ πρᾴους παρέσχεν. ἐκεῖθεν δ᾽ ἀναχθεὶς ἐπ᾽ Αἰγύπτου, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων· αὐτὸς δὲ διασωθεὶς, κατήγετο λαμπρῶς εἰς Ἀλεξάνδρειαν. ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς· καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν, οἴκησίν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. δαπάνην δὲ καὶ σύνταξιν οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, ὁ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδὲν, οὐδὲ δῶρον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. λέγεται δὲ μήτ᾽ εἰς Μέμφιν ἀναβῆναι, μήτ᾽ ἄλλο τῶν θαυμαζομένων ἐν Αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι· σχολάζοντος γὰρ εἶναι ταῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ ὡς αὐτὸς, ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντα παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος.

Ἐπεὶ δ᾽ ἀπέλιπε τὴν συμμαχίαν ὁ Πτολεμαῖος, πρὸς τὸν πόλεμον ἀποδειλιάσας, ἐκείνῳ δὲ ναῦς ἄχρι Κύπρου πομποὺς παρέσχε, καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων, ἐδωρεῖτο χρυσένδετον σμάραγδον τῶν πολυτελῶν, τὸ μὲν πρῶτον ὁ Λούκουλλος παρῃτεῖτο· δείξαντος δὲ τὴν γλυφὴν τοῦ βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι, μὴ παν-

τά-

fortunatis leges ferre Cyrenæis. Nihil est enim homine rebus elato secundis regi difficilius, neque parentius imperio rebus adversis dejecto: quod quidem Cyrenæos tunc ferenti leges Lucullo tractabiles præbuit. Dum illinc cursum in Ægyptum dirigit, amittit piratarum incursu omnia fere navigia. Incolumis ipse tamen Alexandriam magno cum honore est delatus, siquidem classis ei universa, ut eo decurrenti solet regi, eximie exornata, processit obviam, eumque adolescens Ptolemæus mirifica humanitate excepit: &, quod duci extraneo ante eum delatum fuerat nemini, diversorium & cœnationem ei in regia dedit. Impensarum vero & sumptus non quantum exteris, sed quadruplum tantum illi præbuit. Neque is tamen præter necessaria admisit quicquam, nec donum, licet missa fuerint quæ valerent octoginta talentis, cepit. Dicitur autem neque Memphim adiisse, neque quicquam ex celebratis Ægypti miraculis visisse; quod feriantis hæc spectatoris & delicati essent, non, sicut ipse, qui sub dio tendentem juxta hostium præsidia reliquisset imperatorem.

Ut vero belli terrore Ptolemæus societatem repudiavit, naves autem quæ prosequerentur cum in Cyprum attribuit, & conscensuro salutandi colendique causa pretiosum smaragdum auro illigatum dedit, primum recusavit Lucullus donum: cæterum ubi insculptam imaginem suam monstravit rex, veritus est rejicere, ne, si discedere

ini-

τάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς, ἐπιβουλευθείη κατὰ θάλατταν. ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσαι πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν Κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἐνεώλκησε τὰ σκάφη πάντα, καὶ ταῖς πόλεσιν ἔγραψε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. εἶτα πλοῦ φανέντος, ἐξαπίνης καταςπάσας τὰς ναῦς ἀνήχθη, καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱστίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπηρμένοις, εἰς Ῥόδον ἐσώθη. Ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, Κῴους ἔπεισε καὶ Κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας ἐπὶ Σαμίους συστρατεύειν. ἐκ δὲ Χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, Κολοφωνίους δ' ἠλευθέρωσε, συλλαβὼν Ἐπίγονον τὸν τύραννον αὐτῶν. ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη Μιθριδάτης τὸ Πέργαμον ἐκλελοιπὼς, καὶ συνεσταλμένος εἰς Πιτάνην. ἐκεῖ δὲ Φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν, συνήγαγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν στόλους πρὸς αὐτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ Φιμβρίᾳ συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. ὁ δὲ, ταῦτα συνορῶν, ναυτικῷ δὲ λειπόμενος, πρὸς Λούκουλλον ἔπεμπεν, ἥκειν τῷ στόλῳ δεόμενος, καὶ συνεξελεῖν ἔχθιστον καὶ πολεμιώτατον βασιλέων· ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον ἐκφύγῃ Ῥωμαίους Μιθριδάτης, εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων· οὗ ληφθέντος, οὐδένα τῆς δόξης οἴσεσθαι πλέον ἢ τὸν ἐμποδὼν τῇ φυγῇ στάντα, καὶ διαδιδράσκοντος ἐπιλαβόμενον· ὑφ' ἑαυ-

inimico animo existimaretur, insidiæ sibi mari pararentur. Cum navium manu, quam in prætervehendo fecit ex oppidis maritimis, repudiatis quæ sceleribus contactæ prædatoriis erant, in Cyprum trajecit. Nuntiato autem hostes sub promontoriis stare & ipsum captare, subduxit classem omnem, civitatibusque de hybernis scripsit & annona, quasi illic ver exspectaturus. Inde aspirante aura, navibus repente deductis, vela fecit. Interdiu velis subductis & contractis navigans, noctu in altum datis, Rhodum applicuit sospes. Navibus additis Rhodiis, Coos & Cnidios induxit ut a regiis ducibus defectione facta, ferrent secum arma in Samios. Chio regios solus exegit: Colophonios, comprehenso eorum tyranno Epigono, asseruit in libertatem. Eadem forte tempestate deserto Mithridates Pergamo, Pitanæ incluserat se. Ibi premente eum ex terra & circumsedente Fimbria, mare respiciens, omnes undique contraxit & accersivit ad se classes, quod cum acri viro & victore signa conferre & bellare Fimbria dubitaret. Quod advertens ille, quia classe deficiebatur, misit ad Lucullum oratum, classem ut adduceret, ac sibi præsto esset ad infestissimum populo Romano atque atrocissimum omnium regum capiendum; ne ingens & multis petitum certaminibus laboribusque decus Romanis elaberetur Mithridates, qui in manibus sit & plagis circumjectus: quo comprehenso neminem gloriam majorem laturum quam illum, qui interclusisset ei fugam, & profugienti manus injecisset. Ab se terra expul-

ἑαυτοῦ μὲν ἐξεωσμένον τῆς γῆς, ὑπ᾽ ἐκείνου δὲ τῆς θαλάττης εἰργόμενον, ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα· τὰς δὲ Σύλλα πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν ὑμνουμένας ἀριστείας ἐν οὐδενὶ λόγῳ θήσεσθαι Ῥωμαίους. καὶ οὐδὲν ἦν ἀπὸ τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον ὡς εἰ Φιμβρίᾳ τότε πειθεὶς ὁ Λούκουλλος, οὐ μακρὰν ὤν, περιήγαγεν ἐκεῖσε τὰς ναῦς, καὶ συνέφραξε τὸν λιμένα τῷ στόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος, καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. ἀλλ᾽ εἴτε τὰ πρὸς Σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου τε καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν Φιμβρίαν μιαρὸν ὄντα, καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στρατηγοῦ διὰ φιλαρχίαν, προβαλλόμενος, εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτοῦ Μιθριδάτου, καὶ φυλάξας ἀνταγωνιστὴν, οὐχ ὑπήκουσεν. ἀλλὰ Μιθριδάτην μὲν ἐκπλεῦσαι παρέσχε, καὶ καταγελάσαι τῆς Φιμβρίου δυνάμεως· αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ Λεκτοῦ τῆς Τρῳάδος βασιλικὰς ναῦς ἐπιφανείσας κατεναυμάχησεν· αὖθις δὲ πρὸς Τενέδῳ ναυλοχοῦντα μείζονι παρασκευῇ κατιδὼν Νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων, Ῥοδιακῆς πεντήρους ἐπιβεβηκὼς, ἧς ἐναυάρχει Δημαγόρας, ἀνὴρ εὔνους τε Ῥωμαίοις καὶ θαλασσίων ἀγώνων ἐμπειρότατος. ἐπελαύνοντος δὲ ῥοθίῳ τοῦ Νεοπτολέμου, καὶ κελεύσαντος εἰς ἐμβολὴν ἀγαγεῖν τὸν κυβερνήτην, δείσας ὁ Δημαγόρας τὸ βάρος τῆς βασιλικῆς, καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρῳρος, ἀλλ᾽ ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας, ἐκέλευσεν ἐπὶ πρύμναν ὤσασθαι· καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσ-

πε-

pulſum, mari prohibitum ab ipſo, ambobus præbiturum palmam. Illa vero ad Orchomenum & Chæroneam Syllæ decantata geſta in nullo loco Romanos numeraturos. Neque erat ejus abſurda oratio, ſed omnibus liquebat, ſi Fimbriam id temporis audiviſſet Lucullus, &, qui non procul aberat, naves illuc flexiſſet, portumque obſepſiſſet claſſe, debellatum plane fuiſſe, atque omnes infinitis malis exſolutos. Sed, ſive quod omnibus tam privatis quam publicis rationibus ſuam præferret cum Sylla neceſſitudinem, ſive nefarium hominem, qui amicum nuper & imperatorem interfecerat ex ambitione, execraretur, ſive divina utique ſorte aliqua Mithridatem ſibi repoſuerit & reſervaverit adverſarium, non auſcultavit ei, Mithridatique copiam fecit mari elabendi & Fimbriæ deludendi exercitum. Ipſe vero ſolus primum circa Lectum Troadis regiam claſſem ſubito oblatam profligavit. Iterum ad Tenedum appetentem ſe majore apparatu percipiens Neoptolemum, provectus eſt ante aciem quinqueremi Rhodia, quam conſcendit, cujus erat Demagoras navarchus, vir cum Romanorum ſtudioſus, tum prœliorum navalium ſcientiſſimus. Incurrente autem magno impetu Neoptolemo, imperanteque gubernatori dirigere proram in hoſtem, veritus molem Demagoras navis regiæ & roſtri ærei vim, non ſuſtinuit fronte concurrere, ſed navem propere circumactam detorquens inhiberi juſſit, atque ita depreſſa nave ictum excepit minime noxium, quod eſſet partibus mari tectis

il-

πεσοῦσαν. ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ Λούκουλλος ἐπιστρέφειν, καὶ πολλὰ δράσας ἄξια λόγου, τρέπεται τοὺς πολεμίους, καὶ καταδιώκει τὸν Νεοπτόλεμον.

Ἐκεῖθεν δὲ Σύλλᾳ περὶ Χερρόνησον ἤδη μέλλοντι διαβαίνειν συμβαλὼν, τόν τε πόρον ἀσφαλῆ παρεῖχε, καὶ τὴν στρατιὰν συνδιεβίβαζεν. ἐπεὶ δὲ συνθηκῶν γενομένων, Μιθριδάτης μὲν ἀπέπλευσεν εἰς τὸν Εὔξεινον πόντον, Σύλλας δὲ τὴν Ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθεὶς αὐτῷ τά τε χρήματα ταῦτα πρᾶξαι, καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς Σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν, οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾶον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. Μιτυληναίους δ᾿ ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν μετρίας, ἐφ᾿ οἷς περὶ Μάριον ἐξήμαρτον· ὡς δ᾿ ἑώρα κακοδαιμονοῦντας, ἐπιπλεύσας, ἐκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη, καὶ πολιορκίαν συστησάμενος, ἐξέπλευσε μὲν καὶ φανερῶς ἡμέρας εἰς Ἐλαίαν, ὑπέστρεψε δὲ λεληθότως, καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδρας ἡσύχαζεν. ἐπεὶ δὲ ἀτάκτως καὶ μετὰ θράσους ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον οἱ Μιτυληναῖοι προσῆλθον, ἐπεισπεσὼν αὐτοῖς, ἔλαβέ τε παμπόλλους ζῶντας, καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν· ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἠλάσατο λείαν. τῶν δὲ περὶ τὴν Ἰταλίαν κακῶν, ἃ τότε Σύλλας καὶ Μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώποις παρεῖχον, οὐ πάνυ μετέσχε, θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν Ἀσίᾳ πράξεις βραδύνας. οὐ

μὴν

illisus. Interea sociis advehentibus imperat navem flecti Lucullus. Ibi multis editis virtutis operibus avertit hostes, ac Neoptolemum consectatur.

Inde Syllæ transmissuro in Chersoneso conjungens se transitum tutum præbuit, atque in transportando exercitu juvit. Ut Mithridates pace pacta recepit se in pontum Euxinum, Sylla autem Asiæ viginti millia talentorum mulctam indixit, injuncto Lucullo munere hujus pecuniæ exigendæ & signandæ monetæ, allevatio quædam Syllæ acerbitatis videtur fuisse civitatibus oblata, quod non modo innocentem & justum se, sed lenem etiam in tam gravi & tristi præstaret provincia. Mitylenæos quidem, qui aperte desciverant, cupiebat reducere ad culpam agnoscendam & pœnam moderatam ob admissa, quod sequuti fuissent Marium, pendendam: quos ut insanire vidit, classe eos adortus est, fudit, atque intra muros redegit. Dum oppidum obsidet, navigavit propalam die versus Eleam: verum tecte regressus, collocatis prope urbem insidiis quievit. Ubi Mitylenæi incomposite & ferociter sicut vacua castra oppressuri erupere, subito in eos coortus cepit ingentem numerum. Interfecit ex iis qui pedem secum contulerunt, quingentos: servitia sex millia & immensam aliam prædam avertit. At cladibus, quas Sylla & Marius inflixerunt in Italia mortalibus multas & varias, nequaquam fuit implicatus, quod divina quadam sorte in negotiis Asianis moraretur. Nemini est

tamen

μὴν ἔλαττόν τι παρὰ Σύλλα τῶν ἄλλων φίλων ἔσχεν, ἀλλὰ τήν τε γραφὴν, ὡς εἴρηται, τῶν ὑπομνημάτων ἐκείνῳ δι' εὔνοιαν ἀνέθηκε, καὶ τελευτῶν, ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς Πομπήϊον. καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας, νέοις οὖσι καὶ διαπύροις πρὸς δόξαν.

Ὀλίγῳ δ' ὕστερον ἢ Σύλλαν ἀποθανεῖν, ὑπάτευσε μετὰ Μάρκου Κόττα, περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. πολλῶν οὖν αὖθις ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον, ἔφη Μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ Λούκουλλος τὴν ἐντὸς Ἄλπεων Γαλατίαν, ἤχθετο, πράξεων ὑποθέσεις μεγάλων οὐκ ἐχουσαν. μάλιστα δ' αὐτὸν εὐδοκιμῶν Πομπήϊος ἐν Ἰβηρείᾳ παρώξυνεν, ὡς ἄλλος οὐδεὶς, ἐπίδοξος ὤν, εἰ συμβαίη παύσασθαι τὸν Ἰβηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ Μιθριδάτην. δι' ὃ καὶ χρήματα αἰτοῦντος αὐτοῦ, καὶ γράφοντος ὡς εἰ μὴ πέμποιεν, ἀφεὶς Ἰβηρείαν καὶ Σερτώριον, εἰς Ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ Λούκουλλος προθυμότατα πεμφθῆναι τὰ χρήματα, καὶ μηδ' ἀφ' ἡστινοσοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν, ὑπατεύοντος αὐτοῦ· πάντα γὰρ ἂν ὑπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως, παρόντι μετὰ τοσαύτης στρατιᾶς. καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας, τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν, Κέθηγος, ἔχθραν τινὰ πρὸς Λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον, αἰσχρῶν ἐρώτων καὶ ὕβρεως καὶ πλημμελείας μεστὸν ὄντα. τοῦτον μὲν οὖν ἄντικρυς ἐπολέμει· Λεύκιον δὲ Κόϊντον ἄλλον

tamen ab Sylla aliorum amicorum posthabitus: sed & lucubrationem illi commentariorum suorum ex benevolentia nuncupavit, moriensque, præterito Pompeio, tutorem filio scripsit. Atque hinc manasse inter eos juvenes & gloriæ cupiditate flagrantes fons primus videtur simultatis & æmulationis.

Brevi sub excessum Syllæ consul cum M. Cotta fuit, Olympiade supra centesimam sexta & septuagesima. Eo tempore multis bellum Mithridaticum exagitantibus, M. Cotta id non quievisse, sed interquievisse dixit. Quapropter fuit Lucullo molestum quod ei Gallia Cisalpina provincia sorte obtigisset, quæ materiam non habebat rerum magnarum. Præcipue vero gloria cum Pompeii ex rebus in Hispania gestis, ut nullius alterius, stimulabat: qui omnium opinione, si patratum bellum Hispanicum esset, dux designabatur contra Mithridatem. Quare quum stipendium postularet, & ni mitteretur, relictis Hispania & Sertorio, deportaturum se in Italiam scriberet legiones: præsto ei fuit promptissime Lucullus, ut pecunia mitteretur, & ne ulla occasione in suo consulatu ille reverteretur. Totam enim rempub. in manu ejus, si cum tanto adesset exercitu, existimabat fore. Nam ei, qui omnia in civitate id temporis poterat, quod nihil non diceret & faceret populariter, Cethego, simultas intercedebat cum Lucullo, qui illius detestabatur vitam, infamibus amoribus lustrisque atque omni improbitate delibutam. Atque cum hoc quidem propalam inimicitias gerebat. L. Quintium vero alium con-

λον δημαγωγὸν ἐπανιστάντα τοῖς Σύλλα πολιτεύμασι, καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεστῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος, καὶ δημοσίᾳ νουθετῶν, ἀπέστησε τῆς πείρας, καὶ κατεστόρεσε τὴν φιλοτιμίαν, ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ σωτηρίως ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος.

Ἐν τούτῳ δ' ὁ τὴν Κιλικίαν ἔχων Ὀκτάβιος ἠγγέλθη τεθνηκώς. σπαργώντων δὲ πολλῶν ἐπὶ τὴν ἐπαρχίαν, καὶ Κέθηγον ὡς δυνατώτατον ὄντα διαπράξασθαι θεραπευόντων, αὐτῆς μὲν ὁ Λούκουλλος Κιλικίας οὐ πολὺν εἶχε λόγον, οἰόμενος δ', εἰ λάβοι ταύτην, ἐγγὺς οὔσης Καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα Μιθριδάτῃ, πᾶσαν ἔστρεφε μηχανὴν ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. καὶ τελευτῶν ἔργον οὐ σεμνὸν οὐδ' ἐπαινετὸν, ἄλλως δ' ἀνύσιμον πρὸς τὸ τέλος ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. Πραικία τις ἦν ὄνομα, τῶν ἐφ' ὥρᾳ καὶ λαμυρίᾳ διαβοήτων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀναιδοῦς ἑταιρούσης γυναικός· ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας, προσλαβοῦσα τῇ λοιπῇ χάριτι τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. ὡς δὲ Κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο, καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις. οὐδὲ γὰρ ἐπράττετό τι δημοσίᾳ, Κεθήγου μὴ σπουδάζοντος, οὐδὲ Πραικίας μὴ κελευούσης παρὰ Κεθήγῳ. ταύτην

concionatorem, qui acta Syllæ vellicabat, & turbare moliebatur civitatis otium, hinc privatim mulcendo, hinc publice monendo a cœptis deduxit, & ambitionem ejus reflexit. Ita magni ſemina morbi tractavit quam prudentiſſime & ſaluberrime.

Medio temporis Octavii, qui obtinebat Ciliciam, mors adfertur. Gliſcentibus compluribus ejus provinciæ cupiditate, & Cethegum, ut qui eam conficere cui vellet poſſet, aſſectantibus, ipſius quidem Ciliciæ Lucullus non magnam ducebat rationem: verum quod exiſtimaret, ſi eam eſſet aſſequutus, quia adhærebat ei Cappadocia, neminem alium ad bellum cum Mithridate gerendum miſſum iri, omnem lapidem movit ne ad alium devolveretur hæc provincia. Factum denique ſubiro nec honeſtum nec commendandum, expediens tamen ad votum conſequendum, neceſſitate impulſus ſuſtinuit præter ingenium ſuum. Mulier quædam Præcia nomine erat, forma & facetiis in urbe nobilis, impudenti ſcorto cætera nihilo melior: verum quod uteretur iis qui cum ipſa conſuetudinem & rationes habebant, ad amicorum voluntates & negotia exequenda, cum reliqua gratia hanc comparavit exiſtimationem, ut amicorum ſtudioſa & negotioſa haberetur: unde plurimum polluit. Ad quam, ut ea florentem autoritate tunc & in civitate dominantem pellexit Cethegum, atque cum eo vivebat amante, opes reipub. ſemel omnes recidere. Nihil enim gerebatur publice niſi interveniente Cethego, nec niſi ex Præciæ apud Cethegum authoritate. In ejus

τὴν οὖν ὑπελθὼν δώροις ὁ Λούκουλλος καὶ κολακείαις, (ἦν δέ που καὶ τῷ Λουκούλλῳ συμφιλοτιμουμένην ὁρᾶσθαι, μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθὸς) εὐθὺς εἶχε τὸν Κέθηγον ἐπαινέτην, καὶ προμνώμενον αὐτῷ Κιλικίαν. ἐπεὶ δ' ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι Πραικίαν οὐδὲ Κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῳ φέροντες ἐνεχείρισαν τὸν Μιθριδατικὸν πόλεμον, ὡς ὑφ' ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον· Πομπηΐου μὲν ἔτι Σερτωρίῳ προσπολεμοῦντος, Μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας, οὓς μόνους ἄν τις ἐναμίλλους ἐποιήσατο Λουκούλλου περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. οὐ μὴν ἀλλὰ Κόττας ὁ συνάρχων αὐτοῦ, πολλὰ λιπαρήσας τὴν σύγκλητον, ἀπεστάλη μετὰ νεῶν τὴν Προποντίδα φυλάξων, καὶ προπολεμήσων Βιθυνίας.

Λούκουλλος δὲ τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ, διέβαινεν εἰς τὴν Ἀσίαν· ἐκεῖ δὲ τὴν ἄλλην παρέλαβε δύναμιν, πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις, τῶν δὲ Φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. οὗτοι γὰρ ἦσαν οἱ Φλάκκον τε μετὰ Φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες, αὐτόν τε Φιμβρίαν Σύλλᾳ προδεδωκότες, αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ καὶ τούτων τὸ θράσος ὁ Λούκουλλος ἐξέκοψε, καὶ τοὺς ἄλλους ἐπέστρεψε, τότε πρῶτον, ὡς ἔοικε, πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος· ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐρεθιζόμενοι στρατεύεσθαι. τὰ δὲ τῶν πολε-

ejus ergo gratiam ut donis se Lucullus & blandimentis insinuavit, (& erat commendatricem videri Luculli in illius petitione, magnifica mulieri fastuosæ & pomposæ merces) illico Cethegum habuit laudatorem, ambientemque ei Ciliciam. Quam ubi semel est assequutus, nihil jam Præciam vel Cethegum opus fuit adhibere patronum, sed omnes ei pariter bellum Mithridaticum decreverunt: quod perpetrari illud ab alio nemine posset rectius, Pompeio cum Sertorio adhuc colluctante, & fatiscente ob senium Metello, quos solos faceres de illa provincia justos Lucullo competitores. Cotta tamen, ejus collega, multis precibus ab senatu obtinuit, ut cum classe ad Propontidem tuendam & Bithyniam protegendam mitteretur.

Igitur Lucullus conscripta in Italia legione trajecit cum ea in Asiam, ubi alias copias accepit, quæ in universum jamdudum deliciis atque avaritia erant corruptæ. Inter quas illæ quæ Fimbrianæ dicebantur, quod assuevissent sine imperio agere, intractabiliores erant. Hæ fuerunt quæ consulem & ducem Flaccum autore Fimbria interemerant, & ipsum Fimbriam prodiderant Syllæ, procaces homines atque improbi, sed bellicosi, laborumque militarium periti & tolerantes. Veruntamen brevi spatio Lucullus & horum præcidit ferociam, & alios correxit: qui tum primum (uti videtur) justum imperatorem & ducem senserunt, quum blandimentis ante & pro ipsorum libitu fuissent ad bellum invitati. Apud hostes vero ad hunc mo-

πολεμίων οὕτως εἶχεν. Μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιστῶν, κομπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ Ῥωμαίους ἀναστὰς διακένῳ δυνάμει, λαμπρᾷ δὲ καὶ πανηγυρικῇ τὴν ὄψιν· εἶτ' ἐκπεσὼν καταγελάστως, καὶ νουθετηθείς, ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέστελλε τὰς δυνάμεις παρασκευήν. ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων, ὅπλων τε διαχρύσων καὶ διαλίθων κατασκευάς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκήν τινα τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἤλαυνε τὰ Ῥωμαϊκά, καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο, καὶ γεγυμνασμένους μᾶλλον ἢ κεκοσμημένους ἤθροιζεν ἵππους, πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων εἰς φάλαγγα Ῥωμαϊκήν, ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους, ἄνευ τῶν δρεπανηφόρων τεθρίππων, ταῦτα δ' ἦν ἑκατόν· ἔτι δὲ ναῦς οὐ χρυσοφόροις σκηνίσιν, οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας, ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας παρηρτισάμενος, ἐνέβαλεν εἰς Βιθυνίαν, τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων, οὐ μόνον τούτων, ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν, ἀφόρητα πάσχουσαν ὑπὸ Ῥωμαϊκῶν δανειστῶν καὶ τελωνῶν· οὓς ὕστερον μέν, ὥσπερ ἁρπυίας τὴν τροφὴν ἁρπάζοντας αὐτῶν ὁ Λούκουλλος ἐξήλασε, τότε δὲ μετριωτέρους ἐπειρᾶτο νουθετῶν ποιεῖν, καὶ τὰς ἀποστάσεις κατέπαυε τῶν δήμων, οὐδενός, ὡς ἔπος εἰπεῖν, ἡσυχάζοντος.

Ὃν δὲ περὶ ταῦτα Λούκουλλος ἠσχολεῖτο χρόνον, αὐτοῦ καιρὸν εἶναι νομίζων

modum res se habebant: Mithridates, qui, ut plerique sophistæ, inflatus primo & evanidis ostentabundus viribus, splendidis tamen in specie & pomposis adortus fuerat Romanos: inde cum risu explosus & correctus, quum esset iterum arma moturus, copias ad verum & rebus gerendis proprium apparatum contraxit. Detraxit enim variam multitudinem, dissonorum minas barbarorum, armorum inauratorum & gemmis distinctorum instrumentum: quod victoribus id prædæ esset, non adderet tenentibus nervos. Pro his gladios fabricavit more Romano, scuta solida compegit, atque exercitatorum habuit magis quam comptorum equorum delectum, peditum centum viginti millium ad Romanos ordines instructorum, equitum sedecim millium præter currus falcatos, qui centum erant. Ad hæc naves non deauratis tabernaculis, nec balneis pellicum, & gynæciis delicatis adornatas, sed armis, sed telis, sed stipendio comparavit refertas, atque ita impetum in Bithyniam fecit. Civitates autem iterum receperunt eum lubentes, non hæ solum, sed Asia etiam tota, quam recidivi priores morbi invaserant, quod intolerandis malis oppressa a fœneratoribus & publicanis Romanis esset. Quos Lucullus post, ut harpyias alimenta eorum rapientes, abegit: tunc vero enitebatur castigando eos moderatiores efficere, defectionesque disjiciebat populorum, quum nemo prope dixerim quiesceret.

Dum hic distringitur Lucullus, suam occasionem

μείζων ὁ Κόττας, παρεσκευάζετο μάχεσθαι πρὸς Μιθριδάτην. καὶ πολλῶν ἀπαγγελλόντων ἤδη Λούκουλλον ἐν Φρυγίᾳ στρατοπεδεύειν προσιόντα, μόνον οὐκ ἐν ταῖς χερσὶν ἔχειν τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβοι Λούκουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. πληγεὶς δ᾽ ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἑξήκοντα μὲν ἀπώλεσεν αὐτάνδρα σκάφη, πεζοὺς δὲ τετρακισχιλίους· αὐτὸς δὲ κατακλεισθεὶς εἰς Χαλκηδόνα καὶ πολιορκούμενος, εἰς τὰς Λουκούλλου χεῖρας ἀπέβλεπεν. ἦσαν μὲν οὖν οἱ τὸν Λούκουλλον ἀμελήσαντα Κόττα, πρόσω χωρεῖν παρορμῶντες, ὡς ἔρημον αἱρήσοντα τὴν Μιθριδάτου βασιλείαν. καὶ μάλιστα τῶν στρατιωτῶν οὗτος ἦν ὁ λόγος, ἀγανακτούντων εἰ μὴ μόνον αὐτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ Κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔσται νικᾷν ἀμαχεὶ δυναμένοις. Λούκουλλος δὲ πρὸς μὲν τούτους δημηγορῶν εἶπεν, ὡς ἕνα βούλοιτ᾽ ἂν ἐκ πολεμίων σῶσαι Ῥωμαῖον, ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. Ἀρχελάου δὲ τοῦ περὶ Βοιωτίαν Μιθριδάτῃ στρατηγήσαντος, εἶτ᾽ ἀποστάντος καὶ Ῥωμαίοις συστρατευόντος, διαβεβαιουμένου ὀφθέντα Λούκουλλον ἐν Πόντῳ πάντων ὁμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. καὶ ταῦτ᾽ εἰπὼν, ἐπὶ Μιθριδάτην προῆγε, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους πεντακοσίους. καταστὰς δ᾽ εἰς ἔποψιν τῶν πολεμίων, καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης, καὶ τρίβειν τὸν χρόνον· Μαρίου δ᾽, ὃν Σερτώριος ἐξ Ἰβηρίας ἀπεστάλκει Μιθριδάτῃ μετὰ δυνάμεως στρατηγὸν, ἀπαντήσαντος αὐτῷ καὶ προκαλουμένου,

ſionem Cotta ratus, confligere inſtitit cum Mithridate. Multis autem nuntiantibus Lucullum adventare, & jam in Phrygia caſtra habere, exiſtimans triumphum ſe tantum non in manibus tenere, ne conſors ejus Lucullus foret, maturavit dimicare. Cæterum afflictus ſimul terra marique, ſexaginta naves cum ipſis viris, terra peditum quatuor millia amiſit. Ipſe Chalcedone incluſus & circumſeſſus Luculli opem reſpectabat. Non deerant quidem qui Lucullum ad progrediendum omiſſo ſtimularent Cotta, vacuum oſtendentes capturum Mithridatis regnum. Fremebant maxime hæc milites, non tantum ſe ſuoſque malis conſiliis perditum iviſſe Cottam, ſed ipſis etiam officere paratam ſine ſanguine victoriam habentibus. His Lucullus pro concione demonſtravit, unum malle ſe ab hoſtibus ſervare civem, quam omnia quæ eſſent hoſtium capere. Quum Archelaus autem Mithridatis quondam in Bœotia præfectus, qui poſt deſcivit ab eo, & tunc in præſidiis erat Romanis, ſuo tantum conſpectu aſſeveraret Lucullum toto Ponti regno potiturum, negavit venatoribus ſe timidiorem eſſe, omiſſis feris ut ad vacua eorum luſtra contenderet. Ita fatus, movit in Mithridatem. Pedites habebat triginta millia, equites duo millia quingentos. Ubi contemplatus eſt hoſtes, obſtupefactus eorum multitudine cupiebat abſtinere pugna & tempus ducere: ſed quia Marius, quem ex Hiſpania miſerat Sertorius cum copiis ducem Mithridati, occurrit laceſſivitque eum,

καλουμένου, κατέστησεν εἰς τάξιν ὡς διαμαχούμενος. ἤδη δὲ ὅσον οὔπω συμφερομένων, ἀπ' οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ' ἐξαίφνης τοῦ ἀέρος ἀπορραγέντος, ὤφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν στρατοπέδων καταφερόμενον, τὸ μὲν σῶμα πίθῳ μάλιστα, τὴν δὲ χρόαν ἀργύρῳ διαπύρῳ προσεοικός· ὥστε δείσαντας ἀμφοτέρους τὸ φάσμα διακριθῆναι. τοῦτο μὲν οὖν φασιν ἐν Φρυγίᾳ περὶ τὰς λεγομένας Ὀτρύας συμβῆναι τὸ πάθος. ὁ δὲ Λούκουλλος οὐδεμιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς, οὐδὲ πλούτου, θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον ἀντικαθημένων πολεμίων τοσαύτας ὅσας εἶχε Μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα· καὶ πρῶτον ἀνέκρινε μετὰ πόσων διαιτῷτο συσκήνων, ἔπειτα πόσον ἐν τῇ σκηνῇ κατέλιπε σῖτον. ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν ἐκέλευσε μεταστῆναι, δεύτερον δὲ καὶ τρίτον ὁμοίως ἀνέκρινε. εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τριῶν ἢ τεσσάρων ἡμερῶν ἐπιλείψοντα σῖτον τοὺς πολεμίους. καὶ πολὺ μᾶλλον εἴχετο τοῦ χρόνου, καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύῃ ταῖς ἐκείνων ἀπορίαις.

Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευεν Κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ Χαλκηδόνα μάχῃ· τρισχιλίων γὰρ ἀνδρῶν, καὶ δέκα νεῶν ἐστέρηντο. βουλόμενος οὖν λαθεῖν τὸν Λούκουλλον, εὐθὺς ἀπὸ δείπνου, νύκτα δυσφαῆ καὶ νοτερὰν ἔχων, ἐκίνει· καὶ φθάνει τῆς πόλεως ἀντικρὺς ἅμ' ἡμέρᾳ περὶ τὸ τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. ὁ δὲ Λούκουλλος αἰσθόμενος καὶ διώξας, ἠγά-

um, instruxit aciem ad confligendum. Quum jam pene concurrerent, ex nulla evidenti commutatione, sed cœlo repente dirupto, grandis visa est flammea moles inter utramque aciem delabi: ea corpore dolium, colore referebat candens argentum. Quod ostentum utrosque perculsos diremit. Id prodigii in Phrygia aiunt circa Otryas (quas vocant) accidisse. At Lucullus nullius humani apparatus vel opulentiæ existimans esse, assidentibus hostibus, tot legiones, quot habebat Mithridates, diu alere, jubet ex captivis unum ad se adduci. Primum percunctatur quot contubernales victitarent secum, deinde quantum cibarii in tentorio reliquisset. Hunc, ubi respondit, facessere imperat. Alterum item & tertium excutit. Inde comparata cum vescentium numero commeatus copia, comperit tribus vel quatuor diebus defecturam hostes annonam. Ita potius tempus statuit protrahere: atque ingentem frumenti numerum in castra convexit, quo rebus omnibus affluens ipse illorum immineret penuriæ.

Interea instituit Mithridates capere accisos Chalcedonensi prœlio Cyzicenos: quippe civium tria millia & decem naves amiserant. Ergo quo Lucullum falleret, mox a cœna, densam & nimbosam noctem nactus, castra movit, occupavitque urbis ex opposito oriente luce in Adrastiæ monte considere. Lucullus autem quum abeuntem sensisset, inse-

ἠγάπησε μὲν οὐκ ἐμπεσὼν ἀσυντάκτως εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν Θρᾳκίαν λεγομένην κώμην, ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα πεφυκότι, καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ' ἅμα τῷ θέσθαι τὸ στρατόπεδον, καὶ ἀπὸ τῶν ἔργων γενέσθαι, συναγαγὼν αὐτοὺς, ἐμεγαληγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναιμωτὶ τὸ νίκημα παραδώσων αὐτοῖς. Κυζικηνοὺς δὲ Μιθριδάτης δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβὼν, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρσῶς, καὶ πᾶν ἕνεκα Ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερές· ἀγνοοῦντας δὲ ὅπη Λούκουλλος εἴη, καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. καίτοι καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄποπτος, ἀλλ' ὑπὸ τῶν Μιθριδατικῶν ἐξηπατῶντο. δεικνύοντες γὰρ αὐτοῖς τοὺς Ῥωμαίους ἄνω παραβεβληκότας, Ὁρᾶτε τούτους; ἔφασαν, Ἀρμενίων στρατός ἐστι καὶ Μήδων, Τιγράνου Μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν. οἱ δ' ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου, μηδ' εἰ παραγένοιτο Λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς ὑπ' Ἀρχελάου Δημῶναξ ἔφρασε τὴν τοῦ Λουκούλλου παρουσίαν. τούτων δ' ἀπιστούντων, καὶ νομιζόντων αὐτὸν τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἧκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός. πυνθανομένων δ' αὐτῶν ποῦ λέγει τὸν Λούκουλλον

inſequutus eum ſatis habuit non incidiſſe incompoſito agmine in hoſtem, & circa Thraciam, ut vocant pagum, caſtra poſuit loco maxime opportuno ad excludendas vias & regiones, qua & unde petendus neceſſario erat Mithridaticis commeatus. Quare conſequentia animo proſpiciens, non celavit ea milites: verum poſtquam munitis caſtris ab opere redierunt, concione advocata, gloriatus eſt paucis diebus victoriam ſe iis incruentam traditurum. At Cyzicenos Mithridates denis ex terra caſtris cinctos, claſſe per æquor freto, quod a continente ſummovet urbem, obturato, utrinque obſedit. Subibant illi quidem cætera forti animo periculum, & erant ad omnia acerba pro populo Romano perpetienda obſirmati, ſed quod incerti eſſent ubinam ageret Lucullus, neque de eo quicquam accepiſſent, erant attoniti: quamvis conſpicua eſſent, & ſub oculis eorum poſita caſtra ejus, verum decipiebantur a Mithridaticis. Hi enim Romanos locis ſuperioribus aſſidentes ſibi demonſtrabant illis, dicebantque, Cernitis hos? Armeniorum & Medorum copiæ ſunt, quos auxilio miſit Mithridati Tigranes. Ita Cyziceni tanto circumſtante bello trepidabant, nec, ſi adeſſet quidem Lucullus, locum relictum videbant ferendi ſubſidii. Verum Demonax, qui ab Archelao miſſus in urbem fuerat, primus iis adeſſe Lucullum indicavit. Quibus fidem ei non habentibus, arbitrantibuſque ad levanda eum præſentia mala ficta adferre, puer adfuit captivus, qui erat e manibus hoſtium elapſus. Hic rogantes ubinam Lucullum diceret

λον εἶναι, κατεγέλα, παίζειν αὐτοὺς οἰόμενον. ὡς δ' ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν Ῥωμαίων· οἱ δ' ἀνεθάρσησαν. τῆς δὲ Δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ Λούκουλλος ἀνελκύσας, καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν, ὅσους ἐχώρει στρατιώτας ἐνεβίβασεν. ἔλαθον δὲ νυκτὸς διαπεράσαντες, καὶ παρεισῆλθον εἰς τὴν πόλιν.

Ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαρρῦναι τοὺς Κυζικηνοὺς, ἀγαθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι, καὶ τῆς τῶν Φερεφαττίων ἑορτῆς ἐνεστώσης, οἱ μὲν ἠπόρουν βοὸς μελαίνης πρὸς τὴν θυσίαν, καὶ σαιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν. ἡ δ' ἱερὰ καὶ τρεφομένη τῇ Θεῷ, νομὴν μὲν εἶχεν, ὥσπερ τἄλλα βοτὰ τῶν Κυζικηνῶν, ἐν τῇ περαίᾳ· κατ' ἐκείνην δὲ τὴν ἡμέραν ἀποκριθεῖσα τῆς ἀγέλης, μόνη διενήξατο πρὸς τὴν πόλιν, καὶ κατέστησεν ἐπὶ τὴν θυσίαν αὐτήν. ὄναρ δ' ἡ Θεὸς Ἀρισταγόρᾳ τῷ τοῦ δήμου γραμματιστῇ παραστᾶσα, Καὶ μὴν ἔγωγε, εἶπεν, ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπιγκτὴν ἐπάγουσα. φράσον οὖν θαρρεῖν τοῖς πολίταις. θαυμαζόντων δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ' ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα, κατιόντος ἀκρείτου πνεύματος· αἵ τε μηχαναὶ τοῦ βασιλέως παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον· εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος τά τ' ἄλλα συνέτριψε μηχανήματα ὥρας βραχεῖ μορίῳ, καὶ τὸν ξύλινον πύργον, ἑκατὸν πηχῶν ὕψος ὄντα, διασείσας κατέβαλεν.

ἰσο-

ret esse, ludere eos putans, ridebat: quos ut serio videt agere, commonstrat digito castra Romana: ita illi confirmati fuere. In lacu Dascylite navigia satis magna commeabant, quorum maximum subduxit Lucullus, ac plaustro ad mare devexit. Eo, quot capiebat milites, imposuit. Hi noctu clam trajecerunt, atque imprudentibus hostibus oppidum sunt ingressi.

Videntur Cyzicenos Dii quoque, probantes eorum fortitudinem, excitasse cum aliis perspicuis signis, tum instante Proserpinæ festo. Qui quum nigra bove ad immolandum deficerentur, farinaceam fictam admoverunt aræ. Sacra vacca, quæ Deæ alebatur, trans fretum pascebat cum reliquo armento Cyzicenorum. Hæc illo die armento relicto ad oppidum tranavit sola, & se sacris admovit. Dea insuper publico ludi magistro Aristagoræ offerens se in somnis, Equidem, inquit, adsum ut tibicinem Africum in tubicinem Ponticum impellam: tu ergo cives jube bono animo esse. Mirantibus hanc vocem Cyzicenis, prima luce fluctuavit mare, quasi immenso incumbente vento, & admotæ muris regis machinæ, insignia Thessali Niconidæ opera, stridore & crepitu primum quid instaret indicaverunt: inde auster, supra modum procellosus coortus, horæ brevi momento cum alia convulsit machinamenta, tum turrim ligneam in altitudinem centum cubitorum excitatam tanta vi concussit, ut proruerit eam.

Jam

ἱστορεῖται δὲ, τῶν ἐν Ἰλίῳ πολλοῖς καθ' ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν ἱδρῶτι πολλῷ ῥεομένην, καὶ ὑπερφαίνουσάν τι τοῦ πέπλου παρεῤῥωγὸς, λέγουσαν ὡς ἀρτίως ἥκοι βοηθήσουσα Κυζικηνοῖς. καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν ἐδείκνυον Ἰλιεῖς.

Μιθριδάτην δὲ, ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμὸν, ἠνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν. ταχὺ δ' ἐξεῤῥύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον, ἐν αἰσθήσει γενομένου τῶν ἀποριῶν αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν· ἅτε δὴ μὴ θεατρικῶς μηδὲ ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλὰ τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου, καὶ ὅπως ὑφαιρήσῃ τὴν τροφὴν ἅπαντα πραγματευομένου. διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ, τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης, ἐξέπεμψεν εἰς Βιθυνίαν τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. πυθόμενος δ' ὁ Λούκουλλος, ἔτι νυκτὸς ἧκεν εἰς τὸ στρατόπεδον. πρωῒ δὲ χειμῶνος ὄντος ἀναλαβὼν σπείρας δέκα, καὶ τὴν ἵππον, ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν, τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους, τοσαύτην τροπὴν ἐποίησεν, ὥστε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας προερχομένας ἀφαρπάζειν τὰ φορτία, καὶ σκυλεύειν τοὺς φονευομένους. πολλῶν δ', ὡς εἰκὸς, ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι, καὶ πλῆθος ἀναρίθμητος ὑποζυγίων, ἄνδρες δὲ, μύριοι πεντακισχίλιοι· καὶ τούτους ἄγων πάντας, παρ-

Jam memoriæ proditum eſt compluribus Ilii fuiſſe Minervam in ſomnis obverſatam, quæ copioſo manabat ſudore, partemque pepli diſciſſam oſtendebat. Eam dixiſſe, modo venire ſe ab ope Cyzicenis ferenda. Columnam autem, quæ decreta & literas de his inſcriptas habet, oſtendebant Ilienſes.

At Mithridatem, quouſque lactatus a ducibus ſuis famem exercitus ignoravit, urebat quod effugerent Cyziceni expugnationem urbis. Ut vero advertit neceſſariorum difficultatem, qua preſſi non abſtinebant milites humanis carnibus, ambitio & gloria ejus cito effluxit: quod nimirum non ad ſpeciem vel pompam bellum gereret Lucullus, verum (ut eſt in proverbio) in ventrem ſibi inſiliret, omniaque moliretur, quo præcideret ſibi cibaria. Quapropter dum oppugnat Lucullus arcem quandam, occaſione maturans Mithridates uti, dimiſit in Bithyniam omnem ferme equitatum cum jumentis, atque ex peditatu minus utiles. Ea re nuntiata contendit Lucullus de nocte in caſtra. Diluculo tempeſtate ſæviente inſequutus eos eſt cum cohortibus decem & equitatu, quamvis nive affligerentur atque aliis incommodis, ut multi milites ex gelu ſuccumbentes ſequi non valerent. Cum cæteris ad Rhyndacum amnem hoſtes aſſequutus, ſtragem edidit tantam ut Apollonia egreſſæ fœminæ diriperent impedimenta & trucidatos ſpoliarent. Multis ſcilicet cæſis, capta ſunt equorum ſex millia & jumentorum infinitus numerus, capita millia quindecim, omneſque præter caſtra ho-

παρεξῄει περὶ τὸ στρατόπεδον τῶν πολεμίων. Σαλουστίου δὲ θαυμάζω, τότε πρῶτον ὦφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκιπίωνος νικήσαντας Ἀντίοχον ᾤετο, μήτε τοὺς ἔναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους ἐγνωκέναι κάμηλον. ἀλλὰ τῷ γε Μιθριδάτῃ φεύγειν μὲν ἔγνωσαι τὴν ταχίστην, ἀνθολκὰς δὲ Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος, ἔστελλε τὸν ναύαρχον Ἀριστόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν, καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν, ἐκ προδοσίας ὁ Λούκουλλος ἐκυρίευσε, μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ στρατεύματος. ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν, οἱ δὲ στρατηγοὶ πεζοὶ τὸν στρατὸν ἀπήγαγον. ἐπιπεσὼν δὲ Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμὸν, εἷλέ τε παμπόλλους, καὶ δισμυρίους ἀπέκτεινε. λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι.

Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν, ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης· ἔπειτα ναυτικὸν ἐξηρτύετο, τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. εἰς δὲ Τρῳάδα καταχθεὶς, ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης· κατακοιμηθεὶς δὲ, νύκτωρ ἐδόκει τὴν Θεὰν ἐφεστῶσαν αὐτῷ, καὶ λέγουσαν,

Τί κνώσσεις μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς.

ἐξαναστὰς δὲ καὶ τοὺς φίλους καλέσας, διηγεῖτο τὴν ὄψιν, ἔτι νυκτὸς οὔσης. καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς, ἀπαγγέλλοντες ὦφθαι περὶ τὸν Ἀχαιῶν λιμένα τρισ-

hostium duxit. Salustium vero demiror, qui autumat tunc primum visos Romanis camelos: quod neque olim illos qui duce Scipione Antiochum devicerunt, neque hos qui ad Orchomenum & Chæroneam nuper certaverunt cum Archelao, nosse putaverit camelum. At Mithridates fugam quam primum instituit arripere. Quo autem tricas & moras Lucullo necteret à tergo, misit ad mare Græcum præfectum classis suæ Aristonicum: quem, jamjam soluturum, Lucullus per proditionem in potestatem suam redegit cum decem millibus aureorum, quos portabat ad solicitandam exercitus Romani partem. Ibi fugit Mithridates ad mare, terrestres copias reliquit reducendas ducibus. Quos adeptus ad Granicum fluvium Lucullus permultos cepit, concidit millia viginti. Perhibentur ex universa tam eorum qui castra secuti sunt quam militum colluvie non minus trecenta millia contrucidata fuisse.

Lucullus primum Cyzicum ingressus est: ubi ingenti lætitia & magnifico honore exceptus est: inde ad Hellespontum profectus classem instruxit. Troadem delatus divertit in delubro Veneris: nocte sopitus Deam videre visus est sibi assistentem, quæ diceret,

Quid dormis animose leo? haud procul binnulei absunt,

Surgens, advocatis amicis, exposuit adhuc nocte somnium. Simul adfuerunt ab Ilio quidam, qui nuntiarent conspectas ad Achæorum portum

τρισκαίδεκα πεντήρεις τῶν βασιλικῶν ἐπὶ Λῆμνον πλεούσας. εὐθὺς οὖν ἀναχθεὶς, τούτους μὲν εἷλε, καὶ τὸν στρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν· ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρωρέας. οἱ δὲ ἔτυχον ὁρμοῦντες, καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες ἀπὸ τῶν καταστρωμάτων διεμάχοντο, καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδόντος, οὔτε βιάσασθαι ναυσὶ μετεώροις τὰς τῶν πολεμίων, προσερηρεισμένας τῇ γῇ, καὶ βεβηκυίας ἀσφαλῶς. οὐ μὴν ἀλλὰ μόλις, ᾗ προσβολήν τινα ἡ νῆσος εἶχεν, ἀποβιβάζει τῶν στρατιωτῶν τοὺς ἀρίστους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις, τοὺς μὲν διέφθειρον αὐτῶν, τοὺς δ᾽ ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν νεῶν, καὶ φεύγοντας ἐκ τῆς γῆς, ἀλλήλοις τε συγκρούειν τὰ πλοῖα, καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον ὑποπίπτειν. πολλοὶ μὲν οὖν διεφθάρησαν· ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος ὁ παρὰ Σερτωρίου στρατηγός. ἦν γὰρ ἑτερόφθαλμος· καὶ παρήγγελτο τοῖς στρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου, μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι.

Γενόμενος δ᾽ ἀπὸ τούτων, ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. ἤλπιζε γὰρ ἔτι περὶ Βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ Βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἐνστησόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεστάλκει πρὸς Νικομήδειαν. ἀλλὰ Βοκώνιος μὲν ἐν Σαμοθρᾴκῃ μυούμενος καὶ πανηγυρίζων καθυστέρησε, Μιθριδάτην δὲ ἀναχθέντα μετὰ τοῦ στόλου, σπεύδοντα πρὶν ἐπιστρέφειν Λούκουλλον εἰς τὸν Πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολὺς, ὑφ᾽ οὗ τὰ μὲν ἀφηρ-

tum quinqueremes regias tredecim, quæ in Lemnum intenderent curſum. Statim igitur ſolvit, atque his potitus eſt, præfectum earum Iſidorum occidit: mox inſectatus eſt cæteros nautas. Stabant hi in ancoris, omnibuſque terræ appulſis navigiis propugnaverunt ex fororum tabulis, ac Luculli militibus vulnera ingeſſere. Nec circumvehendi dabat locus facultatem, vel navibus fluctuantibus hoſtiles premendi terræ accubantes & firmiter conſiſtentes. Tandem qua acceſſum inſula in terram dabat, fortiſſimos quoſque milites expoſuit: qui averſos adorti hoſtes partim eorum interfecerunt, partim compulerunt præciſis navium retinaculis fugientes a terra collidere invicem navigia, atque in aciem Luculli incurrere. Multi ibi afflicti. Inter captivos adductus Marius eſt, qui miſſus a Sertorio dux fuerat. Altero oculo captus erat. Edixerat autem ante certamen Lucullus militibus, ne quem luſcum interficerent, quo probris & contumeliis vexatus necaretur.

His confectis properavit ipſum inſequi Mithridatem, quod in ſpe eſſet circa Bithyniam ſe illum inventurum, retentum a Voconio, quem ad inſtandum fugienti cum navibus miſerat Nicomediam. Enimvero Voconius, dum in Samothrace initiatur myſteriis & feſtos dies celebrat, haud occurrit in tempore. At Mithridatem, qui jam cum claſſe vela fecerat & maturabat antequam ipſum peteret Lucullus Pontum tenere, corripit atrox tempeſtas, qua claſſis partim

a

tim

ἀφηρπάγη, τὰ δὲ ἐβυθίσθη τῶν σκαφῶν. πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος ἐπὶ πολλὰς ἡμέρας ἦν ἀνάπλεως. αὐτὸς δὲ, τῆς ὁλκάδος ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν εὐπαρακομίστου διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παρισταμένης τοῖς κυβερνήταις, πρός τε τὴν θάλασσαν ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς λῃστρικὸν μυοπάρωνα, καὶ τὸ σῶμα πειραταῖς ἐγχειρίσας, ἀνελπίστως καὶ παραβόλως εἰς τὴν Ποντικὴν Ἡράκλειαν ἐξεσώθη. Λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία. ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τρισχιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν, ἐκώλυσε πέμψας γράμματα, καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης καὶ τοσαύτης παρασκευῆς ταῖς τῶν συμμάχων ναυσὶ Μιθριδάτην ἐκβαλεῖ τῆς θαλάττης. καὶ τοῦτο ὑπῆρξεν αὐτῷ τοῦ Θεοῦ συναγωνισαμένου. λέγεται γὰρ Ἀρτέμιδος χόλῳ Πριαπίνης ὁ χειμὼν ἐμπεσεῖν τοῖς Ποντικοῖς, συλήσασιν αὐτῆς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι.

Πολλῶν δὲ Λουκούλλῳ παραινούντων ἀναβάλλεσθαι τὸν πόλεμον, οὐ φροντίσας ἐνέβαλε διὰ Βιθυνίας καὶ Γαλατίας εἰς τὴν βασιλικὴν, ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥστε Γαλάτας ἕπεσθαι τρισμυρίους, ἕκαστον ἐπὶ τῶν ὤμων κομίζοντα σίτου μέδιμνον· προϊὼν δὲ καὶ κρατῶν ἁπάντων εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥστε τὸν μὲν βοῦν ἐν στρατοπέδῳ, δραχμῆς, τὸ δὲ ἀνδράποδον, τεττάρων ὤνιον εἶναι· τὴν δ' ἄλλην λείαν ἐν οὐδενὶ λόγῳ τοὺς μὲν ἀπολείπειν, τοὺς δὲ ἀναλίσκειν. διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπο-

tim abrepta, partim est depressa. Omnia littora ejectis fluctu naufragiis per multos dies completa fuere. Rex ipse, quum navis oneraria, qua vehebatur, nec ad terram appelli ob molem in tanta procella & cæcis fluctibus videretur gubernatoribus posse, & aquam jam accepisset atque obruta esset undis, transgressus in myoparonem piraticum, corpore prædonibus permisso incolumis Heracleam Ponticam insperato & summo cum discrimine pervenit. Porro Lucullus commendabili ambitione, quæ successum habuit, adversus senatum est usus. Quum enim hic ei ad classem parandam tria millia talentorum decrevisset, negavit per literas ea pecunia sibi opus esse, jactans sine sumptu & tanto paratu Mithridatem se sociorum navibus exacturum pelago: quod Dei ope præstitit. Fama enim tenet Dianæ Priapinæ ira fuisse tempestatem illam Ponticis immissam, quod fanum ejus spoliavissent & signum loco movissent.

Multis Lucullum monentibus ut proferret bellum, horum repudiata sententia per Bithyniam & Galatiam in regnum Mithridatis invasit. In principio laboravit usque eo difficultate necessariorum, ut triginta millia Gallogræcorum sequerentur castra, qui medimnos singulos frumenti humeris portabant. Progressus vero omnia subjugando ad affluentiam evasit tantam, ut bos in exercitu drachma, mancipium quatuor esset venale, cæteram prædam nullo respectu alii relinquerent, alii corrumperent: quippe distrahere prædam omnibus abundantibus nulli vale-

εὐπορεῖν. ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν, ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι Θεμισκύρας καὶ τῶν περὶ Θερμώδοντα πεδίων, ᾐτιῶντο τὸν Λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις, κατὰ κράτος δὲ οὐδεμίαν ᾕρηκεν, οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. Ἀλλὰ καὶ νῦν, ἔφασαν, Ἀμισὸν, πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον, εἴ τις ἐντείναι τὴν πολιορκίαν, καταρχεῖν, ἀπολιπόντας ἡμᾶς, ἄγει περὶ τὴν Τιβαρηνῶν καὶ Χαλδαίων ἐρημίαν, Μιθριδάτῃ πολεμήσοντας. ἀλλὰ ταῦτα μὲν οὐκ ἂν ὁ Λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας τοὺς στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηνεν, ὑπερεώρα, καὶ οὐκ ἐφρόντιζεν. ἐκείνοις δ' ἀπελογεῖτο μᾶλλον, οἳ βραδυτῆτα κατηγόρουν αὐτοῦ διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις οὐ πολλοῦ τινος ἀξίας πολὺν χρόνον, ἐῶντος δ' αὔξεσθαι Μιθριδάτην. Αὐτὸ γὰρ, ἔφη, τοῦτο καὶ βούλομαι, καὶ κάθημαι τεχνάζων μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα, καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. ἢ οὐχ ὁρᾶτε πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος, καὶ ὄρη πολλὰ καὶ βαθέα, καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν. ὀλίγων δ' ἡμερῶν ὁδὸς εἰς Ἀρμενίαν ἐκ Καβείρων· καὶ ὑπὲρ Ἀρμενίας κάθηται Τιγράνης, βασιλεὺς βασιλέων, ἔχων δύναμιν, ᾗ Πάρθους τε περικόπτει τῆς Ἀσίας, καὶ πόλεις Ἑλληνίδας εἰς Μηδίαν ἀνακομίζει, καὶ Συρίας κρατεῖ καὶ Παλαιστίνης, καὶ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς ἀποκτιννύει, θυγατέρας δ' αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους.

οὗτος

valebant. Sed quum equitatu & excurſionibus omnem regionem uſque Themiſcyras & circa Thermodontem vaſtaſſent fœdaſſentque, incuſabant Lucullum quod omnes urbes per deditionem, vi cepiſſet nullam, neque diripiendam conceſſiſſet militi. Immo dixerunt, nunc etiam Amiſo opulenta & copioſa relicta urbe, quam non ſit operoſum, ſi acriter eam oppugnes, expugnare, ad ſolitudines nos Tibarenorum & Chaldæorum rapito, ut cum Mithridate confligamus. Verum Lucullus quia non ſperaverat hinc milites eo furoris progreſſuros ut apparuit deinceps, contemnebat & flocci pendebat ea. Apud illos vero malebat purgare ſe, qui culpabant cunctationem ſuam, quod circa vicos & oppida non magni momenti multum corrumperet temporis, & permitteret Mithridatem vires acquirere. Id ipſum, inquit, cupio & reſes ſtruo, ut vires ille reparet, copiaſque, quibus fidere queat, contrahat: quo conſiſtat, neque ad noſtrum profugiat adventum. Cernitiſne habere illum a tergo ſolitudinem vaſtam & immenſam? Subeſt Caucaſus monteſque multi & lati, qui infinitos reges valeant aciem declinantes occultare & tegere. Paucorum dierum eſt ex Cabiris in Armeniam iter, ubi ſedet otioſus rex regum Tigranes, tanta ſubnixus potentia, qua Parthis extorquet Aſiam, civitates Græcas in Mediam deportat, Syriam obtinet & Palæſtinam, reges Seleuci ſucceſſores ſuſtollit, eorum filias & conjuges ſedibus extractas abducit.

Hic

οὗτος οἰκεῖός ἐστι Μιθριδάτου καὶ γαμβρός. οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος, ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς· καὶ σπεύδοντες ἐκβάλλειν Μιθριδάτην, κινδυνεύσομεν ἐπισπάσασθαι Τιγράνην, πάλαι μὲν αἰτίας δεόμενον ἐφ' ἡμᾶς, εὐπρεπεστέρας δ' οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντος ὑπουργεῖν αὐτῷ. τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι, καὶ διδάξαι Μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἐστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον; καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα, συνελαύνειν ἐπὶ τὰς τοῦ Τιγράνου χεῖρας; ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσασθαι καὶ ἀναθαρρῦναι, Κόλχοις καὶ Τιβαρηνοῖς καὶ Καππάδοξιν, οὓς πολλάκις κεκρατήκαμεν, μάχεσθαι, μᾶλλον ἢ Μήδοις καὶ Ἀρμενίοις.

Ἐπὶ τοιούτων λογισμῶν γενόμενος ὁ Λούκουλλος, περί τε τὴν Ἀμισὸν διέτριψε, μαλακῶς τῇ πολιορκίᾳ χρώμενος· καὶ μετὰ χειμῶνα Μουρήναν ἀπολιπὼν ἐπὶ τῆς πολιορκίας, ἐβάδιζεν ἐπὶ Μιθριδάτην καθήμενον ἐν Καβείροις, καὶ διανοούμενον ὑφίστασθαι τοὺς Ῥωμαίους, ἠθροισμένης αὐτῷ δυνάμεως εἰς τετρακισμυρίους πεζοὺς, ἱππεῖς δὲ τετρακισχιλίους, οἷς ἐθάρρει μάλιστα· καὶ διαβὰς τὸν Λύκον ποταμὸν, εἰς τὸ πεδίον προὐκαλεῖτο τοὺς Ῥωμαίους. γενομένης δ' ἱππομαχίας ἔφυγον οἱ Ῥωμαῖοι· Πομπώνιος δ' ἀνὴρ οὐκ ἄδοξος ἑάλω τετρωμένος, καὶ πρὸς τὸν Μιθριδάτην ἀνήχθη κακῶς ὑπὸ τραυμάτων διακείμενος. πυθομένου δὲ τοῦ βασιλέως εἰ σωθεὶς ὑπ' αὐτοῦ γενήσεται φίλος, Ἄν γε δὴ, ἔφη, Ῥωμαίοις διαλλαγῇς· εἰ δὲ μὴ,

πολέ-

Hic Mithridatis propinquus eſt & gener. Non projiciet certe, ubi ad ipſum ſe contulerit ſupplicem, ſed arma nobiſcum conferet: ac dum acceleramus Mithridatem pellere, verendum fuerit, ne accerſamus Tigranem, qui jampridem prætextum adverſus nos quærit, verum haud reperiet ſpecioſiorem, quam pro homine neceſſario & rege coacto ſibi ſervire. Quid ergo, hoccine urgebimus ipſi, & Mithridatem docebimus neſcium, quibuſcum ſocianda ei adverſus nos arma ſint? invitumque & dedignantem, ut probroſum ſibi, in manus agemus Tigranis? Non ſpatium ei dabimus ex propriis viribus ſe inſtruendi atque erigendi, ac cum Colchis, Tibarenis, Cappadocibus, quos contudimus frequenter, potius quam cum Medis & Armeniis præliabimur?

Hoc conſilio Lucullus ad Amiſum lenta obſidione tempus trivit. Exacta bruma, relicto ad continuandam obſidionem Murena, movit in Mithridatem. Is ad Cabira ſtativa habebat, certus ibi ſubſiſtere Romanos exercitu conſcripto ad quadraginta millia peditum, quatuor equitum, in quibus ſummam fiduciam habebat. Ac tranſgreſſus Lycum amnem, in campos patentes progreſſus, laceſſivit Romanos. Commiſſo equeſtri prœlio, terga Romani verterunt. In eo Pomponius, non obſcurus vir, ſaucius captus eſt, atque ad Mithridatem vulneribus gravis pertractus. Quem ubi rogavit rex an, ſi ipſum conſervaſſet, amicus ſibi eſſet futurus, Sane, inquit, ſi pacem cum populo Romano feceris: ſin ſecus, hoſtis.

πολέμιος. τοῦτον μὲν θαυμάσας ὁ Μιθριδάτης οὐκ ἠδίκησε. τοῦ δὲ Λουκούλλου τὰ μὲν πεδία, τῶν πολεμίων ἱπποκρατούντων, δεδιότος, τὴν δ' ὀρεινὴν ὀκνοῦντος προϊέναι, μακρὰν καὶ ὑλώδη καὶ δύσβατον οὖσαν, ἁλίσκονταί τινες κατὰ τύχην Ἕλληνες, εἴς τι σπήλαιον καταφυγόντες· ὧν ὁ πρεσβύτερος Ἀρτεμίδωρος, ὑπέσχετο τὸν Λούκουλλον ἄξειν καὶ καταστήσειν ἐπὶ τόπῳ ἀσφαλεῖ τῷ στρατοπέδῳ, καὶ φρούριον ἔχοντι τοῖς Καβείροις ἐπικρεμάμενον. πιστεύσας δ' ὁ Λούκουλλος, ἅμα τῇ νυκτὶ πυρὰ καύσας ἐκίνει· καὶ τὰ στενὰ παρελθὼν ἀσφαλῶς, τὸ χωρίον εἶχε, καὶ μεθ' ἡμέραν ὑπερεφαίνετο τῶν πολεμίων, ἱδρύων τὸν στρατὸν ἐν τόποις οἳ μάχεσθαι βουλομένῳ προσαγωγὴν ἐδίδοσαν, καὶ τὸ μὴ βιασθῆναι παρεῖχον ἡσυχάζοντι. γνώμην μὲν οὖν οὐδέτερος εἶχεν ἔν γε τῷ παρόντι διακινδυνεύειν· ἔλαφον δὲ λέγεται τῶν βασιλικῶν διωκόντων, ὑποτεμνομένους ἀπαντῆσαι τοὺς Ῥωμαίους· ἐκ δὲ τούτου συμπεσόντας ἀγωνίζεσθαι, πλειόνων ἑκατέροις ἀεὶ προσγινομένων. τέλος δ' ἐνίκων οἱ βασιλικοί, καὶ τὴν φυγὴν ἐκ τοῦ χάρακος οἱ Ῥωμαῖοι καθορῶντες, ἤσχαλλον, καὶ συνέτρεχον πρὸς τὸν Λούκουλλον, ἄγειν σφᾶς δεόμενοι, καὶ σύνθημα πρὸς τὴν μάχην αἰτοῦντες. ὁ δὲ, βουλόμενος αὐτοὺς μαθεῖν ἡλίκον ἐστὶν ἐν ἀγῶνι πολέμου καὶ κινδύνου παρουσία καὶ ὄψις ἡγεμόνος ἔμφρονος, ἐκείνους μὲν ἡσυχίαν ἄγειν ἐκέλευεν, αὐτὸς δὲ κατέβαινεν εἰς τὸ πεδίον, καὶ τοῖς προτέροις ἀπαντήσας τῶν φευγόντων, ἵστασθαι προσέταξεν καὶ ἀναστρέφειν μετ' αὐτοῦ. πειθέντων δὲ τούτων καὶ οἱ λοιποὶ μεταβαλλόμενοι καὶ συστάντες, ὀλίγῳ πόνῳ τρέπονται τοὺς πολεμίους, καὶ καταδιώκουσιν εἰς τὸ στρατόπεδον. ἐπανελ-

hoſtis. Cujus rex admiratus virtutem, nihil eum læſit. Quum timeret Lucullus, prævalentibus equitatu hoſtibus, planiciem: petere autem montanam regionem longinquam, ſaltuoſam, impeditam gravaretur, ecce Græci quidam, qui abdiderant ſe in ſpeluncam quandam, capiuntur: quorum natu maximus Artemidorus Lucullum recepit ſe ducturum & locaturum tuta caſtris ſede, quæ arcem habeat Cabiris imminentem. Huic fidem adjunxit Lucullus, ac prima vigilia, incenſis ignibus, movit, ſaltuque ſine incommodo ſuperato, tenuit arcem. Ubi diluxit, conſpectus eſt ſupra capita hoſtium, militeſque collocat in locis qui dimicare volenti facultatem ejus dabant, & ne compelli poſſet, quieſcenti. Quum ergo neuter in animo haberet in præſentia prœlio decernere, ferunt cervum perſequentibus regiis intercepta via occurriſſe Romanos. Hinc initium ortum certaminis, pluribus ſemper ad utroſque affluentibus: poſtremo ſuperiores fuerunt regii. Fugam Romani ſuorum ex vallo deſpicientes fremuerunt, ac concurſu ad imperatorem facto, rogaverunt ut duceret in hoſtem, ſignumque popoſcerunt pugnæ. Qui, quo eis oſtenderet quanti ſit momenti in ipſo certamine & diſcriminis articulo ducis præſentia & conſpectus prudentis, edixit illis ne moverent ſe, ipſe autem deſcendit in campum, & primis occurrens fugientium conſiſtere imperavit & redire ſecum in hoſtem. His parentibus, cæteri a fuga ſe reprimentes, globo facto hoſtes facile fugant conſectanturque uſque ad caſtra. Re-

ἐπανελθὼν δὲ Λούκουλλος ἀτιμίαν τινὰ τοῖς φεύγουσι νενομισμένην προσέβαλε, κελεύσας ἐν χιτῶσιν ἀζώστοις ὀρύξαι δώδεκα ποδῶν τάφρον, ἐφεστώτων καὶ θεωμένων τῶν ἄλλων στρατιωτῶν.

Ἦν δέ τις ἐν τῷ Μιθριδάτου στρατοπέδῳ Δαρδαρείων δυνάστης Ὀλθακός, (γένος δ' εἰσὶν οἱ Δαρδάρειοι βαρβάρων τῶν περὶ τὴν Μαιῶτιν οἰκούντων) ἀνὴρ ὅσα χειρὸς ἔργα καὶ τόλμης ἐν πολέμῳ διαπρεπὴς ἅπαντα, καὶ γνώμην ἱκανὸς ἐν τοῖς μεγίστοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναστῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν, ὑπέσχετο τῷ Μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν Λούκουλλον. ἐπαινέσαντος δὲ τοῦ βασιλέως, καί τινας αὐτῷ προσβαλόντος ἐπίτηδες ἀτιμίας εἰς προσποίησιν ὀργῆς, ἀφιππάσατο πρὸς Λούκουλλον· ὁ δ' ἄσμενος ἐδέξατο. λόγος γὰρ ἦν αὐτοῦ πολὺς ἐν τῷ στρατοπέδῳ, καὶ ταχὺ πειρώμενος, ἠσπάζετο τήν τε ἀγχίνοιαν αὐτοῦ καὶ τὸ λιπαρὲς, ὥστε τραπέζης καὶ συνεδρίου ποτὲ ποιεῖσθαι κοινωνόν. ἐπεὶ δ' ἐδόκει καιρὸν ἔχειν ὁ Δαρδάρειος, τὸν μὲν ἵππον ἔξω τοῦ χάρακος ἐκέλευσε προαγαγεῖν τοὺς παῖδας, αὐτὸς δὲ, μεσημβρείας οὔσης, καὶ τῶν στρατιωτῶν ἐνδιαζόντων καὶ ἀναπαυομένων, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνὴν, ὡς οὐδενὸς κωλύσοντος εἰσελθεῖν ἄνδρα συνήθη, καὶ λόγους τινὰς ἀξίους σπουδῆς τῷ στρατηγῷ κομίζειν φάσκοντα. κἂν εἰσῆλθεν ἀδεῶς, εἰ μὴ ὁ πολλοὺς ἀνῃρηκὼς στρατηγοὺς ὕπνος Λούκουλλον ἔσωσεν. ἐτύγχανε γὰρ καθεύδων, καὶ Μενέδημος εἷς τῶν κατευναστῶν, παρὰ ταῖς θύραις ἑστὼς, οὐκ ἔφη κατὰ καιρὸν ἥκειν τὸν Ὀλθακὸν, ἄρτι Λου-

Reversus Lucullus eos qui ceperant fugam, de more notavit, ac fossam pedum duodecim discinctos, assistente & spectante toto exercitu, ducere jussit.

Erat in præsidiis Mithridatis Dardariorum regulus Olthacus, (est autem Dardariorum gens ex barbaris illis qui Mæotin paludem accolunt) omnibus vir in bellicis factis insigniter manu promptus & audax, & consilio cum primis bonus, in consuetudine præterea civilis & obsequiosus. Hic, quod semper cum aliquo gentilium suorum regulorum certamen & æmulationem de primis haberet, recepit Mithridati ingens factum, Lucullum se interfecturum. Collaudatus ab rege, atque in speciem iræ probris ab eo ex composito affectus, equo arrepto, transfugit ad Lucullum: a quo est receptus benigne, quod magni nominis in castris ejus esset. At cito usu comprobati sagacitatem observantiamque adeo magni fecit, ut adhiberet subinde eum mensæ & in concilio. Ubi Dardario res matura visa est, jussit pueris suis ut equum producerent extra vallum. Tum perrexit militibus meridiantibus & quiescentibus ad prætorium, neminem ratus prohibiturum ingressu se, qui familiaris esset imperatori, ac de re gravi agere diceret velle se cum imperatore. Et ingressus libere erat, nisi, qui multos perdidit duces, Lucullum servasset somnus. Nam somno operam dabat, & Menedemus a cubiculis ad limina stans, intempestive ait Olthacum venire,

Λουκούλλου πρὸς ἀνάπαυσιν ἐκ μακρᾶς ἀγρυπνίας καὶ πόνων τοσούτων δεδωκότος ἑαυτόν. ἐπεὶ δ' οὐκ ἀπῄει κελευόμενος, ἀλλ' ἔφη κωλυόμενος εἰσελεύσεσθαι, περὶ πράγματος ἀναγκαίου καὶ μεγάλου διαλεχθῆναι βουλόμενος, ἤδη πρὸς ὀργὴν ὁ Μενέδημος, εἰπὼν μηδὲν ἀναγκαιότερον τοῦ σώζεσθαι Λούκουλλον, ἀπεώσατο τὸν ἄνθρωπον ἀμφοτέραις ταῖς χερσίν. ὁ δὲ δείσας ὑπεξῆλθε τοῦ χάρακος, καὶ λαβὼν τὸν ἵππον, ἀπήλασεν εἰς τὸ Μιθριδάτου στρατόπεδον ἄπρακτος. οὕτως ἄρα καὶ τοῖς πράγμασιν ὁ καιρός, ὥσπερ τοῖς φαρμάκοις, καὶ τὴν σώζουσαν καὶ τὴν ἀναιροῦσαν ῥοπὴν προστίθησιν.

Ἐκ τούτου, Σωρνάτιος μὲν ἐπὶ σίτου κομιδὴν ἐπέμφθη μετὰ δέκα σπειρῶν, καὶ καταδιωχθεὶς ὑπὸ Μενάνδρου τῶν Μιθριδάτου στρατηγῶν ἑνός, ἀντέστη, καὶ συμβαλὼν φόνον ἐποίησε πολὺν καὶ τροπὴν τῶν πολεμίων. αὖθις δὲ πεμφθέντος Ἀδριανοῦ μετὰ δυνάμεως, ὅπως ἐκ περιουσίας ἔχωσιν οἱ στρατιῶται σῖτον, οὐ περιεῖδε Μιθριδάτης, ἀλλ' ἀπέστειλε Μενέμαχον καὶ Μύρωνα πολλῶν μὲν ἱππέων, πολλῶν δὲ πεζῶν ἡγουμένους. οὗτοι πάντες, ὡς λέγεται, πλὴν δυοῖν, κατεκόπησαν ὑπὸ τῶν Ῥωμαίων. καὶ Μιθριδάτης μὲν ἔκρυπτε τὴν συμφοράν, ὡς οὐ τοσαύτην οὖσαν, ἀλλὰ μικράν, προσκεκρουκότων ἀπειρίᾳ τῶν στρατηγῶν. Ἀδριανὸς δὲ λαμπρῶς παρημείβετο τὸ στρατόπεδον, πολλὰς κατάγων ἁμάξας σίτου καὶ λαφύρων γεμούσας· ὥστε δυσθυμίαν μὲν αὐτῷ, ταραχὴν δὲ καὶ φόβον ἀμήχανον ἐμπεσεῖν τοῖς στρατιώταις. ἐδέδοκτο μὲν οὖν μηκέτι μένειν· ἐπεὶ δὲ προεξέπεμπον οἱ βασιλικοὶ τὰ σφέτερα χρήματα καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐκώλυον, ἤδη καὶ πρὸς ὀργὴν ἐπὶ

nire, modo Lucullum quieti se ex longis vigiliis & tantis occupationibus tradidisse. Qui quum jussus non discederet, sed invito eo ostendit se ingressurum, ac rem relaturum ad eum necessariam & magnam, ibi stomachabundus Menedemus nihil tanti esse ait ac Luculli salutem, hominemque ambabus manibus repulit. Quare metuens ille, subduxit se ex castris, atque conscenso equo, in castra Mithridatis re infecta profugit. Ita quidem rebus tempus ut medicinis salutis adferendæ & necis tribuit momentum.

Inde Sornatius cum decem cohortibus est frumentatum missus, & insectante eum uno ex Mithridatis ducibus Menandro, restitit, commissoque prœlio magnam stragem & fugam edidit hostium. Postquam iterum missus cum copiis Adrianus est, ut cumulate exercitus commeatum haberet, non indormivit Mithridates, sed misit in eum Menemachum & Myronem, attributo his tam equitum quam peditum magno numero, qui a Romanis sunt, duobus exceptis, omnes trucidati. Eam cladem Mithridates dissimulavit ut non tantam, sed exiguam & acceptam ducum imperitia. At Adrianus iter fecit magno splendore præter illius castra, ingentem numerum secum trahens plaustrorum commeatu & præda onustorum. Unde animus illius plane est dejectus, trepidatio autem & timor milites incessit. Itaque deliberatum est discedere. Cæterum quia præmittebant in occulto illi qui præcipui erant apud regem pretiosissimas quasque res suas, & alios prohibebant, ibi jam

ἐπὶ τὰς ἐξόδους ὠθούμενοι καὶ βιαζόμενοι, τὰ μὲν χρήματα ἥρπαζον, αὐτοὺς δὲ ἀπέσφαττον. ὅπου καὶ Δορύαλος στρατηγὸς οὐδὲν ἕτερον ἔχων ἢ τὴν πορφύραν περὶ αὐτὸν, ἀπώλετο διὰ ταύτην. Ἑρμαῖος δὲ ὁ θύτης κατεπατήθη περὶ τὰς πύλας. αὐτὸς δ' ὁ Μιθριδάτης, οὔτε ὀπαδοῦ τινος, οὔτε ἱπποκόμου παραμείναντος αὐτῷ, συνεξέπεσεν ἀπὸ τοῦ στρατοπέδου τοῖς πολλοῖς ἀναμεμιγμένος· οὐδ' ἵππου τῶν βασιλικῶν εὐπορήσας. ἀλλ' ὀψέ ποτε κατιδὼν αὐτὸν ἐν τῷ ῥεύματι τῆς τροπῆς ἐκείνης διαφερόμενον Πτολεμαῖος ὁ εὐνοῦχος, ἵππον ἔχων, αὐτὸς ἀπεπήδησε καὶ παρέσχεν. ἤδη γὰρ αὐτὸν οἱ Ῥωμαῖοι κατεῖχον ἐπικείμενοι, καὶ τάχει μὲν οὐκ ἀπελείποντο τοῦ λαβεῖν αὐτὸν, ἀλλ' ἦλθον ἔγγιστα τούτου· φιλοπλουτία δὲ καὶ μικρολογία στρατιωτικὴ τὸ πολλοῖς ἀγῶσι καὶ μεγάλοις κινδύνοις διωκόμενον ἐκ μακροῦ θήραμα Ῥωμαίους ἀφείλετο, καὶ Λούκουλλον ἀπεστέρησε νικῶντα τῶν ἐπάθλων. ἦν μὲν γὰρ ἐν ἐφικτῷ τῆς διώξεως ὁ ὑπεκφέρων τὸν ἄνδρα ἵππος· ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων, μεταξὺ τοῦ βασιλέως εἴτ' ἀπὸ ταυτομάτου παρεμπεσόντος, εἴτε τοῦ βασιλέως ἐπίτηδες ἐμβαλόντος αὐτὸν εἰς τοὺς διώκοντας, ἁρπάζοντες καὶ συλλέγοντες τὸ χρυσίον, καὶ διαμαχόμενοι πρὸς ἀλλήλους, καθυστέρησαν. καὶ οὐ τοῦτο μόνον αὐτῶν ἀπέλαυσε τῆς πλεονεξίας ὁ Λούκουλλος, ἀλλὰ καὶ τὸν ἐπὶ τῶν ἀποῤῥήτων τοῦ βασιλέως ὄντα Καλλίστρατον ὁ μὲν ἄγειν ἐκέλευσεν, οἱ δ' ἄγοντες, αἰσθόμενοι πεντακοσίους χρυσοῦς ὑπεζωσμένον, ἀπέκτειναν. οὐ μὴν ἀλλὰ τούτοις μὲν ἐπέτρεψε τὸν χάρακα πορθῆσαι.

Τὰ

jam infesti ad portas per impressionem & vim impedimenta illorum diripuerunt, ipsos obtruncaverunt. Ubi Doryalus quoque dux, qui præter purpuram, qua erat amictus, nihil habebat, ejus causa periit: Hermæus aruspex est in porta conculcatus: ipse Mithridates, quum nemo apud eum ne apparitor quidem vel equiso remansisset, in caterva se cæterorum extulit castris, ac ne equum quidem ex regiis ad manum habuit. Verum quum sero tandem in fluctu fugæ illius conspexisset jactatum eunuchus Ptolemæus, cui equus erat, desiliit præbuitque equum regi. Jam enim premebant eum instantes Romani, neque defuit celeritas his ad eum comprehendendum, sed pene tenebant. At avaritia & sordes militares multis certaminibus magnisque periculis diu captatam prædam Romanis eripuere, Lucullumque victoriæ præmio fraudavere. Jam enim prope in manibus instantium equus qui Mithridatem avexit erat, quum interea mulus ex iis qui gazam regis portabant, conjecit se inter regem & consectantes, sive sponte concidit, sive de industria rex objecit eum insequentibus. Ita illi rapiendo colligendoque auro, atque inter se digladiando cessaverunt illum corripere. Neque hoc modo ex eorum rapacitate detrimenti sensit Lucullus, sed & qui regi a secretis erat, Callistratum duci Lucullus in castra imperavit. Qui vero illum ducebant, succinctum quingentis aureis sentientes occiderunt. Et his castra regis tamen diripienda concessit.

Porro

Τὰ δὲ Κάβειρα λαβὼν, καὶ τῶν ἄλλων φρουρίων τὰ πλεῖστα, θησαυρούς τε μεγάλους εὗρε, καὶ δεσμωτήρια, πολλῶν μὲν Ἑλλήνων, πολλῶν δὲ συγγενῶν τοῦ βασιλέως καθειργμένων, οἷς πάλαι τεθνάναι δοκοῦσιν οὐ σωτηρίαν, ἀλλ' ἀναβίωσιν καὶ δευτέραν τινὰ γένεσιν ἡ Λουκούλλου χάρις παρέσχεν. ἑάλω δὲ καὶ ἀδελφὴ τοῦ Μιθριδάτου Νύσα, σωτήριον ἅλωσιν· αἱ δ' ἀπωτάτω τοῦ κινδύνου, καὶ καθ' ἡσυχίαν ἀποκεῖσθαι δοκοῦσαι περὶ Φερνακίαν ἀδελφαὶ καὶ γυναῖκες, οἰκτρῶς ἀπώλοντο, Μιθριδάτου πέμψαντος ἐπ' αὐτὰς ἐκ τῆς φυγῆς Βακχίδην εὐνοῦχον. ἦσαν δὲ μετὰ πολλῶν ἀδελφαί τε δύο τοῦ βασιλέως, Ῥωξάνη καὶ Στάτειρα, περὶ τεσσαράκοντα ἔτη παρθενευόμεναι· καὶ γαμεταὶ δύο, γένος Ἰωνίδες, Βερενίκη μὲν ἐκ Χίου, Μονίμη δὲ, Μιλησία. ταύτης ὁ πλεῖστος ἦν λόγος ἐν τοῖς Ἕλλησιν, ὅτι τοῦ βασιλέως πειρῶντος αὐτὴν, καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαντος, ἀντέσχε μέχρις οὗ γάμων ἐγένοντο συνθῆκαι, καὶ διάδημα πέμψας αὐτῇ, βασίλισσαν ἀνηγόρευσεν. αὕτη καὶ παρὰ τὸν ἄλλον χρόνον ἀνιαρῶς εἶχε, καὶ ἀπεθρήνει τὴν τοῦ σώματος εὐμορφίαν, ὡς δεσπότην μὲν ἀντ' ἀνδρὸς αὐτῇ, φρουρὰν δὲ βαρβάρων ἀντὶ γάμου καὶ οἴκου προξενήσασαν· πόρρω δέ που τῆς Ἑλλάδος ἀπῳκισμένη, τοῖς ἐλπισθεῖσιν ἀγαθοῖς ὄναρ συνείη, τῶν δ' ἀληθινῶν ἐκείνων ἀπεστέρηται. καὶ δὴ τοῦ Βακχίδου παραγενομένου, καὶ προστάξαντος αὐταῖς ἀποθνήσκειν, ὡς ἑκάστῃ δοκοίη ῥᾷστον εἶναι καὶ ἀλυπότατον, περισπάσασα τῆς κεφαλῆς τὸ διάδημα, τῷ τραχήλῳ περιῆψε, καὶ ἀνήρτησεν ἑαυτήν. ταχὺ δ' ἀπορραγέντος, Ὦ κατηραμένον, ἔφη, ῥάκος· οὐδὲ πρὸς τοῦτό μοι χρή-
σιμον

Porro Cabiris aliisque compluribus captis arcibus, grandes thesauros invenit & carceres, in quos conditi multi Græci, multi etiam regis necessarii erant; qui quum habuissent se jamdudum pro deploratis, non tam Luculli beneficio sunt conservati, quam revixerunt, & quodammodo renati sunt. Inter cæteros soror Mithridatis Nyssa capta est magna ipsius salute. Illæ vero quæ remotissime a periculo & pacato loco repositæ videbantur apud Pharnaciam sorores & uxores, misere perierunt: ad quas necandas eunuchum Bacchidem ex fuga misit Mithridates. In multis duæ regis sorores fuerunt Roxane & Statira, quæ annis prope quadraginta in virginitate vixerant, & conjuges duæ Ionides natione, Berenice Chia, & Monime Milesia. Erat hujus celebre inter Græcos nomen, quod quum eam rex attentaret, & quindecim millia aureorum misisset, eatenus fuerit renisa, dum sponsalibus factis missoque diademate appellavit reginam. Ea ante quoque in perpetuo mœrore egerat, deploraveratque corporis sui venustatem, quæ dominum sibi pro viro, pro nuptiis autem & penatibus conciliasset custodiam barbarorum. Jam quod procul Græcia relegata speratis bonis quasi per somnium frueretur, & veris illis esset spoliata. Ubi jam adfuit Bacchides, eisque indixit mortem, quæ cuique facillima & levissima videretur, detractum capiti diadema collo aptavit, atque ex eo semetipsa suspendit. Quo cito abrupto, Execrabilis fascia, inquit, ne hic quidem eris
mihi

σιμον ἔσῃ; κἀκεῖνο μὲν ἀπέρριψε προσπτύσασα, τῷ δὲ Βακχίδῃ τὴν σφαγὴν παρέσχεν. ἡ δὲ Βερενίκη, κύλικα φαρμάκου λαβοῦσα, τῆς μητρὸς αὐτῇ παρούσης καὶ δεομένης μετέδωκε· καὶ συνεξέπιον μὲν ἀμφότεραι. ἤρκεσε δὲ ἡ τοῦ φαρμάκου δύναμις εἰς τὸ ἀσθενέστερον σῶμα· τὴν δὲ Βερενίκην, οὐχ ὅσον ἔδει πιοῦσαν, οὐκ ἀπήλλαξεν, ἀλλὰ δυσθανατοῦσα τοῦ Βακχίδου σπεύδοντος ἀπεπνίγη. λέγεται δὲ καὶ τῶν ἀγάμων ἀδελφῶν ἐκείνων, τὴν μὲν ἐπαρωμένην πολλὰ καὶ λοιδοροῦσαν ἐκπιεῖν τὸ φάρμακον, τὴν δὲ Στάτειραν, οὔτε δύσφημόν τι φθεγξαμένην, οὐδ' ἀγεννές, ἀλλ' ἐπαινοῦσαν τὸν ἀδελφὸν, ὅτι περὶ τοῦ σώματος κινδυνεύων, οὐκ ἠμέλησεν αὐτῶν, ἀλλὰ προὐνόησεν ἐλευθέρας καὶ ἀνυβρίστους ἀποθανεῖν. ταῦτα μὲν οὖν φύσει χρηστὸν ὄντα καὶ φιλάνθρωπον ἠνία τὸν Λούκουλλον.

Ἐλάσας δ' ἄχρι Ταλαύρων ἦλθεν. ἡμέρᾳ δὲ τετάρτῃ πρῶτον ἐφθάκει Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται. καταστρεψάμενος δὲ Χαλδαίους καὶ Τιβαρηνοὺς, καὶ τὴν μικρὰν Ἀρμενίαν παραλαβὼν, καὶ φρούρια καὶ πόλεις παραστησάμενος, Ἄππιον μὲν ἔπεμψε πρὸς Τιγράνην, ἐξαιτῶν Μιθριδάτην· αὐτὸς δ' ἧκε πρὸς Ἀμισὸν ἔτι πολιορκουμένην. αἴτιος δ' ἦν Καλλίμαχος ὁ στρατηγὸς, ἐμπειρίᾳ μηχανικῆς παρασκευῆς, καὶ δεινότητι πανουργίας, ὅσην πολιορκία δέχεται, πλεῖστα λυπήσας Ῥωμαίους· ὧν ὕστερον ἔδωκε δίκην. τότε δ' ὑπὸ Λουκούλλου καταστρατηγηθεὶς, ὑφ' ἣν ἔθος εἶχεν ὥραν τῆς ἡμέρας ἀπάγειν καὶ ἀναπαύειν τοὺς στρατιώτας, ἐν ἐκείνῃ προσβαλόντος αἰφνιδίως, καὶ κατασχόντος οὐ πολὺ μέρος

mihi utilis? Tum illud projecit conspuitque, ac jugulum obtulit Bacchidi. Berenice autem poculum veneni sumpsit, cujus portionem matri dedit præsenti & petenti, unaque ebiberunt ambæ. Valuit autem in corpus imbecillius vis veneni: Berenicen vero, quæ minus justo hauserat, non abstulit: quum igitur diu animam ageret, accelerante Bacchide strangulata est. Ferunt etiam ex innuptis illis sororibus, alteram post multas in fratrem execrationes & probra virus epotasse, Statiram vero nihil gravius aut abjectius loquutam, sed collaudato fratre, quod de sua vita in discrimen vocatus, rationem habuisset etiam ipsarum, prospexisſetque, ut citra contumeliam vitam ponerent liberæ. Atque hæc quidem clementem natura & humanum momorderunt Lucullum.

Insequendo Talaurorum tenus pervenit. Unde, quum quarto jam die Mithridates prævertisset in Armeniam ad Tigranem fugere, retro concessit. Subactis Chaldæis & Tibarenis, & Armenia minore potitus, subjugatis item arcibus & urbibus, misit Appium ad Tigranem Mithridatis exposcendi causa. Hinc Amisum profectus est, quæ adhuc obsidebatur. In causa præfectus erat Callimachus, qui scientia apparatus machinalis & omnis vi versutiæ, cujus in obsidione usus sit, vehementissime fatigavit Romanos: ob quod post pœnas exsolvit. Hic tunc solertia & consilio est victus Luculli, qui qua diei hora abducere & reficere consueverat milites, ea adortus est mœnia. Quorum quum modicam partem

ρος τοῦ τείχους, αὐτὸς ἐκλιπὼν τὴν πόλιν ὑφῆψεν· εἴτε φθονῶν ὠφεληθῆναι Ῥωμαίους, εἴτε ῥᾳστώνην φυγῆς ἑαυτῷ μηχανώμενος. οὐδεὶς γὰρ ἐφρόντιζε τῶν ἐκπλεόντων, ἀλλὰ καὶ ὡς ἡ φλὸξ ἀναδραμοῦσα πολλὴ τὰ τείχη περιέσχεν, καὶ οἱ μὲν στρατιῶται παρεσκευάζοντο πρὸς ἁρπαγήν, ὁ δὲ Λούκουλλος, οἰκτείρων ἀπολλυμένην τὴν πόλιν, ἔξωθεν ἐβοήθει πρὸς τὸ πῦρ, καὶ σβεννύναι παρεκάλει, μηδενὸς αὐτῷ προσέχοντος, ἀλλ' ἐξαιρουμένων τὰ χρήματα, καὶ μετὰ βοῆς ὅπλα κρουόντων, ἕως ἐκβιασθεὶς ἐπέτρεψεν, ὡς αὐτήν γε τὴν πόλιν ἐξαιρησόμενος τοῦ πυρός. οἱ δὲ τοὐναντίον ἔπραξαν· πάντα γὰρ ἐξερευνῶντες ὑπὸ λαμπάδων καὶ πανταχοῦ φῶς ἐπιφέροντες, αὐτοὶ τὰ πλεῖστα τῶν οἰκημάτων καθεῖλον· ὥστε τὸν Λούκουλλον, εἰσελθόντα μεθ' ἡμέραν καὶ δακρύσαντα, πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πολλάκις ἤδη Σύλλαν μακαρίσας, μάλιστα τῇ σήμερον ἡμέρᾳ τὴν τἀνδρὸς εὐτυχίαν θαυμάσειεν, ὅτι σῶσαι βουληθεὶς ἐδυνήθη τὰς Ἀθήνας. Ἐμὲ δ', ἔφη, τούτου ζηλωτὴν γενόμενον, εἰς τὴν Μομμίου δόξαν ὁ δαίμων περιέστησεν. οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων ἀναλαμβάνειν ἐπειρᾶτο τὴν πόλιν. καὶ τὸ μὲν πῦρ ὄμβροι κατέσβεσαν ἔκ τινος θείας τύχης περὶ τὴν ἅλωσιν αὐτῆς συμπεσόντες. τὰ δὲ πλεῖστα τῶν ἀπολωλότων αὐτὸς ἔτι παρὼν ἀνῳκοδόμησε, καὶ τοὺς φεύγοντας Ἀμισηνῶν ἐδέξατο, καὶ τῶν ἄλλων Ἑλλήνων κατῴκισε τοὺς βουλομένους, εἴκοσι καὶ ἑκατὸν σταδίων χώραν προσορίσας. ἦν δ' ἡ πόλις Ἀθηναίων ἄποικος, ἐν ἐκείνοις ἄρα τοῖς καιροῖς ἐν οἷς ἤκμαζεν ἡ δύναμις αὐτῶν, καὶ κατεῖχε τὴν θάλασσαν, οἰκισθεῖσα. καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν Ἀριστίωνος τυραννίδα βου-

partem cepiſſet, ille, vel quod prædam invideret Romanis, vel quo facultatem ſibi evadendi ſtrueret, deſeruit incenditque urbem. Nemo enim morabatur ſolventes. Verum ut vis flammæ ſublata muros comprehendit, accingebant ſe milites ad prædam. At Lucullus intereuntis miſertus urbis foris voluit prohibere ignem, atque ad reſtinguendum adhortatus eſt milites. Cæterum nemo obtemperabat ei, ſed eruebant opulentiam, clamanteſque arma concrepabant, donec vi adactus, quo urbem ipſam certe eriperet ex incendio, permiſit eis prædam. Illi vero diverſum egerunt. Quum enim ad faces rimarentur omnia, & omnes in angulos lumen inferrent, ipſi pleraque ædificia concremavere. Quare ingreſſus poſtridie urbem Lucullus, ad amicos lacrymabundus dixit, cum crebro jam fortunam ſe Syllæ ſuſpexiſſe, tum eo die fœlicitatem illius duxiſſe admirandum, quod ſervare urbem Athenienſem quum vellet, potuiſſet: Me hujus æmulum (inquit) ad Mommii detruſit ſors exiſtimationem. Attamen urbem enixus eſt præſenti facultate erigere. Flammam quidem imber, dum capitur urbs, divino quodam caſu effuſus extinxit. Pleraque ipſe ante diſceſſum ſuum, quæ diruta fuerint, inſtauravit. Profugos Amiſenorum excepit, aliiſque Græcis, quicunque vellent, frequentavit urbem, agrumque iis viginti & centum ſtadiorum attribuit. Colonia hæc civitas erat Athenienſium, quo tempore florebant opibus & imperium maris obtinebant, condita. Unde qui Ariſtonis tyrannidem volebant defugere,

βουλομένων φεύγειν, εἰσπλεύσαντες αὐτοῦ κατῴκουν, καὶ μετεῖχον τῆς πολιτείας, οἷς συνέβη τὰ οἰκεῖα διαφεύγουσιν ἀπολαῦσαι τῶν ἀλλοτρίων. ἀλλὰ τούς γε σωθέντας αὐτῶν ὁ Λούκουλλος ἀμφιέσας καλῶς, καὶ διακοσίας ἑκάστῳ δραχμὰς ἐπιδοὺς ἀπέστειλε. τότε καὶ Τυραννίων ὁ γραμματικὸς ἑάλω. Μουρήνας δ' αὐτὸν ἐξῃτήσατο, καὶ λαβὼν ἀπηλευθέρωσεν, ἀνελευθέρως τῇ δωρεᾷ χρησάμενος. οὐ γὰρ ἠξίου Λούκουλλος ἄνδρα διὰ παιδείαν ἐσπουδασμένον, δοῦλον γενέσθαι πρότερον, εἶτα ἀπελεύθερον. ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης, ἡ τῆς δοκούσης ἐλευθερίας δόσις. ἀλλὰ Μουρήνας μὲν οὐκ ἐνταῦθα μόνον ὤφθη πολὺ τῆς τοῦ στρατηγοῦ καλοκαγαθίας ἀποδέων.

Λούκουλλος δὲ τρέπεται πρὸς τὰς ἐν Ἀσίᾳ πόλεις, ὅπως τῶν πολεμικῶν ἔργων σχολάζοντος αὐτοῦ, καὶ δίκης τινὸς μετάσχῃ καὶ θεσμῶν, ὧν ἐπὶ πολὺν χρόνον ἐνδεῆ τὴν ἐπαρχίαν οὖσαν ἄρρητοι καὶ ἄπιστοι δυστυχίαι κατεῖχον, ὑπὸ τῶν τελωνῶν καὶ τῶν δανειστῶν πορθουμένην καὶ ἀνδραποδιζομένην, πιπράσκειν ἰδίᾳ μὲν υἱοὺς εὐπρεπεῖς, θυγατέρας δὲ παρθένους, δημοσίᾳ δ' ἀναθήματα, γραφὰς, ἱεροὺς ἀνδριάντας, ἀναγκαζομένων αὐτοῖς δὲ τέλος μὲν ἦν προσθέτοις γενομένοις δουλεύειν. τὰ δὲ πρὸ τούτου χαλεπώτερα, σχοινισμοὶ καὶ κιγκλίδες καὶ ἵπποι, καὶ στάσεις ὕπαιθροι, καύματος μὲν ἡλίῳ, ψύχους δ' εἰς πηλὸν ἐμβιβαζομένων, ἢ πάγον· ὥστε τὴν δουλείαν σεισάχθειαν δοκεῖν εἶναι καὶ εἰρήνην. τοιαῦτα μὲν κακὰ Λούκουλλος εὑρὼν ἐν ταῖς πόλεσιν, ὀλίγῳ χρόνῳ πάντων ἀπήλλαξε τοὺς ἀδικουμένους. πρῶτον μὲν γὰρ ἑκατοστὴν ἐκέλευσε καὶ μὴ πλέον εἰς τοὺς τόκους λογίζεσθαι· δεύτερον δὲ, τοὺς μακροτέρους τοῦ ἀρχαίου τό-

gere, eo ſe habitatum contulerant, fuerantque in civitatem recepti. Quibus accedit, ut quum domeſtica mala declinaviſſent, inciderint in aliena. Cæterum quotquot horum incolumes fuerunt, hos veſtivit Lucullus honeſte, ducenaſque in capita drachmas largitus in patriam remiſit. Eadem tempeſtate captus eſt Tyrannio grammaticus. Hunc Murena petivit a Lucullo, quem ut accepit, manumiſit eum. Verum uſus eſt eo munere illiberaliter: nolebat enim inſigni virum eruditione Lucullus, prius ſervum fieri, inde libertinum. Quippe ereptio præſentis erat illa ſimulatæ libertatis donatio. Cæterum non hic tantum oſtendit ſe imperatore ſuo Murena honeſtate imparem.

Lucullus vero convertit ſe inde ad urbes Aſiæ, quo, dum a muneribus feriaretur bellicis, aliquid his impertiret juris & æquitatis: quibus jamdiu carentem, infandæ atque incredibiles calamitates oppreſſerant provinciam. Eam publicani & fœneratores depopulantes, & ſervilem in modum vexantes, provinciales diſtrahere privatim filios decoros filiaſque virgines, publica ornamenta, picturas, ſacraſque imagines cogebant. Ipſis hic erat exitus ut addicti ſervirent creditoribus. Hunc quæ antecedebant, atrociora erant, fidiculæ, carceres, equulei, ſtationes ſub dio per æſtum in ſole, hyeme in luto vel glacie; quo eos compulerunt, ut ſervitus his levamen onerum & pax quædam videretur. Eas peſtes quum Lucullus in oppidis reperiſſet, omnibus brevi læſos vindicavit. Primum enim centeſimam uſuram nec ſupra præcepit duci. Deinde eas quæ ſortem exceſſiſſent, cir-

τόκους ἀπέκοψε. τὸ δὲ τρίτον καὶ μέγιστον, ἔταξε τῶν τοῦ χρεωφειλέτου προσόδων τὴν τετάρτην μερίδα καρποῦσθαι τὸν δανειστήν. ὁ δὲ τόκον κεφαλαίῳ συνάψας, ἐστέρητο τοῦ παντός· ὥστ' ἐν ἐλάττονι χρόνῳ τετραετίας διαλυθῆναι τὰ χρέα πάντα, καὶ τὰς κτήσεις ἐλευθέρας ἀποδοθῆναι τοῖς δεσπόταις. ἦν δὲ τοῦτο κοινὸν δάνειον, ἐκ τῶν δισμυρίων ταλάντων, οἷς τὴν Ἀσίαν ἐζημίωσεν ὁ Σύλλας· καὶ διπλοῦν ἀπεδόθη τοῖς δανείσασιν ὑπ' ἐκείνων, ἀνηγμένον ἤδη τοῖς τόκοις εἰς δώδεκα μυριάδας ταλάντων. ἐκεῖνοι μὲν οὖν, ὡς δεινὰ παθόντες, ἐν Ῥώμῃ τοῦ Λευκόλλου κατεβόων, καὶ χρήμασιν ἀνίστασαν ἐπ' αὐτὸν ἐνίους τῶν δημαγωγῶν, μέγα δυνάμενοι, καὶ πολλοὺς ὑπόχρεως πεποιημένοι τῶν πολιτευομένων. ὁ δὲ Λεύκολλος οὐ μόνον ὑπὸ τῶν εὖ πεπονθότων ἠγαπᾶτο δήμων, ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπαρχίαις ποθεινὸς ἦν, εὐδαιμονιζούσαις τοὺς ἡγεμόνος τοιούτου τυχόντας.

Ἄππιος δὲ Κλώδιος, ὁ πεμφθεὶς πρὸς Τιγράνην, (ἦν δὲ ὁ Κλώδιος ἀδελφὸς τῆς τότε Λευκόλλῳ συνοικούσης) πρῶτον μὲν ὑπὸ τῶν βασιλικῶν ὁδηγῶν κύκλον τινὰ καὶ περιβολὴν ἔχουσαν οὐκ ἀναγκαίαν καὶ πολυήμερον ὁδὸν διὰ τῆς ἄνω χώρας ἀγόμενος, μηνύσαντος αὐτῷ τὴν εὐθεῖαν ὁδὸν ἀπελευθέρου, Σύρου τὸ γένος, ἐκτραπεὶς τῆς μακρᾶς ἐκείνης καὶ σοφιστικῆς, ἐρρῶσθαι φράσας πολλὰ τοῖς βαρβάροις ἀγωγοῖς καὶ δι' ἡμερῶν ὀλίγων τὸν Εὐφράτην περάσας, εἰς Ἀντιόχειαν ἧκε τὴν ἐπὶ Δάφνης. ἐπεὶ δὲ Τιγράνην αὐτοῦ κελευσθεὶς περιμένειν, (ἀπῆν γὰρ ἐνίας ἔτι τῶν ἐν Φοινίκῃ πόλε-

ων

circumduxit. Tertium & maximum ſanxit, ut acciperet creditor debitoris quartam partem proventuum. Si quis uſuras capiti adjunxiſſet, his univerſi crediti exigendi jus denegavit. Ita intra quadriennium omnia nomina diſſoluta, & poſſeſſiones ſunt dominis reſtitutæ liberæ. Erat publicum hoc æs alienum nomine viginti millium talentorum, quæ Aſiæ imperaverat luere Sylla. Hujus ſummæ ſolutum creditoribus duplum eſt, quæ uſuris redacta jam ab illis fuerat ad centum viginti millia talentorum. Illa vero velut magna injuria icti, Lucullum inſectati ſunt Romæ, atque hinc ſuis prævalidi opibus, hinc quod multos qui rempub. gerebant haberent obnoxios, nonnullos qui in concionibus dominabantur, concitarerunt in eum. At Lucullus non tantum a gentibus, de quibus bene meritus fuerat, diligebatur, verum erat etiam charus cæteris provinciis, quæ beatos ducebant illos qui talem nacti eſſent rectorem.

Porro Appius Clodius, qui legatus ad Tigranem profectus fuerat, (fuit autem hic Clodius frater ejus, quam tunc Lucullus in matrimonio habebat) quum primo a ducibus regiis traheretur per ſuperiores regiones, via præter neceſſitatem tortuoſa, flexuoſa, & prolixa, quouſque libertus ejus Syrus natione rectam indicavit, deflexit ductoribus repudiatis barbaris de prolixa illa & captioſa, paucisque diebus Euphrate ſuperato pervenit Antiochiam, quæ ad Daphnen eſt dicta. Ibi Tigranem operiri juſſus (aberat enim ſubjugans adhuc nonnullas Phœni-

ciæ

ὢν καταστρεφόμενος) πολλοὺς μὲν ᾠκειώσατο τῶν ὑπούλως ἀκροωμένων τοῦ Ἀρμενίου δυναστῶν, ὧν εἷς ἦν καὶ Ζαρβιηνὸς, ὁ τῆς Γορδυηνῆς βασιλεύς· πολλαῖς δὲ κρύφα τῶν δεδουλωμένων πόλεων διαπεμπομέναις πρὸς αὐτὸν, ὑπέσχετο τὴν Λουκούλλου βοήθειαν, ἐν τῷ παρόντι κελεύσας ἡσυχάζειν. ἦν γὰρ οὐκ ἀνασχετὴ τῶν Ἀρμενίων ἡ ἀρχὴ τοῖς Ἕλλησιν, ἀλλὰ χαλεπὴ, καὶ μάλιστα τοῦ βασιλέως αὐτοῦ τὸ φρόνημα τραγικὸν καὶ ὑπέρογκον ἐν ταῖς μεγάλαις εὐτυχίαις ἐγεγόνει, πάντων ὅσα ζηλοῦσιν οἱ πολλοὶ καὶ θαυμάζουσιν, οὐ μόνον τῶν περὶ αὐτὸν, ἀλλὰ καὶ δι' αὐτὸν γεγονέναι δοκούντων. ἀρξάμενος γὰρ ἀπὸ μικρᾶς καὶ καταφρονουμένης ἐλπίδος, ἔθνη πολλὰ κατεστρέψατο, καὶ τὴν Πάρθων, ὡς ἄλλος οὐδεὶς, δύναμιν ἐταπείνωσεν, Ἑλλήνων δὲ τὴν Μεσοποταμίαν ἐνέπλησε, πολλοὺς μὲν ἐκ Κιλικίας, πολλοὺς δ' ἐκ Καππαδοκίας ἀνασπάστους κατοικίζων. ἐκίνησε δ' ἐξ ἠθῶν καὶ Ἄραβας τοὺς Σκηνίτας μεταγαγὼν, καὶ πλησίον ἱδρύσας, ὅπως χρῷτο δι' ἐκείνων ταῖς ἐμπορείαις. βασιλεῖς δὲ, πολλοὶ μὲν ἦσαν οἱ θεραπεύοντες αὐτὸν, τέσσαρες δὲ, οὓς ἀεὶ περὶ αὐτὸν εἶχεν, ὥσπερ ὀπαδοὺς ἢ δορυφόρους, ἱππότῃ μὲν ἐλαύνοντι πεζοὺς παραθέοντας ἐν χιτωνίσκοις, καθημένῳ δὲ καὶ χρηματίζοντι παρεστῶτας ἐπηλλαγμέναις δι' ἀλλήλων ταῖς χερσίν· ὅπερ ἐδόκει μάλιστα τῶν σχημάτων ἐξομολόγησις εἶναι δουλείας, οἷον ἀποδομένων τὴν ἐλευθερίαν, καὶ τὸ σῶμα τῷ κυρίῳ παρεχόντων παθεῖν ἑτοιμότερον ἢ ποιῆσαι. ταύτην μέντοι τὴν τραγῳδίαν οὐχ ὑποτρέσας, οὐδ' ἐκπλαγεὶς Ἄππιος, ὡς ἔτυχε λόγου πρῶτον, ἄντικρυς ἥκειν ἔφη Μιθριδάτην ἀπάξων, ὀφει-

ciæ urbes) complures dynastas, qui non ex animo parebant Armenio, conciliavit: in quibus Gordyenorum rex fuit Zarbienus. Multis insuper domitis a Tigrane civitatibus, quæ legatos clam ad ipsum miserant, Luculli opem promisit, jussis in præsenti nihil movere. Erat enim Græcis intolerandum Armeniorum & durum imperium. Spiritus præsertim ipsius regis ita arrogantes & inflati ex cursu rerum tam prospero evaserant, ut quicquid mortales optant & suspiciunt, non modo in arbitrio esse suo, sed & propter se arbitraretur natum. Nam a tenui & contempta exorsus spe, multas gentes in ditionem suam redegit, Parthorumque, ut nullus alius, obtrivit imperium. Mesopotamiam Græcis incolis frequentavit, quos frequentes ex Cilicia, frequentes ex Cappadocia sedibus suis extractos illic collocavit. Movit præterea ex loco vivendi consueto Arabas Scenitas, eosque traduxit ac propius locavit, ut eorum opera uteretur commerciis. Reges serviebant ei multi. Quatuor autem habebat in comitatu suo apparitorum vel satellitum loco. Hi, si equo incederet, pedibus juxta in tunicis currebant. In solio sedenti & responsa gentibus danti apparebant pectinatim complicatis inter se manibus; quæ videbatur effigies præcipue confessio esse servitutis, quasi vendita libertate corpus offerentium ad patiendum quam ad agendum paratius. Hanc tamen non formidans pompam neque attonitus Appius, ut primum ei data audientia est, diserte se dixit venisse, ut Mithridatem Lu-

ἀφελόμενον τοῖς Λουκούλλου θριάμβοις, ἢ καταγγέλλειν Τιγράνῃ πόλεμον· ὥστε τὸν Τιγράνην, καίπερ ἐν διαχύσει τοῦ προσώπου καὶ μειδιάματι πεπλασμένῳ πειρώμενον ἀκούειν τῶν λόγων, μὴ λαθεῖν τοὺς παρόντας ἠλλοιωμένον τῇ παρρησίᾳ τοῦ νεανίσκου, φωνῆς σχεδὸν ἐλευθέρας ἀκούοντι διὰ πέντε καὶ εἴκοσιν ἐτῶν· τοσαῦτα γὰρ ἐβασίλευσε, μᾶλλον δὲ ὕβρισεν. ἀπεκρίνατο μὲν οὖν τῷ Ἀππίῳ μὴ προήσεσθαι Μιθριδάτην, καὶ Ῥωμαίους πολέμου ἄρχοντας ἀμυνεῖσθαι. Λουκούλλῳ δ' ὀργιζόμενος, ὅτι βασιλέα μόνον αὐτὸν, οὐ βασιλέων, ἐν τῇ ἐπιστολῇ προσηγόρευσεν, οὐδ' αὐτὸς ἀντιγράφων αὐτοκράτορα προσεῖπεν. ἔπεμψε δὲ δῶρα τῷ Ἀππίῳ λαμπρὰ, καὶ μὴ λαβόντος, ἄλλα πλείω προσέθηκεν. ἐκ τούτων ὁ Ἄππιος, οὐκ ἐθέλων δοκεῖν ἔχθρᾳ τινὶ διωθεῖσθαι, φιάλην δεξάμενος μίαν, ἀπέπεμψε τὰ λοιπὰ, καὶ διὰ ταχέων ἀπήλαυνε πρὸς τὸν αὐτοκράτορα.

Τιγράνης δὲ Μιθριδάτην πρότερον μὲν οὐδὲ ἰδεῖν ἠξίωσεν, οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς· τότε δὴ σὺν τιμῇ καὶ φιλοφροσύνῃ μετεπέμψατο αὐτόν. καὶ δὴ λόγων εἰς τὰ βασίλεια γενομένων ἀπορρήτων, τὰς πρὸς ἀλλήλους ἐθεράπευον ὑποψίας ἐπὶ κακῷ τῶν φίλων, εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. ὧν ἦν καὶ Μητρόδωρος ὁ Σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀηδὴς, καὶ πολυμαθὴς, ἀκμῇ δὲ φιλίας τοσαύτῃ χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. τοῦτον, ὡς ἔοικεν, ὁ Τιγράνης πεμφθέντα πρεσβευτὴν

ὑπὸ

Luculli triumphis debitum abduceret, alioquin indicare Tigrani ſe bellum: ut Tigranem, quamvis vultu ſereno & ad riſum compoſito audire verba Appii eniteretur, notaverit corona juvenis libertate commotum, qui tunc poſt annos ferme viginti quinque liberam vocem audivit. Tot enim regnaverat, vel potius graſſatus fuerat. Reſponſum tamen dedit Appio, ſe non deſerturum Mithridatem, & Romanis, ſi bellum intuliſſent, reſtiturum. Lucullo vero infenſus, quod regem ſe tantum, non regem regum in epiſtola ſalutaviſſet, nec ipſe imperatorem illum reſcribens ſalutavit. Dona tamen Appio ſplendida miſit: quæ quum non caperet, alia adjecit plura. Ex his Appius, ne ea videretur offenſione aliqua repudiare, phiala una accepta remiſit reliqua, ac celeri curſu eſt ad imperatorem regreſſus.

Tigranes autem Mithridatem ante neque in conſpectum admittere, neque alloqui affinem, qui tantum regnum amiſerat, fuerat dignatus, ſed contemptim & ſuperbe rejecerat remotiſſime in locis paluſtribus & inſalubribus quodammodo cuſtodia ſeptum. Tunc vero accerſivit eum honorifice & humaniter. Hi in colloquio, quod habuerunt in regia arcanum, mutuas ſuſpiciones in capita lenierunt amicorum, in quos cauſas detorſere. Eorum de numero Metrodorus Scepſius fuit, lepidæ vir facundiæ & variæ eruditionis, in eum autem gradum provectus amicitiæ, ut parens regis diceretur. Hunc Tigranes legatum ad ſe

a

ὑπὸ τοῦ Μιθριδάτου πρὸς αὐτὸν, δεομένου βοηθεῖν ἐπὶ Ῥωμαίους, ἤρετο· σὺ δ' αὐτὸς ὦ Μητρόδωρε τί μοι περὶ τούτων παραινεῖς; κἀκεῖνος, εἴτε πρὸς τὸ Τιγράνου συμφέρον, εἴτε Μιθριδάτην σῴζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτὴς, ἔφη κελεύειν, ὡς δὲ σύμβουλος, ἀπαγορεύειν. ταῦτ' ἐξήνεγκεν ὁ Τιγράνης τῷ Μιθριδάτῃ, καὶ κατεῖπεν ὡς οὐδὲν ἐργασομένῳ τὸν Μητρόδωρον ἀνήκεστον. ὁ δ' εὐθὺς ἀνῄρητο, καὶ μετάνοια τὸν Τιγράνην εἶχεν, οὐ παντελῶς ὄντα τῷ Μητροδώρῳ τῆς συμφορᾶς αἴτιον, ἀλλὰ ῥοπήν τινα πρὸς αὐτὸν ἔχθει τοῦ Μιθριδάτου προσθέντα. πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν ἄνδρα, καὶ τοῦτ' ἐφωράθη τῶν ἀπορρήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ Μητρόδωρος ἀπολέσθαι διατεταγμένος. ἔθαψεν οὖν ὁ Τιγράνης λαμπρῶς τὸ σῶμα, μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρὸν, ὃν ζῶντα προὔδωκεν. ἐτελεύτησε δὲ παρὰ τῷ Τιγράνῃ καὶ Ἀμφικράτης ὁ ῥήτωρ· εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς Ἀθήνας. λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς Σελεύκειαν τὴν ἐπὶ Τίγριδι· δεομένων δ' αὐτόθι σοφιστεύειν, ὑπεριδεῖν, καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δελφῖνα χωρεῖν· μεταστάντα δὲ πρὸς Κλεοπάτραν τὴν Μιθριδάτου θυγατέρα, Τιγράνῃ δὲ συνοικοῦσαν, ἐν διαβολῇ γενέσθαι ταχὺ, καὶ τῆς πρὸς τοὺς Ἕλληνας ἐπιμιξίας εἰργόμενον ἀποκαρτερῆσαι. ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς Κλεοπάτρας, καὶ κεῖσθαι περὶ Σαφὰν, ἐκεῖ τι χωρίον οὕτω καλούμενον.

Λούκουλλος δὲ τὴν Ἀσίαν πολλῆς μὲν εὐνομίας, πολλῆς δ' εἰρήνης ἐμπεπληκὼς, οὐδὲ τῶν πρὸς ἡδονὴν καὶ χάριν ἠμέλησεν, ἀλλὰ πομπαῖς καὶ πανη-

a Mithridate missum ad petendum contra Romanos subsidium rogavit, Tu vero quid mihi hic Metrodore suades? Ille sive ad id quod Tigrani expediret, sive quod salvum nollet Mithridatem, Ut legatus (inquit) consulo, ut consiliarius deterreo. Id aperuit & renuntiavit Tigranes Mithridati, nihil eum arbitratus de Metrodoro gravius consulturum: at ille hunc interfecit protinus. Tigranem quidem pœnituit facti, licet non ex toto perniciem Metrodoro invexerat, sed momentum aliquod adjunxerat in eum Mithridatis odio; quando jampridem oderat eum, quod in captis illius sanctuariis est deprehensum ex commentariis, in quibus cædes ejus erat inter alias decreta. Cadaver hujus funeravit Tigranes splendide, neque ulli magnificentiæ pepercit in mortuum, quem vivum prodiderat. Decessit etiam apud Tigranem Amphicrates orator: si hic quoque memorandus Athenarum gratia est. Exulasse dicitur Seleuciæ super Tigrim positæ: rogantes autem cives ut ludum ibi aperiret, rejecisse, respondens arroganter, nec patinam delphini capacem esse. Quum vero inde contulisset se ad Mithridatis filiam Tigrani nuptam, cito pressus calumniis fuisse, atque interdicta sibi Græcorum consuetudine vitam inedia finiisse. Quem item honorifice aiunt a Cleopatra elatum, ac sepultum juxta Sapham, castellum quoddam ita appellatum.

Porro Lucullus, ubi Asiam multis præclaris legibus, alta etiam pace confirmavit, nec voluptates & festivitates præteriit, verum specta-

πανηγύρεσιν ἐπινικίοις, καὶ ἀγῶσιν ἀθλητῶν καὶ μονομάχων ἐν Ἐφέσῳ καθήμενος ἐδημαγώγει τὰς πόλεις. αἱ δ᾽ ἀμειβόμεναι, Λουκούλλειά τε ἦγον ἐπὶ τιμῇ τοῦ ἀνδρὸς, καὶ τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν αὐτῷ παρεῖχον. ἐπεὶ δ᾽ Ἄππιός τε ἧκε, καὶ πολεμητέον πρὸς Τιγράνην ἐφαίνετο, παρῆλθεν αὖθις εἰς Πόντον· καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἐπολιόρκει Σινώπην, μᾶλλον δὲ τοὺς κατέχοντας αὐτὴν βασιλικοὺς Κίλικας, οἳ πολλοὺς μὲν ἀνελόντες τῶν Σινωπέων, τὴν δὲ πόλιν ἐμπρήσαντες, διὰ νυκτὸς ἔφυγον. αἰσθόμενος δ᾽ ὁ Λούκουλλος, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὀκτακισχιλίους αὐτῶν τοὺς ἐγκαταλειφθέντας ἀπέκτεινεν, τοῖς δ᾽ ἄλλοις ἀπέδωκε τὰ οἰκεῖα καὶ τῆς πόλεως ἐπεμελήθη, μάλιστα διὰ τὴν τοιαύτην ὄψιν. ἐδόκει τινὰ κατὰ τοὺς ὕπνους εἰπεῖν παραστάντα, πρόελθε Λούκουλλε μικρόν· ἥκει γὰρ Αὐτόλυκος ἐντυχεῖν σοι βουλόμενος. ἐξαναστὰς δὲ, τὴν μὲν ὄψιν οὐκ εἶχε συμβαλεῖν εἰς ὅ, τι φέροι· τὴν δὲ πόλιν εἷλε κατ᾽ ἐκείνην τὴν ἡμέραν, καὶ τοὺς ἐκπλέοντας τῶν Κιλίκων διώκων, ὁρᾷ παρὰ τὸν αἰγιαλὸν ἀνδρειάντα κείμενον, ὃν ἐκκομίζοντες οἱ Κίλικες οὐκ ἔφθασαν ἐμβαλέσθαι. τὸ δ᾽ ἔργον ἦν Σθένιδος τῶν καλῶν. φράζει οὖν τις ὡς Αὐτολύκου τοῦ κτίσαντος τὴν Σινώπην ὁ ἀνδρειὰς εἴη. λέγεται δ᾽ ὁ Αὐτόλυκος γενέσθαι τῶν ἐπὶ τὰς Ἀμαζόνας ἐκ Θετταλίας Ἡρακλεῖ συστρατευσάντων, Δηϊμάχου παῖς· ἐκεῖθεν δ᾽ ἀποπλέων ἅμα Δημολέοντι καὶ Φλογίῳ, τὴν μὲν ναῦν ἀπολέσαι, περιπεσοῦσαν τῆς Χερρονήσου κατὰ τὸ καλούμενον Πηδάλιον, αὐτὸς δὲ σωθεὶς μετὰ τῶν ὅπλων καὶ τῶν ἑταίρων πρὸς

ſpectaculis, feſtis triumphalibus, muneribuſque athleticis & gladiatoriis civitates Epheſi reſidens oblectavit. Hæ celebraverunt viciſſim in illius honorem Lucullia, jucundioremque eo honore veram præſtiterunt illi benevolentiam. Ut rediit Appius, & bellum gerendum cum Tigrane apparuit, contendit iterum Lucullus in Pontum, motiſque caſtris Sinopen, vel potius illos qui eam tenebant, a Mithridatis partibus ſtantes obſedit Cilicas: qui, multis trucidatis civium Sinopenſium atque urbe inflammata, nocte ceperunt fugam. Quod quum ſenſiſſet Lucullus, urbem ingreſſus interfecit ex iis qui remanſerant octo millia: cæteris res ſuas reſtituit, urbemque curæ habuit ex hujuſcemodi præſertim viſo: Viſus eſt ei in ſomnis adſiſtere quiſpiam qui diceret, Progredere paululum Luculle: venit enim Autolycus, ut te conveniat. Ubi ſurrexit, non potuit aſſequi conjectura quo id tenderet: ſed urbem illo die cepit, atque in perſequendo Cilicas, qui navibus fugam capeſſebant, jacentem cernit in littore ſtatuam, quam exportantes Cilices non habuerant ſatis ſpatii ut imponerent navigio. Opus erat ex præcipuis Sthenidis. Declaravit autem ei quiſpiam Autolyci eſſe, qui Sinopen condidit, ſtatuam. Fertur Autolycus fuiſſe inter Herculis commilitones, qui, ex Theſſalia profecti, bellum Amazonibus intulere, Deimachi filius. Dum inde cum Demoleonte & Phlogio revehitur, fregiſſe navem, quæ in locum Cherſoneſi impegit, Pedalion appellatum, atque ubi incolumis cum amicis & ſociis eſt Sino-

πρὸς τὴν Σινώπην, ἀφελέσθαι τοὺς Σύρους τὴν πόλιν. Σύροι γὰρ αὐτὴν κατεῖχον, ἀπὸ Σύρου γεγονότες τοῦ Ἀπόλλωνος, ὡς λέγεται, καὶ Σινώπης τῆς Ἀσωπίδος. ταῦτ᾽ ἀκούων ὁ Λούκουλλος, ἀνεμιμνήσκετο τῆς Σύλλα παραινέσεως. παραινεῖ δὲ διὰ τῶν ὑπομνημάτων ἐκεῖνος, μηδὲν οὕτως ἀξιόπιστον ἡγεῖσθαι καὶ βέβαιον, ὡς ὅ,τι ἂν ἀποσημανθῇ διὰ τῶν ἐνυπνίων. πυνθανόμενος δὲ Μιθριδάτην τε καὶ Τιγράνην εἰς Λυκαονίαν καὶ Κιλικίαν ὅσον οὔπω διαβιβάζειν δύναμιν, ὡς προτέρους ἐμβαλοῦντας εἰς τὴν Ἀσίαν, ἐθαύμαζε τὸν Ἀρμένιον, εἰ γνώμην ἔχων ἐπιθέσθαι Ῥωμαίοις, ἀκμάζοντι μὲν οὐκ ἐχρῆτο Μιθριδάτῃ πρὸς τὸν πόλεμον, οὐδ᾽ ἐρρωμένοις τοῖς ἐκείνου τὰ παρ᾽ αὐτοῦ συνῆπτεν· ἀπολέσθαι δ᾽ ἐάσας καὶ συντριβῆναι, νῦν ἐπὶ ψυχραῖς ἐλπίσιν ἄρχεται πολέμου, τοῖς ἀναστῆναι μὴ δυναμένοις συγκαταβάλλων ἑαυτόν.

Ἐπειδὴ δὲ καὶ Μαχάρης ὁ Μιθριδάτου παῖς ἔχων τὸν Βόσπορον, ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος Ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος, ἤδη οἰόμενος τὰ τοῦ προτέρου πολέμου πέρας ἔχειν, Σωρνάτιον μὲν αὐτοῦ φύλακα τῶν πολιτικῶν ἀπέλιπε μετὰ στρατιωτῶν ἑξακισχιλίων· αὐτὸς δὲ μυρίους μὲν ἄγων καὶ δισχιλίους πεζούς, ἱππεῖς δὲ τρισχιλίων ἐλάττους, ἐπὶ τὸν δεύτερον ἐχώρει πόλεμον, ὁρμῇ τινι δοκῶν παραβόλῳ καὶ σωτήριον οὐκ ἐχούσῃ λογισμόν, ἐμβαλεῖν αὐτὸν εἰς ἔθνη μάχιμα, καὶ μυριάδας ἱππέων πολλάς, καὶ ἀχανῆ χώραν, βαθέσι μὲν ποταμοῖς, ἀεὶ δὲ κατανιφομένοις ὄρεσι περιεχομένην· ὥστε τοὺς μὲν στρατιώτας, οὐδ᾽ ἄλλως ὄντας εὐτάκτους, ἄκοντας ἕπεσθαι καὶ ζυγομαχοῦντας, ἐν δὲ Ῥώμῃ καταβο-

ᾶν

Sinopen delatus, Syris ademiſſe urbem. Nam Syri eam habebant, Syro, uti fama eſt, Apollinis & Sinope Aſopidis filio orti. Quibus auditis ſubierunt Lucullo Syllæ præcepta. Siquidem monet in commentariis ille, nihil perinde fidele duceret & firmum, ac quod in ſomniis demonſtraretur. Poſtquam autem nuntiatum eſt Mithridatem & Tigranem jamjam exercitum in Lycaoniam & Ciliciam tranſportaturos, priores ut in Aſiam irrumperent, demiratus eſt Armenium, quod, quum ſtatuiſſet arma populo Romano inferre, Mithridate non fuiſſet ad bellum uſus florente, neque cum validis illius rebus ſuas conſociaſſet, verum ubi permiſit eum perire & opprimi, tunc demum affectaret frigida ſpe bellum, atque una cum reſurgere non valentibus præcipitem ſemetipſum ageret.

Ut vero jam Mithridatis filius Machares, qui Boſphorum obtinebat, mille aureorum coronam Lucullo miſit, petens ut amicus & ſocius populi Romani appellaretur, prius bellum ratus patratum eſſe, Sornatium ibi ad ordinandam provinciam cum ſex millibus militum reliquit, ac duodecim millibus peditum, equitum minus tribus millibus ad ſecundum bellum perrexit. Impetu autem apparebat eum præcipiti nec ſano conſilio in gentes bellicoſas ſe infinitaſque equitum turmas ac vaſtam regionem, altis amnibus & montibus perpetua tectis nive circumfuſam conjicere. Hic milites nec alias ſatis dicto audientes reluctari ei & gravate ſequi: Romæ obtrectare ei tribuni

buni

ᾶν καὶ διαμαρτύρεσθαι τοὺς δημαγωγούς, ὡς πόλεμον ἐκ πολέμου διώκει Λούκουλλος, οὐδὲν τῆς πόλεως δεομένης, ἀλλ' ὑπὲρ τοῦ στρατηγῶν μηδέποτε καταθέσθαι τὰ ὅπλα, μηδὲ παύσασθαι χρηματιζόμενος ἀπὸ τῶν κοινῶν κινδύνων. οὗτοι μὲν οὖν ἐξειργάσαντο χρόνῳ τὴν αὐτῶν ὑπόθεσιν. Λούκουλλος δὲ συντόνως ὁδεύσας ἐπὶ τὸν Εὐφράτην, καὶ κατιόντα πολὺν καὶ θολερὸν ὑπὸ χειμῶνος εὑρών, ἤχαλλεν, ὡς διατριβῆς αὐτῷ καὶ πραγματείας ἐσομένης, συνάγοντι πορθμεῖα, καὶ πηγνυμένῳ σχεδίας. ἀρξάμενον δ' ἀφ' ἑσπέρας ὑποχωρεῖν τὸ ῥεῦμα, καὶ μειούμενον διὰ τῆς νυκτὸς, ἅμ' ἡμέρᾳ κοῖλον ὀφθῆναι παρέσχε τὸν ποταμόν. οἱ δ' ἐπιχώριοι νησῖδας ἐν τῷ πόρῳ μικρὰς διαφανείσας θεασάμενοι, καὶ τεναγίζοντα τὸν ῥοῦν ἐπ' αὐταῖς, προσεκύνουν τὸν Λούκουλλον, ὡς δὴ ὀλιγάκις τούτου συμβεβηκότος πρότερον· ἐκείνῳ δ' ἑκουσίως χειροήθη καὶ πρᾷον αὐτὸν ἐνδιδόντος τοῦ ποταμοῦ, καὶ παρέχοντος ἀπράγμονα καὶ ταχεῖαν τὴν διάβασιν. χρησάμενος οὖν τῷ καιρῷ, διεβίβαζε τὴν στρατιὰν, καὶ γίνεται σημεῖον αὐτῷ χρηστὸν ἅμα τῇ διαβάσει. βόες ἱεραὶ νέμονται Περσίας Ἀρτέμιδος, ἣν μάλιστα Θεῶν οἱ πέραν Εὐφράτου βάρβαροι τιμῶσι. χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον, ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι, χαράγματα φέρουσαι τῆς Θεοῦ, λαμπάδα· καὶ λαβεῖν ἐξ αὐτῶν, ὅταν δεηθῶσιν, οὐ πάνυ ῥᾴδιόν ἐστιν, οὐδὲ μικρᾶς πραγματείας. τούτων μία, τοῦ στρατοῦ διαβάντος τὸν Εὐφράτην, ἐλθοῦσα πρός τινα πέτραν, ἱερὰν τῆς Θεοῦ νομιζομένην, ἐπ' αὐτῆς ἔστη, καὶ καταβαλοῦσα τὴν κεφαλὴν, ὥσπερ αἱ δεσμῷ κατατεινόμεναι, θῦσαι τῷ Λουκούλλῳ

buni plebis, quiritarique bellum ex bello parum e repub. ſerere Lucullum, quo nunquam non cum imperio eſſet, neque arma deponeret, neque finem faceret quærendæ ex periculis publicis pecuniæ. Atqui hi quidem quod intendebant, tandem effecerunt. At Lucullus magnis itineribus pervenit ad Euphratem, quem ubi ex hyeme conſpexit inflatum turbidumque, ſolicitus fuit, dum cogantur pontones, & ratibus pons jungitur, moram veritus & difficultatem interventuram. Sed quum ſub veſperam cœpiſſet unda ſubſidere, per noctem extenuata, ubi diluxit, amnem ripis ſuis oſtendit clauſum. Incolæ autem ut exiſtere in alveo parvas inſulas animadvertere, curſumque aquæ circa eas placide ſtagnantem, adoraverunt Lucullum, quod haud temere id antea accidiſſet, fluviuſque ſe præberet illi tractabilem & placidum, tranſitumqne præſtaret expeditum & maturum. Ergo uſus opportunitate, traduxit exercitum. Offertur ei, ubi trajecit, lætum prodigium: Dianæ Perſicæ, quam eximie ſuper alia numina venerantur barbari trans Euphratem colentes, ſacræ paſcuntur boves. His ad victimam ſolum utuntur, de cætero vagantur liberæ, notam Deæ ferentes facem. Ex quibus capere aliquam ubi requirunt, haud ſane pronum eſt neque parvi laboris. Earum una, tranſgreſſo Euphratem exercitu, profecta ad petram quandam, quæ ſacra Deæ habetur, conſtitit in illa, demiſſoque capite, ut quæ reſte detrahuntur, præbuit ſemetipſa Lucullo

λῳ παρέχειν αὐτήν. ἔθυσε δὲ καὶ τῷ Εὐφράτῃ ταῦρον διαβατήρια. κἀκείνην μὲν αὐτοῦ τὴν ἡμέραν ηὐλίσατο, τῇ δ' ὑστεραίᾳ καὶ ταῖς ἐφεξῆς προῆγε διὰ τῆς Σωφηνῆς, οὐδὲν ἀδικῶν τοὺς ἀνθρώπους προσχωροῦντας αὐτῷ, καὶ δεχομένους τὴν στρατιὰν ἀσμένους. ἀλλὰ καὶ τῶν στρατιωτῶν φρούριόν τι δοκοῦν ἔχειν χρήματα πολλὰ βουλομένων λαβεῖν, Ἐκεῖνο, ἔφη, μᾶλλον τὸ φρούριον ἡμῖν ἐκκοπτέον ἐστὶ, δείξας τὸν Ταῦρον ἄπωθεν ὄντα, ταῦτα δ' ἀπόκειται τοῖς νικῶσι. συντείνας δὲ τὴν πορείαν, καὶ τὸν Τίγριν διαβὰς, ἐνέβαλεν εἰς τὴν Ἀρμενίαν.

Τιγράνῃ δ', ὡς ὁ πρῶτος ἀγγείλας ἥκοντα Λούκουλλον, οὐχ ἐχαίρησεν, ἀλλ' ἀπετέτμητο τὴν κεφαλὴν, οὐδεὶς ἄλλος ἔφραζεν, ἀλλ' ἀγνοῶν καθῆστο περικαιόμενος ἤδη τῷ πολεμίῳ πυρὶ, λόγους ἀκούων πρὸς χάριν, ὡς μέγας ὢν Λούκουλλος στρατηγὸς, εἰ πρὸς Ἐφέσῳ Τιγράνην ὑποσταίη, καὶ μὴ φεύγων εὐθὺς ἐξ Ἀσίας οἴχοιτο, τὰς τοσαύτας μυριάδας ἰδών. οὕτως οὔτε σώματος παντός ἐστι πολὺν ἄκρατον ἐνεγκεῖν, οὔτε διανοίας τῆς τυχούσης, ἐν εὐτυχήμασι μεγάλοις μὴ ἐκστῆναι τῶν λογισμῶν. πρῶτος δ' αὐτῷ τῶν φίλων ἐτόλμησε Μιθροβαρζάνης φράσαι τὸ ἀληθές. οὐχ οὗτος δὲ χρηστὸν ἠνέγκατο γέρας τῆς παρρησίας. ἐπέμφθη γὰρ εὐθὺς ἐπὶ τὸν Λούκουλλον σὺν ἱππεῦσι τρισχιλίοις, πεζοῖς δὲ παμπόλλοις, κελευσθεὶς τὸν μὲν στρατηγὸν ἄγειν ζῶντα, τοὺς δ' ἄλλους καταπατῆσαι. Λουκούλλῳ δὲ, τῆς στρατιᾶς ἡ μὲν ἤδη κατεζεύγνυεν, ἡ δὲ ἔτι προσῄει. τῶν δὲ σκοπῶν αὐτῷ φρασάντων ἐπελαύνοντα τὸν βάρβαρον, ἔδεισε μὴ χωρὶς ὄντας καὶ οὐκ ἐν τάξει προσπεσὼν ταράξῃ.

καὶ

lo hostiam. Sacrificavit Euphrati quoque transitus causa taurum. Eodem die stativa illic habuit. Postero die & insequentibus fecit iter per Sophenem. Incolas, qui dedebant se & prompte recipiebant exercitum, nulla re violavit. Immo vero quum milites arcem, in qua ingens præda putabatur esse, capere vellent, Illa arx (inquit) expugnanda potius est, ostendens procul Taurum: hæc præmia reposita sunt victoribus. Extentis inde itineribus Tigrim transgressus, iniit Armeniam.

At Tigrani, quod eum qui adventum Luculli primus ipsi nuntiavit pro præmio obtruncavit, nemo postmodum detulit quicquam: verum ignarus desidebat igne jam flagrans hostili, adulatoresque audiebat dicentes, insignem ducem fore Lucullum, si Tigranem operiretur Ephesi, & non, ubi jam innumeras legiones aspexisset, extemplo profugeret ex Asia. Adeo non est neque cujusvis corporis multum vini ferre, neque vulgaris animi in magnis successibus non exire de potestate rationis. Primus ei ex amicis verum dicere Mithrobarzanes est ausus. Cæterum ne hic quidem faustum pretium retulit libertatis suæ: quandoquidem illico cum tribus millibus equitum & peditum ingenti numero missus est contra Lucullum. Cui imperatum ut ducem attraheret vivum, cæteros obtereret. Luculli autem copiæ partim castra metabantur, pars adhuc erat in itinere, quum nuntiant ei speculatores adesse barbarum. Itaque timuit ne distractos & incompositos turbaret incursu suos. Quare

sub-

καὶ αὐτὸς μὲν καθίστατο τὴν στρατοπεδείαν, Σεξτίλιον δὲ πρεσβευτὴν ἔπεμψεν ἱππεῖς ἔχοντα χιλίους ἑξακοσίους, ὁπλίτας δὲ καὶ ψιλοὺς οὐ πολλῷ πλείονας· κελεύσας ἐγγὺς προσελθόντα τοῖς πολεμίοις μένειν, ἕως ἂν πύθηται τοὺς μετ' αὐτοῦ κατεστρατοπεδευκότας. ἐβούλετο μὲν οὖν ὁ Σεξτίλιος ταῦτα ποιεῖν, ἐβιάσθη δ' ὑπὸ τοῦ Μιθροβαρζάνου θρασέως ἐπελαύνοντος εἰς χεῖρας ἐλθεῖν. καὶ γενομένης μάχης, ὁ μὲν Μιθροβαρζάνης ἔπεσεν ἀγωνιζόμενος, οἱ δ' ἄλλοι φεύγοντες ἀπώλοντο πλὴν ὀλίγων ἅπαντες. ἐκ τούτου, Τιγράνης μὲν ἐκλιπὼν Τιγρανόκερτα μεγάλην πόλιν, ἐκτισμένην ὑπ' αὐτοῦ, πρὸς τὸν Ταῦρον ἀνεχώρησε, καὶ τὰς δυνάμεις πανταχόθεν ἐνταῦθα συνῆγε. Λούκουλλος δὲ τῇ παρασκευῇ χρόνον οὐ διδοὺς, Μουρήναν μὲν ἐξέπεμψεν ὀχλήσοντα καὶ περικόψοντα τοὺς ἀθροιζομένους πρὸς τὸν Τιγράνην, Σεξτίλιον δὲ πάλιν, Ἀράβων χεῖρα μεγάλην ἀνείργοντα βασιλεῖ προσιοῦσαν. ὁμοῦ δὲ Σεξτίλιος μὲν ἐπιπεσὼν στρατόπεδον ποιουμένοις τοῖς Ἄραψι, τοὺς πλείστους διέφθειρε· Μουρήνας δ' ἑπόμενος Τιγράνῃ, τραχὺν αὐλῶνα καὶ στενόπορον στρατῷ μακρῷ διαβάλλοντι, καιροῦ παραδόντος ἐπιτίθεται. καὶ φεύγει μὲν αὐτὸς Τιγράνης, προέμενος τὴν ἀποσκευὴν ἅπασαν· ἀποθνήσκουσι δὲ πολλοὶ, καὶ πλείονες ἁλίσκονται τῶν Ἀρμενίων.

Οὕτω δὲ τούτων προχωρούντων, ἄρας ὁ Λούκουλλος ἐπορεύετο πρὸς Τιγρανόκερτα, καὶ περιστρατοπεδεύσας, ἐπολιόρκει τὴν πόλιν. ἦσαν δ' ἐν αὐτῇ πολλοὶ μὲν Ἕλληνες τῶν ἀνασπάστων ἐκ Κιλικίας, πολλοὶ δὲ βάρβαροι τοῖς Ἕλλησιν ὅμοια πεπονθότες, Ἀραβηνοὶ, καὶ Ἀσσύριοι, καὶ Γορδυηνοὶ, καὶ Καππάδοκες·

ὧν

substitit ad castra munienda: Sextilium legatum cum mille sexcentis equitibus, militibus legionariis & levis armaturæ non multo pluribus misit, jussum, quum venisset prope hostem, consistere dum se castra permunivisse accepisset. Et voluit quidem parere jussis Sextilius, verum a ferociter invehente coactus est Mithrobarzane manum conserere. In conflictu Mithrobarzanes pugnans cecidit: reliqui in fuga, demptis paucis, perierunt cuncti. Tum Tigranes relictis Tigranocertis grandi urbe, quam condiderat ipse, ad Taurum recepit se, eo copias omnes contrahens. Cæterum Lucullus, spatium ei non permittens ad se parandum, Murenam misit ad turbandos & carpendos eos qui ad Tigranem conglobabant se: Sextilium alio, ut obsisteret magnæ Arabum manui, ne conjungerent se regi. Eodem tempore Sextilius castra ponentibus superveniens oppressit majore ex parte Arabas, & Murena Tigranem insequens aspera & arcta convalle longo agmine iter facientem, opportunitate data, adoritur. Tigranes objectis omnibus impedimentis, ipse fugam capessit. Multi cadunt, plures capiuntur Armenii.

In eo rerum progressu Lucullus versus Tigranocerta movit, castrisque cinctam obsedit urbem. Erant in ea frequentes ex Cilicia exciti Græci, frequentes barbari eadem atque Græci sorte usi, Adiabeni, Assyrii, Gordyeni, Cappadoces: quos excisis

co-

ὧν κατασκάψας τὰς πατρίδας, αὐτοὺς δὲ κομίσας, ἐκεῖ κατοικεῖν ἠνάγκασεν. ἦν δὲ καὶ χρημάτων ἡ πόλις μεστὴ καὶ ἀναθημάτων, παντὸς ἰδιώτου καὶ δυνάστου τῷ βασιλεῖ συμφιλοτιμουμένου πρὸς αὔξησιν καὶ κατασκευὴν τῆς πόλεως. διὸ καὶ συντόνως ἐπολιόρκει ὁ Λούκουλλος αὐτήν, οὐκ ἀνέξεσθαι τὸν Τιγράνην οἰόμενος, ἀλλὰ καὶ παρὰ γνώμην ὑπ' ὀργῆς καταβήσεσθαι διαμαχούμενον, ὀρθῶς οἰόμενος. πολλὰ δὲ Μιθριδάτης ἀπηγόρευσεν, ἀγγέλους πέμπων καὶ γράμματα, μὴ συνάπτειν μάχην, ἀλλὰ τοῖς ἱππεῦσι περικόπτειν τὴν ἀγοράν· πολλὰ δὲ Ταξίλης, ἥκων παρ' αὐτοῦ καὶ συστρατεύων, ἐδεῖτο τοῦ βασιλέως φυλάττεσθαι καὶ φεύγειν, ὡς ἄμαχον πρᾶγμα, τὰ Ῥωμαίων ὅπλα. καὶ τά γε πρῶτα, πράως ἤκουε τούτων· ἐπεὶ δὲ πανστρατιᾷ μὲν αὐτῷ συνῆλθον Ἀρμένιοι καὶ Γορδυηνοί, πανστρατιᾷ δὲ Μήδους καὶ Ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν, ἧκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν Βαβυλῶνι θαλάσσης Ἄραβες, πολλοὶ δὲ ἀπὸ τῆς Κασπίας Ἀλβανοί, καὶ Ἴβηρες Ἀλβανοῖς προσοικοῦντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν Ἀράξην νεμομένων ἀβασίλευτοι, χάριτι καὶ δώροις πεισθέντες, ἀπήντησαν· ἐλπίδων δὲ καὶ θράσους καὶ βαρβαρικῶν ἀπειλῶν μεστὰ μὲν ἦν τὰ συμπόσια τοῦ βασιλέως, μεστὰ δὲ τὰ συμβούλια· παρεκινδύνευσε μὲν ὁ Ταξίλης ἀποθανεῖν, ὑπεναντιούμενος τῇ γνώμῃ τῆς μάχης, ἐδόκει δὲ καὶ Μιθριδάτης φθονῶν ἀποτρέπειν μεγάλου κατορθώματος. ὅθεν οὐδ' ἀνέμεινεν αὐτὸν ὁ Τιγράνης, μὴ μετάσχοι τῆς δόξης, ἀλλ' ἐχώρει παντὶ τῷ στρατῷ, σφόδρα δυσφορῶν, ὡς λέγεται, πρὸς τοὺς φίλους, ὅτι

eorum patriis deduxerat illuc, ac sedes figere coegerat. Erat etiam illa urbs opulentiæ plena & ornamentorum, quod omnes privati & principes cum rege certarent ad eam amplificandam atque exornandam urbem. Qua de causa obsedit eam Lucullus acriter, non perpessurum id ratus Tigranem, sed præter animi sui sententiam etiam stimulante ira ad dimicandum descensurum. Et recte censuit. Enimvero Mithridates magnopere eum per legatos & literas a pugna deterruit, tantum equitatu ut interciperet commeatum Luculli. Multum Taxiles quoque, qui Mithridatis legatus in præsidiis ejus erat, oravit eum ut vitabundus fugæ consuleret, rem inexpugnabilem esse arma Romana. Ac primum quidem benigne hos audiebat. Ut vero cum omnibus copiis junxerunt se ei Armenii & Gordyeni, ad hæc omne nomen Medorum & Adiabenorum excitum reges illarum gentium adduxere, utque frequentes a mari Babylonico venerunt Arabes, multi item a mari Caspio Albani, & contermini Albanis Iberes, nec pauci ad Araxem colentium liberi populi, studiis in regem & donis evocati occurrerunt; spe, ferocia, minis barbaricis omnia personarunt regis convivia, personarunt consilia; ibi in discrimen vitæ venit Taxiles, qui oblique repugnabat sententiæ de committendo prœlio. Videbatur etiam per invidiam avertere Tigranem ab insigni palma Mithridates. Unde nec illum est Tigranes præstolatus, ne in societatem veniret gloriæ. Itaque progreditur cum toto exercitu, perquam ægre ferens (ut fertur) apud amicos, quod

ὅτι πρὸς Λούκουλλον αὐτῷ μόνον, οὐ πρὸς ἅπαντας ὁ ἀγὼν ἔσοιτο τοὺς Ῥωμαίων στρατηγοὺς ἐν ταὐτῷ γενομένους. καὶ οὐ παντάπασιν ἦν τὸ θράσος αὐτοῦ μανιῶδες, οὐδ' ἄλογον, ἔθνη τοσαῦτα καὶ βασιλεῖς ἑπομένους, καὶ φάλαγγας ὁπλιτῶν, καὶ μυριάδας ἱππέων ἀποβλέποντος. τοξότας μὲν γὰρ καὶ σφενδονήτας δισμυρίους ἦγεν, ἱππεῖς δὲ, πεντακισμυρίους καὶ πεντακισχιλίους, ὧν ἑπτακισχίλιοι καὶ μύριοι, κατάφρακτοι ἦσαν, ὡς Λούκουλλος ἔγραψε πρὸς τὴν σύγκλητον· ὁπλιτῶν δὲ, τῶν μὲν εἰς σπείρας, τῶν δὲ εἰς φάλαγγας συντεταγμένων, πεντεκαίδεκα μυριάδας, ὁδοποιοὺς δὲ καὶ γεφυρωτὰς, καὶ καθάρτας ποταμῶν, καὶ ὑλοτόμους, καὶ τῶν ἄλλων χρειῶν ὑπηρέτας, τρισμυρίους καὶ πεντακισχιλίους· οἳ τοῖς μαχομένοις ἐπιτεταγμένοι κατόπιν, ὄψιν ἅμα καὶ ῥώμην παρεῖχον.

Ὡς δ' ὑπερβαλὼν τὸν Ταῦρον, ἄθρους κατεφάνη, καὶ κατεῖδε πρὸς τοῖς Τιγρανοκέρτοις ἐπικαθήμενον τὸ στράτευμα τῶν Ῥωμαίων, ὁ μὲν ἐν τῇ πόλει βάρβαρος ὅμιλος ὀλολυγῇ καὶ κρότῳ τὴν ὄψιν ἐδέξατο, καὶ τοῖς Ῥωμαίοις ἀπὸ τῶν τειχῶν ἀπειλοῦντες ἐδείκνυσαν τοὺς Ἀρμενίους. Λουκούλλῳ δὲ σκοποῦντι περὶ τῆς μάχης, οἱ μὲν, ἄγειν ἐπὶ Τιγράνην, ἐάσαντα τὴν πολιορκίαν, συνεβούλευον, οἱ δὲ, μὴ καταλιπεῖν ὀπίσω πολεμίους τοσούτους, μηδ' ἀνεῖναι τὴν πολιορκίαν. ὁ δ' εἰπὼν ἑκατέρους μὲν οὐκ ὀρθῶς, ἀμφοτέρους δὲ καλῶς παραινεῖν, διεῖλε τὴν στρατιάν. καὶ Μουρήναν μὲν ἑξακισχιλίους ἔχοντα πεζοὺς ἐπὶ τῆς πολιορκίας ἀπέλιπεν, αὐτὸς δὲ τέσσαρας καὶ εἴκοσι σπείρας ἀναλαβὼν, ἐν αἷς οὐ πλείονες ἦσαν μυρίων ὁπλιτῶν, καὶ τοὺς ἱππεῖς ἅπαντας, καὶ

quod cum uno ſibi Lucullo, non cum univerſis eſſet Romanis ducibus certandum. Neque erat prorſus regis inſana ferocia aut abſurda, qui tot gentes & reges in præſidiis ſuis, legioneſque armatorum peditum & infinitas turmas equitum conſpiciebat. Siquidem ſagittariorum & funditorum habebat viginti millia, equitum quinquaginta quinque, ex quibus cataphracti erant ſeptendecem millia, ut ſenatui ſcripſit Lucullus, gravis armaturæ pedites partim in cohortes, partim in phalangas deſcriptos, centum quinquaginta millia, viarum munitores, & qui pontes pararent, flumina repurgarent, materiarios & ad alia miniſteria deſtinatos, triginta quinque millia. Hi poſtremam aciem claudentes ſpeciem ſimul & robur præbebant.

Ut Tauro ſuperato, ſimul cum tanto agmine conſpectus, & ipſe ex edito circumſidentem Tigranocerta exercitum Romanum eſt contemplatus, barbara colluvies quæ in urbe erat, ululatu & plauſu excepit regis conſpectum, Romaniſque ex murom initans commonſtravit Armenios. Conſulenti de prœlio Lucullo alii ducendum in Tigranem omiſſa obſidione ſuaſerunt, alii non relinquendum a tergo tam numeroſum hoſtem, neque intermittendam obſidionem. Ille utroſque dixit parum recte, ſed ambos recte cenſuiſſe, atque ita bipertito exercitu, Murenam cum ſex millibus peditum reliquit ad continuandam obſidionem: ſecum duxit quatuor & viginti cohortes, in quibus legionarii non amplius decem millia erant, univerſum equitatum, fundi-

καὶ σφενδονήτας καὶ τοξότας περὶ χιλίους, ἐχώρει. καὶ παρὰ τὸν ποταμὸν ἐν πεδίῳ μεγάλῳ καταστρατοπεδεύσας, παντάπασι μικρὸς ἐφάνη Τιγράνῃ, καὶ τοῖς κολακεύουσιν αὐτὸν διατριβὴν παρεῖχεν. οἱ μὲν γὰρ ἔσκωπτον, οἱ δὲ ὑπὲρ τῶν λαφύρων ἐν παιδιᾷ διεβάλλοντο κλήρους. τῶν δὲ στρατηγῶν καὶ βασιλέων ἕκαστος ᾐτεῖτο προσιὼν, αὐτοῦ μόνου γενέσθαι τὸ ἔργον, ἐκεῖνον δὲ καθέζεσθαι θεατήν. βουλόμενος δέ τι καὶ αὐτὸς ὁ Τιγράνης χαρίεις εἶναι καὶ σκωπτικὸς, εἶπε τὸ θρυλλούμενον, εἰ μὲν ὡς πρεσβευταὶ, πολλοὶ πάρεισιν· εἰ δ' ὡς στρατιῶται, ὀλίγοι. καὶ τότε μὲν οὕτως εἰρωνευόμενοι καὶ παίζοντες διετέλεσαν. ἅμα δ' ἡμέρᾳ Λούκουλλος ὡπλισμένην τὴν δύναμιν ἐξῆγεν, καὶ πρὸς ἕω μὲν ἦν τοῦ ποταμοῦ τὸ βαρβαρικὸν στράτευμα. τοῦ δὲ ῥεύματος ἀποστροφὴν λαμβάνοντος ἐπὶ τὰς δύσεις, ᾗ μάλιστα περάσιμον ἦν, ἀντιπαρεξάγων τὴν δύναμιν, καὶ σπεύδων, ἔδοξεν ἀποχωρεῖν τῷ Τιγράνῃ. καὶ καλέσας τὸν Ταξίλην, ἅμα γέλωτι, Τοὺς ἀμάχους, ἔφη, Ῥωμαίων ὁπλίτας οὐχ ὁρᾷς φεύγοντας; καὶ ὁ Ταξίλης, Βουλοίμην ἂν, εἶπεν, ὦ βασιλεῦ, γενέσθαι τι τῷ σῷ δαίμονι τῶν παραλόγων· ἀλλ' οὔτ' ἐσθῆτα λαμπρὰν οἱ ἄνδρες λαμβάνουσιν ὁδοιποροῦντες, οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται, καὶ κράνεσι γυμνοῖς, ὥσπερ νῦν, τὰ σκύτινα τῶν ὅπλων σκεπάσματα περισπάσαντες· ἀλλὰ μαχουμένων ἐστὶν ἡ λαμπρότης αὕτη, καὶ βαδιζόντων ἤδη πρὸς τοὺς πολεμίους. ταῦτα λέγοντος ἔτι τοῦ Ταξίλου, καταφανὴς ἦν πρῶτος ἀετὸς ἐπιστρέφοντος τοῦ Λουκούλλου, καὶ τάξιν αἱ σπεῖραι κατὰ λόχους λαμβάνουσαι πρὸς τὴν διάβασιν, καὶ μόλις, ὥσπερ ἐκ μέ-

θης

ditores & sagittarios ad mille, atque ita processit. Quum apud amnem in campo spatioso consedisset, videbatur Tigrani admodum exilis esse, præbuitque ludibriorum adulatoribus ejus materiam. Hi namque irridebant, illi de manubiis jaciebant per jocum sortem. Unusquisque ducum & regum Tigranem adiit, eam provinciam sibi deposcens uni, ipse ut spectator sederet. Voluit ipse quoque nonnihil urbanus & facetus esse Tigranes, atque usurpavit vulgare illud, Si ut legati venissent, multos esse, sin ut milites, paucos: ac tunc quidem in istis dictis & ludis tempus exegerunt. At Lucullus prima luce armatas copias castris eduxit. Exercitus barbarorum erat ad partem fluminis orientalem. Flexum autem amnis ad occidentem habet, qua maxime erat superabilis. Eo dum infestam aciem citus rapit, Tigrani visus est retro recedere, appellatoque Taxile ridens, Invictos hosce (inquit) Romanorum milites numne vides fugere? Ad quem Taxiles, Utinam aliquid (inquit) rex, fortunæ tuæ præter expectationem accidat. Atqui non solent sumere homines ad iter splendidam vestem, neque tum scutis tersis & nudis galeis utuntur, uti nunc coriaceis detractis armorum tegumentis: sed est splendor hic pugnare intendentium & in hostem jam euntium. Nondum sermonem finierat Taxiles, quum prima aquila flectentis agmen Luculli est conspecta, & cohortes manipulatim in ordines ad transitum euntes. Ibi tandem, tanquam ex magna

θης τινὸς ἀναφέρων ὁ Τιγράνης, δὶς ἢ τρὶς ἐξεκραγὼν, Ἐφ' ἡμᾶς οἱ ἄνδρες; ὥστε θορύβῳ πολλῷ τὸ πλῆθος εἰς τάξιν καθίστασθαι, βασιλέως μὲν αὐτοῦ τὸ μέσον ἔχοντος, τῶν δὲ κεράτων, τὸ μὲν ἀριστερὸν τοῦ Ἀδιαβηνοῦ, τὸ δὲ δεξιὸν τοῦ Μήδου παραλαβόντος· ἐφ' οὗ καὶ τῶν καταφράκτων ἐν προτάγμασι τὸ πλεῖστον ἦν. Λευκόλλῳ δὲ μέλλοντι διαβαίνειν τὸν ποταμὸν, ἔνιοι τῶν ἡγεμόνων παρῄνουν φυλάττεσθαι τὴν ἡμέραν, μίαν οὖσαν τῶν ἀποφράδων, ἃς μελαίνας καλοῦσιν· ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἡ μετὰ Σκιπίωνος ἀπώλετο στρατιὰ, συμβαλοῦσα Κίμβροις. ὁ δ' ἀπεκρίνατο τὴν μνημονευομένην φωνὴν, Ἐγὼ γὰρ, ἔφη, καὶ ταύτην εὐτυχῆ ποιήσω Ῥωμαίοις τὴν ἡμέραν. ἦν δὲ καὶ πρὸ μιᾶς νόνων Ὀκτωβρίων.

Ταῦτα δ' εἰπὼν, καὶ θαρρεῖν κελεύσας, τόν τε ποταμὸν διέβαινε, καὶ πρῶτος ἐπὶ τοὺς πολεμίους ἡγεῖτο, θώρακα μὲν ἔχων σιδηροῦν φολιδωτὸν ἀποστίλβοντα, κροσωτὴν δὲ ἐφεστρίδα· τὸ δὲ ξίφος αὐτόθεν ὑποφαίνων γυμνὸν, ὡς εὐθὺς εἰς χεῖρας ἰέναι δέοι ἑκηβόλοις ἀνδράσι, καὶ συναιρήσειν τὴν διατοξεύσιμον χώραν τῷ τάχει τῆς ἐπαγωγῆς. ἐπεὶ δὲ τὴν κατάφρακτον ἵππον, ἧς πλεῖστος ἦν λόγος, κατεῖδε καταπεφραγμένην ὑπὸ λόφῳ τινὶ, τὴν ἄνω χώραν ἐπίπεδον καὶ πλατεῖαν ἔχοντι, πρόσβασιν δὲ τεττάρων σταδίων οὐ παντάπασι χαλεπὴν οὐδ' ἀποκεκομμένην, Θρᾷκας μὲν ἱππεῖς καὶ Γαλάτας οὓς εἶχεν, ἐκέλευσεν ἐκ πλαγίου προσφερομένους παρακρούεσθαι ταῖς μαχαίραις τοὺς κοντούς. μία γὰρ ἀλκὴ τῶν καταφράκτων, κοντὸς, ἄλλο δ' οὐδὲν οὐδ' ἑαυτοῖς οὔτε τοῖς πολεμίοις χρῆσθαι δύνανται, διὰ βάρος καὶ σκληρότητα τῆς σκευῆς,

magna vinolentia Tigranes emergens, bis aut ter exclamavit, In nos illi? Itaque magno tumultu acies inſtructa eſt tantæ colluviei. Mediam ipſam tenuit rex, Adiabeno attribuit lævum, Medo dextrum cornu, ubi cataphracti plerique erant in fronte collocati. Tranſmiſſurum flumen Lucullum quidam duces admonuerunt, cavendam illam diem, quæ ex nefaſtis (quas atras vocant) erat una. Illa enim die exercitus Cæpionis fuerat a Cimbris in conflictu oppreſſus. Hic vero celebrato illo dicto occurrens, At ego (inquit) etiam fauſtam hanc Romanis diem efficiam. Fuit illa pridie Non. Octob.

Ita fatus, quum bono animo eos eſſe juſſiſſet, amnem tranſmeavit, ac primus duxit in hoſtem. Loricam induerat ferream ſquammis refulgentem, & paludamentum fimbriatum. Gladium ſtrictum extemplo extulit, quo ſtatim conferendum pedem ſcirent cum viris eminus pugnare doctis, ſpatiumque, quo uti miſſilibus poterant, incurſus celeritate contrahendum. Ut vero equitatum cataphractum, cujus maximus erat reſpectus, conglobatum conſpexit ſub tumulo quodam, cujus planum faſtigium & ſpatioſum erat, & aſcenſum habebat quingentorum paſſuum, non prorſus aſperum nec diruptum, imperat equitibus Thracibus & Galatis, quos in exercitu ſuo habebat, ex latere ut eos adoriantur, enſibuſque detorqueant contos. Una enim in re poſitæ ſunt cataphractorum vires, conto: neque ullo alio modo aut ſibi prodeſſe, aut hoſtem poſſunt lædere ob armorum pondus &

Digitized by Google

σκευῆς, ἀλλ' ἐγκατῳκοδομημένοις ἐοίκασιν. αὐτὸς δὲ δύο σπείρας ἀναλαβὼν, ἡμιλλᾶτο πρὸς τὸν λόφον, ἐρρωμένως ἑπομένων τῶν στρατιωτῶν, διὰ τὸ κἀκεῖνον ἐν τοῖς ὅπλοις ὁρᾶν πρῶτον κακοπαθοῦντα πεζὸν καὶ προσβιαζόμενον. γενόμενος δ' ἄνω, καὶ στὰς ἐν τῷ περιφανεῖ τοῦ χωρίου, μέγα βοήσας, Νενικήκαμεν, ἔφη, νενικήκαμεν, ὦ συστρατιῶται. καὶ τοῦτο εἰπὼν, ἐπῆγε τοῖς καταφράκτοις, καὶ κελεύσας μηδὲν ἔτι χρῆσθαι τοῖς ὑσσοῖς, ἀλλ' ἐκ χειρὸς ἕκαστον διαλαβόντα παίειν τῶν πολεμίων κνήμας τε καὶ μηροὺς, ἃ μόνα γυμνὰ τῶν καταφράκτων ἐστίν. οὐ μὴν ἐδέησέ τι ταύτης τῆς μάχης· οὐ γὰρ ἐδέξαντο τοὺς Ῥωμαίους, ἀλλ' ἀλαλάξαντες καὶ φεύγοντες αἴσχιστα πάντων, ἐνέωσαν ἑαυτούς τε καὶ τοὺς ἵππους βαρεῖς ὄντας εἰς τὰ τῶν πεζῶν ὅπλα, πρὶν ἄρξασθαί τινος ἐκείνους μάχης· ὥστε μήτε τραύματος γενομένου, μήθ' αἵματος ὀφθέντος, ἡττᾶσθαι τὰς τοσαύτας μυριάδας. ὁ δὲ πολὺς φόνος ἤδη φευγόντων ἐγίνετο, μᾶλλον δὲ βουλομένων φεύγειν. οὐ γὰρ ἐδύναντο, πυκνότητι καὶ βάθει τῶν τάξεων ὑφ' αὑτῶν ἐμποδιζόμενοι. Τιγράνης δ' ἐξελάσας ἐν ἀρχῇ μετ' ὀλίγων ἔφευγεν, καὶ τὸν υἱὸν ὁρῶν κοινωνοῦντα τῆς αὐτῆς τύχης, περιεσπάσατο τὸ διάδημα τῆς κεφαλῆς, κἀκείνῳ δακρύσας παρέδωκε, σώζειν ἑαυτὸν ὅπως δύναται καθ' ἑτέρας ὁδοὺς κελεύσας. ὁ δὲ νεανίας ἀναδήσασθαι μὲν οὐκ ἐτόλμησε, τῶν δὲ παίδων τῷ πιστοτάτῳ φυλάττειν ἔδωκεν. οὗτος ἁλοὺς κατὰ τύχην, ἀνήχθη πρὸς Λούκουλλον, ὥστε μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ τὸ διάδημα γενέσθαι τοῦ Τιγράνου. λέγεται δὲ τῶν μὲν πεζῶν ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι, τῶν δ' ἱππέων ὀλίγους παντάπασι διαφυγεῖν. Ῥω-

μαίων

& rigiditatem, sed sunt in iis quasi muris inclusi. Traxit simul ille secum duas cohortes, cum quibus contendit ad collem, strenue sequentibus ipsum militibus, quod imperatorem quoque in armis primum cernerent laborem capessentem & pedibus in clivum enitentem. Ubi in summum evasit, ac loco stetit conspicuo, magna voce, Vicimus, exclamavit, vicimus commilitones. Ita fatus, duxit in cataphractos, præcepitque ut omissis pilis, comminus quisque aggrederetur hostem, crura & fœmora foderet, quæ sunt sola cataphractis nuda. Cæterum nihil hac pugna opus fuit. Neque enim exspectaverunt Romanos, sed sublato clamore fœdissime omnium conjecerunt se in fugam: seque & equos armis graves in peditum ordines, priusquam pugnam iniissent illi, conjecerunt. Ita sine ullo vulnere, sine sanguine fuso tot profligatæ legiones sunt. Cædes autem ingens jam fugientium, vel potius fugere volentium edita: neque enim poterant ordinibus confertis & profundis impediti. Tigranes initio statim cum paucis effuso cursu fugam cepit. Filiumque quum videret in eadem fortuna, detractum ex capite diadema illi profusis lacrymis tradidit, alia via jubens, siqua posset, ut seipsum servaret. Adolescens, quia non audebat diadema capessere, dedit id servandum fidissimo amico, qui forte captus atque ad Lucullum est attractus: ita inter cæteros captivos diadema quoque Tigranis fuit. Pedites cecidisse supra centum millia perhibentur, equitum pauci plane effugisse.

μαίων δ' ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ περὶ Θεῶν γραφῇ μνησθεὶς, οὔ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. Στράβων δ', ἕτερος φιλόσοφος, ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν, αὐτοὺς λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾶν ἑαυτῶν, ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. Λίβιος δ' εἴρηκεν ὡς οὐδέποτε Ῥωμαῖοι πολεμίοις ἀποδέοντες τοσούτῳ πλήθει παρετάξαντο. σχεδὸν γὰρ οὐδ' εἰκοστὸν ἀλλ' ἔλαττον ἐγένοντο μέρος οἱ νικῶντες τῶν ἡττημένων. Ῥωμαίων δ' οἱ δεινότατοι στρατηγοὶ, καὶ πλεῖστα πολέμοις ὡμιληκότες, ἐπῄνουν μάλιστα τοῦ Λουκούλλου τὸ δύο βασιλεῖς τοὺς ἐπιφανεστάτους καὶ μεγίστους δυσὶ τοῖς ἐναντιωτάτοις τάχει καὶ βραδυτῆτι καταστρατηγῆσαι. Μιθριδάτην μὲν γὰρ ἀκμάζοντα, χρόνῳ καὶ τριβῇ κατανάλωσε· Τιγράνην δὲ, τῷ σπεῦσαι συνέτριψεν· ἐν ὀλίγοις τῶν πώποτε ἡγεμόνων, τῇ μελλήσει μὲν ἐνεργῷ, τῇ τόλμῃ δ' ὑπὲρ ἀσφαλείας χρησάμενος.

Διὸ καὶ Μιθριδάτης οὐ συνέτεινεν ἐπὶ τὴν μάχην, τῇ συνήθει τὸν Λούκουλλον εὐλαβείᾳ καὶ διαγωγῇ πολεμήσειν οἰόμενος, ἀλλὰ καθ' ἡσυχίαν ἐπορεύετο πρὸς τὸν Τιγράνην. καὶ πρῶτον μὲν ὀλίγοις τῶν Ἀρμενίων ἐντυχὼν καθ' ὁδὸν, ἐπτοημένοις καὶ περιφόβοις ἀπιοῦσιν, εἴκασε τὸ πάθος, εἶτ' ἤδη πλειόνων γυμνῶν καὶ τετρωμένων ἀπαντώντων, πυθόμενος τὴν ἧτταν, ἐζήτει τὸν Τιγράνην. εὑρὼν δὲ πάντων ἔρημον καὶ ταπεινὸν, οὐκ ἀνθύβρισεν, ἀλλὰ καταβὰς καὶ συνδακρύσας τὰ κοινὰ πάθη, θεραπείαν τε τὴν ἑπομένην αὐτῷ βασιλικὴν ἔδωκεν, καὶ κατεθάρρυνε πρὸς τὸ μέλλον. οὗτοι μὲν οὖν αὖ-

θις

Ex Romano exercitu centum vulnerati, quinque desiderati. Hujus pugnæ Antiochus philosophus in commentario de Diis mentionem faciens, negat unquam a sole visam parem. Strabo alius philosophus in historicis commentariis ipsos Romanos commemorat puduisse, & semetipsos derisisse quod in ejuscemodi mancipia induissent arma. Livius ait nunquam Romanos signa cum hostibus contulisse tanto numero inferiores. Neque enim vigesimam propemodum partem, immo nec minorem æquarunt victores victorum. Romanorum vero peritissimi duces, & diutissime in bellis versati, Lucullum in eo celebrabant præcipue, quod duos clarissimos & maximos reges rationibus duabus inter se maxime contrariis, celeritate & tarditate, superaverit. Siquidem Mithridatem tempore & mora florentem attrivit, Tigranem obtrivit accelerando, inter rarissima omnium imperatorum exempla, cunctatione strenua & audacia ad securitatem usus.

Quapropter nec ad pugnam properavit Mithridates, solita Lucullum cautione & productione bellum ratus administraturum: itaque lente ad Tigranem pergebat. Ac postquam primum in paucos Armenios incidit in via, qui perculsi metuque exsangues recipiebant se, conjecit adversum casum. Ut plures jam exuti & vulnerati occurrerunt, audita clade, Tigranem requisivit. Quem quum semel desolatum & abjectum offendisset, non insultavit ei vicissim, verum ex equo desiliit, deploratisque communibus calamitatibus, regium comitatum, qui ipsum sequebatur, dedit illi, eumque in futurum confirmavit. Inde alias de integro

copias

θις ἑτέρας δυνάμεις συνῆγον. ἐν δὲ τῇ πόλει τοῖς Τιγρανοκέρτοις τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους στασιασάντων, καὶ τῷ Λουκούλλῳ τὴν πόλιν ἐνδιδόντων, προσβαλὼν εἷλε· καὶ τοὺς μὲν ἐν τῇ πόλει θησαυροὺς παρελάμβανε, τὴν δὲ πόλιν διαρπάσαι παρέδωκε τοῖς στρατιώταις, μετὰ τῶν ἄλλων χρημάτων ὀκτακισχίλια τάλαντα νομίσματος ἔχουσαν. χωρὶς δὲ τούτων, ὀκτακοσίας δραχμὰς κατ' ἄνδρα διένειμεν ἀπὸ τῶν λαφύρων. πυνθανόμενος δὲ πολλοὺς ἐν τῇ πόλει κατειλῆφθαι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, οὓς ὁ Τιγράνης πανταχόθεν ἠθροίκει, μέλλων ἀποδεικνύναι τὸ κατεσκευασμένον ὑπ' αὐτοῦ θέατρον, ἐχρήσατο τούτοις πρὸς τοὺς ἀγῶνας καὶ τὰς θέας τῶν ἐπινικίων. τοὺς δ' Ἕλληνας εἰς τὰς αὑτῶν πατρίδας ἔπεμψε, προσθεὶς ἐφόδια, καὶ τῶν βαρβάρων ὁμοίως τοὺς ἠναγκασμένους κατοικεῖν. ὥστε συνέβη, μιᾶς πόλεως διαλυθείσης, πολλὰς ἀνοικίζεσθαι, πάλιν κομιζομένας τοὺς αὑτῶν οἰκήτορας· ὑφ' ὧν ὡς εὐεργέτης ὁ Λούκουλλος καὶ κτίστης ἠγαπᾶτο. προυχώρει δὲ καὶ τἆλλα κατ' ἀξίαν τἀνδρὶ, τῶν ἀπὸ δικαιοσύνης καὶ φιλανθρωπίας ἐπαίνων ὀρεγομένῳ μᾶλλον, ἢ τῶν ἐπὶ τοῖς πολεμικοῖς κατορθώμασιν. ἐκείνων μὲν γὰρ οὐκ ὀλίγον ἡ στρατιὰ, καὶ τὸ πλεῖστον ἡ τύχη μετεῖχε· ταῦτα δ' ἦν ἡμέρου ψυχῆς καὶ πεπαιδευμένης ἐπίδειξις, οἷς ὁ Λούκουλλος τότε χωρὶς ὅπλων ἐχειροῦτο τοὺς βαρβάρους. καὶ γὰρ Ἀράβων βασιλεῖς ἧκον πρὸς αὐτὸν, ἐγχειρίζοντες τὰ σφέτερα, καὶ τὸ Σωφηνῶν ἔθνος προσεχώρει. τὸ δὲ Γορδυηνῶν οὕτω διέθηκεν, ὥστε βούλεσθαι τὰς πόλεις ἐκλιπόντας ἀκολουθεῖν ἐκείνῳ μετὰ παίδων καὶ γυναικῶν ἐθελοντὰς, ἐξ αἰτίας τοιᾶσδε. Ζαρβιηνὸς

copias conscribebant. Porro dum in urbe Tigranocertis secessionem Græci a barbaris atque ad Lucullum tendunt deditionem facere, adortus muros, ille potitus est urbe. Thesauros regis qui ibi erant, cepit; urbem militibus dedit diripiendam: in qua cum reliqua opulentia octo millia talentorum pecuniæ signatæ inventa. Insuper octingentas drachmas in singulos de præda divisit. Quum repertos in urbe accepisset multos scenicos, quos undequaque conquisierat Tigranes dedicaturus theatrum quod exstruxerat, his ad ludos & spectacula triumphalia est usus. Græcos autem, præbito viatico, remisit in patrias suas, & barbaros item qui eo commigrare coacti fuerant. Itaque accidit ut una convulsa urbe, multæ receptis civibus suis instaurarentur, a quibus ut bene de ipsis meritus & conditor est cultus Lucullus. Succedebant ei cætera quoque, prout merebatur, qui justitiæ & humanitatis laudes gloriæ anteferebat laurearum bellicarum. Quippe hujus non exiguam partem exercitus, & maximam vendicat fortuna: illæ placidæ & eruditæ mentis documentum erant, quibus tunc absque armis barbaros subegit Lucullus. Siquidem reges Arabiæ venerunt ad eum, suaque ei permiserunt, adjunxitque se ei Sophenorum nomen. Gordyenorum gens ita fuit in eum animata, ut relictis sedibus suis, illum sequi cum liberis & conjugibus sponte vellent ex hujuscemodi causa: Zarbienus rex Gor-

βιηνὸς γὰρ ὁ τῶν Γορδυηνῶν βασιλεὺς, ὥσπερ εἴρηται, δι' Ἀππίου κρύφα Λουκούλλῳ διείλεκτο περὶ συμμαχίας, τὴν Τιγράνου τυραννίδα βαρυνόμενος· μηνυθεὶς δ' ἀπεσφάγη, καὶ παῖδες αὐτοῦ καὶ γυνὴ συναπώλοντο, πρὶν ἢ Ῥωμαίους εἰς Ἀρμενίαν ἐμβαλεῖν. τούτων οὐκ ἠμνημόνησεν ὁ Λούκουλλος, ἀλλὰ παρελθὼν εἰς τὴν Γορδυηνῶν, ταφὰς προύθετο τοῦ Ζαρβιηνοῦ· καὶ πυρὰν ἐσθῆτι καὶ χρυσῷ βασιλικῷ καὶ τοῖς ἀπὸ Τιγράνου κοσμήσας λαφύροις, αὐτὸς παρὼν ὑφῆψε, καὶ χοὰς ἐπέχεε μετὰ φίλων καὶ οἰκείων τοῦ ἀνδρὸς, ἑταῖρον ἑαυτοῦ, καὶ Ῥωμαίων σύμμαχον ἀνακαλούμενος. ἐκέλευσε δὲ καὶ μνημεῖον ἀπὸ χρημάτων συχνῶν αὐτῷ γενέσθαι· πάμπολλα γὰρ εὑρέθη, καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς Ζαρβιηνοῦ βασιλείοις. σίτου δ' ἀπέκειντο μυριάδες τριακόσιαι μεδίμνων· ὥστε καὶ τοὺς στρατιώτας ὠφελεῖσθαι, καὶ τὸν Λούκουλλον θαυμάζεσθαι, ὅτι δραχμὴν μίαν ἐκ τοῦ δημοσίου ταμείου μὴ λαβὼν, αὐτὸν ἐξ αὑτοῦ διώκει τὸν πόλεμον.

Ἐνταῦθα καὶ παρὰ τοῦ Πάρθων βασιλέως ἧκε πρεσβεία παρ' αὐτὸν, εἰς φιλίαν προκαλουμένου καὶ συμμαχίαν. ἦν δ' ἀσμένῳ ταῦτα τῷ Λουκούλλῳ, καὶ πάλιν ἀντέπεμψε παρ' ἑαυτοῦ πρεσβείαν πρὸς τὸν Πάρθον, οἳ κατεφώρασαν αὐτὸν ἐπαμφοτερίζοντα τῇ γνώμῃ, καὶ μισθὸν αἰτοῦντα κρύφα τοῦ συμμαχῆσαι τῷ Τιγράνῃ τὴν Μεσοποταμίαν. ὡς οὖν ταῦθ' ὁ Λούκουλλος ᾔσθετο, Τιγράνην μὲν ἔγνω καὶ Μιθριδάτην παρελθεῖν, ὥσπερ ἀνταγωνιστὰς ἀπειρηκότας, ἀποπειρᾶσθαι δὲ τῆς Πάρθων δυνάμεως, καὶ στρατεύειν ἐπ' αὐτούς· καλὸν ἡγούμενος μιᾷ ῥύμῃ πολέμου τρεῖς ἐφεξῆς, ὥσπερ ἀθλητὴς, βασι-

Gordyenorum, Tigranis gravatus tyrannidem, interprete Appio (ut eſt dictum) clam cum Lucullo ſocietatem inierat: verum, quia detectus fuit, interfectus eſt, unaque liberi & uxor ejus necati ante ſunt, quam in Armeniam invaderent Romani. Hæc apud Lucullum non erant obliterata, ſed profectus in Gordyenos, exequias Zarbieni celebravit, pyræque veſte & auro regali, & Tigranis inſtructæ ſpoliis, ipſemet ſubdidit facem, ac libamina cum amicis & neceſſariis illius infudit, amicum quoque ſuum & ſocium populi Romani appellavit. Ad hæc monumentum juſſit ei ſumptuoſum faciendum locari. Nam vis ingens pecuniæ, aurumque & argentum reperta in Zarbieni regiis ſunt. Frumenti in horreis decies trecenta millia medimnorum condita erant. Ita & miles auctus eſt, & Lucullo fuit ingenti honori, quod ne teruncio quidem ex ærario accepto, bellum ipſius belli ſumptibus ſuſtineret.

Hic etiam regis Parthorum legati eum adierunt, amicitiam & ſocietatem petentes. Fuit id Lucullo haud ingratum, qui invicem ſuos miſit ad Parthum. Eum compererunt hi fluctuantem conſilio, poſcentemque clam ſocietatis a Tigrane præmium Meſopotamiam. Quæ ubi Lucullus percepit, Tigranem & Mithridatem ſtatuit ut adverſarios confectos tranſilire, & experiri Parthorum vires, atque expeditionem in eos movere; præclarum exiſtimans uno belli impetu tres deinceps reges ſicut athletam in

βασιλεῖς καταπαλαῖσαι, καὶ διὰ τριῶν τῶν ὑπὸ τὸν ἥλιον μεγίστων ἡγεμόνων ἀήττητος καὶ νικῶν διεξελθεῖν. ἔπεμψεν οὖν εἰς Πόντον τοῖς περὶ Σωρνάτιον ἡγεμόσιν, ἐπιστείλας ἄγειν τὴν ἐκεῖ στρατιὰν πρὸς αὐτὸν, ὡς ἐκ τῆς Γορδυηνῆς ἀναβησόμενον. οἱ δὲ, καὶ πρότερον χαλεποῖς χρώμενοι καὶ δυσπειθέσι τοῖς στρατιώταις, τότε παντελῶς ἀπεκάλυψαν αὐτῶν τὴν ἀκολασίαν, οὐδενὶ τρόπῳ πειθοῦς οὐδ᾽ ἀνάγκης εὑρόμενοι προσαγαγέσθαι, μαρτυρομένους καὶ βοῶντας ὡς οὐδ᾽ αὐτόθι μενοῦσιν, ἀλλ᾽ οἰχήσονται τὸν Πόντον ἔρημον ἀπολιπόντες. ταῦτα πρὸς Λούκουλλον ἀπαγγελθέντα, καὶ τοὺς ἐκεῖ προσδιέφθειρε στρατιώτας, ἤδη μὲν ὑπὸ πλούτου καὶ τρυφῆς βαρεῖς γεγονότας πρὸς τὴν στρατείαν, καὶ σχολῆς δεομένους. ὡς δὲ τὴν ἐκείνων ἐπύθοντο παρρησίαν, ἄνδρας αὐτοὺς ἀπεκάλουν, καὶ μιμητέον αὐτοὺς ἔφασαν εἶναι· πολλὰ γὰρ αὐτοῖς ἄξια σωτηρίας καὶ ἀναπαύσεως κατειργάσθαι.

Τοιούτων δὲ καὶ πονηροτέρων ἔτι λόγων αἰσθόμενος ὁ Λούκουλλος, τὴν ἐπὶ Πάρθους στρατείαν ἀφῆκεν, αὖθις δ᾽ ἐπὶ τὸν Τιγράνην ἐβάδιζε, θέρους ἀκμάζοντος. καὶ τὸν Ταῦρον ὑπερβαλὼν, ἠθύμησε χλωρῶν τῶν πεδίων ἐκφανέντων· τοσοῦτον αἱ ὧραι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος ὑστερίζουσιν. οὐ μὴν ἀλλὰ καταβὰς, καὶ δὶς ἢ τρὶς ἀνατολμήσαντας ἐπ᾽ αὐτὸν τοὺς Ἀρμενίους τρεψάμενος, ἀδεῶς ἐπόρθει τὰς κώμας· καὶ τὸν παρεσκευασμένον τῷ Τιγράνῃ σῖτον ἐξαιρῶν, ἣν αὐτὸς ἐφοβεῖτο, τοῖς πολεμίοις περιέστησεν ἀπορίαν. ἐπεὶ δὲ προκαλούμενος εἰς μάχην αὐτοὺς, περιταφρεύων τὸν χάρακα, καὶ πορθῶν ἐν ὄψει τὴν χώραν οὐκ ἐκίνει πεπληγότας πολλάκις,

ἀνα-

in lucta prosternere, ac per tres totius orbis potentissimos principes perrumpere invictum & victorem. Igitur in Pontum ad Sornatium legatum suum & alios misit literas, ut copias quæ illic erant, adduceret, quasi ex Gordyene in Parthos signa moturus. Illi cum ante morosos & contumaces milites habuerunt, tum in præsentia cognoverunt protervìam eorum, quod nullis blandimentis vel imperio movere illos valerent testantes & vociferantes, neque illic permansuros se, sed relicto sine præsidio abituros Ponto. Hæc ad Lucullum relata insuper, quos secum habebat, milites labefecerunt, ob divitias jam & delicias languescentes ad militiam, & otium quærentes. Ut vero illorum acceperunt ferociam, viros appellaverunt, imitandosque jactaverunt. Multis enim factis missionem se & requiem meritos.

His & improbioribus ad Lucullum delatis sermonibus, expeditionem Parthicam deposuit, & media æstate movit in Tigranem. Postquam superavit Taurum & campos vidit jam primum virentes, indoluit. Adeo sunt illic ex algore serotina tempora. Attamen descendit in campos, ac duobus vel tribus prœliis coortos in ipsum Armenios fudit. Inde libere vicos populatus est, captoque, qui comportatus Tigrani fuerat commeatu, quam ipse extimescebat, offudit inopiam hostibus. Quos quum lacessendo ad dimicandum, castris eorum circumvallandis & fœdandis ante oculos eorum agris, quia sæpe fuerant fusi, non movit, exercitum

S

inde

ἀναστὰς ἐβάδιζεν ἐπ' Ἀρτάξατα τὸ Τιγράνου βασίλειον, ὅπου καὶ παῖδες αὐτοῦ νήπιοι καὶ γαμεταὶ γυναῖκες ἦσαν· οὐκ ἂν οἰόμενος ἀμαχεὶ ταῦτα προήσεσθαι τὸν Τιγράνην. λέγεται δ' Ἀννίβαν τὸν Καρχηδόνιον, Ἀντιόχου καταπολεμηθέντος ὑπὸ Ῥωμαίων, μεταβάντα πρὸς Ἀρτάξαν τὸν Ἀρμένιον, ἄλλων τε πολλῶν εἰσηγητὴν καὶ διδάσκαλον αὐτῷ γενέσθαι χρήσιμον, καὶ τῆς χώρας καταμαθόντα τόπον εὐφυέστατον καὶ ἥδιστον, ἀργοῦντα καὶ παρορώμενον, σχῆμα πόλεως ἐν αὐτῷ προϋπογράψασθαι, καὶ τὸν Ἀρτάξαν ἐπαγαγόντα δεῖξαι, καὶ παρορμῆσαι πρὸς τὸν οἰκισμόν. ἡσθέντος δὲ τοῦ βασιλέως, καὶ δεηθέντος ὅπως αὐτὸς ἐπιστατήσῃ τοῦ ἔργου, μέγα τι καὶ πάγκαλον χρῆμα πόλεως ἀναστῆναι, καὶ γενομένην ἐπώνυμον τοῦ βασιλέως, μητρόπολιν ἀποδειχθῆναι τῆς Ἀρμενίας. ἐπὶ ταύτην τοῦ Λουκούλλου βαδίζοντος, οὐκ ἠνέσχετο Τιγράνης, ἀλλὰ τὴν δύναμιν ἀναλαβών, ἡμέρᾳ τετάρτῃ παρεστρατοπέδευσε τοῖς Ῥωμαίοις, ἐν μέσῳ λαβὼν τὸν Ἀρσανίαν ποταμόν, ὃν ἐξ ἀνάγκης διαβατέον ἦν τοῖς Ῥωμαίοις τοῖς ἐπ' Ἀρτάξατα πορευομένοις. θύσας δὲ τοῖς Θεοῖς Λούκουλλος, ὡς ἐν χερσὶν οὔσης τῆς νίκης, διεβίβαζε τὸν στρατόν, ἐν δώδεκα σπείραις προτεταγμέναις, ταῖς δ' ἄλλαις ἐπιτεταγμέναις διὰ τὰς κυκλώσεις τῶν πολεμίων. πολλοὶ γὰρ ἦσαν ἱππεῖς καὶ λογάδες ἀντιπαρατεταγμένοι· πρὸ δ' αὐτῶν ἱπποτοξόται Μάρδοι, καὶ λογχοφόροι Ἴβηρες, οἷς μάλιστα τῶν ξένων ὁ Τιγράνης ἐπίστευεν, ὡς μαχιμωτάτοις. οὐ μὴν ἐπράχθη τι λαμπρὸν ἀπ' αὐτῶν· μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων διαπληκτισάμενοι, τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν, ἀλλ' ἑκατέρωσε

inde ad Tigranis regiam convertit Artaxata, ubi parvi liberi & conjuges ejus erant, non factum ratus Tigranem quin pro eorum salute dimicaret. Fama tenet Annibalem Pœnum, devicto ab Romanis Antiocho, contulisse se ad Armenium Artaxam, cui cum alia multa utiliter suasisse & docuisse, tum notata ejus loci, qui iners negligebatur, eximia indole atque amœnitate, formam ibi urbis delineasse, eamque deducto eo Artaxæ ostendisse, hortatumque ad eam condendam. Quod regi quum placuisset, atque ab eo contendisset, ipse ut operis curam susciperet, amplam excitavisse & magnificam urbem, eamque accepisse ab rege appellationem, atque caput factam Armeniæ. Ad hanc urbem contendentem Lucullum non tulit Tigranes, sed castris motis quarto die prope Romanos consedit, medium capiens Arsaniam amnem, quem transire necesse erat petituris Artaxata Romanis. At Lucullus postquam Diis sacrificavit, quasi certus de victoria, exercitum traduxit. Duodecim cohortibus in fronte positis, reliquos, ne circumveniretur ab hostibus, in subsidiis collocavit. Multi enim & delecti equites stabant in hostium adversa acie, ante quorum signa sagittis ex equo utentes Mardi & Iberes hastati, quibus Tigranes præcipue inter externos milites ut pugnacissimis fidebat. Nihil est ab illis tamen editum præclari. Paulisper enim cum equitatu Romano velitati non tulerunt impetum legionum: verum hinc inde

τέρωσε τῆς φυγῆς σχισθέντες, ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν. ἅμα δὲ τῷ τούτους διασπαρῆναι, τῶν περὶ τὸν Τιγράνην ἐξιππασαμένων, ἰδὼν τὴν λαμπρότητα καὶ τὸ πλῆθος ὁ Λούκουλλος ἔδεισε. καὶ τοὺς μὲν ἱππεῖς ἀπὸ τῆς διώξεως ἀνεκαλεῖτο, πρῶτος δ' αὐτὸς ἀντέστη τοῖς σατράπαις κατ' αὐτὸν οὖσι μετὰ τῶν ἀρίστων, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν, φοβήσας ἐτρέψατο. τριῶν δ' ὁμοῦ παρατεταγμένων βασιλέων, αἴσχιστα δοκεῖ φυγεῖν ὁ Ποντικὸς Μιθριδάτης, οὔτε τὴν κραυγὴν τῶν Ῥωμαίων ἀνασχόμενος. γενομένης δὲ τῆς διώξεως μακρᾶς, καὶ δι' ὅλης νυκτὸς, οὐ μόνον κτείνοντες αὐτοὺς, ἀλλὰ καὶ ζωγροῦντες, καὶ χρήματα καὶ λείαν ἄγοντες καὶ φέροντες ἀπεῖπον οἱ Ῥωμαῖοι. Φησὶ δὲ ὁ Λίβιος, ἐν μὲν τῇ προτέρᾳ μάχῃ πλείονας, ἐν δὲ ταύτῃ γνωριμωτέρους πεσεῖν καὶ ληφθῆναι τῶν πολεμίων.

Ἐκ τούτου Λούκουλλος μὲν ἐπηρμένος καὶ τεθαῤῥηκὼς ἄνω προσάγειν διενοεῖτο καὶ καταστρέφεσθαι τὸν βάρβαρον· ὥρᾳ δ' ἰσημερίας φθινοπωρινῆς, οὐκ ἂν ἐλπίσαντι χειμῶνες ἐπέπεσον βαρεῖς, τὰ μὲν πλεῖστα κατανίφοντες, ἐν δὲ τοῖς αἰθρίοις πάχνην ἐπιφέροντες καὶ πάγον, ὑφ' οὗ χαλεποὶ μὲν ἦσαν οἱ ποταμοὶ τοῖς ἵπποις πίνεσθαι, διὰ ψυχρότητος ὑπερβολὴν, χαλεπαὶ δ' αὐτῶν αἱ διαβάσεις, ἐκρηγνυμένου τοῦ κρυστάλλου καὶ διακόπτοντος τὰ νεῦρα τῶν ἵππων τῇ τραχύτητι. τῆς δὲ χώρας ἡ πολλὴ συνηρεφὴς οὖσα καὶ στενόπορος καὶ ὑλώδης, ἀεὶ καθύγραινεν αὐτοὺς, χιόνος ἀναπιμπλαμένους ἐν ταῖς ὁδοιπορίαις, καὶ κακῶς ἐν τόποις νοτεροῖς νυκτερεύοντας. οὐ πολλὰς οὖν ἡμέρας ἀκολουθήσαντες τῷ Λουκούλλῳ μετὰ τὴν μάχην, ἠναντιοῦντο, πρῶτον δεόμενοι καὶ

de fuga divulsi, equitem ad insequendum traxere. Simul atque hi dissipati sunt, provehentibus Tigranis equitibus, videns splendorem & multitudinem eorum Lucullus subtimuit. Itaque equitem a consectandis hostibus revocat. Interim ipse satrapis circa regem cum præstantissimo quoque sibi oppositis occurrit primus: quos, antequam manum conserere possent, consternatos pepulit. Ex tribus regibus, qui una in hac acie fuerunt, fœdissime fugit Ponticus Mithridates, qui ne clamorem quidem sustinuit Romanorum. Hi quum per longum spatium tota nocte hostium tergis inhærerent, non solum trucidandis, verum etiam capiendis, pecuniaque & præda agenda ferenda fatigati sunt. Livius autor est priore prœlio plures fuisse, in hoc nobiliores hostes captos & cæsos.

Hinc erectus Lucullus & fiduciæ plenus, superiores regiones petere & penitus domare statuit barbarum. Cæterum sub æquinoctio autumnali graves tempestates nec opinantem corripuere. Ningebat fere, & sereno pruina cum gelu infesta erat. Unde equis erant amnes ex immodico frigore parum potabiles, ruptaque glacies & nervos equorum asperitate incidens ægre permeabiles efficiebat. Tractus fere nemorosus arctus saltuosusque rigabat eos assidue ex nive in itinere effusa, atque incommode locis humidis pernoctabant. Igitur quum non multos secundum prœlium dies fuissent Lucullum sequuti, institerunt ei obluctari. Primum precibus

καὶ τοὺς χιλιάρχους προπέμποντες, ἔπειτα θορυβωδέστερον συνιστάμενοι, καὶ κατὰ σκηνὰς νυκτὸς ἀλαλάζοντες· ὅπερ εἶναι δοκεῖ σύμβολον ἀποστατικῶς ἐχούσης στρατιᾶς. καίτοι πολλὰ προσελιπάρει Λούκουλλος, ἀξιῶν αὐτοὺς μακροθυμίαν ἐμβαλέσθαι ταῖς ψυχαῖς, ἄχρις οὗ τὴν ἐν Ἀρμενίοις Καρχηδόνα λαβόντες, ἀνδρὸς ἐχθίστου, τὸν Ἀννίβαν λέγων, ἔργον ἀνατρέψωσιν. ὡς δ' οὐκ ἔπειθεν, ἀπῆγεν αὐτοὺς ὀπίσω, καὶ κατ' ἄλλας ὑπερβολὰς διελθὼν τὸν Ταῦρον, εἰς τὴν λεγομένην Μυγδονικὴν κατέβαινε χώραν, πάμφορον καὶ ἀλεεινὴν, καὶ πόλιν ἐν αὐτῇ μεγάλην καὶ πολυάνθρωπον ἔχουσαν, ἣν οἱ μὲν βάρβαροι, Σίβιν, οἱ δ' Ἕλληνες Ἀντιόχειαν Μυγδονικὴν προσηγόρευον. ταύτην εἶχεν ἀξιώματι μὲν ἀδελφὸς Τιγράνου, Γούρας, ἐμπειρίᾳ δὲ καὶ δεινότητι μηχανικῇ, Καλλίμαχος, ὁ καὶ περὶ Ἀμισὸν πλεῖστα πράγματα Λουκούλλῳ παρασχών. βαλόμενος δὲ στρατόπεδον, καὶ πᾶσαν ἰδέαν πολιορκίας ἐπαγαγὼν, ὀλίγῳ χρόνῳ κατὰ κράτος λαμβάνει τὴν πόλιν. καὶ Γούρᾳ μὲν ἑαυτὸν ἐγχειρίσαντι, φιλανθρώπως ἐχρήσατο· Καλλιμάχῳ δὲ ὑπισχνουμένῳ θήκας ἀποῤῥήτους μεγάλων χρημάτων ἀνακαλύψειν, οὐ προσέσχεν, ἀλλ' ἐκέλευσεν ἐν πέδαις κομίζεσθαι, δίκην ὑφέξοντα τοῦ πυρὸς ᾧ τὴν Ἀμισηνῶν διαλυμηνάμενος πόλιν, ἀφείλετο φιλοτιμίαν αὐτοῦ καὶ χρηστότητος ἐπίδειξιν πρὸς τοὺς Ἕλληνας.

Μέχρι τοῦτο φαίη τις ἂν Λουκούλλῳ τὴν τύχην ἑπομένην συστρατηγεῖν· ἐντεῦθεν δ' ὥσπερ πνεύματος ἐπιλιπόντος, προσβιαζόμενος πάντα, καὶ παντάπασιν ἀντικρούων, ἀρετὴν μὲν ἐπεδείκνυτο καὶ μακροθυμίαν ἡγεμόνος ἀγα-

cibus ad Lucullum per tribunos agere, deinde tumultuoſius coire, & per tentoria noctu conclamare: quod eſſe ſeditioſi exercitus ſignum apparet. Quum etiam obnixe obſecraret Lucullus, cohortatus eos ad patientiam, hactenus ut occallerent animis, dum Armeniorum Carthagine capta, infeſtiſſimi hoſtis (Annibalem deſignabat) opificium delerent. Ubi nihil profecit, retro ſigna movit, aliiſque jugis trajecto Tauro in regionem Mygdonicam appellatam deſcendit, munificam & apricam: in qua urbs ampla & populoſa erat, Niſibin barbari, Græci vocabant Antiochiam Mygdonicam. Huic præerat autoritate Tigranis frater Guras, arte & ſolertia machinali Callimachus, is qui Amiſi plurimum negotii exhibuerat Lucullo. Caſtris prope urbem poſitis, poſtquam omne genus oppugnationis adhibuit, brevi ſpatio expugnavit urbem. Ac Guram quidem, qui in poteſtatem ejus ſe dedidit, comiter habuit: Callimachum vero non audivit, quamvis grandis pecuniæ ſe reconditos theſauros profiteretur proditurum, verum in vinculis haberi imperavit ad pœnas pendendas, quod inflammata Amiſenorum urbe, gloriam ſibi & benignitatis erga Græcos materiam declarandæ præcidiſſet.

Hactenus fortunam dicat non inepte quiſquam comitem in rebus gerendis Luculli fuiſſe. Deinceps, quaſi cadente vento, quum omnia urgeret, ubique autem incurreret, virtutem quidem boni imperatoris & longanimitatem

ἀγαθοῦ, δόξαν δὲ καὶ χάριν οὐδεμίαν αἱ πράξεις ἔσχον· ἀλλὰ καὶ τὴν προϋπάρχουσαν ἐγγὺς ἦλθε, δυσπραγῶν καὶ διαφερόμενος μάτην, ἀποβαλεῖν. τῶν δ' αἰτιῶν αὐτὸς οὐχὶ τὴν ἐλαχίστην εἰς τοῦτο παρέσχεν, οὐκ ὢν θεραπευτικὸς πλήθους στρατιωτικοῦ, καὶ πᾶν τὸ πρὸς ἡδονὴν τοῦ ἀρχομένου γινόμενον ἀρχὴν ἀτιμίας καὶ κατάλυσιν ἡγούμενος· τὸ δὲ μέγιστον, οὐδὲ τοῖς δυνατοῖς καὶ ἰσοτίμοις εὐάρμοστος εἶναι πεφυκώς, ἀλλὰ πάντων καταφρονῶν, καὶ μηδενὸς ἀξίους πρὸς αὐτὸν ἡγούμενος. ταῦτα γὰρ ὑπάρξαι Λουκούλλῳ κακὰ λέγουσιν ἐν πᾶσι τοῖς ἄλλοις ἀγαθοῖς. καὶ γὰρ μέγας, καὶ καλός, καὶ δεινὸς εἰπεῖν, καὶ φρόνιμος ὁμαλῶς ἐν ἀγορᾷ καὶ στρατοπέδῳ δοκεῖ γενέσθαι. Σαλούστιος μὲν οὖν φησι χαλεπῶς διατεθῆναι τοὺς στρατιώτας πρὸς αὐτὸν, εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου πρὸς Κυζίκῳ καὶ πάλιν πρὸς Ἀμισῷ δύο χειμῶνας ἑξῆς ἐν χάρακι διαγαγεῖν ἀναγκασθέντας. ἠνίων δ' αὐτοὺς καὶ οἱ λοιποὶ χειμῶνες. ἢ γὰρ ἐν τῇ πολεμίᾳ διεχείμαζον, ἢ παρὰ τοῖς συμμάχοις ὕπαιθροι σκηνοῦντες· εἰς δὲ πόλιν Ἑλληνίδα καὶ φίλην οὐδ' ἅπαξ εἰσῆλθε μετὰ στρατοπέδου Λούκουλλος. οὕτω δὲ διακειμένοις αὐτοῖς τὰς μεγίστας ἐνέδωκαν ἀπὸ τῆς Ῥώμης οἱ δημαγωγοὶ προφάσεις, φθόνῳ τοῦ Λουκούλλου κατηγοροῦντες, ὡς ὑπὸ φιλαρχίας καὶ φιλοπλουτίας ἕλκοντος τὸν πόλεμον, καὶ μονονοὺ κατέχοντος ἐν ταυτῷ Κιλικίαν, Ἀσίαν, Βιθυνίαν, Παφλαγονίαν, Γαλατίαν, Πόντον, Ἀρμενίαν, τὰ μέχρι Φάσιδος· νῦν δὲ καὶ τὰ Τιγράνου βασίλεια πεπορθηκότος, ὥσπερ ἐκδῦσαι τοὺς βασιλεῖς, οὐ καταπολεμῆσαι πεμφθέντος. τοῦτο γὰρ εἰπεῖν φασιν ἕνα τῶν στρατηγῶν Λεύκιον Κοΐντον. ὑφ' οὗ μάλιστα πεισθέντες, ἐψη-

tem oſtendit, ſplendor vero rebus & gratia abſuit: immo etiam ante parta gloria fortunæ fluctibus & contentionibus ſuis cum exercitu prope manibus dilapſa eſt. Cujus non minimam ipſe præbuit cauſam, quod non conciliaret animos ſibi vulgi militaris, & quicquid ſubjectis imperio ſuo blandimenti adhibebatur, ſemen eſſe dedecoris duceret & ruinam autoritatis ſuæ. Quod vero maximum eſt, ne principibus quidem & dignitate paribus poterat ſe præbere comem, ſed omnes deſpiciebat, & nihili præ ſe faciebat. His nempe vitiis Lucullus inter multas virtutes fuiſſe dicitur aſperſus; quando procerus & pulcher, & eloquens, & prudens juxta domi & militiæ perhibetur extitiſſe. Ac Saluſtius quidem fuiſſe milites mox a belli exordio male ait in eum animatos, quod ad Cyzicum & iterum ad Amiſum duas hyemes eos in caſtris continuiſſet. Fatigati fuerunt & cæteris brumis. Aut enim in hoſtico hybernaverunt, aut apud ſocios tetenderunt ſub dio. In oppidum Græcum & pacatum ne ſemel quidem intulit pedem cum exercitu Lucullus. Atque ita animatis maximas occaſiones præbuerunt illi qui Romæ in concionibus regnabant. Hi per invidiam Lucullum criminabantur, imperii & pecuniæ aviditate bellum ducere: unum propemodum Ciliciam, Aſiam, Bithyniam, Paphlagoniam, Galatiam, Pontum, Armeniam, omnes denique provincias uſque ad Phaſim obtinere: nunc vero etiam Tigranis regias deprædatum, quaſi ad exuendos reges foret, non ad debellandos miſſus. Id enim unum ex prætoribus dixiſſe aiunt L. Quintium: a quo potiſſimum impulſus populus Romanus pro-

ἐψηφίσαντο πέμπειν διαδόχους τῷ Λουκούλλῳ τῆς ἐπαρχίας. ἐψηφίσαντο δὲ καὶ ὑπ' αὐτῷ στρατευομένων πολλοὺς ἀφεῖσθαι στρατείας.

Τούτοις δὲ τηλικούτοις οὖσι προσγίνεται τὸ μάλιστα Λουκούλλῳ διεργασάμενον τὰς πράξεις, Πόπλιος Κλώδιος, ἀνὴρ ὑβριστὴς καὶ μεστὸς ὀλιγωρίας ἁπάσης καὶ θρασύτητος. ἦν δὲ τῆς Λουκούλλου γυναικὸς ἀδελφὸς, ἣν καὶ διαφθείρειν ἔσχεν αἰτίαν, ἀκολαστοτάτην οὖσαν. τότε δὲ τῷ Λουκούλλῳ συστρατευόμενος, οὐχ ὅσης αὐτὸν ἠξίου τιμῆς ἐτύγχανεν· ἠξίου δὲ πρῶτος εἶναι, καὶ πολλῶν ἀπολειπόμενος διὰ τὸν τρόπον, ὑπῴκουρει τὴν Φιμβριανὴν στρατιὰν, καὶ παρώξυνε κατὰ τοῦ Λουκούλλου, λόγους χρηστοὺς εἰς οὐκ ἄκοντας οὐδ' ἀήθεις τοῦ δημαγωγεῖσθαι διαδούς. οὗτοι γὰρ ἦσαν οὓς καὶ πρότερον ἀνέπεισε Φιμβρίας, ἀποκτείναντας τὸν ὕπατον Φλάκκον, αὐτὸν ἑλέσθαι στρατηγόν. δι' ὃ καὶ τὸν Κλώδιον ἡδέως ἐδέχοντο, καὶ φιλοστρατιώτην προσηγόρευον, ἀγανακτεῖν προσποιούμενον ὑπὲρ αὐτῶν, εἰ πέρας οὐδὲν ἔσται πολέμων τοσούτων καὶ πόνων, ἀλλὰ παντὶ μὲν ἔθνει μαχόμενοι, πᾶσαν δὲ γῆν πλανώμενοι κατατρίψουσι τὸν βίον· οὐδὲν ἄξιον ἐκ τηλικαύτης φερόμενοι στρατείας, ἀλλὰ τὰς Λουκούλλου παραπέμποντες ἁμάξας καὶ καμήλους, ἐκπωμάτων χρυσῶν καὶ διαλίθων γεμούσας. οἱ δὲ Πομπηΐου στρατιῶται, δῆμος ὄντες, ἤδη που μετὰ γυναικῶν καὶ τέκνων κάθηνται γῆν εὐδαίμονα καὶ πόλεις ἔχοντες, οὐ Μιθριδάτην καὶ Τιγράνην εἰς τὰς ἀοικήτους ἐμβαλόντες ἐρημίας, οὐδὲ τῆς Ἀσίας τὰ βασίλεια καταρρίψαντες, ἀλλὰ φυγάσιν ἀνθρώποις ἐν Ἰβηρίᾳ καὶ δραπέταις ἐν Ἰταλίᾳ πολεμήσαντες. τί οὖν ἔδει μηδέποτε παύ-

vinciæ ſucceſſores mittendos Lucullo ſcivit, multoſque milites, qui ſub eo meruerant, mittendos.

His tantis incommodis acceſſit, quæ maxime res Lucullum evertit, P. Clodius homo inſolens, ſummæque diſſolutionis & audaciæ: frater erat uxoris Luculli, cum qua vulgatum erat laſciviſſima muliere ſtupri cum conſuetudinem habere. Hic id temporis ſub Lucullo militans, non eum locum quem cupiebat tenebat apud illum. Volebat autem primus eſſe. Quum vero multis eſſet ob mores ſuos inferior, Fimbrianos milites ſubivit, blandiſque verbis non invitos neque inſolentes blandimentorum concitavit in Lucullum. Quippe hi erant quos ante Fimbria induxerat ut occiderent conſulem Flaccum, ac ſe ducem caperent. Quo receperunt facilius Clodium, & militum amicum vocaverunt, quod vicem eorum ſimularet dolere, ſi finis tot bellorum ac laborum nullus eſſet, ſed cum omnibus gentibus certando, omnes tractus pervagando exhauſturi vitam eſſent, neque tantis dignum ſudoribus præmium relaturi, tantum Luculli plauſtra ſtiparent & camelos aureis gemmatiſque poculis onuſtos. Milites vero Pompeii jam diſcincti, cum conjugibus & liberis certa ſede conſiderent, colerentque uberes agros & oppida, qui Mithridatem & Tigranem non in vaſtas coegerint ſolitudines, neque regias Aſiæ demoliti ſint, verum cum exulibus in Hiſpania, in Italia cum fugitivis bellaverint. Si igitur per-

παύσασθαι στρατευομένους; οὐχὶ τοιούτῳ στρατηγῷ καὶ σώματα τὰ λοιπὰ καὶ ψυχὰς φυλάσσωμεν, ᾧ κάλλιστος εἶναι δοκεῖ κόσμος ὁ τῶν στρατευομένων πλοῦτος; τοιαύταις αἰτίαις τὸ Λουκούλλου στράτευμα διαφθαρὲν, οὔτ' ἐπὶ Τιγράνην ἠκολούθησεν, οὔτ' ἐπὶ Μιθριδάτην, εὐθὺς ἐξ Ἀρμενίας εἰς Πόντον ἐμβαλόντα, καὶ τὴν ἀρχὴν ἀναλαμβάνοντα. πρόφασιν δὲ τὸν χειμῶνα ποιούμενοι, περὶ τὴν Γορδυηνὴν διέτριβον, ὅσον οὔπω Πομπήϊον ἤ τιν' ἄλλον τῶν ἡγεμόνων Λουκούλλῳ διάδοχον ἀφίξεσθαι προσδοκῶντες.

Ἐπεὶ δὲ Μιθριδάτης ἤγγελτο Φάβιον νενικηκὼς ἐπὶ Σωρνάτιον καὶ Τριάριον βαδίζειν, αἰσχυνθέντες εἵποντο τῷ Λουκούλλῳ. Τριάριος δ' ὡς ἕτοιμον ἁρπάσαι τὸ νίκημα, πρὶν ἐπελθεῖν Λούκουλλον ἐγγὺς ὄντα, φιλοτιμούμενος, ἡττᾶται μάχῃ μεγάλῃ. λέγονται γὰρ ὑπὲρ ἑπτακισχιλίους Ῥωμαίων ἀποθανεῖν, ἐν οἷς ἑκατόνταρχοι μὲν ἑκατὸν πεντήκοντα, χιλίαρχοι δ' εἴκοσι καὶ τέσσαρες. τὸ δὲ στρατόπεδον εἷλε Μιθριδάτης. ἐπελθὼν δὲ Λούκουλλος ὀλίγαις ὕστερον ἡμέραις, Τριάριον μὲν ὑπὸ τῶν στρατιωτῶν ζητούμενον πρὸς ὀργὴν ἐξέκλεψε, Μιθριδάτου δὲ μὴ θέλοντος μάχεσθαι, ἀλλὰ Τιγράνην περιμένοντος ἤδη καταβαίνοντα μετὰ πολλῆς δυνάμεως, ἔγνω πρὶν ἀμφοτέρους συνελθεῖν, πάλιν ἀπαντῆσαι καὶ διαγωνίσασθαι πρὸς τὸν Τιγράνην. πορευομένῳ δ' αὐτῷ καθ' ὁδὸν οἱ Φιμβριανοὶ στασιάσαντες, ἀπέλιπον τὰς τάξεις, ὡς ἀφειμένοι δόγματι τῆς στρατείας, καὶ μηκέτι τῷ Λουκούλλῳ προσῆκον ἄρχειν, ἑτέροις ἀποδεδειγμένων τῶν ἐπαρχιῶν. οὐδὲν οὖν ἐστιν ὅ,τι τῶν παρ' ἀξίαν ὁ Λούκουλλος οὐχ ὑπέμεινεν, ἀντιβολῶν καθ' ἕνα καὶ κατὰ σκηνὰς, περιιὼν ταπεινὸς καὶ δεδακρυμένος

perpetuo (inquit) eſt militandum, nonne tali duci, cui pulcherrimum videtur ornamentum militum opulentia, quod reliquum eſt corporis & animæ reſervabimus? His calumniis labefactatus Luculli exercitus nec ducem in Tigranem voluit ſequi, nec in Mithridatem, qui confeſtim ex Armenia incurrit in Pontum, regnumque ſuum inſtitit recipere. Cæterum hyemis prætextu traducebant illi in Gordyene tempus, & jamjam Pompeium vel alium quempiam imperatorem ad ſuccedendum Lucullo venturum exſpectabant.

At poſtquam Mithridatem nuntiatum eſt, fuſo Fabio, in Sornatium & Triarium pergere, verecundia ſequuti Lucullum ſunt. Triarius autem, dum quaſi paratam præripere cupit victoriam, antequam adveniret propinquus jam Lucullus, ingenti pugna funditur: ſiquidem milites Romani dicuntur ſupra ſeptem millia cæſa, in quibus centuriones centum quinquaginta, tribuni quatuor & viginti. Caſtra quoque cepit Mithridates. Paucis diebus poſt ſuperveniens Lucullus, Triarium, quem infenſi milites requirebant, clam eripuit. Detrectante aciem Mithridate, qui adventantem cum ingenti manu Tigranem exſpectabat, priuſquam conjungerentur ambo, ſtatuit rurſus obviam procedere & dimicare cum Tigrane. Progredientem in itinere Fimbriani ſeceſſione facta ſigna deſeruerunt, quaſi eſſent ex ſenatuſconſulto exauctorati, nec, quum aliis decretæ eſſent provinciæ, ultra imperium Luculli foret. Nullam non hic indignitatem ſubiit Lucullus, ſingulos orando & tentoria obeundo demiſſus & lacrymis op-

μενος, ἔστι δ' ὧν καὶ χειρὸς ἁπτόμενος. οἱ δ' ἀπετρίβοντο τὰς δεξιώσεις, καὶ κενὰ προσερρίπτουν βαλάντια, καὶ μόνον μάχεσθαι τοῖς πολεμίοις ἐκέλευον ἀφ' ὧν μόνος ἠπίστατο πλουτεῖν. οὐ μὴν ἀλλὰ τῶν ἄλλων στρατιωτῶν δεομένων, ἐκβιασθέντες οἱ Φιμβριανοὶ, συνέθεντο παραμεῖναι τὸ θέρος· ἐὰν δὲ μηδεὶς ἐν τῷ χρόνῳ τούτῳ κατίῃ πρὸς αὐτοὺς ἀγωνιούμενος, ἀπηλλάχθαι. ταῦτ' ἔδει στέργειν ἐξ ἀνάγκης τὸν Λούκουλλον, ἢ προέσθαι τοῖς βαρβάροις τὴν χώραν ἀπολειφθέντα. συνεῖχεν οὖν αὐτοὺς οὐκέτι προσβιαζόμενος, οὐδὲ προάγων πρὸς μάχην, ἀλλ' εἰ παραμένοιεν ἀγαπῶν, καὶ περιορῶν πορθουμένην ὑπὸ τοῦ Τιγράνου τὴν Καππαδοκίαν, καὶ πάλιν ὑβρίζοντα Μιθριδάτην, ὃν αὐτὸς ἐπεστάλκει τῇ συγκλήτῳ γράφων καταπεπολεμῆσθαι· καὶ οἱ πρέσβεις παρῆσαν αὐτῷ πρὸς τὴν διάθεσιν τῶν ἐν Πόντῳ πραγμάτων, ὡς δὴ βεβαίως ἐχομένων. καὶ δὴ παρόντες ἑώρων οὐδ' αὐτοῦ κύριον, ἀλλὰ παροινούμενον καὶ προπηλακιζόμενον ὑπὸ τῶν στρατιωτῶν. οἷς γε τοσοῦτο περιῆν τῆς εἰς τὸν στρατηγὸν ἀσελγείας, ὥστε τοῦ θέρους λήγοντος, ἐνδύντες τὰ ὅπλα καὶ σπασάμενοι τὰς μαχαίρας, προσεκαλοῦντο τοὺς μηδαμοῦ παρόντας ἀλλ' ἀπειρηκότας ἤδη πολεμίους. ἀλαλάξαντες δὲ καὶ σκιαμαχήσαντες ἀπεχώρησαν ἐκ τοῦ χάρακος, ἐπιμαρτυράμενοι πεπληρῶσθαι τὸν χρόνον ὃν ὡμολόγησαν τῷ Λουκούλλῳ παραμένειν. τοὺς δ' ἄλλους ἐκάλει διὰ γραμμάτων Πομπήϊος· ἤδη γὰρ ἀποδέδεικτο τοῦ πρὸς Μιθριδάτην καὶ Τιγράνην πολέμου στρατηγὸς, χάριτι τοῦ δήμου καὶ κολακείᾳ τῶν δημαγωγῶν. ἐπεὶ τῇ γε βουλῇ καὶ τοῖς ἀρίστοις ἄδικα πάσχειν ἐδόκει Λούκουλλος,

pletus: nonnullorum etiam prehendit manus. Illi vero prensationes repellere, inanes zonas objicere, jactareque, solus dimicaret cum hostibus, ex quibus ditescere nosset solus. Tandem cæterorum quoque militum Fimbriani precibus expugnati, receperunt se illam æstatem ad signa mansuros. Quod si nemo interea ad pugnandum secum descenderet, discessuros. His oportebat acquiescere Lucullum, aut desertam præsidio relinquere barbaris provinciam. Continuit ergo illos non jam imperio, neque eos in aciem eduxit, verum satis huic erat, modo manerent, patiebaturque vastari a Tigrane Cappadociam, & insolescere de integro Mithridatem, cum quo ipse ad senatum scripserat esse debellatum, venerantque ad res Ponti componendas, sicut pacatas, legati. Qui ubi jam adfuerunt, offenderunt ne ipsum quidem sui juris esse, verum a militibus haberi ludibrio & contumeliose tractari. Hi vero eo in imperatorem progressi insolentiæ sunt, ut exacta æstate sumpserint arma, gladiisque districtis, provocarent nusquam apparentes, qui jam receperant se hostes, jubilantesque & brachia jactantes inaniter, excederent castris, testati completum tempus quod Lucullo commoraturos se promiserant. Alios autem evocavit per literas Pompeius. Jam enim aura populari & concionatorum adulatione bellum ei erat contra Mithridatem & Tigranem decretum. Nam senatui quidem & optimatibus affici Lucullum inju-

λος, οὐ πολέμου διαδόχους ἀλλὰ θριάμβου λαμβάνων, οὐδὲ τῆς στρατηγίας ἀναγκαζόμενος, ἀλλὰ τῶν ἐπάθλων τῆς στρατηγίας ἐξίστασθαι καὶ παραχωρεῖν ἑτέροις.

Ἔτι δὲ μᾶλλον ἐφάνη τὸ γινόμενον τοῖς ἐκεῖ παροῦσι νεμεσητόν. οὔτε γὰρ τιμῆς ὁ Λούκουλλος οὔτε τιμωρίας τῶν ἐν πολέμῳ κύριος ὑπῆρχεν· οὐδ' εἴα τινὰ Πομπήϊος βαδίζειν πρὸς αὐτὸν, οὐδὲ προσέχειν οἷς ἐκεῖνος ἔγραφε καὶ διένεμε μετὰ τῶν δέκα πρέσβεων· ἀλλ' ἐκώλυεν, ἐκτιθεὶς διαγράμματα, καὶ φοβερὸς παρὼν ἀπὸ μείζονος δυνάμεως. ὅμως δὲ ἔδοξε τοῖς φίλοις συναγαγεῖν αὐτούς· καὶ συνῆλθον ἐν κώμῃ τινὶ τῆς Γαλατίας, καὶ προσεῖπον ἀλλήλους φιλοφρόνως, καὶ συνήσθησαν ἐπὶ τοῖς κατωρθωμένοις ἑκατέρῳ· πρεσβύτερος μὲν ὢν ὁ Λούκουλλος, ἀξίωμα δ' ἦν τὸ Πομπηΐου μεῖζον, ἀπὸ πλειόνων στρατηγιῶν καὶ δυοῖν θριάμβων. ῥάβδοι δ' ἀμφοτέρῳ προηγοῦντο δαφνηφόροι διὰ τὰς νίκας. καὶ τοῦ γε Πομπηΐου, μακρὰν ὁδὸν διὰ τόπων ἀνύδρων καὶ αὐχμηρῶν ὁδεύσαντος, τὰς δάφνας ξηρὰς περικειμένας ταῖς ῥάβδοις ἰδόντες οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι, φιλοφρονούμενοι τοῖς ἐκείνου μετέδωκαν ἐκ τῶν ἰδίων, προσφάτους καὶ θαλερὰς ἔχοντες. καὶ τὸ γινόμενον εἰς οἰωνὸν ἐτίθεντο χρηστὸν οἱ Πομπηΐου φίλοι. τῷ γὰρ ὄντι τὴν ἐκείνου στρατηγίαν αἱ τούτου πράξεις ἐκόσμησαν. ἐκ δὲ τῶν λόγων πρὸς οὐδὲν ἐπιεικὲς συνέβησαν, ἀλλ' ἔτι μᾶλλον ἀλλοτριωθέντες πρὸς ἀλλήλους ἀπῆλθον, καὶ τὰς ἀπὸ τοῦ Λουκούλλου γενομένας διατάξεις ἠκύρωσεν ὁ Πομπήϊος· στρατιώτας δὲ τοὺς ἄλλους ἀπαγαγὼν, μόνους αὐτῷ χιλίους ἑξακοσίους ἀπέλιπε συν-

θρι-

juria apparebat, cui non belli, sed triumphi mitteretur successor, nec bellis gerendis cogi, sed rerum gestarum præmiis cedere, eaque permittere aliis.

Magis autem præsentibus ibi res visa invidiosa. Neque enim relictum Lucullo fuit vel præmiorum vel pœnæ pro cujusque meritis in bello arbitrium, neque cuiquam permisit Pompeius eum adire, vel rata esse acta ejus, vel quæ ex consilio decem legatorum dispensabat; verum prohibuit ea per edicta, terroremque ob majorem exercitum, quem habebat, omnibus incussit. Visum est tamen amicis ut convenirent. Congressi sunt igitur in vico quodam Galatiæ, atque inter se comiter consalutaverunt, congratulatique sunt invicem de rebus bene & fœliciter gestis. Erat natu major Lucullus, sed Pompeii ex pluribus imperiis & gemino triumpho dignitas superior. Fasces utrique laureatæ victoriarum causa præferebantur. Quia vero venerat Pompeius longa via per loca arida & squalida, exaruisse laureas fascibus ejus circumjectas quum considerarent Luculli lictores, benigne illius lictoribus largiti sunt ex suis recentibus & virentibus. Eam rem amici Pompeii in faustum omen vertere: quippe revera hujus imperium illius res gestæ decorarunt. Ex eo colloquio nihilo sunt inter se æquiores facti, verum discesserunt magis a se mutuo alienati. Luculli acta rescidit Pompeius: milites cæteros ei abstulit, solos mille sexcentos ad triumphum reliquit, ac

θριαμβεύσοντας, οὐδὲ τούτους μάλα προθύμως ἑπομένους. οὕτω τις ἦν ἀφυὴς ἢ δυστυχὴς ὁ Λούκουλλος πρὸς τὸ πάντων ἐν ἡγεμονίᾳ πρῶτον καὶ μέγιστον· ὡς εἰ τοῦτο μετὰ τῶν ἄλλων ὑπῆρξεν αὐτῷ, τηλικούτων ὄντων καὶ τοσούτων, μετ' ἀνδρείας, ἐπιμελείας, συνέσεως, δικαιοσύνης, οὐκ ἂν εἶχεν ἡ Ῥωμαίων ἡγεμονία τὸν Εὐφράτην τῆς Ἀσίας ὅρον, ἀλλὰ τὰ ἔσχατα, καὶ τὴν Ὑρκανίαν θάλασσαν, τῶν μὲν ἄλλων ἐθνῶν Τιγράνῃ προηττημένων, τῆς δὲ Πάρθων δυνάμεως, οὐχ ὅση κατὰ Κράσσον ἐξεφάνη, τοσαύτης κατὰ Λούκουλλον οὔσης, οὐδ' ὁμοίως συνεστώσης, ἀλλ' ὑπ' ἐμφυλίων καὶ προσοίκων πολέμων οὐδ' Ἀρμενίους ὑβρίζοντας ἐρρωμένης ἀμύνεσθαι. νῦν δέ μοι δοκεῖ Λούκουλλος ὧν ὠφέλησε δι' αὐτοῦ τὴν πατρίδα, βλάψαι μείζονα δι' ἑτέρων. τὰ γὰρ ἐν Ἀρμενίᾳ τρόπαια Πάρθων πλησίον ἑστῶτα, καὶ Τιγρανόκερτα, καὶ Νίσιβις, καὶ πλοῦτος ἐκ τούτων πολὺς εἰς Ῥώμην κομισθεὶς, καὶ τὸ Τιγράνου διάδημα πομπευθὲν αἰχμάλωτον, ἐπῆρε Κράσσον ἐπὶ τὴν Ἀσίαν, ὡς λάφυρα καὶ λείαν τοὺς βαρβάρους, ἄλλο δ' οὐδὲν ὄντας. ταχὺ μέντοι τοῖς Πάρθων τοξεύμασιν ἐντυχὼν, ἀπέδειξε τὸν Λούκουλλον οὐκ ἀφροσύνῃ καὶ μαλακίᾳ τῶν πολεμίων, αὐτοῦ δὲ τόλμῃ καὶ δεινότητι περιγενόμενον. ἀλλὰ ταῦτα μὲν ὕστερον.

Ὁ δὲ Λούκουλλος ἀναβὰς εἰς Ῥώμην, πρῶτον μὲν κατέλαβε τὸν ἀδελφὸν Μάρκον ὑπὸ Γαΐου Μεμμίου κατηγορούμενον ἐφ' οἷς ἔπραξε ταμιεύων, Σύλλα προστάξαντος. ἐκείνου δ' ἀποφυγόντος, ἐπὶ τοῦτον αὐτὸν ὁ Μέμμιος μεταβαλλόμενος παρώξυνε τὸν δῆμον, καὶ ὡς πολλὰ νενοσφισμένῳ καὶ μηκύναντι τὸν

ne hos quidem ad eum sequendum promptos. Adeo fuit ad id quod caput est in duce & summum ineptus aut infaustus Lucullus. Quod si adjunctum ad reliquas ejus tot & tantas virtutes esset, ad fortitudinem, vigilantiam, prudentiam, justitiam, non haberet Romanum imperium Euphratem Asiæ terminum, sed ultima terræ & mare Hyrcanum; quando cæteras gentes ante domuerat cum Tigrane, nec Parthorum potentia, quanta Crassi imperio enituit, tanta fuit sub Lucullo, neque æque consentiens, verum ob intestina & finitima bella ne Armeniorum quidem valebat propulsare insultus. Nunc vero videtur Lucullus mihi plus quam per se patriæ commodavit, incommodasse per alios: siquidem Armeniacæ palmæ ex vicina Parthis provincia obtentæ, Tigranocerta, Nisibis, opes hinc Romam copiosæ deportatæ, captum Tigranis diadema atque in triumpho translatum, Crassum in Asiam, tanquam nihil aliud quam manubiæ & præda essent barbari, incenderunt. At cito in sagittas incurrens Parthorum, Lucullum demonstravit non hostium vecordia & mollitia, sed virtute & consilio suo vicisse. Verum de his post agemus.

Porro regressus ad urbem Lucullus, offendit primum Marcum fratrem ob ea quæ in quæstura jussu Syllæ gesserat, a Caio Memmio accusatum. Quo absoluto, in hunc ipsum convertens se Memmius, inflammavit populum, ac quasi multa intervertisset de præda, traxissetque bellum, suasit

τὸν πόλεμον ἔπεισεν αὐτῷ μὴ δοῦναι θρίαμβον. ἐλθόντος δ' εἰς ἀγῶνα τοῦ Λουκούλλου μέγαν, οἱ πρῶτοι καὶ δυνατώτατοι καταμίξαντες ἑαυτοὺς ταῖς φυλαῖς, πολλῇ δεήσει καὶ σπουδῇ μόλις ἔπεισαν τὸν δῆμον ἐπιτρέψαι θριαμβεῦσαι, οὐχ ὥσπερ ἔνιοι, μήκει τε πομπῆς, καὶ πλήθει τῶν κομιζομένων, ἐκπληκτικὸν καὶ ὀχλώδη θρίαμβον, ἀλλὰ τοῖς ὅπλοις τῶν πολεμίων οὖσι παμπόλλοις καὶ τοῖς βασιλικοῖς μηχανήμασι τὸν Φλαμίνειον ἱππόδρομον διεκόσμησε· καὶ θέα τις ἦν αὐτὴ καθ' ἑαυτὴν οὐκ εὐκαταφρόνητος. ἐν δὲ τῇ πομπῇ, τῶν τε καταφράκτων ἱππέων ὀλίγοι, καὶ τῶν δρεπανηφόρων ἁρμάτων δέκα παρῆλθον· ἑξήκοντα δὲ φίλοι καὶ στρατηγοὶ τῶν βασιλικῶν· μακραὶ δὲ χαλκέμβολοι νῆες ἑκατὸν καὶ δέκα ἅμα παρεκομίσθησαν· αὐτοῦ τε Μιθριδάτου χρυσοῦς ἑξάπους κολοσσὸς, καὶ θυρεός τις διάλιθος· καὶ φορήματα εἴκοσι μὲν ἀργυρῶν σκευῶν, χρυσῶν δ' ἐκπωμάτων καὶ ὅπλων καὶ νομίσματος, δύο καὶ τριάκοντα. ταῦτα μὲν οὖν ἄνδρες παρεκόμιζον· ἡμίονοι δ' ὀκτὼ, κλίνας χρυσᾶς ἔφερον, ἓξ δὲ καὶ πεντήκοντα, κεχωνευμένον ἀργύριον· ἄλλοι δ' ἑκατὸν ἑπτὰ, νομίσματος καὶ ἀργυρίου μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας. ἐν δὲ δέλτοις ἀναγραφαὶ τῶν ἤδη δεδομένων χρημάτων ὑπ' αὐτοῦ Πομπηΐῳ πρὸς τὸν πειρατικὸν πόλεμον, καὶ τοῖς ἐπὶ τοῦ δημοσίου ταμείου, καὶ χωρὶς ὅτι στρατιώτης ἕκαστος ἐννακοσίας καὶ πεντήκοντα δραχμὰς ἔλαβεν. ἐπὶ τούτοις, τήν τε πόλιν εἱστίασε λαμπρῶς, καὶ τὰς περιοικίδας κώμας, ἃς οὐΐκους καλοῦσι.

Τῆς δὲ Κλωδίας ἀπηλλαγμένος, οὔσης ἀσελγοῦς καὶ πονηρᾶς, Σερουϊλίαν ἔγημεν,

fit ut ei triumphum denegaret. Quum vocaretur hic in magnum periculum Lucullus, principes & potentissimi inseruerunt se tribubus, multisque precibus & contentione ægre induxerunt populum ut triumphum ei concederet. Triumphum autem non (ut aliqui) pompæ prolixitate, & rerum traductarum copia portentosum & fastidiosum duxit, sed armis hostilibus, quorum erat vis ingens, & machinis regiis circum Flaminium exornavit, quod erat per se haud contemnendum spectaculum. Ipso in triumpho equites cataphracti pauci, currus falcati decem traducti, amici & duces regii sexaginta. Naves longæ æreis rostris aptæ decem supra centum translatæ. Ipsius Mithridatis aureus colossus sex pedes longus, & gemmis distinctum scutum. Fercula viginti vasorum argenteorum, aureorum poculorum, armorum & nummorum triginta duo. Hæc per viros traducta. Octo muli lectos aureos portaverunt, sex & quinquaginta argentum infectum, alii centum & septem, argenti signati paulo minus vicies septies centena millia drachmarum. In tabulis breviaria pecuniæ, quam Pompeio ad bellum piraticum & quæstoribus dederat. Præterea, quod militibus in singulos nongenos quinquagenos denarios diviserat. Sub his splendidum epulum populo & circumjectis oppidulis, quæ vicos vocant, dedit.

Repudiata autem Clodia, lasciva & improba muliere, Serviliam duxit Catonis soro-

μὲν, ἀδελφὴν Κάτωνος, οὐδὲ τοῦτον εὐτυχῆ γάμον. ἓν γὰρ οὐ προσῆν αὐτῇ τῶν Κλωδίας κακῶν μόνον, ἡ τῶν ἀδελφῶν διαβολή· τἄλλα δὲ βδελυρὰν ὁμοίως οὖσαν καὶ ἀκόλαστον ἠναγκάζετο φέρειν, αἰδούμενος Κάτωνα· τέλος δὲ ἀπεῖπεν. ἐλπίδας δὲ θαυμαστὰς τῇ βουλῇ παρασχὼν, ὡς ἕξουσῃ τὸν ἄνδρα τοῦτον ἀντίταγμα πρὸς τὴν Πομπηΐου τυραννίδα, καὶ τῆς ἀριστοκρατίας πρόμαχον, ἀπὸ δόξης καὶ δυνάμεως ὁρμώμενον μεγάλης, ἐγκατέλιπε καὶ προήκατο τὴν πολιτείαν, εἴτε δυσκάθεκτον ἤδη καὶ νοσοῦσαν ὁρῶν, εἴθ᾽, ὥς φασιν ἔνιοι, μεστὸς ὢν δόξης, καὶ πρὸς τὸ ῥᾷστον ἀναπίπτων τοῦ βίου καὶ μαλακώτατον, ἐκ πολλῶν ἀγώνων καὶ πόνων οὐκ εὐτυχέστατον τέλος λαβόντων. οἱ μὲν γὰρ ἐπαινοῦσιν αὐτοῦ τὴν τοσαύτην μεταβολὴν, τὸ Μαρίου πάθος μὴ παθόντος, ὃς ἐπὶ ταῖς Κιμβρικαῖς νίκαις καὶ τοῖς μεγάλοις καὶ καλοῖς ἐκείνοις κατορθώμασιν, οὐκ ἠθέλησεν αὑτὸν ἀναθεῖναι τιμῇ τοσαύτῃ ζηλωτὸν, ἀλλ᾽ ἀπληστίᾳ δόξης καὶ ἀρχῆς, νέοις ἀνδράσι γέρων ἀντιπολιτευόμενος, εἰς ἔργα δεινὰ καὶ πάθη δεινότερα τῶν ἔργων ἐξώκειλε. βέλτιον δ᾽ ἂν καὶ Κικέρωνα γηρᾶσαι, μετὰ Κατιλίναν, ὑποστειλάμενον· καὶ Σκιπίωνα, Καρχηδόνι προσθέντα Νομαντίαν, εἶτα παυσάμενον· εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν. τῶν γὰρ ἀθλητικῶν ἀγώνων τοὺς πολιτικοὺς οὐδὲν ἧττον ἀκμῆς καὶ ὥρας ἀπολιπούσης ἐλέγχεσθαι. οἱ δὲ περὶ τὸν Κράσσον καὶ Πομπήϊον ἐχλεύαζον τὸν Λούκουλλον, εἰς ἡδονὴν ἀφεικότα καὶ πολυτέλειαν αὑτὸν, ὥσπερ οὐ τοῦ τρυφᾷν μᾶλλον τοῖς τηλικούτοις παρ᾽ ἡλικίαν ὄντος, ἢ τοῦ πολιτεύεσθαι καὶ στρατηγεῖν.

Ἔστι

rorem: quæ item nuptiæ parum fauſtæ fuere. Una enim carebat ſola Clodiæ macularum, infamia ſcilicet ex fratribus: cætera pariter flagitioſam & impudicam ut ferret, Catonis reverentia vim intulit ſibi: poſtremo tolerare eam non valuit. Quum vero mirificam ſpem oſtendiſſet ſenatui, qui hunc virum habere arbitrabatur ſe adverſus Pompeii dominationem præſidium, & propugnaculum optimatium, ingenti gloria atque autoritate ſubnixum, deſeruit abdicavitque reipub. curam: vel quod ægram jam difficile retineri cerneret a lapſu poſſe, vel (ut nonnulli volunt) quod quum plenus eſſet honorum, ad placidiſſimam & molliſſimam vitam ex multis certaminibus & ſudoribus, quæ non fœliciſſimum habuerant exitum, delaberetur. Quam alii ejus commutationem tantam commendant, quod in vitium & ærumnam non inciderit Marii, qui a victoriis Cimbricis celſiſque illis & eximiis rebus geſtis, non contentus ſummis honoribus, quibus haberi poterat beatus, ſed inſatiabili gloriæ & imperii fame cum juvenibus in republica gubernanda certans ſenex, in horrenda facinora impegit, atque in affectus facinoribus ſuis horrendiores. Rectius enim Ciceronem quoque ſenectuti ſuæ conſulturum fuiſſe, ſi oppreſſo Catilina receпiſſet ſe: & Scipionem Carthagini adjecta Numantia, ſi inde quieviſſet. Eſſe enim etiam orbis quendam politici terminum. Quandoquidem non ſecus certamina politica quam athletica vigore deſtituta & flore coargui. At Craſſus & Pompeius ſubſannabant Lucullum, quod in voluptates & luxum ſe demerſiſſet: quaſi vero non magis eſſent deliciæ a tanta ætate alienæ, quam reipublicæ cura & adminiſtratio belli.

Enim-

Ἔστι δ' οὖν τοῦ Λουκούλλου βίου, καθάπερ ἀρχαίας κωμῳδίας, ἀναγνῶναι τὰ μὲν πρῶτα, πολιτείας καὶ στρατηγίας, τὰ δ' ὕστερα, πότους καὶ δεῖπνα, καὶ μονονουχὶ κώμους καὶ λαμπάδας καὶ παιδιὰν ἅπασαν. εἰς παιδιὰν γὰρ ἔγωγε τίθεμαι καὶ οἰκοδομὰς πολυτελεῖς, καὶ κατασκευὰς περιπάτων καὶ λουτρῶν, καὶ ἔτι μᾶλλον γραφὰς καὶ ἀνδριάντας, καὶ τὴν περὶ ταύτας τὰς τέχνας σπουδὴν, ἃς ἐκεῖνος συνῆγε μεγάλοις ἀναλώμασιν, εἰς ταῦτα τῷ πλούτῳ ῥύδην καταχρώμενος, ὃν ἠθροίκει πολὺν καὶ λαμπρὸν ἀπὸ τῶν στρατειῶν. ὅπου καὶ νῦν, ἐπίδοσιν τοιαύτην τῆς τρυφῆς ἐχούσης, οἱ Λουκουλλιανοὶ κῆποι τῶν βασιλικῶν ἐν τοῖς πολυτελεστάτοις ἀριθμοῦνται. τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ Νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννύντος αὐτοῦ μεγάλοις ὀρύγμασι, καὶ τροχοὺς θαλάσσης, καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος, καὶ διαίτας ἐναλίους κτίζοντος, ὁ Στωϊκὸς Τουβέρων θεασάμενος, Ξέρξην αὐτὸν ἐκ τηβέννου προσηγόρευσεν. ἦσαν δὲ αὐτῷ περὶ Τοῦσκλον ἐγχώριοι δίαιται, καὶ κατασκοπαὶ περιόπτων, καὶ κατασκευαὶ ἀναπεπταμένων ἀνδρώνων καὶ περιπάτων. ἐν αἷς ὁ Πομπήϊος γενόμενος, ἐμέμφετο τὸν Λούκουλλον, ὅτι πρὸς θέρος ἄριστα διαθεὶς τὴν ἔπαυλιν, ἀοίκητον ἐν χειμῶνι πεποίηκε. γελάσας οὖν ἐκεῖνος, Εἶτα, ἔφη, σοὶ δοκῶ ἐλάττονα τῶν γεράνων νοῦν ἔχειν καὶ τῶν πελαργῶν, ὥστε ταῖς ὥραις μὴ συμμεταβάλλειν τὰς διαίτας; στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ θέας, καὶ χορῷ τινι κόσμον αἰτουμένου πορφυρᾶς χλαμύδας, ἀπεκρίνατο, σκεψάμενος, ἂν ἔχῃ, δώσειν. εἶτα μεθ' ἡμέραν ἠρώτησεν αὐτὸν ὁπόσων δέοιτο. τοῦ

δὲ

Enimvero eſt in Luculli vitæ, ſicut veteris comœdiæ exordio, legere actiones politicas & expeditiones: in calce compotationes, cœnas, & tantum non comeſſationes, faces, & omne genus ludi. In ludo equidem etiam reputo ſumptuoſas ſubſtructiones ejus, ambulationum & balneorum molitiones, pluſque tabulas, ſtatuas, ſtudiumque circa has artes & opera, quæ ille gravibus contrahebat expenſis, profundebatque in ea opes, quas ex bellis geſtis paraverat ingentes & ſplendidas. Siquidem vel hac ætate ita gliſcente luxu horti Luculliani inter principis ſumptuoſiſſimos habentur. Opificia ejus maritima, & ad Neapolim, ubi tumulos ſuſpendit foſſuris, euripis, & rivis piſculentis ædificia ſua circumjecit, diætas marinas exſtruxit, quum Tubero Stoicus contemplatus eſſet, appellavit eum Xerxem togatum. Jam habebat in Tuſculano diætas mediterraneas & ſpeculas amœni proſpectus, exſtruxerat ibidem apertos cubiculos ambulationeſque. Quæ quum viſeret Pompeius, reprehendit Lucullum, quod villam optime ad æſtatem comparaſſet, verum habitationi brumali feciſſet incommodam. Ille vero arridens, Putaſne minus me, inquit, quam grues & ciconias ſapere, quin cum temporum articulis commutem diætas? Prætor quidam magnificos ludos edere parabat. Hic ad ornandum chorum petiit ab eo chlamydas purpureas. Ille reſpondit conſideraturum ſe, ſi haberet, daturum. Poſtero die rogavit quot opus haberet. Qui

quum

δὲ ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύτας. εἰς ὃ καὶ Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα, πλείονα τῶν φαινομένων ἐστί.

Νεόπλουτα δ' ἦν τοῦ Λουκούλλου τὰ δεῖπνα τὰ καθ' ἡμέραν, οὐ μόνον στρωμναῖς ἁλουργέσι καὶ διαλίθοις ἐκπώμασι καὶ χοροῖς καὶ ἀκροάμασιν ἐπεισοδίοις, ἀλλ' ὄψων τε παντοδαπῶν καὶ πεμμάτων περιττῶς διαπεπονημένων παρασκευαῖς, ζηλωτὸν ἀνελευθέροις ποιοῦντος ἑαυτόν. ὁ γοῦν Πομπήιος εὐδοκίμησε νοσῶν, τοῦ μὲν ἰατροῦ κίχλην αὐτὸν λαβεῖν κελεύσαντος· τῶν δ' οἰκετῶν οὐκ ἂν εὑρεῖν ἀλλαχόθι φαμένων θέρους ὥρᾳ κίχλην ἢ παρὰ Λουκούλλῳ σιτευομένην, οὐκ εἴασε λαβεῖν ἐκεῖθεν, ἀλλ' εἰπὼν πρὸς τὸν ἰατρὸν, οὐκοῦν εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησεν; ἄλλο τι παρασκευάσαι τῶν εὐπορίστων ἐκέλευσε. Κάτων δ' ἦν αὐτῷ φίλος καὶ οἰκεῖος· οὕτω δὲ τὸν βίον αὐτοῦ καὶ τὴν δίαιταν ἐδυσχέραινεν, ὥστε νέου τινὸς ἐν τῇ βουλῇ λόγον ἐπαχθῆ καὶ μακρὸν ἀκαίρως ὑπὲρ εὐτελείας καὶ σωφροσύνης διελθόντος, ἐπαναστὰς ὁ Κάτων, Οὐ παύσῃ, ἔφη, σὺ πλουτῶν μὲν ὡς Κράσσος, ζῶν δ' ὡς Λούκουλλος, λέγων δὲ ὡς Κάτων; ἔνιοι δὲ τοῦτο ῥηθῆναι μὲν οὕτως, ὑπὸ Κάτωνος δὲ οὐ λέγουσιν.

Ὁ μέντοι Λούκουλλος οὐχ ἡδόμενος μόνον, ἀλλὰ καὶ σεμνυνόμενος τῷ βίῳ τούτῳ δῆλος ἦν ἐκ τῶν ἀπομνημονευομένων. λέγεται γὰρ Ἕλληνας ἀνθρώπους ἀναβάντας εἰς Ῥώμην, ἑστιᾶν ἐπὶ πολλὰς ἡμέρας. τοὺς δ' ὄντως Ἑλληνικόν τι παθόντας, αἰσχύνεσθαι καὶ διωθεῖσθαι τὴν κλῆσιν, ὡς δι' αὐτοὺς καθ'

quum centum diceret satis fore, jussit eum bis totidem capere. Cui rei annectit poeta Horatius epiphonema hoc,

Exilis domus est, ubi non & multa supersunt,
Et dominos fallunt.

Cœnæ vero ejus quotidianæ insolens divitiarum genus ostentabant, non modo stragulis purpureis, poculis gemmatis, choris & acroamatis accessoriis, sed & opsoniorum variorum & bellariorum singulari apparatu illiberalium in se trahentis admirationem. Quocirca commendatus est Pompeius, qui ægrotans, quum præcepisset medicus ei ut turdo vesceretur, negarent autem servi æstivo tempore eas usquam nisi in Luculli vivariis reperiri, prohibuit inde peti, sed ad medicum ait, Ergo nisi Lucullus perditus deliciis esset, non viveret Pompeius? ac aliud quod parabile esset, jussit parari. Erat Luculli amicus & familiaris Cato, verum vitam & luxum ejus adeo improbabat, ut quum juvenis quidam odiosam & prolixam orationem in senatu de frugalitate & temperantia intempestive haberet, exsurgens Cato, Non taces, inquit, qui divitiis affluis ut Crassus, vivis ut Lucullus, & dicis ut Cato? Alii dictum quidem hoc, sed non a Catone ferunt.

At Lucullum ea vita non delectatum modo, verum etiam gloriatum liquet ex ejus dictis. Dicitur Græcos aliquos, qui Romam commeaverant, per multos dies invitasse, qui, ut germani Græci, rubore adducti abnuisse venire, quod tantum eorum no-

καθ' ἡμέραν τοσούτων ἀναλισκομένων. τὸν οὖν Λούκουλλον εἰπεῖν μειδιάσαντα πρὸς αὐτοὺς, γίνεται μέν τι τούτων καὶ δι' ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες· τὰ μέντοι πλεῖστα γίνεται διὰ Λούκουλλον. ἐπεὶ δὲ μόνου δειπνοῦντος αὐτοῦ, μία τράπεζα καὶ μέτριον παρεσκευάσθη δεῖπνον, ἠγανάκτει καλέσας τὸν ἐπὶ τούτῳ τεταγμένον οἰκέτην. τοῦ δὲ φήσαντος ὡς οὐκ ᾤετο, μηδενὸς κεκλημένου, πολυτελοῦς τινος αὐτὸν δεήσεσθαι, Τί λέγεις; εἶπεν, οὐκ ᾔδεις ὅτι σήμερον παρὰ Λουκούλλῳ δειπνεῖ Λούκουλλος; ὄντος δὲ περὶ τούτου λόγου πολλοῦ, ὡς εἰκὸς, ἐν τῇ πόλει, προσῆλθον αὐτῷ κατ' ἀγορὰν σχολὴν ἄγοντι Κικέρων καὶ Πομπήϊος, ὁ μὲν ἐν τοῖς μάλιστα φίλος ὢν καὶ συνήθης, Πομπηΐῳ δ' ἦν μὲν ἐκ τῆς στρατηγίας διαφορὰ πρὸς αὐτὸν, εἰώθεισαν δὲ χρῆσθαι καὶ διαλέγεσθαι πολλάκις ἐπιεικῶς ἀλλήλοις. ἀσπασάμενος οὖν ὁ Κικέρων αὐτὸν, ἠρώτησεν ὅπως ἔχει πρὸς ἔντευξιν· τοῦ δὲ φήσαντος ὡς ἄριστα, καὶ παρακαλοῦντος ἐντυγχάνειν, Ἡμεῖς, ἔφη, βουλόμεθα δειπνῆσαι παρὰ σοὶ τήμερον οὕτως ὅπως ἐστί σοι παρεσκευασμένα. θρυπτομένου δὲ τοῦ Λουκούλλου, καὶ μεταλαβεῖν ἡμέραν ἀξιοῦντος, οὐκ ἔφασαν ἐπιτρέψειν, οὐδ' εἴων διαλέγεσθαι τοῖς οἰκέταις, ἵνα μή τι πλέον κελεύσῃ γενέσθαι τῶν αὐτῷ βουλομένων. πλὴν τοσοῦτο μόνον αἰτουμένῳ συνεχώρησαν εἰπεῖν πρὸς ἕνα τῶν οἰκετῶν, ἐναντίον ἐκείνων, ὅτι σήμερον ἐν τῷ Ἀπόλλωνι δειπνήσει· τοῦτο γάρ τις εἶχε τῶν πολυτελῶν οἴκων ὄνομα. καὶ τοῦτο σεσοφισμένος ἐλελήθει τοὺς ἄνδρας. ἑκάστῳ γὰρ, ὡς ἔοικε, δειπνωτηρίῳ τεταγμένον ἦν τίμημα δείπνου, καὶ χορηγίαν ἰδίαν καὶ παρασκευὴν ἕκαστον εἶχεν· ὥστε τοὺς δούλους ἀκούσαντας ὅπου βούλεται δειπ-

nomine quotidie sumptus fieret. Cæterum Lucullus his arridens dixisse, Aliquid horum, Græci, vestra causa fit, pleraque fiunt tamen causa Luculli. Soli cœnanti quum una mensa & cœna parata modica esset, accitum servum, qui super his erat, objurgavit. Ubi is caussatus est, nemine vocato, non ratum se requiri ab eo sumtuosam cœnam, Quid, ais, inquit, nesciebas hodie apud Lucullum cœnaturum Lucullum? Quum de eo nimirum rumor in urbe percrebuisset, convenerunt eum in foro otiosum Cicero & Pompeius, ille singularis amicus & familiaris, Pompeio intercedebat cum eo simultas ex provincia, nihilominus usus erat inter eos, & crebro colloqui familiariter solebant. Cicero igitur salutatum rogavit, vacaretne ei colloqui; Quo annuente, & ad fabulandum invitante, Nos hodie constituimus, inquit, apud te cœnare, verum cœna solita tua. Hic recusare Lucullo simulante, atque in diem posterum eos rejiciente, negaverunt se concessuros, neque alloquendi potestatem ei fecerunt servos, ne quid parari quotidiano præciperet amplius. Id modo largiti sunt petenti, palam ut uni servo diceret, hodie ipsum in Apolline cœnaturum. Id uni ex splendidis tricliniis nomen erat. Quod ejus commentum fefellit illos. Nam singulis scilicet tricliniis certa summa erat in cœnam taxata, peculiaresque impensas & paratum habebant; ut audito servi ubi cœnare vellet,

 scirent

δειπνεῖν, εἰδέναι πόσον δαπάνημα, καὶ ποιόν τι κόσμῳ καὶ διαθέσει γενέσθαι δεῖ τὸ δεῖπνον. εἰώθει δὲ δειπνεῖν ἐν τῷ Ἀπόλλωνι πέντε μυριάδων. καὶ τότε τοσούτου τελεσθέντος, ἐξέπληξε τοὺς περὶ τὸν Πομπήιον ἐν τῷ μεγέθει τῆς δαπάνης, τὸ τάχος τῆς παρασκευῆς. ἐνταῦθα μὲν οὖν ὑβριστικῶς ἐχρῆτο τῷ πλούτῳ καθάπερ ὄντως αἰχμαλώτῳ καὶ βαρβάρῳ.

Σπουδῆς δ' ἄξια καὶ λόγου τὰ περὶ τὴν τῶν βιβλίων κατασκευήν. καὶ γὰρ πολλὰ καὶ γεγραμμένα καλῶς συνῆγε· ἥτε χρῆσις ἦν φιλοτιμοτέρα τῆς κτήσεως, ἀνειμένων πᾶσι τῶν βιβλιοθηκῶν, καὶ τῶν περὶ αὐτὰς περιπάτων καὶ σχολαστηρίων ἀκωλύτως ὑποδεχομένων τοὺς Ἕλληνας, ὥσπερ εἰς Μουσῶν τι καταγώγιον, ἐκεῖσε φοιτῶντας καὶ συνδιημερεύοντας ἀλλήλοις, ἀπὸ τῶν ἄλλων χρειῶν ἀσμένως ἀποτρέχοντας. πολλάκις δὲ καὶ συνεσχόλαζεν αὐτὸς ἐμβάλλων εἰς τοὺς περιπάτους τοῖς φιλολόγοις, καὶ τοῖς πολιτικοῖς συνέπραττεν ὅπου δέοιντο· καὶ ὅλως ἑστία καὶ πρυτανεῖον Ἑλληνικὸν ὁ οἶκος ἦν αὐτοῦ τοῖς ἀφικνουμένοις εἰς Ῥώμην. φιλοσοφίαν δὲ πᾶσαν μὲν ἠσπάζετο, καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος· ἴδιον δὲ τῆς ἀκαδημίας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν, οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προστάτην ἐχούσης, τὸν Ἀσκαλωνίτην Ἀντίοχον. ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λούκουλλος καὶ συμβιωτὴν, ἀντετάττετο τοῖς Φίλωνος ἀκροαταῖς, ὧν καὶ Κικέρων ἦν· καὶ σύγγραμμά γε πάγκαλον ἐποίησεν εἰς τὴν αἵρεσιν, ἐν

ᾧ

ſcirent quantum impendendum, quo eſſet cœna ordine & digeſtione inſtruenda. Cœnare in Apolline quinquaginta millibus denariorum ſolenne habebat. Ea tunc inſumpta ſumma, obſtupefecit Pompeium in ſumptus immenſitate celeritas apparatus. Atque in his opulentiæ velut revera captivæ & barbaræ inſultavit.

At commendanda fuit ejus & perhibenda in librorum ſupellectilem impenſa. Multos enim & eleganter deſcriptos cumulavit. Erat etiam eorum uſus quam comparatio liberalior: quod bibliothecæ omnibus paterent, atque in adjectas ambulationes ſcholaſque reciperentur omnes Græci, velut ad Muſarum hoſpitium divertentes, tempuſque inter ſe traducentes, ubi libenter ſe ab negotiis aliis reficiebant. Ingrediebatur ſubinde ipſe ambulationes, ac cum ſtudioſis conferebat, atque negotia procurantibus publica, ubi operam ipſius requirebant, erat præſto. In ſumma, erant convivium & prytaneum Græcum omnibus Romam commeantibus ejus penates. Colebat ille quidem omnem philoſophiam, neque ab ullo genere abhorrebat aut alienus erat; proprie tamen ab ineunte ætate dilexit & ſequutus eſt Academiam, non illam quam novam vocabant, (quamvis eo tempore Carneadis præceptis per Philonem floreret) ſed veterem, quæ acrem antiſtitem & facundum habebat, Aſcalonitem Antiochum: quem omni ſtudio amicum paravit & convictorem Lucullus, quo cum Philonis opponeret auditoribus: in quibus erat Cicero, qui librum admodum doctum pro ſecta ſua ſcripſit. In eo

diſpu-

ὃ τὸν ὑπὲρ τῆς καταλήψεως λόγον Λουκούλλῳ περιτέθεικεν, αὑτῷ δὲ τὸν ἐναντίον. Λούκουλλος δὴ ἀναγέγραπται τὸ βιβλίον. ἦσαν δ', ὥσπερ εἴρηται, φίλοι σφόδρα καὶ κοινωνοὶ τῆς ἐν πολιτείᾳ προαιρέσεως. οὐδὲ γὰρ αὖ πάμπαν ἀπηλλάχει τῆς πολιτείας ἑαυτὸν ὁ Λούκουλλος, ἀλλὰ τὴν ὑπὲρ τοῦ μέγιστος εἶναι καὶ πλεῖστον δύνασθαι φιλοτιμίαν καὶ ἅμιλλαν, ὡς οὔτ' ἀκίνδυνον, οὔτ' ἀνύβριστον οὖσαν, εὐθὺς ἀφῆκε Κράσσῳ καὶ Κάτωνι. τούτους γὰρ οἱ τὴν Πομπηΐου δύναμιν ὑφορώμενοι, προεβάλλοντο τῆς βουλῆς, ἀπολεγομένου τοῦ Λουκούλλου τὰ πρωτεῖα. κατέβαινε δ' εἰς τὴν ἀγορὰν διὰ τοὺς φίλους· εἰς δὲ τὴν σύγκλητον, εἰ Πομπηΐου τινὰ δέοι σπουδὴν ἢ φιλοτιμίαν ἐπηρεάσαι. καὶ τάς τε διατάξεις ἃς ἐκεῖνος ἐποιήσατο τῶν βασιλέων κρατήσας, ἐξέκρουσε, καὶ νέμησίν τινα τοῖς στρατιώταις αὐτοῦ γράφοντος ἐκώλυσε δοθῆναι, συμπράττοντος Κάτωνος. ὥστε Πομπήϊον εἰς τὴν Κράσσου καὶ Καίσαρος φιλίαν, μᾶλλον δὲ συνωμοσίαν καταφυγεῖν· καὶ πληρώσαντα τὴν πόλιν ὅπλων καὶ στρατιωτῶν, βίᾳ κυρῶσαι τὰ δόγματα, τοὺς περὶ τὸν Κάτωνα καὶ Λούκουλλον ἐκβαλόντα τῆς ἀγορᾶς. ἀγανακτούντων δὲ τῶν βελτίστων ἐπὶ τοῖς γινομένοις, προῆγον οἱ Πομπηϊανοὶ Βέττιόν τινα, συνειληφέναι λέγοντες ἐπιβουλεύοντα Πομπηΐῳ. κἀκεῖνος ἀνακρινόμενος, ἐν μὲν τῇ συγκλήτῳ κατηγόρησεν ἑτέρων τινῶν, ἐν δὲ τῷ δήμῳ Λούκουλλον ὠνόμασεν, ὡς ὑπ' ἐκείνου παρεσκευασμένος ἀποκτεῖναι Πομπήϊον. οὐδεὶς δὲ τῷ λόγῳ προσέσχεν, ἀλλὰ καὶ παραυτίκα δῆλος ἦν ὁ ἄνθρωπος ἐπὶ συκοφαντίᾳ καὶ διαβολῇ προηγμένος ὑπ' αὐτῶν. καὶ μᾶλλον ἐφωράθη τὸ πρᾶγμα μετ' ὀλίγας ἡμέρας, ῥιφθέντος ἐκ τῆς εἱρκτῆς νεκροῦ, λεγο-

disputationem pro comprehensione Lucullo, sibi tribuit diversam. Titulus libro Lucullus est: siquidem erant hi, ut est supra dictum, summi amici, & consiliorum in republica socii. Neque enim semel reipub. curam abjecerat Lucullus, sed de principatu, & summa potentia ambitionem contentionemque, quæ nec periculo erat nec contumeliis libera, delegavit statim Crasso & Catoni. Namque hos illi quibus erat Pompeii suspecta potentia, propugnatores senatus, repudiante primatum Lucullo, ceperunt. Verum in forum descendebat, si quando amicorum negotia postularent: in curiam, si qua Pompeii esset contentio & ambitio convellenda. Sanctiones, quas ille devictis fecerat regibus, rescidit: ac quum rogationem de agris militi dividendis tulisset, rem adjutore Catone impedivit. Quod in causa fuit ut ad Crassi & Cæsaris amicitiam, vel potius conjurationem confugerit Pompeius, compleitaque urbe armis & militibus, Catonem & Lucullum dejecerit foro, atque acta sua per vim firmaverit. Frementibus ob hæc optimatibus, subornavere Pompeiani Vectium quendam, quem insidias Pompeio se ferebant struentem comprehendisse. Hic interrogatus in senatu nonnullos alios detulit, ad populum vero appellavit Lucullum, quasi ab eo esset ad interficiendum Pompeium immissus: cæterum fides ab nemine dictis ejus habita. Immo confestim diluxit fuisse per dolum & calumniam ab illis eum productum, magisque paucis diebus post comperta res est, cadavere ex carcere projecto. Vulgatum fuit quidem cum mor-

κομιδῇ μὲν αὐτομάτως τεθνάναι, σημεῖα δ' αἰσχύνης καὶ πληγῶν ἔχοντος, ἐδόκει παρ' αὐτῶν ἀνῃρῆσθαι τῶν παρεσκευακότων.

Ταῦτα δὴ καὶ μᾶλλον ἀπῆγε τῆς πολιτείας τὸν Λούκουλλον. ἐπεὶ δὲ Κικέρων ἐξέπεσε τῆς πόλεως, καὶ Κάτων εἰς Κύπρον ἀπεστάλη, παντάπασιν ἐξελύθη. καὶ πρό γε τῆς τελευτῆς λέγεται νοσῆσαι τὴν διάνοιαν αὐτόν, κατὰ μικρὸν ἀπομαραινομένην. Νέπως δὲ Κορνήλιος οὐχ ὑπὸ γήρως φησὶν οὐδὲ νόσου παραλλάξαι τὸν Λούκουλλον, ἀλλὰ φαρμάκοις ὑπό τινος τῶν ἀπελευθέρων Καλλισθένους διαφθαρέντα· τὰ δὲ φάρμακα δοθῆναι μὲν ὡς ἀγαπῷτο μᾶλλον ὁ Καλλισθένης ὑπ' αὐτοῦ, τοιαύτην ἔχειν δοκοῦντα τὴν δύναμιν· ἐκστῆσαι δὲ καὶ καταλῦσαι τὸν λογισμόν, ὥστ' ἔτι ζῶντος αὐτοῦ, τὴν οὐσίαν διοικεῖν τὸν ἀδελφόν. οὐ μὴν ἀλλὰ ὡς ἀπέθανε καθάπερ ἐν ἀκμῇ τῆς στρατηγίας καὶ τῆς πολιτείας, αὐτοῦ τελευτήσαντος, ὁ δῆμος ἠχθέσθη καὶ συνέδραμε, καὶ τὸ σῶμα κομισθὲν εἰς ἀγορὰν ὑπὸ τῶν εὐγενεστάτων νεανίσκων, ἐβιάζετο θάπτειν ἐν τῷ πεδίῳ τοῦ Ἄρεως, ὅπου καὶ Σύλλαν ἔθαψεν. οὐδενὸς δὲ τοῦτο προσδοκήσαντος, οὐδὲ ῥᾳδίας οὔσης τῆς παρασκευῆς, ὁ ἀδελφὸς αὐτοῦ δεόμενος καὶ παραιτούμενος, ἔπεισεν ἐπιτρέψαι τὴν παρεσκευασμένην ἐν τῷ περὶ Τοῦσκλον ἀγρῷ τοῦ νεκροῦ κηδείαν γενέσθαι. πολὺν δ' οὐδ' αὐτὸς προσεβίω χρόνον, ἀλλ' ὡς ἡλικίᾳ καὶ δόξῃ, μικρὸν ἀπελείφθη καὶ τῷ χρόνῳ τῆς τελευτῆς, φιλαδελφότατος γενόμενος.

morte ſpontanea periiſſe, ſed, quia veſtigia apparebant in cadavere laquei & verberum, videbatur ab illis ipſis qui eum ſubornaverant ſublatus.

Hæc impendio magis Lucullum ab republica abduxere. Poſtquam vero Cicero eſt in exilium pulſus, atque in Cyprum miſſus Cato, in toto obtorpuit. Dicitur ante obitum mente paulatim emarceſcente deſipuiſſe. At Cornelius Nepos ſenio vel morbo negat Lucullo mentem motam, ſed quod veneno eſſet a liberto Calliſthene potionatus. Dediſſe Calliſthenem illi veneſſum, ut impenſius ab eo diligeretur, quod amatorium exiſtimabat eſſe: at ita id ſolviſſe & alienaſſe mentem ejus, ut viventis etiam procuraret facultates frater. Cæterum mortem ejus, ut ſi in flore bellicarum & civilium actionum deceſſiſſet, tulit populus graviter, concurſuque facto, corpus, quod in forum a nobiliſſimis juvenibus delatum fuit, vi contendit in campo Martio, ubi funeravit Syllam, humare. Quod quum præter omnium expectationem fieret, neque eſſet promptus apparatus, obtinuit frater ejus precibus & obſecrationibus, ut cadaver funere parato efferri in Tuſculano pateretur. Nec fuit diu hic ſuperſtes, ſed ut ætate & gloria, ita fati quoque tempore paulo fuit illo poſterior, vir in vita fratris amantiſſimus.

M A-

Μάλιστα δ᾽ ἄν τις εὐδαιμονίσειε τοῦ τέλους Λούκουλλον, ὅτι πρὸ τῆς μεταβολῆς, ἣν ἤδη κατὰ τῆς πολιτείας ἐτεκταίνετο τοῖς ἐμφυλίοις πολέμοις τὸ πεπρωμένον, ἔφθη προαποθανὼν, καὶ καταλύσας ἐν νοσούσῃ μὲν, ἔτι δ᾽ ἐλευθέρᾳ τῇ πατρίδι τὸν βίον. καὶ τοῦτό γε πάντων αὐτῷ πρὸς Κίμωνα κοινότατόν ἐστι· καὶ γὰρ ἐκεῖνος, οὔπω συντεταραγμένων τῶν Ἑλληνικῶν, ἀλλ᾽ ἀκμὴν ἐχόντων, ἐτελεύτησεν, ἐπὶ στρατοπέδου μὲν δὴ καὶ στρατηγῶν, οὐκ ἀπειρηκὼς, οὐδ᾽ ἀλύων, οὐδὲ τῶν ὅπλων καὶ τῶν στρατηγιῶν καὶ τῶν τροπαίων ἔπαθλον ποιούμενος εὐωχίας καὶ πότους, ὥσπερ Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα, τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ᾅδου, μέθην αἰώνιον. σχολὴ μὲν οὖν καὶ ἡσυχία καὶ διατριβὴ περὶ λόγους ἡδονήν τινα καὶ θεωρίαν ἔχοντας, εὐπρεπέστατον ἀνδρὶ πρεσβύτῃ καὶ πεπαυμένῳ πολέμων καὶ πολιτείας παραμύθιον· τὸ δ᾽ ἐφ᾽ ἡδονὴν, ὡς τέλος, καταστρέψαντα τὰς καλὰς πράξεις, ἤδη λοιπὸν ἀφροδίσια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν, οὐκ ἄξια τῆς καλῆς ἀκαδημίας, οὐδὲ τὸν Ξενοκράτη ζηλοῦντος, ἀλλ᾽ ἐγ-

Lucullum excessus causa præcipue beatum dicas, quod reipub. conversionem, quam moliebatur bellis civilibus fatum, morte prævenerit, vitaque excesserit, patria quamvis ægra, libera tamen: quod quidem præ omnibus ei præcipue cum Cimone convenit. Etenim ille rebus Græciæ haud dum commotis, sed florentibus, vitam cum morte commutavit, in castris tamen, & dux, non obtorpescens nec languidus, nec rerum gestarum & triumphorum præmium ponens in epulis & potationibus, sicut deridet Plato Orpheum, qui ait iis quorum honesta fuit vita, paratum apud inferos præmium, æternam temulentiam. Immo otium, quies, commoratio in literis voluptatem & contemplationem afferentibus honestissima seni est, & ei qui a bellis se & repub. abduxit, allevatio. Ad voluptatem vero dirigere, tanquam ad summum bonum, præclara facta, & jam deinceps Veneris sacra ex bellis & rebus gestis agentem ludere ac luxuria diffluere, hæc digna non sunt præclara illa Academia, neque ejus qui Xenocratem imitetur, sed qui ad

ἐγκεκλικότος πρὸς τὸν Ἐπίκουρον. ὃ καὶ θαυμαστόν ἐστιν. ὑπεναντίως γάρ, ἡ νεότης, τοῦ μὲν, ἐπίψογος καὶ ἀκόλαστος εἶναι δοκεῖ, τοῦ δέ, πεπαιδευμένη καὶ σώφρων. βελτίων οὖν ὧ πρὸς τὸ βέλτιον ἡ μεταβολή· χρηστοτέρα γὰρ ἡ φύσις ἐν ᾗ γηρᾷ μὲν τὸ χεῖρον, ἐπακμάζει δὲ τὸ ἄμεινον. καὶ μὴν ὁμοίως γε πλουτήσαντες, οὐχ ὁμοίως διέθεντο τὸν πλοῦτον. οὐ γὰρ ἄξιον ὁμοιῶσαι τῷ νοτίῳ τείχει τῆς ἀκροπόλεως, ὃ τοῖς ὑπὸ Κίμωνος κομισθεῖσιν ἐτελέσθη χρήμασι, τοὺς ἐν Νεαπόλει θαλάμους καὶ τὰς περικλείστους ἀπόψεις, ἃς Λούκουλλος ἀπὸ τῶν βαρβαρικῶν ἐξῳκοδόμει λαφύρων· οὐδέ γε τῇ Κίμωνος τραπέζῃ τὴν Λουκούλλου παραβαλεῖν, τῇ δημοκρατικῇ καὶ φιλανθρώπῳ τὴν πολυτελῆ καὶ σατραπικήν. ἡ μὲν γὰρ ἀπὸ μικρᾶς δαπάνης πολλοὺς καθ' ἡμέραν διέτρεφεν, ἡ δ' εἰς ὀλίγους τρυφῶντας ἀπὸ πολλῶν παρεσκευάζετο χρημάτων. εἰ μὴ νὴ Δία τῶν πραγμάτων ἐποίει διαφορὰν ὁ χρόνος. ἄδηλον γὰρ εἰ καὶ Κίμων ἀπὸ τῶν πράξεων καὶ στρατηγιῶν εἰς ἀπόλεμον καὶ ἀπολίτευτον γῆρας ἀφεὶς αὑτόν, ἔτι μᾶλλον ἂν ἐχρήσατο σοβαρᾷ καὶ πρὸς ἡδονὴν ἀνειμένῃ διαίτῃ. καὶ γὰρ φιλοπότης καὶ πανηγυρικός, καὶ τὰ πρὸς γυναῖκας, ὡς εἴρηται, διαβεβλημένος. αἱ δ' ἐπὶ τὰς πράξεις καὶ τοὺς ἀγῶνας κατορθώσεις, ἡδονὰς ἑτέρας ἔχουσαι, τῶν χειρόνων ἐπιθυμιῶν ἀσχολίαν ποιοῦσι καὶ λήθην ταῖς πολιτικαῖς καὶ φιλοτίμοις φύσεσιν. εἰ γοῦν καὶ Λούκουλλος ἐτελεύτησεν ἀγωνιζόμενος καὶ στρατηγῶν, οὐδ' ἂν ὁ ψογερώτατος καὶ φιλομεμφότατος εὑρεῖν μοι δοκεῖ διαβολὴν ἐπ' αὐτόν. καὶ ταῦτα μὲν περὶ τῆς διαίτης.

Ἐν

ad Epicurum inclinet. Id eo mirum est magis. Pugnantem enim juventutem, Cimonis infamem & solutam luxu apparet fuisse, hujus vero literatam & modestam. Præstat autem ille qui ad melius deflexit. Melius est enim ingenium, in quo vitia consenescant, & adolescat virtus. Jam qui pari modo opulentiam paraverunt, non pariter sunt ea usi. Namque haudquaquam sunt cum arcis muro australi, qui parato a Cimone sumtu est exstructus, prætoria conferenda Neapolitana, atque circumfusæ undis speculæ, quæ ex præda barbarica excitavit Lucullus. Nec vero jam cum Cimonis mensa illam Luculli, cum populari & benigna sumptuosam & superbam compares. Quippe illa modica impensa alebat quotidie frequentes, hæc ingenti pecunia paucis luxuriosis parabatur: nisi hercle fecit rerum tempus diversitatem. Nam quis novit, si ex negotiis Cimon atque ex rebus gerendis in pacatam & remotam a repub. senectutem se demisisset, anne multo magis fastuosam & voluptariam usurpasset vitam? nempe vino deditus & tempestivis conviviis, atque libidine (ut est dictum) infamis. Præclaræ autem domi militiæque actiones voluptatum compotes aliarum, ab deterioribus cupidinibus mentem avocant, earumque afferunt politicis & gloriæ cupidis ingeniis oblivionem. Quod si Lucullus item fuisset in expeditionibus & bellis gerendis fato functus, nemo vel lividissimus cavillator & culpandi cupidissimus ansam in eo obtrectandi, meo judicio, reperisset ullam. Atque hæc de vitæ ratione.

In

Ἐν δὲ τοῖς πολεμικοῖς, ὅτι μὲν ἀμφότεροι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀγαθοὶ γεγόνασιν ἀγωνισταί, δῆλον. ὥσπερ δὲ τῶν ἀθλητῶν τοὺς ἡμέρᾳ μιᾷ πάλῃ μιᾷ καὶ παγκρατίῳ στεφανουμένους, ἔθει τινὶ παραδόξῳ νίκας καλοῦσιν, οὕτω Κίμων ἐν ἡμέρᾳ μιᾷ πεζομαχίας καὶ ναυμαχίας ἅμα τροπαίῳ στεφανώσας τὴν Ἑλλάδα, δίκαιός ἐστιν ἔχειν τινὰ προεδρείαν ἐν τοῖς στρατηγοῖς. καὶ μὴν Λευκόλλῳ μὲν ἡ πατρίς, Κίμων δὲ τῇ πατρίδι τὴν ἡγεμονίαν περιέθηκε. καὶ ὁ μὲν, ἀρχούσης τῶν συμμάχων προσεκτήσατο τὰ τῶν πολεμίων· ὁ δ᾽ ἄλλοις ἑπομένην παραλαβὼν, ἅμα καὶ τῶν συμμάχων ἄρχειν καὶ τῶν πολεμίων κρατεῖν ἐποίησε· Πέρσας μὲν οὖν ἀναγκάσας ἡττηθέντας ἐκβῆναι τῆς θαλάσσης, Λακεδαιμονίους δὲ πείσας ἑκόντας ἐκστῆναι. εἰ τοίνυν μέγιστον ἔργον ἡγεμόνος, εὐπείθειαν ἐργάσασθαι δι᾽ εὔνοιαν, Λεύκολλος μὲν ὑπὸ τῶν στρατιωτῶν κατεφρονήθη, Κίμων δ᾽ ὑπὸ τῶν συμμάχων ἐθαυμάσθη. παρ᾽ οὗ μὲν γὰρ ἀπέστησαν, πρὸς ὃν δὲ μετέστησαν. καὶ ὁ μὲν ὧν ἄρχων ἐξῆλθεν, ὑπὸ τούτων ἀπολειφθεὶς ἐπανῆλθεν· ὁ δὲ, μεθ᾽ ὧν ἑτέροις ποιήσων τὸ προστατλόμενον ἐξεπέμφθη, τούτοις αὐτὸς διδοὺς τὸ παράγγελμα, κατέπλευσε· τρία τὰ πάντων δυσκολώτατα διαπεπραγμένος ὁμοῦ τῇ πόλει, πρὸς μὲν τοὺς πολεμίους εἰρήνην, παρὰ δὲ τῶν συμμάχων ἡγεμονίαν, πρὸς δὲ Λακεδαιμονίους ὁμόνοιαν. μεγάλας τοίνυν ἐπιχειρήσαντες ἀμφότεροι καταλύειν ἡγεμονίας, καὶ καταστρέφεσθαι τὴν Ἀσίαν πᾶσαν, ἀτελεῖς ἐγένοντο τῶν πράξεων, ὁ μὲν, καθάπαξ διὰ τὴν τύχην· ἐτελεύτησε γὰρ στρατηγῶν καὶ εὐημερῶν· τὸν δ᾽ οὐ παντελῶς ἄν τις ἐξέλοιτο τῆς παρ᾽ αὐτῶν αἰτί-

In re bellica utrumque fuisse terra marique fortem certatorem in confesso est. Cæterum ut athletas, qui uno die lucta simul & pancratio coronantur, vocant novo more victorias: ita Cimon, qui pariter uno die pedestri & navali laurea Græciam coronavit, jure aliquam habeat inter duces prærogativam. Jam Lucullo patria, Cimon patriæ suæ imperium tribuit; & superior dominanti in socios adjecit ditiones hostium, hic ei, quam alios sequentem acceperat, simul & imperium in socios & de hostibus tradidit palmam. Siquidem Persas victos expulit armis mari, Lacedæmonios vero permovit ut sua sponte imperio cederent. Porro si officium summum imperatoris est obsequentes benevolentia efficere, Lucullus a militibus suis contemptus, Cimon apud socios in admiratione fuit. Siquidem ad hunc transierunt, ab illo defecerunt. Ille, quorum dux professus fuerat, ab iis rediit desertus. Hic, cum quibus erat ad aliis parendum emissus, his ipse signum dans domum est revectus; quum tria confecisset reipub. suæ omnium difficillima, apud hostes pacem, imperium inter socios, cum Lacedæmoniis concordiam. Jam vero quum uterque magna regna exscindere & subjugare totam Asiam aggressus esset, non potuerunt res perducere ad effectum: Cimon prorsus per fortunam; nam imperator in secundo rerum successu sublatus morte est. Lucullum non ex toto liberes culpa, sive ignoravit, sive

αἰτίας, εἴτ' ἠγνόησεν, εἴτ' οὐκ ἐθεράπευσε τὰς ἐν τῷ στρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἐφ' ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. ἢ τοῦτό γε καὶ πρὸς Κίμωνα κοινόν ἐστι. καὶ γὰρ ἐκεῖνον ὑπήγαγόν τε εἰς δίκας οἱ πολῖται, καὶ τελευτῶντες ἐξωστράκισαν, ἵν' αὐτοῦ δέκα ἐτῶν, ὥς φησιν ὁ Πλάτων, τῆς φωνῆς μὴ ἀκούσωσιν. αἱ γὰρ ἀριστοκρατικαὶ φύσεις ὀλίγα τοῖς πολλοῖς ἄδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι· τὰ δὲ πολλὰ προσβιαζόμεναι, τῷ κατευθύνειν διαστρεφομένους ἀνιῶσιν, ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοὶ, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρθρήσεις. ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἑκάτερον.

Πολὺ δ' ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ, τόν τε Ταῦρον ὑπερβαλὼν στρατοπέδῳ Ῥωμαίων πρῶτος, καὶ τὸν Τίγριν διαβὰς, καὶ τὰ βασίλεια τῆς Ἀσίας ἐν ὄψει τῶν βασιλέων, Τιγρανόκερτα καὶ Κάβειρα, καὶ Σινώπην καὶ Νίσιβιν ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν βόρεια, μέχρι Φάσιδος, τὰ δὲ ἑῶα, μέχρι Μηδίας, τὰ δὲ πρὸς νότον καὶ τὴν ἐρυθρὰν θάλασσαν οἰκειωσάμενος διὰ τῶν Ἀραβικῶν βασιλειῶν· συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων εἰς ἐρημίας καὶ ὕλας ἀστιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. τεκμήριον δὲ μέγα· Πέρσαι μὲν γὰρ, ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ Κίμωνος, εὐθὺς ἀντετάττοντο τοῖς Ἕλλησι, καὶ τήν γε πολλὴν δύναμιν αὐτῶν ἐν Αἰγύπτῳ κρατήσαντες διέφθειραν. Τιγράνου δὲ καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο, ἀλλ' ὁ μὲν, ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων, οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηΐῳ τὴν δύναμιν ἔξω

τοῦ

ſive non lenivit exercitus ſui offenſiones & querelas, quibus fuit uſque adeo ab ipſo alienatus. An vero hoc habet cum Cimone commune? Quippe cives & vocaverunt eum identidem in judicium & in exilium denique exegerunt, ne vocem ejus annos decem (ut Plato ait) audirent. Etenim gravia optimatium ingenia parum ſunt multitudini accepta aut jucunda, ſed fere, dum urgent ut corrigant vel diſtortos, pungunt ſicut medicorum vincula, quamvis in articulos ſuos hæc reponant luxata. Uterque igitur ſit fortaſſe hac noxa eximendus.

At longius promovit bellum Lucullus, qui Taurum cum exercitu Romano ſuperavit primus, Tigrim trajecit, regias Aſiæ ante regum oculos, Tigranocerta, Gabira, Sinopen, & Niſibin expugnavit inflammavitque. Tractum ſeptentrionalem ad Phaſim uſque, orientalem ad Mediam, auſtralem uſque ad mare rubrum & regna Arabiæ ſubegit. Vires regum obtrivit. Sola ei elapſa corpora ſunt inſtar ferarum in deſerta inviaſque & inacceſſas aufugientium ſylvas. Hujus rei ſit magnum illud indicium. Siquidem Perſæ, quaſi nullo accepto a Cimone detrimento, repetierunt extemplo Græcos bello, magnaſque eorum copias in Ægypto fuderunt oppreſſeruntque: Tigranis vero & Mithridatis poſt Lucullum factum aliud extitit nullum; verum hic enervatus jam ac prœliis fractus prioribus, ne ſemel quidem Pompeio oſtendere extra vallum ſuſtinuit

aci-

τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη, κἀκεῖ κατέστρεψε. Τιγράνης δ᾽ αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέρριψε Πομπηΐῳ, καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελόμενος, ἔθηκε πρὸ τῶν ποδῶν, οὐ τοῖς ἑαυτοῦ κολακεύων Πομπήϊον, ἀλλὰ τοῖς ὑπὸ Λευκόλλου τεθριαμβευμένοις. ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας, ὡς ἀφῃρημένος πρότερον. μείζων οὖν στρατηγὸς, ὥσπερ ἀθλητὴς, ὁ τῷ μεθ᾽ ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. ἔτι τοίνυν Κίμων μὲν συντετριμμένην τὴν βασιλέως δύναμιν, καὶ τὸ Περσῶν φρόνημα συνεσταλμένον ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ Θεμιστοκλέους καὶ Παυσανίου καὶ Λεωτυχίδου καταλαβὼν, ἐπενέβη, καὶ προπεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς τὰ σώματα ῥαδίως ἐνίκησε· Λευκόλλῳ δὲ Τιγράνης, ἀήττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν, συνέπεσε. πλήθει δ᾽ οὐδ᾽ ἄξιον παραβαλεῖν τοῖς ἐπὶ Λεύκολλον συνελθοῦσι τοὺς ὑπὸ Κίμωνος κρατηθέντας. ὥστε παντὶ μεταλαμβάνοντι δυσδιαίτητον εἶναι τὴν κρίσιν. ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέροις ἔοικεν εὐμενὲς γενέσθαι, τῷ μὲν ἃ χρὴ κατορθοῦν, τῷ δ᾽ ἃ φυλάττεσθαι χρὴ, προμηνῦον· ὥστε καὶ τὴν παρὰ τῶν Θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν, ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

aciem, ſed in Boſphorum fuga delatus, exſpiravit. Tigranes ad genua ſe Pompeii nudum & inermem abjecit, detractumque capiti diadema ad pedes ejus depoſuit, Pompeio non ornamentis blandiens ſuis, ſed illis de quibus triumphaverat Lucullus. Quare putavit actum ſecum præclare, quum inſignia regia redderentur ſibi, velut ante iis exutus. Itaque dux celſior ille ſicut athleta ſit, qui ſucceſſori ſuo debilitatum tradit adverſarium. Ad hæc Cimon, quum regis obtritos nervos accepiſſet ingentibus cladibus effuſiſſimiſque fugis, & ſpiritus fractos Perſarum a Themiſtocle, Pauſania, Leotychide, inſultavit in eos, & quorum ante oppreſſi dejectique fuerant animi, horum ſuperavit facile corpora: at cum Lucullo Tigranes prœliis invictus multis atque inde elatus ſigna contulit. Numero vero haudquaquam æquiparandi ſunt cum illis qui contra Lucullum ſteterunt, hi qui profligati fuerunt a Cimone. Quamobrem omnia invicem æſtimanti difficilis ſit explicatu diſceptatio. Nam videntur & Dii utrique fuiſſe propitii, qui uni ea quæ perpetranda eſſent, alteri, quæ præcavenda, prænuntiavere. Ita Dii quoque teſtimonium ambobus ut bonis & natura præditis divina dedere.

Ν Ι Κ Ι Α Σ.

ΕΠΕΙ δοκοῦμεν οὐκ ἀτόπως τῷ Νικίᾳ τὸν Κράσσον παραβάλλειν, καὶ τὰ Παρθικὰ παθήματα τοῖς Σικελικοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς Θουκυδίδης, αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐναργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον· ὃς ἐλπίσας τὸν μὲν Θουκυδίδην ὑπερβαλεῖσθαι δεινότητι, τὸν δὲ Φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ τῶν μάλιστα κατωρθωμένων ἐκείνοις ἀγώνων, καὶ ναυμαχιῶν, καὶ δημηγοριῶν, οὐ μὰ Δία

Παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων,

ὥς φησι Πίνδαρος· ἀλλ' ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις, καὶ κατὰ τὸν Δίφιλον, παχύς, ὠνθυλευμένος στέατι Σικελικῷ· πολ-

QUANDO viſum nobis non abſonum eſt, ut cum Nicia Craſſum, & clades Parthicas contenderemus cum Siculis, primum deprecandi & obſecrandi mihi ſunt horum commentariorum lectores, ut in hac hiſtoria, in qua Thucydides ſupra ingenium humanum explicanda, affectu movendo, illuſtratione & varietate ſeipſum ſuperavit, nemo imitari nos Timæum ſuſpicetur velle, qui dum Thucydidis ſe ſuperare eloquentiam ſperat poſſe, & illepidum plane oſtendere Philiſtum rudemque, per medias ruit victorias, & prœlia navalia, concioneſque, quas res præcipue ſumma cum laude deſcripſerunt illi, ne hercule juxta Lydium quidem currum pedibus incedens (ut Pindarus ait) verum oſtendit ſe prorſus impolitum, infantem, atque (ut Diphili verbis utar) pinguem & Siculo oblitum adipe; ſub-

πολλαχοῦ δ' ὑπορρέων εἰς τὸν Ξέναρχον. ὥσπερ ὅταν λέγῃ τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι γεγονέναι, τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν, ἀντειπόντα πρὸς τὴν στρατηγίαν· καὶ τῇ περικοπῇ τῶν Ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον. ἔτι δ', εἰκὸς εἶναι τὸν Ἡρακλέα τοῖς μὲν Συρακουσίοις βοηθεῖν, διὰ τὴν κόρην παρ' ἧς ἔλαβε τὸν Κέρβερον· ὀργίζεσθαι δὲ τοῖς Ἀθηναίοις, ὅτι τοὺς Αἰγεστέας, ἀπογόνους ὄντας Τρώων, ἔσωζον, αὐτὸς δ' ὑπὸ Λαομέδοντος ἀδικηθεὶς, ἀνάστατον ἐποίησε τὴν πόλιν. ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμμελείας ταῦτά γε γράφειν ἐπῄει, καὶ τὴν Φιλίστου διάλεκτον εὐθύνειν, καὶ τοῖς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη λοιδορεῖσθαι. ἐμοὶ δ' ὅλως μὲν ἡ περὶ λέξιν ἅμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους, μικροπρεπὲς φαίνεται καὶ σοφιστικόν· ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. ἃς γοῦν Θουκυδίδης ἐξήνεγκε πράξεις καὶ Φίλιστος, ἐπεὶ παρελθεῖν οὐκ ἔστι, μάλιστά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας, ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλοὺς, ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην, ἢ πρὸς ἀναθήμασιν ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς, πεπείραμαι συναγαγεῖν· οὐ τὴν ἄχρηστον ἀθροίζων ἱστορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς.

Ἔστι-

subinde vero ad Xenarchum delabitur, ut æquum omen factum Atheniensibus narrat existimare se, ex eo quod dux qui a victoria nomen habebat, repugnaret ne sibi mandaretur bellum: atque ex statuarum mutilatione præsignificari a Diis, clades illos bello ab Hermocrate Hermonis plurimas accepturos. Ad hæc, verisimile fuisse Syracusanis Herculem Proserpinæ gratia, a qua acceperat Cerberum, suppetias venturum; & infestum fore Atheniensibus, quod Ægesteos Trojanorum sobolem tuerentur, quum injuriis ipse ab Laomedonte lacessitus funditus evertisset urbem Trojam. Cæterum huic fortasse ab eodem judicio hæc subiit scribere, & dictionem reprehendere Philisti, Platonemque atque Aristotelem insectari. Mihi quidem de stilo cum quibusvis certamen & æmulatio plane pusilli animi & cavillatorii videtur esse, in iis vero quæ imitari queat nemo, etiam prorsus insulsi & stupidi. Quas igitur res gestas exposuerunt Thucydides & Philistus, quando eas præterire non licet, præcipue quidem quæ ingenium, & motus illius viri sub calamitatibus reconditos multis & magnis detegunt, has ne semel habear incurius & segnis, quatenus res postulabit, perstringam: quæ vero vulgus fugiunt, ac quæ alii dixerunt sparsim, aut in monumentis vel plebiscitis antiquis extant, ea contrahere studebo, non quo historiam consarcinem infrugiferam, sed eam quæ indolem viri & mores ob oculos ponat tradam.

Pri-

Ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν, καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου, καὶ Θουκυδίδης ὁ Μιλησίου, καὶ Θηραμένης ὁ Ἅγνωνος· ἧττον δὲ οὗτος ἢ ἐκεῖνοι. καὶ γὰρ εἰς δυσγένειαν, ὡς ξένος ἐν Κέῳ, λελοιδόρηται, καὶ διὰ τὸ μὴ μόνιμον ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας, ἐπεκλήθη κόθορνος. ἐκείνων δὲ πρεσβύτερος μὲν ὁ Θουκυδίδης ἦν, καὶ πολλὰ Περικλεῖ δημαγωγοῦντι τῶν καλῶν καὶ ἀγαθῶν προϊστάμενος ἀντεπολιτεύσατο. νεώτερος δὲ Νικίας γενόμενος, ἦν μὲν ἔν τινι λόγῳ καὶ Περικλέους ζῶντος, ὥστε κἀκείνῳ συστρατηγῆσαι, καὶ καθ' αὑτὸν ἄρξαι πολλάκις. Περικλέους δ' ἀποθανόντος, εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη, μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων, ἀντίταγμα ποιουμένων αὐτὸν πρὸς τὴν Κλέωνος βδελυρίαν καὶ τόλμαν. οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν συμφιλοτιμούμενον. ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα, γεροντα-γωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς· ὅμως δὲ καὶ τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ θράσος ὁρῶντες αὐτοὶ οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν Νικίαν ἐπήγοντο. καὶ γὰρ οὐκ ἦν αὐστηρὸν οὐδ' ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνὸν, ἀλλ' εὐλαβείᾳ τινὶ μεμιγμένον, αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγοῦν. τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις, ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν· κατώρθου γὰρ ὁμαλῶς στρατηγῶν. τὸ δ' ἐν τῇ πολιτείᾳ ψοφοδεὲς, καὶ πρὸς τοὺς συκοφάντας εὐθορύβητον αὐ-

τοῦ,

Primum de Nicia habeo dicere quod scriptum reliquit Aristoteles, tres extitisse optimos cives, qui patria erga populum benevolentia & amore fuerunt, Niciam Nicerati, Thucydidem Milesii, & Theramenem Agnonis: verum hunc quam illos minus. Etenim ob pudenda natalia, ut hospes ex Cea, perstrictus est, atque ob inconstantiam, quodque modo harum modo illarum partium in repub. esset, cothurnus dictus. Thucydides fuit illis ætate prior, diuque Periclis actionibus populo assentantis pro optimatibus propugnans restitit. Ætatis Nicias inferioris. Habuit autem nomen aliquod etiam vivo Pericle, ut collega quoque ejus in bello gerendo fuerit, & ipse solus non unum gessit magistratum. Defuncto Pericle statim est in primum locum elatus a locupletibus potissimum & nobilioribus, qui arcem eum adversus Cleonis fecerunt scelera & audaciam. Attamen & populi tenuit benevolentiam, qui eum item provexit. Siquidem pollebat multum Cleon ex eo quod ad gratiam emerendam populi senectutem componeret suam, & largitiones ei objiceret. Immodicam tamen hominis cupiditatem, impudentiam & audaciam, quum viderent illi ipsi erga quos esset ambitiosus, plerique amplectebantur Niciam. Neque enim plus satis gravitas hujus austera erat vel odiosa, sed cum certo temperata metu populi, qui eo ipso, quod vereri putaretur multitudinem, illius favorem alliciebat. Nam quum natura esset timidus & diffidentiæ plenus, tegebat in bello timiditatem fœlicitate. Expeditiones enim ejus habuerunt omnes successum. At formido in repub. gerenda atque adversus calumniatores ejus trepidatio videbatur etiam

po-

τοῦ, καὶ δημοτικὸν ἐδόκει, καὶ δύναμιν οὐ μικρὰν ἀπ' εὐνοίας τοῦ δήμου παρέχειν, τῷ δεδιέναι τοὺς ὑπερφρονοῦντας, αὔξειν δὲ τοὺς δεδιότας. τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων, τὸ μὴ καταφρονεῖσθαι.

Περικλῆς μὲν οὖν ἀπό τε ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων, οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον, οὐδὲ πιθανότητος. Νικίας δὲ, τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ' αὐτῆς ἐδημαγώγει. καὶ τῇ Κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένου τοὺς Ἀθηναίους, διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὤν, χορηγίαις ἀνελάμβανε καὶ γυμνασιαρχίαις, ἑτέραις τε τοιαύταις φιλοτιμίαις τὸν δῆμον, ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ αὐτοῦ καὶ καθ' ἑαυτὸν ἅπαντας. εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό, τε παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκός, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς. ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δὲ οὐδέποτε. λέγεται δ' ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτοῦ κεκοσμημένος εἰς σχῆμα Διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν. ἡσθέντων δὲ τῶν Ἀθηναίων τῇ ὄψει, καὶ κροτούντων ἐπὶ πολὺν χρόνον, ἀναστὰς ὁ Νικίας, εἶπεν ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν καταπεφημισμένον Θεῷ σῶμα, καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. μνημονεύεται δ' αὐτοῦ καὶ τὰ περὶ Δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα. τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾀσομένους τῷ Θεῷ, προσπλεόντων μὲν ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν

ναῦν

popularis, magnaſque ei opes ex populi ſtudio conciliare: quod eos qui ſe deſpiciant habeat ſuſpectos, evehat vero illos qui metuant. Quippe hic habetur a potentioribus honos plebi maximus, quum non contemnitur.

Ac Pericles quidem, qui ſolida virtute, & vi dicendi civitatem gubernabat, nullo fuco ad multitudinem opus habebat, nec gratia artificio colligenda. Quibus Nicias quum deficeretur, præcelleret autem opibus, his deliniebat plebem. Quia vero erat ad Cleonem, qui levitate & ſcurrilitate populum Athenienſem mulcebat, ſimilibus æquandum artibus ineptus, oblectabat choragiis, gymnaſiarchiis, muneribuſque hujuſcemodi aliis populum, ſplendore antecedens & munificentia qua prioris qua ſuæ memoriæ omnes. Extitit ex donis ejus etiam noſtra ætate ſignum Minervæ in arce, auro quo inductum fuerat deperdito, atque in æde Liberi patris ſubjecta menſis choragicis ædicula. Choragus enim frequenter vicit, ſuperatus eſt nunquam. Fertur in choragio quodam ſervus ejus ornatus Bacchi perſona tranſiiſſe, forma & proceritate corporis eximia, etiamnum imberbis. Commoto ejus aſpectu populo, ac diu applaudente, exſurgens Nicias, nefas dixit arbitrari ſe eſſe, ut corpus quod Deo omnium vocibus eſſet declaratum ſimile, in ſervitute teneretur, atque adoleſcentem manumiſit. Jam commemorantur ejus in Delo magnifica & religioſa munera. Nam quum chori, quos civitates ad canendum mittebant in Apollinis honorem, appellerent promiſcue, & quia navi turba repente occurrente

rente

ναῦν ἀπαντῶντος, ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ στεφανουμένων, καὶ μεταμφιεννυμένων, ἐκεῖνος ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς Ῥηνίαν ἀπέβη τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευὴν, ζεῦγμα δὲ πεποιημένον Ἀθήνησι πρὸς τὰ μέτρα, καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς, καὶ στεφάνοις, καὶ αὐλαίαις κομίζων, διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ Ῥηνίας καὶ Δήλου πόρον, οὐκ ὄντα μέγαν. εἶθ' ἅμα ἡμέρᾳ τήν τε πομπὴν τῷ Θεῷ καὶ τὸν χορὸν ἄγων κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα, διὰ τῆς γεφύρας ἀπεβίβαζε. μετὰ δὲ τὴν θυσίαν, καὶ τὸν ἀγῶνα καὶ τὰς ἑστιάσεις, τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν, ἀνάθημα τῷ Θεῷ, καὶ χωρίον μυρίων δραχμῶν πριάμενος καθιέρωσεν, οὗ τὰς προσόδους ἔδει Δηλίους καταθύοντας ἑστιᾶσθαι, πολλὰ καὶ ἀγαθὰ Νικίᾳ παρὰ τῶν Θεῶν αἰτουμένους. καὶ γὰρ τοῦτο τῇ στήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν Δήλῳ κατέλιπεν. ὁ δὲ Φοίνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς ἐνέπεσε τῷ Ναξίων ἀνδριάντι τῷ μεγάλῳ, καὶ ἀνέτρεψεν.

Τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὴν καὶ ἀγοραῖόν ἐστιν, οὐκ ἄδηλον· ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει πιστεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι. σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος, ὥς φησι Θουκυδίδης. ἐν δέ τινι τῶν Πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ' ἡμέραν ἔθυε τοῖς Θεοῖς, καὶ μάντιν ἔχων ἐπὶ τῆς οἰκίας,

rente, canere jubebantur nullo ordine, sed nimia festinatione incomposite simul descenderent de navi, coronas sumerent & vestes, ille, quum dux chori eo missus esset, trajecit secum in Rhenen chorum, victimasque & reliquum apparatum trahens, ad hæc, pontem Athenis paratum competentem atque eximie excultum auro, pictura, sertis, tapetibus deportans, nocte fretum eo inter Rhenen & Delum medium, quod non est latum, junxit. Mox ubi diluxit, pompam Deo & chorum magnifice comptum cantantemque traduxit super pontem. Secundum sacra, ludos & epulum, palmam æneam Apollini posuit, prædiumque sacravit, quod decem millibus drachmarum comparaverat: cujus vectigal impenderent in solenne epulum Delii, multam fœlicitatem ab Diis Niciæ precantes. Id est enim incisum in pila, quam pro doni custode reliquit in Delo. Palma illa a vento elisa in Naxiorum excelsam statuam procidit, atque eam dejecit.

His non obscurum est multam subesse gloriæ captationem ambitionemque plausibilem & forensem. Verum ex vita reliqua ejus & moribus conjecturam feceris religionis fuisse eam magnificentiam & largitionem comitem. Oppido namque expavescebat Deos, & superstitioni (ut ait Thucydides) erat implicitus. Ut relatum autem in quodam Pasiphontis dialogo est, quotidie sacris operabatur. Aruspicem autem domi tenens, prætexe-

οἰκίας, προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων, τὰ δὲ πλεῖστα, περὶ τῶν ἰδίων, καὶ μάλιστα περὶ τῶν ἀργυρείων μετάλλων. ἐκέκτητο γὰρ ἐν τῇ Λαυρειωτικῇ πολλὰ καὶ μεγάλα εἰς πρόσοδον, οὐκ ἀκινδύνους δὲ τὰς ἐργασίας ἔχοντα. καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι, καὶ τῆς οὐσίας ἐν ἀργυρείῳ τὸ πλεῖστον εἶχεν. ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν αἰτοῦντες καὶ λαμβάνοντες. ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις, ἢ τοῖς εὖ πάσχειν ἀξίοις. καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία, καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν, καὶ παρὰ τῶν κωμικῶν ἐστι. Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν ταυτὶ πεποίηκε,

Χαρικλῆς μὲν οὐκ ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ,
Ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλαντίου.
Τέσσαρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·
Ὧν δ' ἕκατι τοῦτ' ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγὼ
Οὐκ ἐρῶ. φίλος γὰρ ἀνήρ, σωφρονεῖν δέ μοι δοκεῖ.

ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν τῷ Μαρικᾷ, παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων, λέγει,

Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ;
Οὐδ' εἶδον, εἰ μὴ ἔναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑωρακέναι.
Καὶ τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου.
Ἠκούσατ', ὦ συνήλικες, ἐπαυτοφώρῳ Νικίαν εἰλημμένον.
Ὑμεῖς γὰρ ὦ φρενοβλαβεῖς λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι.

prætexebat perpetuo se de repub. Deos consulere: at quærebat fere de rebus privatis suis, maxime de argenti fodinis. Siquidem tenebat in agro Lauriotico multas & fructuosas: verum eas non citra periculum exercebat, manum magnam illic alebat ergastulorum, ac facultates ejus erant fere in argento positæ. Unde non pauci sectabantur cum petentes & accipientes: quippe non secus his a quibus metuebat, quam illis qui erant beneficio digni, largiebatur. Atque omnino erat improbis timiditas ejus, & humanitas probis pro reditu. De his accipias vel a comicis testimonium: Teleclides enim in quadruplatorem quendam hosce versus scripsit,

Charicles minam nec obtulit, sibi ne dent probro,
Quod satus matri sit e crumenula præ fratribus.
At quater minam dedit, Nicerato qui natus est,
Nicias. Cur fecerit, quamvis sciam, non dico tamen:
Est enim hic amicus, ac sapit, nisi mens fallitur.

Ille etiam qui apud Eupolidem in Marica perstringitur, inducens otiosum & inopem quendam ait,

Dic, quando demum es alloquutus Niciam?
Non vidi ego, nisi stantem nuper in foro.
Fatetur iste Niciam vidisse se.
Sed ad quid illi visus est, ni proderet?
Audistis æquales mei deprensum in ipsa re teneri Niciam.
Sicne ergo vecordes virum vos optimum culpæ reum deprenditis?

ὁ δ' Ἀριστοφάνους Κλέων, ἀπειλῶν λέγει,

> Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.

ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἄθαρσες αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις,

> Ἦν γὰρ πολίτης ἀγαθὸς, ὡς εὖ οἶδ' ἐγώ,
> Κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

Οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας, οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν, οὔτε κοινολογίαις, οὔτε συνδιημερεύσεσιν ἐνέβαλλεν ἑαυτὸν, οὐδ' ὅλως ἐσχόλαζε ταῖς τοιαύταις διατριβαῖς· ἀλλ' ἄρχων μὲν, ἐν τῷ στρατηγίῳ διετέλει μέχρι νυκτός· ἐκ δὲ βουλῆς ὕστατος ἀπῄει, πρῶτος ἀφικνούμενος. εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος, οἰκουρῶν καὶ κατακεκλεισμένος. οἱ δὲ φίλοι τοῖς ἐπὶ ταῖς θύραις φοιτῶσιν ἐνετύγχανον, καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν, καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν, Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ· προσποιούμενος δ' υἱὸς εἶναι Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται, καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος, ἔκτισε Θουρίους. οὗτος οὖν ὁ Ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόρρητα διεπράττετο τῷ Νικίᾳ, καὶ λόγον ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν ζῶντος αὐτοῦ βίον, ᾧ γ' ἔφη καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖπνον ἀεί τι προσ-

Cleon etiam apud Aristophanem minitabundus ait,

> *Os obstruam oratoribus, tum Niciam movebo.*

Innuit item animum trepidum ejus & attonitum Phrynichus hisce versibus,

> *Nam quod bonus civis fuit, certo scio,*
> *Nec suffultis trepidos pedes, ut Nicias.*

Quum igitur ita timeret sibi a calumniatoribus, apud neminem civium cœnabat, non confabulationibus, non conversationibus ad tempus fallendum dabat se, nec omnino ejuscemodi vacabat oblectamentis: sed archon hærebat ad noctem usque in prætorio, curiam primus ingrediebatur, novissimus egrediebatur. Nihil si haberet in publico negotii, difficilis aditus ad eum erat, & conveniendi copia, domo autem inclusus desidebat. Amici alloquebantur eos, qui ad fores ventitabant, precabanturque veniam ut darent, quod distentus etiam tum Nicias esset publicis negotiis curisque. Erat Hiero præcipue hujus administer tragœdiæ, fastumque & opinionem ei adjungebat. Hic eductus apud Niciam fuerat, in literisque ac musica ab eo institutus. Filium autem ferebat se esse Dionysii, qui dictus Chalcus fuit, cujus extant adhuc poëmata. Dux is coloniæ fuit in Italiam deducendæ, & Thurios condidit. Hiero hic arcana cum aruspicibus Niciæ transigebat, sermonesque dissipabat in vulgus, reipub. causa cum ærumnosam & miseram vitam agere: cui ait & in balneo, & super cœnam semper aliquid

προσπίπτειν δημόσιον· ἀμελῶν δὲ τῶν ἰδίων, ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν, μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς, καὶ τοῖς φίλοις οὐ προσηνὴς οὐδὲ ἡδύς ἐστιν· ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. οἱ δ' ἄλλοι καὶ φίλους κτώμενοι, καὶ πλουτίζοντες αὐτοὺς ἀπὸ τοῦ βήματος, εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ. τῷ δ' ὄντι τοιοῦτος ἦν ὁ Νικίου βίος, ὥστ' αὐτὸν εἰπεῖν τὰ τοῦ Ἀγαμέμνονος εἰς αὐτόν·

----- προστάτην δὲ τοῦ βίου
Τὸν ὄγκον ἔχομεν, τῷ δ' ὄχλῳ δουλεύομεν.

Ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν, ἢ τῷ φρονεῖν διαφερόντων ἀποχρώμενον εἰς ἔνια ταῖς ἐμπειρίαις τὸν δῆμον, ὑφορώμενον δ' ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα, καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν· ὡς δῆλον ἦν τῇ Περικλέους καταδίκῃ, καὶ τῷ Δάμωνος ἐξοστρακισμῷ, καὶ τῇ πρὸς Ἀντιφῶντα τὸν Ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν· καὶ μάλιστα δὴ τοῖς περὶ Λάχητα τὸν ἑλόντα Λέσβον, ὃς εὐθύνας διδοὺς τῆς στρατηγίας, ἐν αὐτῷ τῷ δικαστηρίῳ σπασάμενος ξίφος ἀνεῖλεν ἑαυτόν· τὰς μὲν ἐργώδεις πάνυ καὶ μικρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας, ὅπου δ' αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν, ὡς εἰκός, εἰς οὐδεμίαν αὐτοῦ σοφίαν ἢ δύναμιν ἢ ἀρετὴν ἀνέφερε τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ, καὶ κατέφευγεν εἰς τὸ θεῖον, τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα. πολλῶν γὰρ τότε προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γινο-

quid objici publici negotii, & ſolicitudine reipub. procurandæ res privatas negligentem, vix circa primam vigiliam incipere cum dormire; unde corpore eſſe cum affecto, amicis nec placidum nec jucundum, verum hos quoque una cum re familiari in repub. gerenda amiſiſſe. Cæteros parare amicos ex ſuggeſtu, quæſtumque facere, atque hos in deliciis vivere, & rempub. ludos facere. Revera autem ea vita fuit Niciæ, ut de ſe ipſe illud poſſet Agamemnonis dicere,

Faſtus quidem ſpecie reliquis præcellimus,
Verum miniſtri multitudinis ſumus.

Porro populum animadvertens diſertorum & inſigniter prudentum abuti aliquoties conſiliis, ſed formidare ſemper & ſuſpectas habere eorum facultates, ſpiritibuſque horum & autoritati frænos imponere, ut ex damnatione Periclis patebat, atque ex decennali Damonis exilio, & populi adverſus Antiphontem Rhamnuſium ſuſpicionibus, præcipue vero ex Pachetis caſu, ejus qui Leſbum in ditionem redegit, (hic rationes referens geſti imperii, ipſo in tribunali ſtricto gladio ſemetipſe confodit) minutas & operoſas expeditiones elaborabat rejicere. Quod ſi quando dux eſſet, ſecuritati ſtudebat, atque ideo nimirum ſuccedebant ei res plerumque, quas nulli ſuæ ſapientiæ vel conſilio vel virtuti adſcribebat. Verum eas, quo gloriæ declinaret invidiam, contentus de ea decedere, ad fortunam delegabat, atque ad Deos confugiebat: & res ipſæ adſtipulabantur. Nam quum ſæpius id temporis civitas Athenienſis & graviter ceſpitaret,

αἰτίας, εἴτ' ἠγνόησεν, εἴτ' οὐκ ἐθεράπευσε τὰς ἐν τῷ στρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἐφ' ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. ἢ τοῦτό γε καὶ πρὸς Κίμωνα κοινόν ἐστι. καὶ γὰρ ἐκεῖνον ὑπήγαγόν τε εἰς δίκας οἱ πολῖται, καὶ τελευτῶντες ἐξωστράκισαν, ἵν' αὐτοῦ δέκα ἐτῶν, ὥς φησιν ὁ Πλάτων, τῆς φωνῆς μὴ ἀκούσωσιν. αἱ γὰρ ἀριστοκρατικαὶ φύσεις ὀλίγα τοῖς πολλοῖς ἄδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι τὰ δὲ πολλὰ προσβιαζόμεναι, τῷ κατευθύνειν διαστρεφομένους ἀνιῶσιν, ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοί, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρθρήσεις. ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἑκάτερον.

Πολὺ δ' ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ, τόν τε Ταῦρον ὑπερβαλὼν στρατοπέδῳ Ῥωμαίων πρῶτος, καὶ τὸν Τίγριν διαβάς, καὶ τὰ βασίλεια τῆς Ἀσίας ἐν ὄψει τῶν βασιλέων, Τιγρανόκερτα καὶ Κάβειρα, καὶ Σινώπην καὶ Νίσιβιν ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν βόρεια, μέχρι Φάσιδος, τὰ δὲ ἑῷα, μέχρι Μηδίας, τὰ δὲ πρὸς νότον καὶ τὴν ἐρυθρὰν θάλασσαν οἰκειωσάμενος διὰ τῶν Ἀραβικῶν βασιλειῶν· συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων εἰς ἐρημίας καὶ ὕλας ἀστιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. τεκμήριον δὲ μέγα· Πέρσαι μὲν γάρ, ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ Κίμωνος, εὐθὺς ἀντεστάτουν τοῖς Ἕλλησι, καὶ τήν γε πολλὴν δύναμιν αὐτῶν ἐν Αἰγύπτῳ κρατήσαντες διέφθειραν. Τιγράνου δὲ καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο, ἀλλ' ὁ μὲν, ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων, οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηΐῳ τὴν δύναμιν ἔξω τοῦ

sive non lenivit exercitus sui offensiones & querelas, quibus fuit usque adeo ab ipso alienatus. An vero hoc habet cum Cimone commune? Quippe cives & vocaverunt eum identidem in judicium & in exilium denique exegerunt, ne vocem ejus annos decem (ut Plato ait) audirent. Etenim gravia optimatium ingenia parum sunt multitudini accepta aut jucunda, sed fere, dum urgent ut corrigant vel distortos, pungunt sicut medicorum vincula, quamvis in articulos suos hæc reponant luxata. Uterque igitur sit fortasse hac noxa eximendus.

At longius promovit bellum Lucullus, qui Taurum cum exercitu Romano superavit primus, Tigrim trajecit, regias Asiæ ante regum oculos, Tigranocerta, Gabira, Sinopen, & Nisibin expugnavit inflammavitque. Tractum septentrionalem ad Phasim usque, orientalem ad Mediam, australem usque ad mare rubrum & regna Arabiæ subegit. Vires regum obtrivit. Sola ei elapsa corpora sunt instar ferarum in deserta inviasque & inaccessas aufugientium sylvas. Hujus rei sit magnum illud indicium. Siquidem Persæ, quasi nullo accepto a Cimone detrimento, repetierunt extemplo Græcos bello, magnasque eorum copias in Ægypto fuderunt oppresseruntque: Tigranis vero & Mithridatis post Lucullum factum aliud extitit nullum; verum hic enervatus jam ac prœliis fractus prioribus, ne semel quidem Pompeio ostendere extra vallum sustinuit aci-

τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη, κἀκεῖ κατέστρεψε. Τιγράνης δ' αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέρριψε Πομπηίῳ, καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελόμενος, ἔθηκε πρὸ τῶν ποδῶν, οὐ τοῖς ἑαυτοῦ κολακεύων Πομπήιον, ἀλλὰ τοῖς ὑπὸ Λευκόλλου τεθριαμβευμένοις. ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας, ὡς ἀφῃρημένος πρότερον. μείζων οὖν στρατηγός, ὥσπερ ἀθλητής, ὁ τῷ μεθ' ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. ἔτι τοίνυν Κίμων μὲν συντετριμμένην τὴν βασιλέως δύναμιν, καὶ τὸ Περσῶν φρόνημα συνεσταλμένον ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ Θεμιστοκλέους καὶ Παυσανίου καὶ Λεωτυχίδου καταλαβὼν, ἐπενέβη, καὶ προπεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς τὰ σώματα ῥᾳδίως ἐνίκησε· Λευκόλλῳ δὲ Τιγράνης, ἀήττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν, συνέπεσε. πλήθει δ' οὐδ' ἄξιον παραβαλεῖν τοῖς ἐπὶ Λεύκολλον συνελθοῦσι τοὺς ὑπὸ Κίμωνος κρατηθέντας. ὥστε παντὶ μεταλαμβάνοντι δυσδιαίτητον εἶναι τὴν κρίσιν. ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέροις ἔοικεν εὐμενὲς γενέσθαι, τῷ μὲν ἃ χρὴ κατορθοῦν, τῷ δ' ἃ φυλάττεσθαι χρὴ, προμηνῦον· ὥστε καὶ τὴν παρὰ τῶν θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν, ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

aciem, ſed in Boſphorum fuga delatus, exſpiravit. Tigranes ad genua ſe Pompeii nudum & inermem abjecit, detractumque capiti diadema ad pedes ejus depoſuit, Pompeio non ornamentis blandiens ſuis, ſed illis de quibus triumphaverat Lucullus. Quare putavit actum ſecum præclare, quum inſignia regia redderentur ſibi, velut ante iis exutus. Itaque dux celſior ille ſicut athleta ſit, qui ſucceſſori ſuo debilitatum tradit adverſarium. Ad hæc Cimon, quum regis obtritos nervos accepiſſet ingentibus cladibus effuſiſſimiſque fugis, & ſpiritus fractos Perſarum a Themiſtocle, Pauſania, Leotychide, inſultavit in eos, & quorum ante oppreſſi dejectique fuerant animi, horum ſuperavit facile corpora: at cum Lucullo Tigranes prœliis invictus multis atque inde elatus ſigna contulit. Numero vero haudquaquam æquiparandi ſunt cum illis qui contra Lucullum ſteterunt, hi qui profligati fuerunt a Cimone. Quamobrem omnia invicem æſtimanti difficilis ſit explicatu diſceptatio. Nam videntur & Dii utrique fuiſſe propitii, qui uni ea quæ perpetranda eſſent, alteri, quæ præcavenda, prænuntiavere. Ita Dii quoque teſtimonium ambobus ut bonis & natura præditis divina dedere.

 ΝΙΚΙΑΣ.



Ν Ι Κ Ι Α Σ.

ΕΠΕΙ δοκοῦμεν οὐκ ἀτόπως τῷ Νικίᾳ τὸν Κράσσον παραβάλλειν, καὶ τὰ Παρθικὰ παθήματα τοῖς Σικελικοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς Θουκυδίδης, αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐνεργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον· ὃς ἐλπίσας τὸν μὲν Θουκυδίδην ὑπερβαλέσθαι δεινότητι, τὸν δὲ Φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ τῶν μάλιστα κατωρθωμένων ἐκείνοις ἀγώνων, καὶ ναυμαχιῶν, καὶ δημηγοριῶν, οὐ μὰ Δία

Παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων,

ὥς φησι Πίνδαρος· ἀλλ' ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις, καὶ κατὰ τὸν Δίφιλον, παχὺς, ὠνθυλευμένος στέατι Σικελικῷ· πολ-

Quando viſum nobis non abſonum eſt, ut cum Nicia Craſſum, & clades Parthicas contenderemus cum Siculis, primum deprecandi & obſecrandi mihi ſunt horum commentariorum lectores, ut in hac hiſtoria, in qua Thucydides ſupra ingenium humanum explicanda, affectu movendo, illuſtratione & varietate ſcipſum ſuperavit, nemo imitari nos Timæum ſuſpicetur velle, qui dum Thucydidis ſe ſuperare eloquentiam ſperat poſſe, & illepidum plane oſtendere Philiſtum rudemque, per medias ruit victorias, & prœlia navalia, concioneſque, quas res præcipue ſumma cum laude deſcripſerunt illi, ne hercule juxta Lydium quidem currum pedibus incedens (ut Pindarus ait) verum oſtendit ſe prorſus impolitum, infantem, atque (ut Diphili verbis utar) pinguem & Siculo oblitum adipe; ſub-

πολλαχοῦ δ' ὑπορρέων εἰς τὸν Ξέναρχον. ὥσπερ ὅταν λέγῃ τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι γεγονέναι, τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν, ἀντειπόντα πρὸς τὴν στρατηγίαν· καὶ τῇ περικοπῇ τῶν Ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον. ἔτι δ', εἰκὸς εἶναι τὸν Ἡρακλέα τοῖς μὲν Συρακουσίοις βοηθεῖν, διὰ τὴν Κόρην παρ' ἧς ἔλαβε τὸν Κέρβερον· ὀργίζεσθαι δὲ τοῖς Ἀθηναίοις, ὅτι τοὺς Αἰγεστέας, ἀπογόνους ὄντας Τρώων, ἔσωζον, αὐτὸς δ' ὑπὸ Λαομέδοντος ἀδικηθεὶς, ἀνάστατον ἐποίησε τὴν πόλιν. ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμμελείας ταῦτά γε γράφειν ἐπῄει, καὶ τὴν Φιλίστου διάλεκτον εὐθύνειν, καὶ τοῖς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη λοιδορεῖσθαι. ἐμοὶ δ' ὅλως μὲν ἡ περὶ λέξιν ἅμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους, μικροπρεπὲς φαίνεται καὶ σοφιστικόν· ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. ἃς γοῦν Θουκυδίδης ἐξήνεγκε πράξεις καὶ Φίλιστος, ἐπεὶ παρελθεῖν οὐκ ἔστι, μάλιστά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας, ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλοὺς, ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην, ἢ πρὸς ἀναθήμασιν ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς, πεπείραμαι συναγαγεῖν· οὐ τὴν ἄχρηστον ἀθροίζων ἱστορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς.

Ἔνε-

ſubinde vero ad Xenarchum delabitur, ut æquum omen factum Athenienſibus narrat exiſtimare ſe, ex eo quod dux qui a victoria nomen habebat, repugnaret ne ſibi mandaretur bellum: atque ex ſtatuarum mutilatione præſignificari a Diis, clades illos bello ab Hermocrate Hermonis plurimas accepturos. Ad hæc, veriſimile fuiſſe Syracuſanis Herculem Proſerpinæ gratia, a qua acceperat Cerberum, ſuppetias venturum; & infeſtum fore Athenienſibus, quod Ægeſteos Trojanorum ſobolem tuerentur, quum injuriis ipſe ab Laomedonte laceſſitus funditus evertiſſet urbem Trojam. Cæterum huic fortaſſe ab eodem judicio hæc ſubiit ſcribere, & dictionem reprehendere Philiſti, Platonemque atque Ariſtotelem inſectari. Mihi quidem de ſtilo cum quibuſvis certamen & æmulatio plane puſilli animi & cavillatorii videtur eſſe, in iis vero quæ imitari queat nemo, etiam prorſus inſulſi & ſtupidi. Quas igitur res geſtas expoſuerunt Thucydides & Philiſtus, quando eas præterire non licet, præcipue quidem quæ ingenium, & motus illius viri ſub calamitatibus reconditos multis & magnis detegunt, has ne ſemel habear incurius & ſegnis, quatenus res poſtulabit, perſtringam: quæ vero vulgus fugiunt, ac quæ alii dixerunt ſparſim, aut in monumentis vel plebiſcitis antiquis extant, ea contrahere ſtudebo, non quo hiſtoriam conſarcinem infrugiferam, ſed eam quæ indolem viri & mores ob oculos ponat tradam.

Pri-

Ἔστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν, καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου, καὶ Θουκυδίδης ὁ Μιλησίου, καὶ Θηραμένης ὁ Ἅγνωνος· ἧττον δὲ οὗτος ἢ ἐκεῖνοι. καὶ γὰρ εἰς δυσγένειαν, ὡς ξένος ἐν Κέῳ, λελοιδόρηται, καὶ διὰ τὸ μὴ μόνιμον ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας, ἐπεκλήθη κόθορνος. ἐκείνων δὲ πρεσβύτερος μὲν ὁ Θουκυδίδης ἦν, καὶ πολλὰ Περικλεῖ δημαγωγοῦντι τῶν καλῶν καὶ ἀγαθῶν προϊστάμενος ἀντεπολιτεύσατο. νεώτερος δὲ Νικίας γενόμενος, ἦν μὲν ἔν τινι λόγῳ καὶ Περικλέους ζῶντος, ὥστε κἀκείνῳ συστρατηγῆσαι, καὶ καθ' αὑτὸν ἄρξαι πολλάκις. Περικλέους δ' ἀποθανόντος, εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη, μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων, ἀντίταγμα ποιουμένων αὐτὸν πρὸς τὴν Κλέωνος βδελυρίαν καὶ τόλμαν. οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν συμφιλοτιμούμενον. ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα, γεροντα-γωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς· ὅμως δὲ καὶ τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ θράσος ὁρῶντες αὐτοὶ οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν Νικίαν ἐπήγοντο. καὶ γὰρ οὐκ ἦν αὐστηρὸν οὐδ' ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνὸν, ἀλλ' εὐλαβείᾳ τινὶ μεμιγμένον, αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγοῦν. τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις, ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν· κατώρθου γὰρ ὁμαλῶς στρατηγῶν. τὸ δ' ἐν τῇ πολιτείᾳ ψοφοδεὲς, καὶ πρὸς τοὺς συκοφάντας εὐθορύβητον αὐτοῦ,

Primum de Nicia habeo dicere quod scriptum reliquit Aristoteles, tres extitisse optimos cives, qui patria erga populum benevolentia & amore fuerunt, Niciam Nicerati, Thucydidem Milesii, & Theramenem Agnonis: verum hunc quam illos minus. Etenim ob pudenda natalia, ut hospes ex Cea, perstrictus est, atque ob inconstantiam, quodque modo harum modo illarum partium in repub. esset, cothurnus dictus. Thucydides fuit illis ætate prior, diuque Periclis actionibus populo assentantis pro optimatibus propugnans restitit. Ætatis Nicias inferioris. Habuit autem nomen aliquod etiam vivo Pericle, ut collega quoque ejus in bello gerendo fuerit, & ipse solus non unum gessit magistratum. Defuncto Pericle statim est in primum locum elatus a locupletibus potissimum & nobilioribus, qui arcem eum adversus Cleonis fecerunt scelera & audaciam. Attamen & populi tenuit benevolentiam, qui eum item provexit. Siquidem pollebat multum Cleon ex eo quod ad gratiam emerendam populi senectutem componeret suam, & largitiones ei objiceret. Immodicam tamen hominis cupiditatem, impudentiam & audaciam, quum viderent illi ipsi erga quos esset ambitiosus, plerique amplectebantur Niciam. Neque enim plus satis gravitas hujus austera erat vel odiosa, sed cum certo temperata metu populi, qui eo ipso, quod vereri putaretur multitudinem, illius favorem alliciebat. Nam quum natura esset timidus & diffidentiæ plenus, tegebat in bello timiditatem fœlicitate. Expeditiones enim ejus habuerunt omnes successum. At formido in repub. gerenda atque adversus calumniatores ejus trepidatio videbatur etiam po-

τοῦ, καὶ δημοτικὸν ἐδόκει, καὶ δύναμιν οὐ μικρὰν ἀπ' εὐνοίας τοῦ δήμου παρέχειν, τῷ δεδιέναι τοὺς ὑπερφρονοῦντας, αὔξειν δὲ τοὺς δεδιότας. τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων, τὸ μὴ καταφρονεῖσθαι.

Περικλῆς μὲν οὖν ἀπό τε ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων, οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον, οὐδὲ πιθανότητος. Νικίας δὲ, τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ' αὐτῆς ἐδημαγώγει, καὶ τῇ Κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένου τοὺς Ἀθηναίους, διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὤν, χορηγίαις ἀνελάμβανε καὶ γυμνασιαρχίαις, ἑτέραις τε τοιαύταις φιλοτιμίαις τὸν δῆμον, ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ αὐτοῦ καὶ καθ' ἑαυτὸν ἅπαντας. εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό, τε παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκὸς, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς. ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δὲ οὐδέποτε. λέγεται δ' ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτοῦ κεκοσμημένος εἰς σχῆμα Διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν. ἡσθέντων δὲ τῶν Ἀθηναίων τῇ ὄψει, καὶ κροτούντων ἐπὶ πολὺν χρόνον, ἀναστὰς ὁ Νικίας, εἶπεν ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν καταπεφημισμένον Θεῷ σῶμα, καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. μνημονεύεται δ' αὐτοῦ καὶ τὰ περὶ Δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα. τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾀσομένους τῷ Θεῷ, προσπλεόντων μὲν ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν ναῦν

popularis, magnaſque ei opes ex populi ſtudio conciliare: quod eos qui ſe deſpiciant habeat ſuſpectos, evehat vero illos qui metuant. Quippe hic habetur a potentioribus honos plebi maximus, quum non contemnitur.

Ac Pericles quidem, qui ſolida virtute, & vi dicendi civitatem gubernabat, nullo fuco ad multitudinem opus habebat, nec gratia artificio colligenda. Quibus Nicias quum deficeretur, præcelleret autem opibus, his deliniebat plebem. Quia vero erat ad Cleonem, qui levitate & ſcurrilitate populum Athenienſem mulcebat, ſimilibus æquandum artibus ineptus, oblectabat choragiis, gymnaſiarchiis, muneribuſque hujuſcemodi aliis populum, ſplendore antecedens & munificentia qua prioris qua ſuæ memoriæ omnes. Extitit ex donis ejus etiam noſtra ætate ſignum Minervæ in arce, auro quo inductum fuerat deperdito, atque in æde Liberi patris ſubjecta menſis choragicis ædicula. Choragus enim frequenter vicit, ſuperatus eſt nunquam. Fertur in choragio quodam ſervus ejus ornatus Bacchi perſona tranſiiſſe, forma & proceritate corporis eximia, etiamnum imberbis. Commoto ejus aſpectu populo, ac diu applaudente, exſurgens Nicias, nefas dixit arbitrari ſe eſſe, ut corpus quod Deo omnium vocibus eſſet declaratum ſimile, in ſervitute teneretur, atque adoleſcentem manumiſit. Jam commemorantur ejus in Delo magnifica & religioſa munera. Nam quum chori, quos civitates ad canendum mittebant in Apollinis honorem, appellerent promiſcue, & quia navi turba repente occurrente

ναῦν ἀπαντῶντος, ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ στεφανουμένων, καὶ μεταμφιεννυμένων, ἐκεῖνος ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς Ῥηνίαν ἀπέβη τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευήν, ζεῦγμα δὲ πεποιημένον Ἀθήνησι πρὸς τὰ μέτρα, καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς, καὶ στεφάνοις, καὶ αὐλαίαις κομίζων, διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ Ῥηνίας καὶ Δήλου πόρον, οὐκ ὄντα μέγαν. εἶθ' ἅμα ἡμέρᾳ τήν τε πομπὴν τῷ Θεῷ καὶ τὸν χορὸν ἄγων κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα, διὰ τῆς γεφύρας ἀπεβίβαζε. μετὰ δὲ τὴν θυσίαν, καὶ τὸν ἀγῶνα καὶ τὰς ἑστιάσεις, τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν, ἀνάθημα τῷ Θεῷ, καὶ χωρίον μυρίων δραχμῶν πριάμενος καθιέρωσεν, οὗ τὰς προσόδους ἔδει Δηλίους καταθύοντας ἑστιᾶσθαι, πολλὰ καὶ ἀγαθὰ Νικίᾳ παρὰ τῶν Θεῶν αἰτουμένους. καὶ γὰρ τοῦτο τῇ στήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν Δήλῳ κατέλιπεν. ὁ δὲ φοῖνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς ἐνέπεσε τῷ Ναξίων ἀνδριάντι τῷ μεγάλῳ, καὶ ἀνέτρεψεν.

Τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὴν καὶ ἀγοραῖόν ἐστιν, οὐκ ἄδηλον· ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει πιστεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι. σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος, ὥς φησι Θουκυδίδης. ἐν δέ τινι τῶν Πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ' ἡμέραν ἔθυε τοῖς Θεοῖς, καὶ μάντιν ἔχων ἐπὶ τῆς

οἰκίας,

rente, canere jubebantur nullo ordine, sed nimia festinatione incomposite simul descenderent de navi, coronas sumerent & vestes, ille, quum dux chori eo missus esset, trajecit secum in Rhenen chorum, victimasque & reliquum apparatum trahens, ad hæc, pontem Athenis paratum competentem atque eximie excultum auro, pictura, sertis, tapetibus deportans, nocte fretum eo inter Rhenen & Delum medium, quod non est latum, junxit. Mox ubi diluxit, pompam Deo & chorum magnifice comptum cantantemque traduxit per pontem. Secundum sacra, ludos & epulum, palmam æneam Apollini posuit, prædiumque sacravit, quod decem millibus drachmarum comparaverat: cujus vectigal impenderent in solenne epulum Delii, multam fœlicitatem ab Diis Niciæ precantes. Id est enim incisum in pila, quam pro doni custode reliquit in Delo. Palma illa a vento elisa in Naxiorum excelsam statuam procidit, atque eam dejecit.

His non obscurum est multam subesse gloriæ captationem ambitionemque plausibilem & forensem. Verum ex vita reliqua ejus & moribus conjecturam feceris religionis fuisse eam magnificentiam & largitionem comitem. Oppido namque expavescebat Deos, & superstitioni (ut ait Thucydides) erat implicitus. Ut relatum autem in quodam Pasiphontis dialogo est, quotidie sacris operabatur. Aruspicem autem domi tenens, præ-

texe-

οἰκίας, προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων, τὰ δὲ πλεῖστα, περὶ τῶν ἰδίων, καὶ μάλιστα περὶ τῶν ἀργυρείων μετάλλων. ἐκέκτητο γὰρ ἐν τῇ Λαυρειωτικῇ πολλὰ καὶ μεγάλα εἰς πρόσοδον, οὐκ ἀκινδύνους δὲ τὰς ἐργασίας ἔχοντα. καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι, καὶ τῆς οὐσίας ἐν ἀργυρείῳ τὸ πλεῖστον εἶχεν. ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν αἰτοῦντες καὶ λαμβάνοντες. ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις, ἢ τοῖς εὖ πάσχειν ἀξίοις. καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία, καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν, καὶ παρὰ τῶν κωμικῶν ἐστι. Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν ταυτὶ πεποίηκε,

Χαρικλῆς μὲν οὐκ ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ,
Ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλαντίου.
Τέσσαρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·
Ὧν δ' ἕκατι τοῦτ' ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγὼ
Οὐκ ἐρῶ. φίλος γὰρ ἀνήρ, σωφρονεῖν δέ μοι δοκεῖ.

ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν τῷ Μαρικᾷ, παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων, λέγει,

Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ;
Οὐδ' εἶδον, εἰ μὴ ἔναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑωρακέναι.
Καὶ τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου.
Ἠκούσατ', ὦ συνήλικες, ἐπαυτοφώρῳ Νικίαν εἰλημμένον.
Ὑμεῖς γὰρ ὦ φρενοβλαβεῖς λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι.

ὁ

prætexebat perpetuo se de repub. Deos consulere: at quærebat fere de rebus privatis suis, maxime de argenti fodinis. Siquidem tenebat in agro Lauriotico multas & fructuosas: verum eas non citra periculum exercebat, manum magnam illic alebat ergastulorum, ac facultates ejus erant fere in argento positæ. Unde non pauci sectabantur eum petentes & accipientes: quippe non secus his a quibus metuebat, quam illis qui erant beneficio digni, largiebatur. Atque omnino erat improbis timiditas ejus, & humanitas probis pro reditu. De his accipias vel a comicis testimonium: Teleclides enim in quadruplatorem quendam hosce versus scripsit,

Charicles minam nec obtulit, sibi ne dent probro,
Quod satus matri sit e crumenula præ fratribus.
At quater minam dedit, Nicerato qui natus est,
Nicias. Cur fecerit, quamvis sciam, non dico tamen:
Est enim hic amicus, ac sapit, nisi mens fallitur.

Ille etiam qui apud Eupolidem in Marica perstringitur, inducens otiosum & inopem quendam ait,

Dic, quando demum es alloquutus Niciam?
Non vidi ego, nisi stantem nuper in foro.
Fatetur iste Niciam vidisse se.
Sed ad quid illi visus est, ni proderet?
Audistis æquales mei deprensum in ipsa re teneri Niciam.
Sicne ergo vecordes virum vos optimum culpæ reum deprenditis?

Cleon

ὁ δ' Ἀριστοφάνους Κλέων, ἀπειλῶν λέγει,

> Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.

ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις,

> Ἦν γὰρ πολίτης ἀγαθὸς, ὡς εὖ οἶδ' ἐγὼ,
> Κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

Οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας, οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν, οὔτε κοινολογίαις, οὔτε συνδιημερεύσεσιν ἐνέβαλλεν ἑαυτὸν, οὐδ' ὅλως ἐσχόλαζε ταῖς τοιαύταις διατριβαῖς· ἀλλ' ἄρχων μὲν, ἐν τῷ στρατηγίῳ διετέλει μέχρι νυκτός· ἐκ δὲ βουλῆς ὕστατος ἀπῄει, πρῶτος ἀφικνούμενος. εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος, οἰκουρῶν καὶ κατακεκλεισμένος. οἱ δὲ φίλοι τοῖς ἐπὶ τοῖς θύραις φοιτῶσιν ἐνετύγχανον, καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν, καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν, Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ· προσποιούμενος δ' υἱὸς εἶναι Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται, καὶ τῆς εἰς Ἰταλίας ἀποικίας ἡγεμὼν γενόμενος, ἔκτισε Θουρίους. οὗτος οὖν ὁ Ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόρρητα διεπράττετο τῷ Νικίᾳ, καὶ λόγον ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν ζῶντος αὐτοῦ βίον, ᾧ γ' ἔφη καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖπνον ἀεί τι προσ-

Cleon etiam apud Ariſtophanem minitabundus ait,

> *Os obſtruam oratoribus, tum Niciam movebo.*

Innuit item animum trepidum ejus & attonitum Phrynichus hiſce verſibus,

> *Nam quod bonus civis fuit, certo ſcio,*
> *Nec ſuſtulit trepidos pedes, ut Nicias.*

Quum igitur ita timeret ſibi a calumniatoribus, apud neminem civium cœnabat, non confabulationibus, non converſationibus ad tempus fallendum dabat ſe, nec omnino ejuſcemodi vacabat oblectamentis: ſed archon hærebat ad noctem uſque in prætorio, curiam primus ingrediebatur, noviſſimus egrediebatur. Nihil ſi haberet in publico negotii, difficilis aditus ad eum erat, & conveniendi copia, domo autem incluſus deſidebat. Amici alloquebantur eos, qui ad fores ventitabant, precabanturque veniam ut darent, quod diſtentus etiam tum Nicias eſſet publicis negotiis curiſque. Erat Hiero præcipue hujus adminiſter tragœdiæ, faſtumque & opinionem ei adjungebat. Hic eductus apud Niciam fuerat, in literiſque ac muſica ab eo inſtitutus. Filium autem ferebat ſe eſſe Dionyſii, qui dictus Chalcus fuit, cujus extant adhuc poemata. Dux is coloniæ fuit in Italiam deducendæ, & Thurios condidit. Hiero hic arcana cum aruſpicibus Niciæ tranſigebat, ſermoneſque diſſipabat in vulgus, reipub. cauſa eum ærumnoſam & miſeram vitam agere: cui ait & in balneo, & ſuper cœnam ſemper aliquid

προσπίπτειν δημόσιον· ἀμελῶν δὲ τῶν ἰδίων, ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν, μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς, καὶ τοῖς φίλοις οὐ προσηνὴς οὐδὲ ἡδύς ἐστιν· ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. οἱ δ' ἄλλοι καὶ φίλους κτώμενοι, καὶ πλουτίζοντες αὐτοὺς ἀπὸ τοῦ βήματος, εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ. τῷ δ' ὄντι τοιοῦτος ἦν ὁ Νικίου βίος, ὥστ' αὐτὸν εἰπεῖν τὰ τοῦ Ἀγαμέμνονος εἰς αὐτόν·

----- προστάτην δὲ τοῦ βίου
Τὸν ὄγκον ἔχομεν, τῷ δ' ὄχλῳ δουλεύομεν.

Ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν, ἢ τῷ φρονεῖν διαφερόντων ἀποχρώμενον εἰς ἔνια ταῖς ἐμπειρίαις τὸν δῆμον, ὑφορώμενον δ' ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα, καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν· ὡς δῆλον ἦν τῇ Περικλέους καταδίκῃ, καὶ τῷ Δάμωνος ἐξοστρακισμῷ, καὶ τῇ πρὸς Ἀντιφῶντα τὸν Ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν· καὶ μάλιστα δὴ τοῖς περὶ Λάχητα τὸν ἑλόντα Λέσβον, ὃς εὐθύνας διδοὺς τῆς στρατηγίας, ἐν αὐτῷ τῷ δικαστηρίῳ σπασάμενος ξίφος ἀνεῖλεν ἑαυτόν· τὰς μὲν ἐργώδεις πάνυ καὶ μακρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας, ὅπου δ' αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν, ὡς εἰκός, εἰς οὐδεμίαν αὐτοῦ σοφίαν ἢ δύναμιν ἢ ἀρετὴν ἀνέφερε τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ, καὶ κατέφευγεν εἰς τὸ θεῖον, τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα. πολλῶν γὰρ τότε προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γινο-

quid objici publici negotii, & solicitudine reipub. procurandæ res privatas negligentem, vix circa primam vigiliam incipere cum dormire; unde corpore esse cum affecto, amicis nec placidum nec jucundum, verum hos quoque una cum re familiari in repub. gerenda amisisse. Cæteros parare amicos ex suggestu, quæstumque facere, atque hos in deliciis vivere, & rempub. ludos facere. Revera autem ea vita fuit Niciæ, ut de se ipse illud posset Agamemnonis dicere,

Fastus quidem specie reliquis præcellimus,
Verum ministri multitudinis sumus.

Porro populum animadvertens disertorum & insigniter prudentum abuti aliquoties consiliis, sed formidare semper & suspectas habere eorum facultates, spiritibusque horum & autoritati frænos imponere, ut ex damnatione Periclis patebat, atque ex decennali Damonis exilio, & populi adversus Antiphontem Rhamnusium suspicionibus, præcipue vero ex Pachetis casu, ejus qui Lesbum in ditionem redegit, (hic rationes referens gesti imperii, ipso in tribunali stricto gladio semetipse confodit) minutas & operosas expeditiones elaborabat rejicere. Quod si quando dux esset, securitati studebat, atque ideo nimirum succedebant ei res plerumque, quas nulli suæ sapientiæ vel consilio vel virtuti adscribebat. Verum eas, quo gloriæ declinaret invidiam, contentus de ea decedere, ad fortunam delegabat, atque ad Deos confugiebat: & res ipsæ adstipulabantur. Nam quum sæpius id temporis civitas Atheniensis & graviter cespitaret,

γινομένων, οὐδενὸς ἁπλῶς ἐκεῖνος μετέσχεν, ἀλλὰ περὶ Θράκην μὲν ἡττήθησαν ὑπὸ Χαλκιδέων, Καλλιάδου τε καὶ Ξενοφῶντος στρατηγούντων· τὸ δ' Αἰτωλικὸν πταῖσμα συνέβη Δημοσθένους ἄρχοντος· ἐν δὲ Δήλῳ χιλίους αὐτῶν ἀπέβαλον Ἱπποκράτους ἡγουμένου· τοῦ δὲ λοιμοῦ τὴν πλείστην αἰτίαν ἔλαβε Περικλῆς, διὰ τὸν πόλεμον εἰς τὸ ἄστυ κατακλείσας τὸν ἀπὸ τῆς χώρας ὄχλον, ἐκ τῆς μεταβολῆς τῶν τόπων καὶ διαίτης ἀήθους γινόμενον. Νικίας δὲ τούτων ἁπάντων ἀναίτιος ἔμεινε, καὶ στρατηγῶν εἷλε μὲν Κύθηρα, νῆσον εὖ κατὰ τῆς Λακωνικῆς πεφυκυῖαν, καὶ Λακεδαιμονίους ἔχουσαν οἰκήτορας. ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ Θράκης ἀφεστώτων, καὶ προσηγάγετο. κατακλείσας δὲ Μεγαρεῖς εἰς τὴν πόλιν, εὐθὺς μὲν ἔσχε Μινώαν τὴν νῆσον· ὀλίγῳ δ' ὕστερον ἐκ ταύτης ὁρμώμενος, Νισαίας ἐκράτησεν. εἰς δὲ τὴν Κορινθίαν ἀποβὰς, ἐνίκησε μάχῃ καὶ διέφθειρε Κορινθίων πολλοὺς, καὶ Λυκόφρονα τὸν στρατηγόν. ἔνθα δ' αὐτῷ συνέβη τῶν οἰκείων δύο νεκροὺς ἀπολιπεῖν, διαλαθόντας περὶ τὴν ἀναίρεσιν. ὡς οὖν τοῦτ' ἔγνω, τάχιστα τὸν στόλον ἐπιστήσας, ἔπεμψε κήρυκα πρὸς τοὺς πολεμίους περὶ ἀναιρέσεως. καίτοι κατὰ νόμον τινὰ καὶ συνήθειαν ἐδόκουν οἱ νεκρῶν ὑποσπόνδων λαβόντες ἀναίρεσιν, ἀπολέγεσθαι τὴν νίκην· καὶ τρόπαιον ἱστάναι τοὺς τούτου τυχόντας, οὐκ ἔνθεσμον ἦν· νικᾶν γὰρ τοὺς κρατοῦντας, μὴ κρατεῖν δὲ τοὺς αἰτοῦντας, ὡς λαβεῖν μὴ δυναμένους. ἀλλ' ὅμως ἐκεῖνος ὑπέμεινε μᾶλλον προέσθαι τὸ νίκημα καὶ τὴν δόξαν, ἢ καταλιπεῖν ἀτάφους δύο τῶν πολιτῶν. πορθήσας δὲ τὴν παραλίαν τῆς Λακωνικῆς, καὶ τοὺς

pitaret, in nullius venit ille consortium cladis, verum a Chalcidensibus in Thracia Calliade & Xenophonte ducibus cæsi sunt. Ætolicum vulnus est imperatore acceptum Demosthene. Ad Delium mille cives amiserunt ductu Hippocratis. Pestis collata causa fere in Periclem est, quod turbam agrestem belli gratia in urbem contraxisset, atque ita ex loci mutatione & ratione vivendi insueta contracta esset lues. Omnibus his intactus Nicias permansit. Suis autem auspiciis Cythera cepit insulam, opportunissimam adversus Laconiam, qui ab Lacedæmoniis colebatur. Multa item in Thracia, quæ defecerant, recepit subegitque. Megarensibus oppido suo inclusis, confestim insula Minoa potitus est, brevique post hinc movens redegit Nisæam in ditionem. In fines Corinthiorum facta descensione, acie victor magnum eorum numerum cum prætore Lycophrone occidit. Ibi ille duos forte ex suis, dum sustollit cadavera, mortuos reliquit imprudens: quod ubi rescivit, inhibito statim cursu, caduceatorem misit ad hostes recuperandorum cadaverum causa: quamvis de more & usu qui per inducias cæsorum corpora petiissent, renuntiare viderentur victoriæ: neque legitimum erat ut id qui fecissent, erigerent trophæum. Quippe victores esse eos qui prævalerent, nec prævalere qui peterent quod capere non possent. Maluit tamen profundere ille lauream & decus, quam duos cives relinquere inhumatos. Depopulatus oram Laconiæ maritimam, fusis fugatisque qui arma

τοὺς ἀντιστάντας Λακεδαιμονίων τρεψάμενος, εἷλε Θυρέαν, Αἰγινητῶν ἐχόντων, καὶ τοὺς αἱρεθέντας ἀπήγαγε ζῶντας εἰς Ἀθήνας.

Ἐπεὶ δὲ Δημοσθένους Πύλον τειχίσαντος ἐπεστράτευσαν ἅμα πεζῷ καὶ ναυσὶ Πελοποννήσιοι, καὶ μάχης γενομένης, ἀπελείφθησαν ἐν τῇ Σφακτηρίᾳ νήσῳ Σπαρτιατῶν ἄνδρες ἀμφὶ τοὺς τετρακοσίους, μέγα μὲν, ὥσπερ ἦν, ἡγούμενοι τὸ λαβεῖν αὐτοὺς Ἀθηναῖοι, χαλεπῆς δὲ καὶ δυσέργου τῆς πολιορκίας οὔσης, ἐν χωρίοις ἀνύδροις, καὶ θέρους μὲν μακρὰν καὶ πολυτελῆ τὴν περιαγωγὴν τῶν ἐπιτηδείων ἐχούσης, σφαλερὰν δὲ χειμῶνος καὶ παντελῶς ἄπορον, ἤχθοντο, καὶ μετεμέλοντο πρεσβείαν Λακεδαιμονίων ἀπωσάμενοι περὶ σπονδῶν καὶ εἰρήνης ἀφικομένην πρὸς αὐτούς. ἀπεώσαντο δὲ Κλέωνος ἐναντιωθέντος, οὐχ ἥκιστα διὰ Νικίαν. ἐχθρὸς γὰρ ὢν αὐτοῦ, καὶ προθύμως ὁρῶν συμπράττοντα τοῖς Λακεδαιμονίοις, ἔπεισε τὸν δῆμον ἀποψηφίσασθαι τὰς σπονδάς. ὡς οὖν ἥ τε πολιορκία μῆκος ἐλάμβανε, καὶ δεινὰς ἀπορίας ἐπυνθάνοντο περιεστάναι τὸ στρατόπεδον, δι' ὀργῆς εἶχον τὸν Κλέωνα. τοῦ δ' εἰς τὸν Νικίαν ἐκτρέποντος τὴν αἰτίαν, καὶ κατηγοροῦντος ὅτι δειλίᾳ καὶ μαλακίᾳ προΐεται τοὺς ἄνδρας, ὡς αὐτοῦ γε στρατηγοῦντος, οὐκ ἂν περιγενομένους χρόνον τοσοῦτον, τοῖς Ἀθηναίοις εἰπεῖν παρέστη, τί δ' οὐχὶ καὶ νῦν αὐτὸς σὺ πλεῖς ἐπὶ τοὺς ἄνδρας; ὅ, τε Νικίας ἀναστὰς ἐξίστατο τῆς ἐπὶ Πύλον στρατηγίας αὐτῷ, καὶ λαμβάνειν ὁπόσην βούλεται δύναμιν ἐκέλευσε, καὶ μὴ θρασύνεσθαι λόγοις ἀκινδύνοις, ἀλλ' ἔργον τι τῇ πόλει παρασχεῖν ἄξιον σπουδῆς. ὁ δὲ τὸ μὲν πρῶτον ἀνεδύετο, τῷ μὴ προσδοκῆσαι τοῦτο θορυβούμενος·

arma contra tulerant Lacedæmoniis, Thyræam cepit, quam Æginetæ tenebant, captivosque attraxit Athenas.

Postquam munita a Demosthene Pylo, Peloponnesii eo cum terrestribus & maritimis copiis contendere, pugnaque commissa relicti sunt in insula Sphacteria Spartiatæ ad quadringentos; operæ pretium, id quod erat, Athenienses arbitrati sunt eos capere. Cæterum quod difficilis esset & ardua in locis sitientibus obsidio, quæ æstate longinquam haberet magnique sumptus circumvectionem necessariorum, hyeme vero etiam ancipitem & omnino impossibilem, angebantur, pænitebatque eos quod Lacedæmoniorum legatos, qui de fœdere & pace paciscenda venerant, repulissent; quos rejecerant repugnante potissimum Niciæ causa Cleone. Nam quia alieno erat in hunc animo, videbat autem enixe eum præsto esse Lacedæmoniis, obtinuit ad populum ut pax antiquaretur. Quum igitur obsidio traheretur, & magnis conflictari necessariorum difficultatibus exercitum audirent, Cleoni erant infensi. Quo detorquente in Niciam causam, insimulanteque timiditate ejus & mollitia elabi e manibus milites illos: si ipse præesset exercitui, non fuisse tamdiu restituros; extemplo subjecerunt Athenienses, Quin tu etiam nunc classe in illos pergis? Exsurgens autem Nicias cessit ei provincia expeditionis ad Pylum, jussitque quantum vellet copiarum sumeret, neque verbis ubi absit periculum insolesceret, sed rem memorabilem præstaret reipub. Ille primum re inopinata perculsus tergiversabatur:

μενος· ἐγκελευομένων δὲ ταῦτα τῶν Ἀθηναίων, καὶ τοῦ Νικίου καταβοῶντος, ἐξαρθεὶς καὶ ἀναφλεχθεὶς τὸ φιλότιμον, ὑπεδέξατό τε τὴν στρατηγίαν καὶ προσδιωρίσατο, πλεύσας, ἐντὸς ἡμερῶν εἴκοσιν ἢ κατακτενεῖν ἐκεῖ τοὺς ἄνδρας, ἢ ζῶντας ἄξειν Ἀθήναζε. τοῖς δ' Ἀθηναίοις ἐπῆλθε γελάσαι μέγα, μᾶλλον ἢ πιστεῦσαι. καὶ γὰρ ἄλλως εἰώθεσαν αὐτοῦ τὴν κουφότητα καὶ μανίαν φέρειν μετὰ παιδιᾶς οὐκ ἀηδῶς. λέγεται γὰρ, ἐκκλησίας ποτὲ οὔσης, τὸν μὲν δῆμον καθήμενον ἄνω περιμένειν πολὺν χρόνον, ὀψὲ δ' εἰσελθεῖν ἐκεῖνον ἐστεφανωμένον, καὶ παρακαλεῖν ὑπερθέσθαι τὴν ἐκκλησίαν εἰς αὔριον. Ἀσχολοῦμαι γὰρ, ἔφη, σήμερον, ἑστιᾷν μέλλων ξένους, καὶ τεθυκὼς τοῖς Θεοῖς. τοὺς δ' Ἀθηναίους γελάσαντας, ἀναστῆναι καὶ διαλῦσαι τὴν ἐκκλησίαν.

Οὐ μὴν ἀλλὰ καὶ τότε τύχῃ χρησάμενος ἀγαθῇ, καὶ στρατηγήσας ἄριστα μετὰ Δημοσθένους, ἐντὸς οὗ προεῖπε χρόνου, τῶν Σπαρτιατῶν ὅσοι μὴ κατὰ τὴν μάχην ἔπεσον, τὰ ὅπλα παραδόντας ἤνεγκεν αἰχμαλώτους. καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν. οὐ γὰρ ἀσπίδος ῥίψις, ἀλλ' αἴσχιόν τι καὶ χεῖρον ἐδόκει, τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως, καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμὰς, αὐτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν Ἀριστοφάνης, ἐν μὲν Ὄρνισιν οὕτω πως λέγων,

Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γέ πω
Ὥρ' ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾷν.

ἐν

tur: verum adhortante populo Atheniense, & Nicia ei obstrepente, excitatus incensusque ambitione suscepit imperium, adjecitque se intra vigesimum diem quam solvisset, aut hostes ibi oppressurum, aut vivos adducturum Athenas. Id dictum libuit populo ridere potius quam credere: quippe soliti erant alioquin hominis levitatem & insaniam pro ludicro non ingrate ferre. Siquidem ferunt eum quum populus in concione consi-dens diu eum expectasset, accessisse tandem coronatum atque orasse ut in diem posterum rejicerent concionem: Nam mihi, (inquit) non vacat hodie, quod sacrificio Diis facto hospitibus epulum præbiturus sum. Ita populum Atheniensem cum risu surrexisse ac concionem dimisisse.

At vero prospera fortuna tunc usus, bellum optime secundum Demosthenem gessit, ac intra illum quem præstituerat diem Spartiatas illos, quotquot non ceciderunt in prœlio, armis exutos captivos duxit Athenas. Id Niciæ magnam inussit infamiam. Neque enim clypei visa ea est abjectio, sed turpius quiddam & fœdius, quod provinciam timiditate ultro projecisset, atque inimico præbuisset abdicato sponte imperio tantæ rei perpetrandæ occasiones. Qua de re Aristophanes rursus in Avibus exagitat cum hisce verbis,

Non hercle tempus dormiendi scilicet
Nobis datur, nec Niciæ cunctatio.

In

ἐν δὲ Γεωργοῖς ταῦτα γράφων,

> Ἐθέλω γεωργεῖν. Εἶτα τίς σε κωλύει;
> Ὑμεῖς. ἐπεὶ δίδωμι χιλίας δραχμὰς,
> Ἐάν με τῶν ἀρχῶν ἀφῆτε. Δεχόμεθα.
> Δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

καὶ μέντοι καὶ τὴν πόλιν ἔβλαψεν οὐ μικρὰ, τῷ Κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως, ὑφ' ἧς βαρὺ φρόνημα καὶ θράσος ἐμπεσὸν ἀκάθεκτον, ἄλλας τε τῇ πόλει προσετρίψατο συμφορὰς, ὧν οὐχ ἥκιστα καὶ αὐτὸς ἀπέλαυσε, καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν, καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν, καὶ περισπάσας τὸ ἱμάτιον, καὶ τὸν μηρὸν πατάξας, καὶ δρόμῳ μετὰ τοῦ λέγειν ἅμα χρησάμενος, τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.

Ἤδη δέ που καὶ Ἀλκιβιάδης ἐνεφύετο τηνικαῦτα τοῖς Ἀθηναίοις δημαγωγὸς, οὐχ ὁμοίως ἄκρατος, ἀλλ' οἷον ἡ Αἰγυπτίων χώρα λέγεται δι' ἀρετὴν ἐκφέρειν ὁμοῦ

> Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ,

οὕτως ἡ Ἀλκιβιάδου φύσις ἐπ' ἀμφότερα πολλὴ ῥυεῖσα καὶ λαμπρὰ, μεγάλων ἐνέδωκεν ἀρχὰς νεωτερισμῶν. ὅθεν οὐδ' ἀπαλλαγεὶς τοῦ Κλέωνος ὁ Νικίας, καιρὸν ἔσχε παντάπασιν ἀναπαῦσαι καὶ καταστορέσαι τὴν πόλιν, ἀλλ' εἰς ὁδὸν τὰ πράγματα καταστήσας σωτήριον, ἐξέπεσε, ῥύμῃ καὶ σφοδρότητι

In Rusticis ita ait.

> *Munus colendi agrum volo. Quis impedit?*
> *Vos. Mille sed vobis dabo lubens drachmas,*
> *Me liberetis ut magistratu. placet:*
> *Bis mille erunt, quas Nicias dedit additis.*

Nec vero parum insuper civitati tulit incommodi, qui tantum permisit Cleoni gloriæ & opum accedere. Unde spiritibus magnis atque impotenti sumpta audacia, cum alias reipub. invexit calamitates, quarum in ipsum magna pars redundavit, tum decorum sustulit in suggestu, inter concionandum exclamavit primus, pallium aperuit, femur percussit, & cursu inter dicendum est usus, atque hinc ea quæ postea confudit totam rempub. licentia & honestatis contemptu eos qui publico operam dederunt imbuit.

Eadem tempestate concionator alius succrescebat Athenis Alcibiades non perinde immixtus, verum sicut Ægyptiorum tellus ubertate dicitur edere simul,

> *Pharmaca multa bonis multis permista maligna:*

ita in partem utramque exuberans Alcibiadis ingenium & excellens, ad res multas novas aperuit fenestram. Unde Cleone Nicias explicatus haudquaquam opportunitatem habuit componendæ & tranquillandæ civitatis. Sed quum in viam rempub. induxisset salutarem, impetu & vehementia Al-

δρότητι τῆς Ἀλκιβιάδου φιλοτιμίας αὖθις ἐξωσθεὶς εἰς τὸν πόλεμον. ἐπράχθη δὲ οὕτως. οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς Ἑλλάδος, Κλέων καὶ Βρασίδας ἦν, ὧν ὁ πόλεμος, τοῦ μὲν ἀπέκρυπτε τὴν κακίαν, τοῦ δὲ τὴν ἀρετὴν ἐκόσμει. τῷ μὲν γὰρ, ἀδικημάτων μεγάλων, τῷ δὲ, κατορθωμάτων ἀφορμὰς παρεῖχε. τούτων οὖν ἅμα πεσόντων ἐν μάχῃ μιᾷ περὶ Ἀμφίπολιν, εὐθὺς ὁ Νικίας παραλαβὼν τοὺς μὲν Σπαρτιάτας, ἔκπαλαι τῆς εἰρήνης ὀρεγομένους, τοὺς δ' Ἀθηναίους οὐκέτι τῷ πολέμῳ θαῤῥοῦντας, ἀμφοτέρους δ' οἷον ἐκλελυμένους καὶ παρακαθιέντας ἑκουσίως τὰς χεῖρας, ἔπραττεν ὅπως εἰς φιλίαν τὰς πόλεις συναγαγὼν, καὶ τοὺς ἄλλους Ἕλληνας ἀπαλλάξας κακῶν καὶ ἀναπαυσάμενος, βέβαιον οὕτω τὸ τῆς εὐτυχίας ὄνομα πρὸς τὸν αὖθις χρόνον ποιοῖτο. τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους, καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν. ἐπεὶ δὲ καὶ τῶν ἄλλων πολλοῖς ἐντυγχάνων ἰδίᾳ, καὶ διδάσκων, ἀμβλυτέρους ἐποίησε πρὸς τὸν πόλεμον, οὕτως ἤδη τοῖς Σπαρτιάταις ἐλπίδας ἐνδιδοὺς, προεκαλεῖτο καὶ προὔτρεπεν ἔχεσθαι τῆς εἰρήνης. οἱ δ' ἐπίστευον αὐτῷ, διά τε τὴν ἄλλην ἐπιείκειαν, καὶ ὅτι τοῖς ἡλωκόσι περὶ Πύλον καὶ δεδεμένοις, ἐπιμελόμενος καὶ περιέπων φιλανθρώπως, ἐλαφροτέραν ἐποίει τὴν ἀτυχίαν. ἦσαν οὖν πρότερον πεποιημένοι τινὰ πρὸς ἀλλήλους ἐκεχειρίαν ἐνιαύσιον, ἐν ᾗ συνιόντες εἰς ταυτὸ, καὶ γευόμενοι πάλιν ἀδείας καὶ σχολῆς, καὶ πρὸς ξένους καὶ οἰκείους ἐπιμιξίας, ἐπόθουν τὸν ἀμίαντον καὶ ἀπόλεμον βίον· ἡδέως μὲν ᾀδόντων τὰ τοιαῦτα χορῶν ἀκούοντες,

Κείσθω

Alcibiadis ambitionis est ea ejectus, atque iterum in bellum præcipitatus. Id ad hunc modum gestum est: Cleon & Brasidas erant præcipui qui pacem Græciæ distinerent: quorum bellum hujus ornabat virtutem, illius tegebat improbitatem. Quippe huic inclytarum rerum ansas gerendarum, illi ingentium scelerum suggerebat. Qui quum simul ambo uno in prœlio ad Amphipolim occubuissent, confestim Nicias, quod Spartiatas inveniret pacis jamdudum avidos, & non item animatos ad arma Athenienses, ambos autem fessos & manus ultro dimittentes, elaboravit ut reconciliaret duas has civitates, cæterosque Græcos malis liberaret & reficeret, atque ita stabiliret nomen in posterum fœlicitatis duraturum. Ac locupletum quidem majorumque natu, & agricolarum protinus habuit ad pacem propensam catervam, cæterorum plerosque privatim appellando monendoque reddidit ad bellum tardiores. Inde jam spe Lacedæmoniis præbita, ad quærendam adhortatus eos est & excitavit pacem. Qui fidem ei cum ob aliam ejus moderationem habuerunt, tum quod captorum ad Pylum & vinctorum curam agens fovensque eos elevasset calamitatem. Fecerant autem ante inter se annuas inducias, quibus inter se convenientes gustantesque iterum quam dulcis securitas, & otium hospitumque familiarium esset usus, vitam exoptabant incruentam ac quietam. Jam cupide choros audiebant hæc canentes,

Qui-

Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις.

ἡδέως δὲ μεμνημένοι τοῦ εἰπόντος, ὅτι τοὺς ἐν εἰρήνῃ καθεύδοντας οὐ σάλπιγγες ἀλλ' ἀλεκτρυόνες ἀφυπνίζουσι. λοιδοροῦντες οὖν καὶ προβαλλόμενοι τοὺς λέγοντας, ὡς τρὶς ἐννέα ἔτη διαπολεμηθῆναι πέπρωται τὸν πόλεμον, ἔπειθ' οὕτω περὶ παντὸς εἰς λόγους συμβάλλοντες, ἐποιήσαντο τὴν εἰρήνην. δόξα τε παρέστη τοῖς πλείστοις, ἀπαλλαγὴν κακῶν σαφῆ γεγονέναι, καὶ τὸν Νικίαν διὰ στόματος εἶχον, ὡς ἀνὴρ εἴη θεοφιλὴς, καὶ τὸ δαιμόνιον αὐτῷ δι' εὐσέβειαν ἐπωνύμῳ γενέσθαι τοῦ μεγίστου καὶ καλλίστου τῶν ἀγαθῶν δέδωκε. τῷ γὰρ ὄντι, Νικίου τὴν εἰρήνην ἐνόμιζον ἔργον, ὡς Περικλέους, τὸν πόλεμον. ὁ μὲν γὰρ ἐπ' αἰτίαις μικραῖς εἰς συμφορὰς μεγάλας ἐμβαλεῖν ἐδόκει τοὺς Ἕλληνας· ὁ δὲ τῶν μεγίστων κακῶν ἔπεισεν ἐκλαθέσθαι, φίλους γενομένους. διὸ καὶ τὴν εἰρήνην ἄχρι νῦν Νικίειον καλοῦσι.

Γενομένων δὲ συνθηκῶν, ὅπως τὰ χωρία καὶ τὰς πόλεις ἃς εἶχον ἀλλήλων, καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι, προτέρων ἀποδιδόντων τῶν κλήρῳ λαχόντων, ὠνήσατο τὸν κλῆρον ὁ Νικίας κρύφα χρήμασιν, ὥστε προτέρους ἀποδιδόναι τοὺς Λακεδαιμονίους. καὶ τοῦτο μὲν ἱστορεῖ Θεόφραστος. ἐπεὶ δὲ Κορίνθιοι καὶ Βοιωτοὶ πρὸς τὰ πραττόμενα δυσκολαίνοντες, αἰτίαις καὶ μέμψεσιν αὖθις ἐδόκουν ἀνακαλεῖσθαι τὸν πόλεμον, ἔπεισεν ὁ Νικίας τοὺς Ἀθηναίους καὶ Λακεδαιμονίους τῇ εἰρήνῃ τὴν συμμαχίαν, ὥσπερ κράτος ἢ δεσμὸν ἐπιθέντας, φοβερωτέρους τε τοῖς ἀφισταμένοις καὶ βεβαιοτέρους ἀλλήλοις γενέσθαι. πραττομένων δὲ τούτων, ὁ Ἀλκιβιάδης, οὔτε πρὸς ἡσυχίαν πεφυκὼς, καὶ τοῖς Λακε-

Quiescat hasta aranei telis revincta.

Meminerant etiam libenter hujus dicti, in pace sopitos non tubis, sed gallorum gallinaceorum excitari cantibus. Insectabantur autem & increpabant eos qui in fatis dicebant esse, ut ter novenos annos duraret bellum. Ita inde inter se omnibus de rebus colloquuti, pacem fecerunt. Ac sperabant plerique plane se e malis emersisse, habebantque in ore Niciam; quem dicebant virum Diis charum esse, illiusque religioni tribuisse Deos, ut traheret ab eo maximum & summum bonum nomen. Revera autem pacis existimabant Niciam autorem esse, ut Periclem belli. Siquidem hic levibus ex causis in magnas clades conjecisse Græciam videbatur: Nicias contra induxit eos, ut gravissimis obliteratis injuriis, redirent in gratiam. Unde pacem illam vocant etiamnum Niciеam.

Quia vero cautum in fœdere erat, ut præsidia & oppida quæ erant hinc inde occupata, & captivos redderent, utque sorte ducti redderent primi; sortem Nicias (ut tradit Theophrastus) clam pecunia redemit, primi ut restituerent Lacedæmonii. Quum jam Corinthios & Bœotios appareret, aversos ab his quæ agebantur, elaborare ut criminationibus & querimoniis bellum denuo exsuscitarent, permovit Athenienses & Lacedæmonios Nicias, paci pro nervis & vinculo ut adjicerent sociale fœdus, qua terribiliores descriscentibus & firmiores inter se efficerentur. Dum hæc aguntur, Alcibiades nec ad otium appositus, & infestus Lace-

Λακεδαιμονίοις ἀχθόμενος, ὅτι τῷ Νικίᾳ προσέκειντο καὶ προσεῖχον, αὐτὸν δ' ὑπερεώρων καὶ κατεφρόνουν, ἐν ἀρχῇ μὲν εὐθὺς ὑπεναντιωθεὶς τῇ εἰρήνῃ καὶ ἀντιστὰς οὐδὲν ἐπέραινεν· ὀλίγῳ δ' ὕστερον ὁρῶν οὐκ ἔτι τοῖς Ἀθηναίοις ὁμοίως ἀρέσκοντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἀδικεῖν δοκοῦντας, ὅτι Βοιωτοῖς ἔθεντο συμμαχίαν, καὶ Πάνακτον ἑστῶσαν οὐ παρέδωκαν, οὔτ' Ἀμφίπολιν, ἐπεφύετο ταῖς αἰτίαις καὶ παρώξυνε τὸν δῆμον ἐφ' ἑκάστῃ. τέλος δὲ, πρεσβείαν μεταπεμψάμενος Ἀργείων, ἔπραττε συμμαχίαν πρὸς τοὺς Ἀθηναίους. ἐπεὶ δὲ πρέσβεις ἐλθόντες ἐκ Λακεδαίμονος αὐτοκράτορες, καὶ τῇ βουλῇ προσεντυγχάνοντες, ἔδοξαν ἐπὶ πᾶσιν ἥκειν τοῖς δικαίοις, δείσας ὁ Ἀλκιβιάδης μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται, περιῆλθεν αὐτοὺς δι' ἀπάτης καὶ ὅρκων, ὡς ἅπαντα συμπράξων, ἂν μὴ φανῶσι μηδ' ὁμολογήσωσιν ἥκειν αὐτοκράτορες· μάλιστα γὰρ οὕτως ἃ βούλονται γενήσεσθαι. πεισθέντων δὲ, καὶ μεταστάντων ἀπὸ τοῦ Νικίου πρὸς ἐκεῖνον, ἐμβαλὼν αὐτοὺς εἰς τὸν δῆμον, ἠρώτα πρῶτον εἰ περὶ πάντων ἥκουσιν αὐτοκράτορες· ὡς δ' ἠρνοῦντο, παρ' ἐλπίδας μεταβαλλόμενος, τήν τε βουλὴν ἐπεκαλεῖτο μάρτυρα τῶν λόγων, καὶ τὸν δῆμον ἐκέλευε μὴ προσέχειν μηδὲ πιστεύειν οὕτω περιφανῶς ψευδομένοις, καὶ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία περὶ τῶν αὐτῶν λέγουσι. θορυβουμένων δ', ὡς εἰκὸς, αὐτῶν, καὶ τοῦ Νικίου μηδὲν ἔχοντος εἰπεῖν, ἀλλ' ἄχει καὶ θαύματι πεπληγότος, ὁ μὲν δῆμος εὐθὺς ὥρμητο τοὺς Ἀργείους καλεῖν καὶ ποιεῖσθαι συμμάχους· ἐβοήθησε δὲ τῷ Νικίᾳ σεισμός τις διὰ μέ-

σου

Lacedæmoniis, quod adhærerent & attenderent Niciæ, se vero despicerent contemnerentque, mox a primo fuerat adversatus & repugnaverat paci: verum nihil profecerat. Brevi post cernens non perinde jam satisfacere Atheniensibus Lacedæmonios, sed fecisse videri fraudem, quod societatem junxissent cum Bœotiis, nec Panactum integram tradidissent nec Amphipolim, has arripuit causas, inflammavitque ad singula populum. Tandem evocatis legatis Argivorum, sociare eos molitus est cum Atheniensibus. Ut vero legati Lacedæmoniorum cum libera potestate advenerunt, ac primo in curia auditi, mandata visi sunt æquissima habere; veritus Alcibiades ne eadem oratione in animum populi influerent, circumvenit eos fallacia & jurejurando, ostenditque se præsto ipsis futurum, si dissimularent & inficias irent liberam potestatem habere: ita enim quæ cuperent, facillime obtenturos. Quos ubi induxit, atque ad se ab Nicia traduxit, producens eos in concionem, quæsivit primo loco, haberentne solutam de omnibus potestatem. Quod quum negarent, præter expectationem eorum varians, curiam dictorum testem advocavit, monuitque populum, ne tam aperte mentientibus, & modo hoc, modo illud eadem de re dicentibus aures præberent vel fidem adhiberent. His non immerito attonitis, quum non haberet Nicias quid diceret, sed esset stupore & rei novitate defixus, instituit confestim populus Argivos accire, societatemque cum iis sancire. Verum terræmotus, qui interpella-

vit

σου γινόμενος, καὶ διαλύσας τὴν ἐκκλησίαν. τῇ δ' ὑστεραίᾳ πάλιν τοῦ δήμου συνελθόντος, πολλὰ ποιήσας καὶ εἰπών, ἔπεισε μόλις ἐπισχεῖν τὰ πρὸς Ἀργείους, αὐτὸν δὲ πέμψαι πρὸς Λακεδαιμονίους, ὡς πάντων καλῶς γενησομένων. ἐλθὼν δ' εἰς Σπάρτην, τἆλλα μὲν, ὡς ἀνὴρ ἀγαθὸς καὶ πρόθυμος εἰς αὐτοὺς, ἐτιμήθη, πράξας δ' οὐδὲν, ἀλλὰ κρατηθεὶς ὑπὸ τῶν βοιωτιαζόντων, ἐπανῆλθεν, οὐ μόνον ἀδοξῶν καὶ κακῶς ἀκούων, ἀλλὰ καὶ δεδιὼς τοὺς Ἀθηναίους, λυπουμένους καὶ ἀγανακτοῦντας ὅτι πεισθέντες ὑπ' ἐκείνου, τοσούτους καὶ τοιούτους ἄνδρας ἀπέδωκαν. οἱ γὰρ ἐκ Πύλου κομισθέντες, ἦσαν ἐξ οἴκων τε πρώτων τῆς Σπάρτης, καὶ φίλους καὶ συγγενεῖς τοὺς δυνατωτάτους ἔχοντες. οὐ μὴν ἔπραξάν τι τραχύτερον ὀργῇ πρὸς ἐκεῖνον, ἀλλὰ τὸν Ἀλκιβιάδην στρατηγὸν εἵλοντο, καὶ Μαντινεῖς καὶ Ἠλείους Λακεδαιμονίων ἀποστάντας, ἐποιήσαντο συμμάχους μετ' Ἀργείων, καὶ λῃστὰς εἰς Πύλον ἔπεμψαν, κακουργεῖν τὴν Λακωνικήν· ἐξ ὧν αὖθις εἰς πόλεμον κατέστησαν.

Ἀκμαζούσης δὲ τῆς πρὸς τὸν Νικίαν τοῦ Ἀλκιβιάδου διαφορᾶς, καὶ γιγνομένης ὀστρακοφορίας, ἣν εἰώθει διὰ χρόνου τινὸς ὁ δῆμος ποιεῖσθαι, ἕνα τῶν ὑπόπτων, ἢ διὰ δόξαν ἄλλως ἢ πλοῦτον ἐπιφθόνων τῷ ὀστράκῳ μεθιστὰς εἰς δέκα ἔτη, πολὺς θόρυβος ἀμφοτέρους περιΐστατο, καὶ κίνδυνος, ὡς θατέρου πάντως ὑποπεσουμένου τῷ ἐξοστρακισμῷ. τοῦ μὲν γὰρ Ἀλκιβιάδου καὶ τὸν βίον ἐβδελύττοντο, καὶ τὸ θράσος ὠρρώδουν, ὡς μᾶλλον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις δηλοῦται· τὸν δὲ Νικίαν ὅ, τε πλοῦτος ἐπίφθονον ἐποίει, καὶ μάλιστα τῆς διαίτης τὸ μὴ φιλάνθρωπον μηδὲ δημοτικὸν, ἀλλ' ἄμικτον,

καὶ

vit & disjecit concionem, opitulatus eſt Niciæ. Poſtridie populo iterum coacto, multa moliendo & dicendo, ægre obtinuit ut ſocietatem cum Argivis producerent, mitterentque ſe Lacedæmonem, omnia oſtendens ex ſententia conſore. Ut Spartam venit, cætera ut vir bonus atque ipſorum ſtudioſus, cultus eſt, ſed re infecta, quod ſuperatus eſſet a facientibus cum Bœotiis, reverſus eſt non modo turpis & infamis, verum etiam formidans offenſum & indignantem populum Athenienſem, quod autore ſe tot & tantos viros reddidiſſent. Quippe illi qui adducti Pylo fuerant, ex primis familiis erant Spartæ, amicoſque & neceſſarios habebant principes civitatis. Nihil tamen ob iram illam conſuluerunt in eum gravius, ſed prætorem deſignaverunt Alcibiadem, Mantineoſque & Eleos adverſus Lacedæmonios rebellantes, ſocios cum Argivis aſcivere, prædatoreſque Pylum ad incurſandam Laconiam miſerunt : unde recruduit bellum.

Porro flagrante Alcibiadis cum Nicia ſimultate, atque irrogatione inſtante exilii decennalis, quod ſolebat per intervalla infligere populus, & aliquem ſuſpectum, vel alias ex gloria aut divitiis invidioſum oſtraco in decennium exterminare ; ingens utrumque pavor periculumque occupaverat, quod alteri ipſorum omnino putarent exilium imminere. Quippe Alcibiadis execrabantur vitam, audaciam vero trepidabant, ut latius ſumus in hiſtoria illius exequuti : Niciæ autem opes invidiam conflabant, maxime mores nec humani nec populares, verum ut inſociales

Ee 2 &

καὶ ὀλιγαρχικὸν, ἀλλόκοτον ἐδόκει. πολλὰ δ' ἤδη ταῖς ἐπιθυμίαις αὐτῶν ἀντιτείνων παρὰ γνώμην, καὶ βιαζόμενος πρὸς τὸ συμφέρον, ἐπαχθὴς ἦν. ὡς δ' ἁπλῶς εἰπεῖν, νέων ἦν καὶ πολεμοποιῶν ἅμιλλα πρὸς εἰρηνοποιοὺς καὶ πρεσβυτέρους, τῶν μὲν εἰς τοῦτον, τῶν δ' εἰς ἐκεῖνον τὸ ὄστρακον τρεπόντων.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς.

ὥς που καὶ τότε διαστὰς ὁ δῆμος δίχα, χώραν ἔδωκε τοῖς ἰταμωτάτοις καὶ πανουργοτάτοις. ὧν ἦν καὶ Ὑπέρβολος ὁ Περιθοίδης, ἄνθρωπος ἀπ' οὐδεμιᾶς τολμῶν δυνάμεως, ἀλλ' ἀπὸ τοῦ τολμᾶν εἰς δύναμιν προελθὼν, καὶ γενόμενος δι' ἣν εἶχεν ἐν τῇ πόλει δόξαν, ἀδοξία τῆς πόλεως. οὗτος ἐν τῷ τότε χρόνῳ τοῦ μὲν ὀστράκου πόῤῥω τιθέμενος ἑαυτὸν, ἅτε δὴ τῷ κύφωνι μᾶλλον προσήκων, ἐλπίζων δὲ θατέρου τῶν ἀνδρῶν ἐκπεσόντος, αὐτὸς ἀντίπαλος τῷ λειπομένῳ γενέσθαι, καταφανὴς ἦν ἡδόμενός τε τῇ διαφορᾷ, καὶ παροξύνων τὸν δῆμον ἐπ' ἀμφοτέρους. συνιδόντες οὖν τὴν μοχθηρίαν οἱ περὶ τὸν Νικίαν καὶ τὸν Ἀλκιβιάδην, καὶ λόγον δόντες ἀλλήλοις κρύφα, καὶ τὰς στάσεις συναγαγόντες εἰς ἓν ἀμφοτέρας καὶ ἀναμίξαντες, ἐκράτησαν ὥστε μηδέτερον αὐτῶν, ἀλλὰ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι. καὶ παραυτίκα μὲν ἡδονὴν τοῦτο καὶ γέλωτα τῷ δήμῳ παρέσχεν, ὕστερον δὲ ἠγανάκτουν, ὡς καθυβρισμένον τὸ πρᾶγμα τοῦτο πρὸς ἄνθρωπον ἀνάξιον γεγονέναι νομίζοντες. εἶναι γάρ τι κολάσεως ἀξίωμα, μᾶλλον δὲ κόλασιν τὸν ἐξοστρακισμὸν ἡγούμενοι Θουκυδίδῃ καὶ Ἀριστείδῃ, καὶ τοῖς ὁμοίοις, Ὑπερβόλῳ

δὲ

& a plebe alieni, importuni videbantur. Et quia magnopere jam contra eorum sententiam reluctatus ipsorum libidini fuerat, ipsosque ad id quod in rem foret adegerat, erat odiosus. Ut uno verbo dicam, juvenum erat & bellandi cupidorum adversus pacis studiosos & seniores certamen: atque hi exilium in hunc, illi detorquebant in illum. At

Dissidio in populi capit & sceleratus honorem.

Siquidem distracta & tunc in duas civitas factiones, dedit audacissimis & versutissimis locum: in quibus Hyperbolus erat Perithœdes, homo ex nullis audaciam sumens opibus, sed ex audacia ad opes promotus, factusque eo quem habebat in civitate honorem, ignominia civitatis. Hic remotum se id temporis ratus ab exilii timore, (nempe potius ad furcam pertinebat) quum exspectaret altero illorum civitate exacto, parem se fore manenti, demonstrabat aperte gaudere eorum dissidio se, stimulabatque in eos populum. Cujus animadversa Nicias & Alcibiades nequitia, in secreto colloquuti inter se, utramque factionem confuderunt in unum: itaque effecerunt ut neuter ipsorum, sed Hyperbolus in decennium expelleretur. Atque id in præsentia quidem jocum & risum excitavit in populo: postmodum vero tulerunt moleste, quod eam rem per hominem fœdatam arbitrarentur indignum. Esse enim aliquam & hujus dignitatem pœnæ. Immo vero pœnam ducebant decennale exilium Thucydidi, Aristidi, & similibus esse: Hyperbolo

vero

δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας, εἰ διὰ μοχθηρίαν ταυτὰ ἔπαθε τοῖς ἀρίστοις. ὥς που καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ,

Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια,
Αὐτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια.
Οὐ γὰρ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.

καὶ τὸ πέρας, οὐδεὶς ἔτι τὸ παράπαν ἐξωστρακίσθη μετὰ Ὑπέρβολον, ἀλλ' ἔσχατος ἐκεῖνος· πρῶτος δ', Ἵππαρχος ὁ Χολαργεὺς, συγγενής τις ὢν τοῦ τυράννου. ἄκριτον δ' ἡ τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ. Νικίας γὰρ, εἰ τὸν περὶ ὀστράκου κίνδυνον ἀνέρριψε πρὸς τὸν Ἀλκιβιάδην, ἢ κρατήσας ἂν ἀσφαλῶς ᾤκει τὴν πόλιν ἐκεῖνον ἐξελάσας, ἢ κρατηθεὶς αὐτὸς ἐξῄει, πρὸ τῶν ἐσχάτων ἀτυχιῶν τὸ δοκεῖν ἄριστος εἶναι στρατηγὸς διαφυλάξας. οὐκ ἀγνοῶ δ' ὅτι Θεόφραστος ἐξοστρακισθῆναί φησι τὸν Ὑπέρβολον, Φαίακος οὐ Νικίου πρὸς Ἀλκιβιάδην ἐρίσαντος. ἀλλ' οἱ πλείονες οὕτω γεγράφασιν.

Ὁ γοῦν Νικίας, τῶν Αἰγεστέων πρέσβεων καὶ Λεοντίνων παραγενομένων, καὶ πειθόντων τοὺς Ἀθηναίους στρατεύειν ἐπὶ Σικελίαν, ἀνθιστάμενος ἡττᾶτο τῆς βουλῆς Ἀλκιβιάδου καὶ φιλοτιμίας, πρὶν ὅλως ἐκκλησίαν γενέσθαι, κατασχόντος ἤδη πλῆθος ἐλπίσι καὶ λόγοις προδιεφθαρμένον· ὥστε καὶ νέους ἐν παλαίστραις, καὶ γέροντας ἐν ἐργαστηρίοις καὶ ἡμικυκλίοις συγκαθεζομένους, ὑπογράφειν τὸ σχῆμα τῆς Σικελίας, καὶ τὴν φύσιν τῆς περὶ αὐτὴν θαλάσσης, καὶ λιμένας καὶ τόπους οἷς τέτραπται πρὸς Λιβύην ἡ νῆσος. οὐ γὰρ ἆθλον ἐποιοῦντο τοῦ πο-

vero honorem atque occasionem jactantiæ, quod esset ob improbitatem similiter atque summi viri mulctatus: ut de eo Plato comicus quodam loco dixit,

Quamvis quidem sit moribus dignum malis
Passus, tamen non digna se & notis suis.
Nam non repertum istius est causa ostracum.

Tandem post Hyperbolum nemo omnino, sed postremus ille hoc exilii genere est punitus. Primus fuit Hipparchus Cholargensis, propinquus tyranni. Incerta vero res fortuna est, neque ratione comprehensibilis. Nicias enim, si de exilio aleam jecisset contra Alcibiadem, vel victor securus illo expulso in urbe mansisset, vel victus ipse extremas clades exilio declinasset, atque existimationem retinuisset optimi ducis. Non me præterit a Theophrasto narrari actum quidem in exilium Hyperbolum, Phæaco autem non Nicia cum Alcibiade concertante: verum major pars ita autores sunt.

Nicias igitur, quum Ægesteorum & Leontinorum legati advenissent, atque Athenienses impellerent ad suscipiendam expeditionem in Siciliam, refragatus est his, sed ab Alcibiadis consiliis & ambitione victus est. Qui etiam ante indictum populi concilium, tenebat jam plebem spe & sermonibus suis corruptam: ut & in palæstris juventus, & senes in officinis hemicyclisque considentes, figuram Siciliæ, maris circumjecti naturam, portus, & loca, quæ obversa Africæ illa habet insula, definirent. Neque enim belli præmium sta-

πολέμου Σικελίαν, ἀλλ' ὁρμητήριον, ὡς ἀπ' αὐτῆς διαγωνισόμενοι πρὸς Καρχηδονίους, καὶ σχήσοντες ἅμα Λιβύην καὶ τὴν ἐντὸς Ἡρακλείων στηλῶν θάλασσαν. ὡς οὖν ὥρμηντο πρὸς ταῦτα, ὁ Νικίας ἐναντιούμενος οὔτε πολλοὺς οὔτε δυνατοὺς εἶχε συναγωνιστάς. οἱ γὰρ εὔποροι, δεδιότες μὴ δοκῶσι τὰς λειτουργίας καὶ τριηραρχίας ἀποδιδράσκειν, παρὰ γνώμην ἡσύχαζον. ὁ δ' οὐκ ἔκαμνεν οὐδ' ἀπηγόρευεν, ἀλλὰ μετὰ τὸ ψηφίσασθαι τὸν πόλεμον Ἀθηναίους, καὶ στρατηγὸν ἑλέσθαι πρῶτον ἐκεῖνον μετ' Ἀλκιβιάδου καὶ Λαμάχου, πάλιν ἐκκλησίας γενομένης, ἀναστὰς ἀπέτρεπε καὶ διεμαρτύρετο· καὶ τελευτῶν διέβαλλε τὸν Ἀλκιβιάδην, ἰδίων ἕνεκα κερδῶν καὶ φιλοτιμίας τὴν πόλιν εἰς χαλεπὸν ἐξωθεῖν καὶ διαπόντιον κίνδυνον. ἔπραξε δ' οὐδὲν μᾶλλον, ἀλλ' ὑπὸ ἐμπειρίας δόξας ἐπιτηδειότερος εἶναι καὶ πολλὴν ἀσφάλειαν ἕξειν, πρὸς τὴν Ἀλκιβιάδου τόλμαν καὶ τὴν Λαμάχου πρᾳότητα τῆς ἐκείνου συγκεραννυμένης εὐλαβείας, βεβαιοτέραν ἐποίησε τὴν χειροτονίαν. ἀναστὰς γὰρ ὁ μάλιστα τῶν δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων τοὺς Ἀθηναίους Δημόστρατος, ἔφη τὸν Νικίαν προφάσεις λέγοντα παύσειν· καὶ ψήφισμα γράψας ὅπως αὐτοκράτορες ὦσιν οἱ στρατηγοὶ, κἀνταῦθα κἀκεῖ βουλευόμενοι καὶ πράττοντες, ἔπεισε τὸν δῆμον ψηφίσασθαι.

Καίτοι λέγεται πολλὰ καὶ παρὰ τῶν ἱερέων ἐναντιοῦσθαι πρὸς τὴν στρατείαν· ἀλλ' ἑτέρους ἔχων μάντεις ὁ Ἀλκιβιάδης ἐκ δή τινων λογίων προὔφερε παλαιῶν, μέγα κλέος τῶν Ἀθηναίων ἀπὸ Σικελίας ἔσεσθαι· καὶ θεοπρόποι τινὲς αὐτῷ παρ' Ἄμμωνος ἀφίκοντο, χρησμὸν κομίζοντες ὡς λήψονται Συρα-

κουσίους

ſtatuebant, ſed ſedem Siciliam, ex qua arma Pœnis moturi, ſimulque Africam & mare eſſent uſque ad columnas Herculis occupaturi. Eo quum intenti eſſent, Nicias, qui adverſus tendebat, neque multos habebat neque pollentes ſuffragatores; quando pecunioſi metu ne munera & impenſam in triremes viderentur defugere, præter animi ſententiam quieſcebant: hic vero non defatigabatur neque fatiſcebat. Verum poſtquam populus bellum juſſit, ac primum ipſum ducem creavit cum Alcibiade & Lamacho, in alia concione a cœptis eos teſtato deterruit. Alcibiadi denique exprobravit privati quæſtus & ambitionis cauſa in grave conjicere eum civitatem & tranſmarinum bellum. At nihil profecit. Immo quod ob peritiam haberetur accommodatior, magnamque præbiturus ſecuritatem, cum Alcibiadis audacia & Lamachi lenitate illius commiſta cautione, magis roboravit ſuffragia. Exſurgens enim, qui præcipue ex concionatoribus populum ad bellum incendebat, Demoſtratus, Niciam ait ſe cauſantem repreſſurum, promulgavitque edictum, ut duces belli domique liberam & in conſiliis capiundis & rebus gerendis poteſtatem haberent, atque eam legem pertulit.

Atqui multa dira etiam a ſacerdotibus adverſus ſuſceptam expeditionem memorantur obnuntiata. Sed alios habuit Alcibiades vates, atque ex vetuſtis quibuſdam vaticiniis magnum decus prænuntiavit Athenienſes ex Sicilia deportaturos. Legati ab Jove Ammone reverſi fuerant cum ſortibus, quibus ſignificabatur capiendos ab Athenienſibus omnes

ἱκεσίους ἅπαντας Ἀθηναῖοι. τὰ δ' ἐναντία, φοβούμενοι δυσφημεῖν, ἔκρυπτον. οὐδὲ γὰρ τὰ πρόπτα καὶ καταφανῆ τῶν σημείων ἀπέτρεπε· ἥ τε τῶν Ἑρμῶν περικοπὴ, μιᾷ νυκτὶ πάντων ἀκρωτηριασθέντων, πλὴν ἑνὸς ὃν Ἀνδοκίδου καλοῦσιν, ἀνάθημα μὲν τῆς Αἰγηΐδος φυλῆς, κείμενον δὲ πρὸ τῆς τότε οὔσης Ἀνδοκίδου οἰκίας· καὶ τὸ πραχθὲν περὶ τὸν βωμὸν τῶν δώδεκα Θεῶν. ἄνθρωπος γάρ τις ἐξαίφνης ἀναπηδήσας ἐπ' αὐτὸν, εἶτα περιβὰς ἀπέκοψεν αὐτοῦ λίθῳ τὸ αἰδοῖον. ἐν δὲ Δελφοῖς παλλάδιον ἕστηκε χρυσοῦν, ἐπὶ φοίνικος χαλκοῦ βεβηκὸς, ἀνάθημα τῆς πόλεως ἀπὸ τῶν Μηδικῶν ἀριστείων. τοῦτ' ἔκοπτον ἐφ' ἡμέρας πολλὰς προσπετόμενοι κόρακες, καὶ τὸν καρπὸν ὄντα χρυσοῦν τοῦ φοίνικος ἀπέτρωγον καὶ κατέβαλλον. οἱ δὲ ταῦτα μὲν ἔφασαν εἶναι Δελφῶν πλάσματα πεπεισμένων ὑπὸ Συρακουσίων. χρησμοῦ δέ τινος κελεύοντος αὐτοὺς ἐκ Κλαζομενῶν τὴν ἱέρειαν τῆς Ἀθηνᾶς ἄγειν, μετεπέμψατο τὴν ἄνθρωπον· ἐκαλεῖτο δὲ Ἡσυχία. καὶ τοῦτο ἦν, ὡς ἔοικεν, ὃ παρῄνει τῇ πόλει τὸ δαιμόνιον, ἐν τῷ παρόντι τὴν ἡσυχίαν ἄγειν. εἴτε δὴ ταῦτα δείσας, εἴτ' ἀνθρωπίνῳ λογισμῷ τὴν στρατείαν φοβηθεὶς ὁ ἀστρολόγος Μέτων, (ἦν γὰρ ἐφ' ἡγεμονίας τινὸς τεταγμένος) προσεποιεῖτο τὴν οἰκίαν ὑφάπτειν, ὡς μεμηνώς. οἱ δέ φασιν, οὐ μανίαν σκηψάμενον, ἀλλὰ νύκτωρ ἐμπρήσαντα τὴν οἰκίαν, προσελθεῖν εἰς τὴν ἀγορὰν ταπεινὸν, καὶ δεῖσθαι τῶν πολιτῶν ὅπως ἐπὶ συμφορᾷ τοσαύτῃ τὸν υἱὸν αὐτοῦ μέλλοντα πλεῖν τριήραρχον εἰς Σικελίαν, ἀφῶσι τῆς στρατείας. Σωκράτει δὲ τῷ σοφῷ τὸ δαιμόνιον, οἷς εἰώθει συμβόλοις χρησάμενον πρὸς αὐτὸν, ἐμήνυσε κἀκεῖνα, τὸν ἔκπλουν ἐπ' ὀλέθρῳ τῆς πόλεως πραττόμενον.

nes Syracuſanos. Adverſa vero verentes male ominari occulebant. Neque enim clara & perſpicua prodigia revocabant eos, nec ſtatuarum, quas Hermas vocant, laceratio omnium eadem nocte truncatarum, una dempta, quam Andocidis vocabant, a tribu poſita Ægeide pro domo quæ tunc Andocidis erat; nec quod patratum fuerat in duodecim Deorum ara. Quidam repente in eam inſiliit. Inde inſidens ei cruribus utrinque demiſſis deſecuit lapide pudenda ſua. Delphis aureum Minervæ ſignum in palma poſitum ænea erat, a civitate Athenienſe de manubiis Medicis ſacratum. Hoc per multos dies involantes corvi totonderunt, fructumque palmæ aureum abroſerunt dejeceruntque. At Athenienſes commenta hæc Delphorum dictitabant eſſe a Syracuſanis corruptorum. Erat etiam oraculum, quod Minervæ ſacerdotem adduci ex Clazomenis Athenas præcipiebat, quam acciverunt: (ea Heſychia, id eſt, quies vocabatur) atque id haud dubie fuit, quod civitatem admonuit Deus in præſentia, ut quietem ageret. Sive igitur hoc veritus eſt, ſive humana reputatione hoc bellum horruit aſtrologus Meton, qui præfecturam certam habebat, finxit inſaniam, ac domui ſuæ ignem ſubjecit. Alii negant prætexuiſſe eum inſaniam, ſed, quum noctu domum inflammaſſet, progreſſum in forum ſordidatum contendiſſe a civibus, ut ſibi tanta icto calamitate filium, qui navigaturus trierarchus in Siciliam erat, ſacramento ſolverent. Socrati vero illi ſapienti dæmonium ejus ſolitis ſignis iſtud quoque indicavit, expeditionem illam in peſtem reipub. verſu-

ὅπλα καὶ τὰς τριήρεις, εἶτ' ἀποπλεῖν Ἀθήναζε, μικρὸν τῆς δυνάμεως Αἰγεστεῦσιν ἀπαρξαμένοις, αὐτίκα τε τὴν γνώμην ἐπεξέλυσε, καὶ κατέβαλε τὸ φρόνημα τῶν ἀνδρῶν. καὶ μετ' ὀλίγον χρόνον Ἀλκιβιάδην Ἀθηναίων μεταπεμψαμένων εἰς κρίσιν, λόγῳ μὲν ἀποδειχθεὶς δεύτερος ἡγεμὼν, δυνάμει δὲ μόνος ὢν, οὐκ ἐπαύσατο καθήμενος, ἢ περιπλέων, ἢ βουλευόμενος, πρὶν ἐγγηρᾶσαι μὲν αὐτῷ τὴν ἀκμὴν τῆς ἐλπίδος, ἐκρυῆναι δὲ τῶν πολεμίων τὸ θάμβος καὶ τὸν φόβον, ὃν ἡ πρώτη παρέθηκεν αὐτοῖς ὄψις τῶν δυνάμεων. ἔτι δὲ τοῦ Ἀλκιβιάδου παρόντος, ἑξήκοντα ναυσὶ πλεύσαντες ἐπὶ Συρακούσας, τὰς μὲν ἄλλας ἀνεῖχον, ὑπὲρ τοῦ λιμένος ἔξω παρατάξαντες, δέκα δὲ κατήλαυνον εἴσω κατασκοπῆς ἕνεκα· καὶ Λεοντίνους ἐπὶ τὴν οἰκείαν ἀποκαλοῦσαι διὰ κήρυκος αὗται, λαμβάνουσι ναῦν πολεμίαν σανίδας κομίζουσαν, εἰς ἃς ἀπεγράφοντο κατὰ φυλὰς αὐτοὺς οἱ Συρακούσιοι. κείμεναι δ' ἄπωθεν τῆς πόλεως ἐν ἱερῷ Διὸς Ὀλυμπίου, τότε πρὸς ἐξέτασιν καὶ κατάλογον τῶν ἐν ἡλικίᾳ μετεπέμφθησαν. ὡς οὖν ὑπὸ τῶν Ἀθηναίων ἁλοῦσαι πρὸς τοὺς στρατηγοὺς ἐκομίσθησαν, καὶ τὸ πλῆθος ὤφθη τῶν ὀνομάτων, ἠχθέσθησαν οἱ μάντεις, μήποτε ἄρα τὸ χρεὼν ἐνταῦθα τοῦ χρησμοῦ περαίνοι λέγοντες ὡς ΑΘΗΝΑΙΟΙ ΛΗΨΟΝΤΑΙ ΣΥΡΑΚΟΥΣΙΟΥΣ ΑΠΑΝΤΑΣ. οὐ μὴν ἀλλ' ἕτερον φασὶν ἔργον τοῦτο τοῖς Ἀθηναίοις γενέσθαι ἐπιτελές, καθ' ὃν χρόνον ἀποκτείνας Δίωνα Κάλλιππος ὁ Ἀθηναῖος ἔσχε Συρακούσας.

Ἀποπλεύσαντος δὲ τοῦ Ἀλκιβιάδου μετ' ὀλίγων ἐκ Σικελίας, τὸ πᾶν ἤδη κράτος ὁ Νικίας ἔσχεν. ὁ δὲ Λάμαχος ἦν μὲν ἀνδρώδης καὶ δίκαιος ἀνὴρ,

relicto Ægestensibus aliquo de militibus suis præsidio, tanquam gustatione virium suarum iis præbita, reciperent se Athenas, cum in præsentia illorum consilia pervertit & fregit animos, tum brevi post Alcibiade ab Atheniensibus ad judicium revocato, verbo declaratus alter dux, autoritate vero solus, nullum finem fecit cunctandi & circumnavigandi & deliberandi: donec vigor ei spei consenuit, trepidatioque & pavor, quem incusserat primus copiarum aspectus, hostibus excidit. Alcibiade adhuc præsente navibus sexaginta in Syracusanos movere, cæteras sustinuerunt pro portu in acie instructas. Decem speculandi causa in portum irruperunt, Leontinosque per præconem ad redeundum domum evocavere. Ceperunt hæ navem hostilem. Ea portabat tabellas, in quas nomina sua Syracusani tributim perscripserant. Hæ procul urbe in æde Jovis Olympii fuerant depositæ: tunc autem ad conquisitionem & delectum eorum qui in ætate essent ad bellum integra deportabantur. Quæ ut captæ ab Atheniensibus & ad duces sunt delatæ, atque ingens numerus conspectus est nominum, torsit res vates, ne forte fatum hic impletum esset oraculi, quod dicebat, ATHENIENSES CAPIENT OMNES SYRACUSANOS. Verum enimvero alio id actu aiunt consummatum Atheniensibus fuisse, quo tempore Callippus Atheniensis, postquam interfecit Dionem, tenuit Syracusas.

Ut decessit ex Sicilia cum paucis Alcibiades, autoritas jam penes Niciam omnis erat. Lamachus erat quidem vir fortis integerque,

πανστρατιᾷ παρηγγελμένοι· τῶν δ' Ἀθηναίων ἐν τῇ πόλει τὰ πλεῖστα διατριβόντων, ἐγνωκέναι τοὺς Συρακουσίων φίλους, ὅταν ἐκείνους προσιόντας αἴσθωνται, τάς τε πύλας καταλαμβάνειν ἅμα, καὶ τὸν ναύσταθμον ὑποπιμπράναι· πολλοὺς δὲ εἶναι τοὺς συνεστῶτας ἤδη, καὶ τὴν ἐκείνων περιμένοντας ἄφιξιν. τοῦτ' ἄριστα Νικίας ἐστρατήγησε περὶ Σικελίαν. πανστρατιᾷ γὰρ ἐξαγαγὼν τοὺς πολεμίους, καὶ τὴν πόλιν ὁμοῦ τι ποιήσας ἔρημον ἀνδρῶν, αὐτὸς ἐκ Κατάνης ἀναχθεὶς, τῶν τε λιμένων ἐκράτησε, καὶ τῷ στρατοπέδῳ κατέλαβε χώραν, ὅθεν ἥκιστα βλαπτόμενος οἷς λείπεσθαι τῶν πολεμίων, ἤλπιζεν ἐξ ὧν ἐθάρρει πολεμήσειν ἀκωλύτως. ἐπεὶ δ' ἀναστρέψαντες ἐκ Κατάνης οἱ Συρακούσιοι, παρετάξαντο πρὸ τῆς πόλεως, ἐπαγαγὼν ταχὺ τοὺς Ἀθηναίους ἐκράτησε. καὶ πολλοὺς μὲν οὐκ ἀπέκτεινε τῶν πολεμίων· οἱ γὰρ ἱππεῖς ἐμποδὼν ἐγένοντο τῇ διώξει· τοῦ δὲ ποταμοῦ διαφθείρων καὶ ἀποκόπτων τὰς γεφύρας, παρέσχεν Ἑρμοκράτει λέγειν παραθαρρύνοντι τοὺς Συρακουσίους, ὅτι γελοῖός ἐστιν ὁ Νικίας ὅπως οὐ μαχεῖται στρατηγῶν, ὥσπερ οὐκ ἐπὶ μάχῃ πεπλευκώς. οὐ μὴν ἀλλὰ φόβον τε καὶ κατάπληξιν ἰσχυρὰν ἐνειργάσατο τοῖς Συρακουσίοις, ὥστ' ἀντὶ τῶν ὄντων τότε πεντεκαίδεκα στρατηγῶν ἑτέρους ἑλέσθαι τρεῖς, οἷς πίστιν ἔδωκεν ὁ δῆμος δι' ὅρκων, ἦ μὴν ἐάσειν ἄρχειν αὐτοκράτορας. τοῦ δ' Ὀλυμπίου πλησίον ὄντος, ὥρμησαν οἱ Ἀθηναῖοι καταλαβεῖν, πολλῶν ὄντων ἐν αὐτῷ χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων. ὁ δὲ Νικίας ἐπίτηδες ἀναβαλλόμενος ὑστέρησε, καὶ περιεῖδε φρουρὰν εἰσελθοῦσαν παρὰ τῶν Συρακουσίων, ἡγούμενος, ἐὰν τὰ χρήματα διαρπάσωσιν οἱ στρατιῶται, τὸ μὲν

κοι-

omnibus copiis adessent; & quia agerent fere Athenienses in oppido, statuisse Syracusanorum amicos, ubi adventum eorum intellexissent, simul portas occupare & classem incendere. Multos jam conspirasse, atque illorum operiri accessum. Id unum ille in Sicilia recte gessit: quippe vires omnes elicuit hostium, desolataque pene viris urbe solvit ex Catana, potitusque est portubus & locum cepit castris, ubi hostes, quibus rebus præstabant, nihil ei poterant incommodare: quibus autem superior erat ipse, his pressurum se speravit citra impedimentum illos. Postquam regressi a Catana Syracusani aciem pro portis instruxerunt, adortus cum Atheniensibus eos Nicias victoriam retulit: ex hostibus tamen magnum numerum non interfecit, quod instare fugientibus prohiberetur ab equitatu. At dum pontes fluminis rumpit & rescindit, materiam præbuit Hermocrati jactandi ad confirmandos Syracusanos, ridiculum Niciam esse, qui id ageret ne pugnaret, quasi non ad dimicandum appulisset. Verumtamen ingentem pavorem & trepidationem incussit Syracusanis, ut loco quindecim prætorum, quos tunc habebant, tres designarent alios, quibus populus jurejurando promisit imperium se ipsis permissurum liberum. Propinquum erat Jovis Olympii fanum, quod capere, quia multa ibi dona aurea & argentea erant, cupiebant Athenienses. Cæterum rem Nicias de industria rejiciens, tempore exclusus est, permisitque eo præsidium Syracusanorum ingredi, existimans, si direptæ a militibus illæ opes essent,

æra-

κοινὸν οὐκ ὠφεληθήσεσθαι, τὴν δ' αἰτίαν αὐτὸς ἕξειν τοῦ ἀσεβήματος. τῇ δὲ νίκῃ περιβοήτῳ γενομένῃ χρησάμενος εἰς οὐδέν, ὀλίγων ἡμερῶν διαγενομένων, αὖθις ἀνεχώρησεν εἰς Νάξον, κἀκεῖ διεχείμασε, πολλὰ μὲν ἀναλίσκων στρατιᾷ τοσαύτῃ, πράττων δὲ μικρὰ πρὸς Σικελούς τινας, ἀφισταμένους πρὸς αὐτόν· ὥστε τοὺς Συρακουσίους αὖθις ἀναθαρρήσαντας ἐξελάσαι πρὸς Κατάνην, καὶ τήν τε χώραν τεμεῖν καὶ τὸ στρατόπεδον κατακαῦσαι τῶν Ἀθηναίων. ἃ δὴ πάντες ᾐτιῶντο τὸν Νικίαν, ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν, καὶ φυλάττεσθαι, τὸν τῶν πράξεων ἀπολλύντα καιρόν· ἐπεὶ τάς γε πράξεις οὐδεὶς ἂν ἐμέμψατο τοῦ ἀνδρός. ὁρμῆσαι γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος, τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος.

Ὡς δ' οὖν ἐκίνησε τὴν στρατιὰν πάλιν ἐπὶ τὰς Συρακούσας, οὕτως ἐστρατήγησε, καὶ μετὰ τοσαύτης ὀξύτητος ἅμα καὶ ἀσφαλείας ἐπῆλθεν, ὥστε λαθεῖν μὲν εἰς Θάψον ταῖς ναυσὶ προσμίξας καὶ ἀποβάς, φθάσαι δὲ τὰς Ἐπιπολὰς καταλαβών· τῶν δὲ προσβοηθούντων λογάδων κρατήσας, ἑλεῖν μὲν τριακοσίους, τρέψασθαι δὲ καὶ τὴν ἵππον τῶν πολεμίων, ἄμαχον εἶναι δοκοῦσαν. ὃ δὲ μάλιστα πάντων καὶ Σικελιώτας ἐξέπληξε, καὶ τοῖς Ἕλλησιν ἀπιστίαν παρέσχεν, ὀλίγῳ χρόνῳ περιετείχισε Συρακούσας, πόλιν Ἀθηνῶν οὐκ ἐλάττονα, δυσεργοτέραν δὲ χωρίων ἀνωμαλίαις, καὶ θαλάσσῃ γειτνιώσῃ, καὶ παρακειμένοις ἕλεσι, τεῖχος κύκλῳ περὶ αὐτὴν τοσοῦτον ἀγαγεῖν. ἀλλὰ τοῦτ' ἐξεργάσασθαι μικρὸν ἐδέησε τοῦ παντός, ἄνθρωπος οὐδ' ὑγιαίνοντι χρώμενος ἑαυ-

τῷ

ærarium nihilo locupletius fore, infamiam vero violati fani in ſe redundaturam. Nobili autem illa victoria nihil uſus, paucis interpoſitis diebus, recepit ſe illico Naxum, ubi hybernavit, ſumptuſque fecit cum tanto exercitu ingentes, quum res gereret haud magni momenti cum nonnullis Siculis, qui ad eum deficiebant. Unde Syracuſani recepto rurſus animo excurrerunt Catanam, fineſque vaſtaverunt, & caſtra Athenienſium incenderunt: quorum conferebant omnes in Niciam culpam, quod in conſultando, morando, & cavendo tempus rerum gerendarum corrumperet. Nam in rebus gerendis nemo eum culpet: quippe in ipſo impetu rei gerendæ impiger & ſtrenuus, verum ad audendum cunctator erat & timidus.

Ut igitur iterum cum exercitu movit Syracuſas, tam duxit ſcienter, tamque velociter & circumſpecte ſe hoſtibus ſuperfudit, nemo ut animadverterit ejus ad Thapſum appulſum vel exſcenſionem, præverterit etiam occupare Epipolas: delectos milites, qui occurrerunt ei, fuderit, cœperit trecentos, & hoſtium quoque invictum antea habitum equitatum profligaverit. Quod vero ſupra omnia perculit Siculos, & Græcorum fidem exceſſit, modico tempore Syracuſas circumvallavit, urbem Athenis non anguſtiorem, ſed aſperiorem locorum inæqualitate & maris vicinitate & propinquitate paludum ad eam muro tam longo in orbem circumjiciendam. Confecit autem propemodum totum homo, qui nec firma valetudine ad tantas curas uteretur,

τῷ πρὸς τοσαύτας φροντίδας, ἀλλὰ νόσον νοσῶν νεφρῖτιν, ἧς τὸ μὴ προσεκπονηθὲν, λεῖμμα ποιεῖσθαι δίκαιόν ἐστι. θαυμάζω δὲ τοῦ στρατηγοῦ τὴν ἐπιμέλειαν, καὶ τὴν τῶν στρατιωτῶν ἀνδραγαθίαν, ἐν οἷς κατώρθουν. ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον, γράφων ἐπικήδειον, ἐποίησεν,

Οἱ δὲ Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
Ἄνδρες, ὅτ' ἦν τὰ Θεῶν ἐξ ἴσου ἀμφοτέροις.

οὐκ ὀκτὼ δὲ νίκας ἀλλὰ πλείονας ἄν τις εὕροι Συρακουσίους νενικημένους ὑπ' αὐτῶν, πρὶν ἐκ Θεῶν ὄντως ἢ τύχης ἀντίστασίν τινα γενέσθαι τοῖς Ἀθηναίοις, ἐπὶ πλεῖστον αἰρομένοις δυνάμεως.

Ταῖς μὲν οὖν πλείσταις πράξεσι βιαζόμενος τὸ σῶμα παρῆν ὁ Νικίας· ἀκμὴν δέ ποτε τῆς ἀῤῥωστίας λαβούσης, ὁ μὲν ἐν τείχεσι μετ' ὀλίγων ὑπηρετῶν κατέκειτο, τὴν δὲ στρατιὰν ἔχων ὁ Λάμαχος προσεμάχετο τοῖς Συρακουσίοις, ἐκ τῆς πόλεως τεῖχος ἀνάγουσι πρὸς τὸ τῶν Ἀθηναίων, ὃ κωλύσειν ἔμελλε διὰ μέσου τὸν ἀποτειχισμόν. τῷ δὲ κρατεῖν τῶν Ἀθηναίων ἀτακτότερον φερομένων πρὸς τὰς διώξεις, ἀπομονωθεὶς ὁ Λάμαχος, ὑπέστη τῶν Συρακουσίων τοὺς ἱππεῖς ἐπιφερομένους. ἦν δὲ πρῶτος αὐτῶν Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής. πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ Λάμαχος ἐμονομάχησε, καὶ λαβὼν πληγὴν πρότερος, εἶτα δοὺς καὶ πεσὼν, ὁμοῦ συναπέθανε τῷ Καλλικράτει. καὶ τὸ μὲν σῶμα κρατήσαντες αὐτοῦ μετὰ τῶν ὅπλων ἐξῆραν οἱ Συρακούσιοι, δρόμῳ δ' ἐφέροντο πρὸς τὰ

retur, verum laboraret renum dolore: cui morbo quod residuum operis non fuerit exactum, jure ferendum est expensum. Ego vero prædicandum arbitror ducis solicitudinem, militumque fortitudinem iis in rebus quas præclare gesserunt. Siquidem Euripides post eorum cladem & exitium carmen hoc funebre fecit,

Octo Syracosios fudit per prælia victor
Hic miles, spectat dum æquus utrosque Deus.

Non autem octo victorias, sed plures reperias de Syracusanis hos ante retulisse, quam ex Deorum revera voluntate vel fortuna Athenienses, quorum insurgebant plurimum opes, in asperitatem rerum inciderent.

Atque corpori Nicias vim adhibens, interserat rebus gerendis plerumque. Quum vero morbus aliquando esset in summo articulo, decumbebat ipse paucis cum servis in castris. Interea Lamachus ductans exercitum pugnavit excitantibus Syracusanis Atheniensium muro oppositum ex urbe alium, qui interjectus circumvallari urbem impediret. At hic relictus ab Atheniensibus, qui victoria elati fusius insequebantur hostes, inferentem se equitatum unus excepit. Evectus ante cæteros Callicrates est bellator insignis & animosus. Cum eo Lamachus ex provocatione solus est congressus. Qui quum vulnus prior accepisset, inde Callicratem vulnerasset concidissetque, una cum eo exspiravit. Hujus corpore armisque Syracusani potiti, abstulerunt ea, atque

τὰ τείχη τῶν Ἀθηναίων, ἐν οἷς ὁ Νικίας ἦν, οὐκ ἔχων τοὺς βοηθοῦντας. ὅμως δ' ὑπὸ τῆς ἀνάγκης ἐξαναστὰς καὶ κατιδὼν τὸν κίνδυνον, ἐκέλευσε τοὺς καθ' ἑαυτόν, ὅσα ξύλα πρὸ τῶν τειχῶν ἐτύγχανεν εἰς μηχανὰς παραβεβλημένα, καὶ τὰς μηχανὰς αὐτάς, πῦρ κομίσαντας, ἅψαι. τοῦτο τοὺς Συρακουσίους ἐπέσχε, καὶ τὸν Νικίαν ἔσωσε, καὶ τὰ τείχη καὶ τὰ χρήματα τῶν Ἀθηναίων. φλόγα γὰρ ἀρθεῖσαν διὰ μέσου πολλὴν ἰδόντες ἀπετράπησαν οἱ Συρακούσιοι. τούτων δὲ πραχθέντων, ἀπολέλειπτο μὲν ὁ Νικίας μόνος τῶν στρατηγῶν, ἦν δ' ἐλπίδος μεγάλης. καὶ γὰρ πόλεις μεθίσταντο, καὶ πλοῖα μεστὰ σίτου πολλαχόθεν εἰς τὸ στρατόπεδον, τοῖς πράγμασιν εὖ φερομένοις πάντων προστιθεμένων. καὶ λόγοι τινὲς ἤδη παρὰ τῶν Συρακουσίων ἐγίνοντο περὶ συμβάσεως πρὸς αὐτόν, ἀπεγνωκότων τὴν πόλιν. ὅπου καὶ Γύλιππος ἐκ Λακεδαίμονος πλέων βοηθὸς αὐτοῖς, ὡς ἤκουσε κατὰ πλοῦν τὸν ἀποτειχισμὸν καὶ τὰς ἀπορίας, οὕτως ἔπλει τὸ λοιπόν, ὡς ἐχομένης μὲν ἤδη τῆς Σικελίας, Ἰταλιώταις δὲ τὰς πόλεις διαφυλάξων, εἰ καὶ τοῦτό πως ἐγγένοιτο. μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς Ἀθηναίους, καὶ στρατηγὸν ἔχειν ἄμαχον δι' εὐτυχίαν καὶ φρόνησιν. ὁ δὲ Νικίας αὐτὸς εὐθὺς καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐν τῷ παρόντι ῥώμης καὶ τύχης ἀνατεθαρρηκώς, μάλιστα δὲ τοῖς ἐκ Συρακουσῶν διαλεγομένοις κρύφα, καὶ πέμπουσι πρὸς αὐτόν, ὅσον οὔπω τὴν πόλιν ἐνδίδοσθαι κατὰ συμβάσεις νομίζων, οὐδένα τοῦ Γυλίππου λόγον ἔσχε προσπλέοντος, οὐδὲ φυλακὴν ἐποιήσατο καθαράν, ἀλλὰ τῷ παντελῶς ὑπερο-

ρᾶσθαι

que ad murum Athenienſium, in quo deſtitutus præſidio Nicias erat, citati perrexere. Is neceſſitate tamen excitatus, quum animadverteret diſcrimen, juſſit illis qui circa ipſum erant, omnem materiam, quæ pro muro ad machinas excitandas jacebat comparata, ipſaſque machinas ſubjecto igni incendere. Hoc repreſſit Syracuſanos, Niciam vero & muros & ſtipendium Athenienſium protexit. Flammam enim, quam elatam in medio conſpexerunt ingentem, declinaverunt Syracuſani. Jam his actis, unus ſupererat ex prætoribus Nicias, & erat magna in ſpe. Quippe & urbes tranſitiones ad eum faciebant, & onuſtæ commeatu naves undique veniebant in caſtra, quod ſecundis rebus ejus faverent omnes; ac faciebant Syracuſani jam de urbe deſperantes verba apud eum de pace. Quando Gylippus quoque, qui ex Lacedæmone ſuppetias illis veniebat, ut inter navigandum circumvallatos muro Syracuſanos atque eorum intellexit difficultates, ita reliquum inſtituit curſum, quaſi amiſſa jam Sicilia, urbes Italicas, modo hoc ſaltem liceret, defenſurus. Quippe magna percrebuerat fama omnia tenere Athenienſes, ducemque habere ob fœlicitatem & prudentiam invictum. Nicias ipſe illico etiam præter ingenium ſuum præſentibus viribus & fortuna fretus, potiſſimum vero ex occultis Syracuſanorum colloquiis nuntiiſque, quos ad ipſum miſerunt, mox urbe potiturum ſe per deditionem exiſtimans, nullum reſpectum advenientis egit Gylippi, neque acres excubias. Ille autem, quod ſemel de-

ρᾶσθαι καὶ καταφρονεῖσθαι, λαθὼν αὐτὸν ὁ ἀνὴρ, εἰσέπλευσε διὰ πορθμείου, καὶ προσκομισθεὶς ἀπωτάτω τῶν Συρακουσίων, στρατιὰν συνηγάγετο πολλὴν· οὐδ' εἰ πάρεστι, τῶν Συρακουσίων ἐπισταμένων, οὐδὲ προσδοκώντων. διὸ καὶ παρήγγελτο μὲν αὐτοῖς ἐκκλησία περὶ τῶν πρὸς τὸν Νικίαν ὁμολογιῶν, καί τινες ἐβάδιζον ἤδη, πρὶν ἢ παντελῶς ἀποτειχισθῆναι τὴν πόλιν, οἰόμενοι δεῖν γενέσθαι τὰς διαλύσεις. βραχὺ γὰρ ἦν κομιδῇ τὸ ἀπολειπόμενον τοῦ ἔργου· καὶ τοῦτο παραβεβλημένην εἶχε τὴν παρασκευὴν τῆς τειχοδομίας σύμπασαν.

Ἐν τούτῳ δὲ καιροῦ παρόντος τοῦ κινδύνου, ἀφικνεῖται Γογγύλος ἐκ Κορίνθου μιᾷ τριήρει· καὶ συνδραμόντων πρὸς αὐτὸν, ὡς εἰκὸς, πάντων, ἔφραζεν ὅτι Γύλιππος ἀφίξεται διὰ ταχέων, καὶ νῆες ἄλλαι βοηθοὶ προσπλέουσιν. οὔπω δὲ τῷ Γογγύλῳ πιστευόντων βεβαίως, ἧκεν ἄγγελος παρὰ τοῦ Γυλίππου κελεύοντος ἀπαντᾶν. οἱ δὲ θαῤῥήσαντες ἐξωπλίζοντο· καὶ προσῆγεν εὐθὺς ὁ Γύλιππος ἐξ ὁδοῦ παρατεταγμένος ἐπὶ τοὺς Ἀθηναίους. ὡς δὲ κἀκείνους ἀντέταξεν ὁ Νικίας, θέμενος ἐπὶ τοὺς Ἀθηναίους ὁ Γύλιππος τὰ ὅπλα, καὶ κήρυκα πέμψας, ἔλεγε διδόναι τοῖς Ἀθηναίοις ἄδειαν ἀπιοῦσιν ἐκ Σικελίας. ὁ μὲν οὖν Νικίας οὐδὲν ἠξίωσεν ἀποκρίνασθαι· τῶν δὲ στρατιωτῶν τινες καταγελῶντες, ἠρώτων εἰ διὰ παρουσίαν ἑνὸς τρίβωνος καὶ βακτηρίας Λακωνικῆς, οὕτως ἰσχυρὰ τὰ Συρακουσίων ἐξαίφνης γέγονεν, ὥστ' Ἀθηναίων καταφρονεῖν, οἳ πολὺ ῥωμαλεωτέρους Γυλίππου, καὶ μᾶλλον κομῶντας τριακοσίους ἔχοντες ἐν πέδαις δεδεμένους ἀπέδωκαν Λακεδαιμονίοις. Τίμαιος

deſpiceretur ac contemneretur, clam Nicia pontone eſt in Siciliam delatus, appulſuſque quam remotiſſime ab Syracuſis magnas copias conſcripſit, nec ſcientibus quidem adeſſe eum vel exſpectantibus Syracuſanis. Quapropter indicta iis concio erat de fœdere cum Nicia faciendo. Et pergebant jam nonnulli ad concionem, ante cenſentes jungendam pacem quam undequaque clauſa muro urbs eſſet. Siquidem perparum ſupererat operis, atque in id perficiendum omnis jacebat parata materia.

In hoc præſentis articulo diſcriminis decurrit una triremi veniens Corintho Gongylus. Ad quem ſcilicet quum concurſus fieret omnium, Gylippum ille ſignificavit brevi adfore, naveſque ſubſidiarias adventare alias. Hauddum ſatis Gongylo credebant, quum nuntius adfuit a Gylippo, qui jubebat ut ſibi occurrerent. Itaque animis erecti arma ſumpſere, movitque e veſtigio Gylippus ſigna, atque ex itinere aciem ad dimicandum cum Athenienſibus inſtruxit: quos quum ex adverſo inſtruxiſſet Nicias, ſtans infeſta in Athenienſes acie Gylippus, miſit caduceatorem, per quem Athenienſibus ſignificavit, dare ſe iis fidem publicam, ſi Sicilia decederent: cum non eſt dignatus Nicias reſponſo. Ex militibus autem nonnulli per ludibrium rogaverunt, ex uniuſne præſentia pallioli & baculi Laconici evaſiſſent repente res Syracuſanorum tam validæ, ut contemptui haberent Athenienſes, qui multo robuſtiores Gylippo, magiſque comatos trecentos, quos in vinculis habuerant, reddiderant Lacedæmoniis? Timæus

ος δὲ καὶ τοὺς Σικελιώτας φησὶν ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν Γύλιππον, ὕστερον μὲν αἰσχροκέρδειαν αὐτοῦ καὶ μικρολογίαν καταγνόντας· ὡς δὲ πρῶτον ὤφθη, σκώπτοντας εἰς τὸν τρίβωνα καὶ τὴν κόμην. εἶτα μέντοι φησὶν αὐτὸς, ὅτι τῷ Γυλίππῳ φανέντι, καθάπερ γλαυκὶ, πολλοὶ προσέπτησαν ἑτοίμως στρατευσόμενοι. καὶ ταῦτα τῶν πρώτων ἀληθέστερά εἰσιν. ἐν γὰρ τῇ βακτηρίᾳ καὶ τῷ τρίβωνι τὸ σύμβολον καὶ τὸ ἀξίωμα τῆς Σπάρτης καθορῶντες συνίσταντο. κἀκείνου τὸ πᾶν ἔργον γεγονέναι φησὶν ὁ Θουκυδίδης μόνου· ἀλλὰ καὶ Φίλιστος, ἀνὴρ Συρακούσιος, καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. τῇ μὲν οὖν πρώτῃ μάχῃ κρατήσαντες οἱ Ἀθηναῖοι, τῶν Συρακουσίων ὀλίγους τινὰς ἀπέκτειναν, καὶ Γογγύλον τὸν Κορίνθιον. εἰς δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔδειξεν ὁ Γύλιππος οἷόν ἐστιν ἐμπειρία. τοῖς γὰρ αὐτοῖς ὅπλοις καὶ ἵπποις καὶ χωρίοις χρησάμενος, οὐχ ὡσαύτως, ἀλλὰ μεταθεὶς τὴν τάξιν, ἐνίκησε τοὺς Ἀθηναίους· καὶ φυγόντων εἰς τὸ στρατόπεδον, ἐπιστήσας τοὺς Συρακουσίους, τοῖς λίθοις οἷς ἐκεῖνοι προσεκόμιζον καὶ τῇ ὕλῃ, παροικοδομῶν εἰς διαστολὰς, ἀπέκοψε τὸν ἐκείνων περιτειχισμὸν, ὥστ' αὐτοῖς μηδὲν εἶναι πλέον κρατοῦσιν. ἐκ τούτου δὲ θαῤῥήσαντες οἱ Συρακούσιοι, τάς τε ναῦς ἐπλήρουν, καὶ τοῖς ἱππεῦσι τοῖς ἑαυτῶν καὶ ἀκολούθοις περιελαύνοντες πολλοὺς ᾕρουν. καὶ ὁ Γύλιππος ἐπιὼν ἐπὶ τὰς πόλεις, αὐτὸς ἐξώρμα καὶ συνίστη πάντας ἐῤῥωμένως ὑπακούοντας αὐτῷ, καὶ συλλαμβανομένους. ὥστε τὸν Νικίαν, αὖθις εἰς ἐκείνους ἀποτρεπόμενον τοὺς πρώτους λογισμοὺς, καὶ συμφρονοῦντα τὴν τῶν πραγμάτων μεταβολὴν, ἀθυμεῖν, καὶ γράφειν τοῖς Ἀθηναίοις, κελεύοντα πέμπειν ἕτε-

mæus vero neque Siculos ait ullo loco habuiſſe Gylippum, cujus poſtea rapacitatem quoque & ſordes improbaverint, ac, ut primum conſpectus eſt, palliolum ejus comamque deriſerint. Poſtea tamen idem ait ad illius tanquam noctuæ conſpectum frequentes eos advolaſſe prompte nomina dantes. Atque hæc prioribus veriora ſunt. Quippe in baculo & læna inſigne & autoritatem intuentes urbis Spartæ conglobabantur. Huic quoque quicquid ibi geſtum eſt uni adſcribit Thucydides, & vero etiam Philiſtus, civis Syracuſanus, illarumque rerum ſpectator. Primo conflictu fuſi ſunt ab Athenienſibus Syracuſani, pauci tamen interfecti, in quibus Corinthius Gongylus. Verum poſtero die Gylippus, quid valeret rei bellicæ experientia demonſtravit: ſiquidem iiſdem armis & equis & locis, non ſimiliter, ſed forma mutata aciei inſtruendæ pepulit Athenienſes. Qui quum in caſtra fugiſſent, convertit ad opus Syracuſanos, lapidibuſque & materia quæ illi congeſſerant, excitavit opera, quibus divulſit interſciditque murum illorum, nihil ut illis ex victoriis ſupereſſet. Hinc alacres Syracuſani compleverunt naves, ſuoque & ſociorum equitatu circumvagantes multos exceperunt. Gylippus oppida ipſe adivit, omneſque concitavit & ſibi adjunxit, qui enixe fuerunt edicto audientes, & auxilia dederunt. Itaque relapſus eſt Nicias ad priora ſua conſilia, adverteníque animo rerum converſionem, cepit omnem ſpem deponere, atque Athenienſibus ſcripſit, ut vel alias copias mit-

ἕτερον στρατὸν, ἢ καὶ τοῦτον ἀπαγαγεῖν ἐκ Σικελίας· αὑτῷ δὲ πάντως αἰτούμενον τῆς στρατηγίας ἄφεσιν, διὰ τὴν νόσον.

Οἱ δ᾽ Ἀθηναῖοι καὶ πρότερον μὲν ὥρμηντο πέμπειν ἑτέραν δύναμιν εἰς Σικελίαν, φθόνῳ δὲ τῶν πρῶτον πραττομένων πρὸς εὐτυχίαν τοῦ Νικίου τοσαύτην, πολλὰς διατριβὰς ἐμβαλόντων, τότε γοῦν ἔσπευδον βοηθεῖν. καὶ Δημοσθένης μὲν ἔμελλε μεγάλῳ στόλῳ πλεῖν ἐκ χειμῶνος· Εὐρυμέδων δὲ διὰ χειμῶνος προεξέπλευσε, χρήματα κομίζων καὶ συστρατήγους ἀποφαίνων, ᾑρημένους τῷ Νικίᾳ τῶν αὐτόθι στρατευομένων, Εὐθύδημον καὶ Μένανδρον. ἐν τούτῳ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐξαίφνης ἐπιχειρούμενος ὁ Νικίας, ταῖς μὲν ναυσὶν ἡττώμενος τὸ πρῶτον, ὅμως ἐξέωσε καὶ κατέδυσε πολλὰς τῶν πολεμίων· πρὸς δὲ τὸ πεζὸν οὐκ ἔφθασε βοηθῶν, ἀλλ᾽ ἄφνω προσπεσὼν ὁ Γύλιππος εἷλε τὸ Πλημμύριον, ἐν ᾧ σκευῶν τριηρικῶν καὶ χρημάτων πολλῶν ἀποκειμένων, ἐκράτησε πάντων, καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους, καὶ ζῶντας ἔλαβε· τὸ δὲ μέγιστον, ἀφείλετο τοῦ Νικίου τῆς ἀγορᾶς τὴν εὐπέτειαν. ἦν γὰρ ἡ κομιδὴ παρὰ τὸ Πλημμύριον ἀσφαλὴς καὶ ταχεῖα, τῶν Ἀθηναίων κρατούντων· ἐκπεσόντων δὲ, χαλεπὴ, καὶ μετὰ μάχης ἐγίνετο πρὸς τοὺς πολεμίους ἐκεῖ ναυλοχοῦντας. ἔτι δὲ καὶ τὸ ναυτικὸν τοῖς Συρακουσίοις οὐκ ἀπὸ κράτους ἐφαίνετο νενικημένον, ἀλλ᾽ ἀταξίᾳ περὶ τὴν δίωξιν. αὖθις οὖν ἐπεχείρουν παρασκευαζόμενοι λαμπρότερον. ὁ δὲ Νικίας οὐκ ἐβούλετο ναυμαχεῖν, ἀλλὰ πολλὴν ἀβελτηρίαν ἔλεγεν εἶναι, στόλου τοσούτου προσπλέοντος αὐτοῖς καὶ δυνάμεως ἀκραιφνοῦς, ἣν ἦγε Δημοσθένης σπεύδων, ἀπ᾽ ἐλαττόνων

mitterent, vel has quoque revocarent ex Sicilia: sibi vero omnino mitti postulavit ob morbum successorem.

Statuerant Athenienses & ante alium exercitum in Siciliam mittere, sed quum invidia rerum priorum gestarum, quæ tam secundæ Niciæ fluebant, multas moras interposuisset, tunc properarunt opem mittere. Demosthenes erat magna classe exacta hyeme profecturus, Eurymedon media hyeme præcessit ad stipendium portandum & collegas Niciæ declarandum, qui creati erant ex iis qui sub eo merebant, Euthydemum & Menandrum. Interea Nicias, quum terra marique rem gerere subito aggressus est, etsi classe primum inferior fuit, profligavit tamen & depressit multas hostium naves. Terra vero non potuit succurrere in tempore, verum Gylippus primo impetu Plemmyrium cepit, ubi multis navium armamentis & pecunia, quæ ibi reposita grandis erat, omni potitus est, multosque milites occidit & cepit, &, quod maximum erat, ademit Niciæ facultatem commeatus: cujus secura subvectio & expedita erat arcem illam tenentibus Atheniensibus, ejectis ardua, & non nisi pugna cum hostibus, qui stationem ibi habebant, conserta. Ad hæc classem suam Syracusani non virtute rati, sed quod esset infectata incondite, superatam, jam iterum apparatu instruxere magnificentiore, ad pugnam provocantes. Cæterum classe detrectavit Nicias confligere, perquam absurdum esse dicens, tantam quum ipsi classem exspectarent, & copias recentes, quas Demosthenes propere adducebat, minoribus

νων καὶ χορηγουμένων φαύλως διαγωνίσασθαι. τοὺς δὲ περὶ τὸν Μένανδρον καὶ τὸν Εὐθύδημον ἀρτίως εἰς τὴν ἀρχὴν καθισταμένους φιλοτιμία καὶ ζῆλος ἦν πρὸς ἀμφοτέρους τοὺς στρατηγούς, τὸν μὲν Δημοσθένην φθῆναι πράξαντάς τι λαμπρόν, ὑπερβαλέσθαι δὲ τὸν Νικίαν. πρόσχημα δ' ἦν ἡ δόξα τῆς πόλεως, ἣν ἀπόλλυσθαι καὶ καταλύεσθαι παντάπασι φάσκοντες, εἰ φοβηθήσονται) Συρακουσίους ἐπιπλέοντας, ἐξεβιάσαντο ναυμαχῆσαι. καὶ καταστρατηγηθέντες ὑπ' Ἀρίστωνος τοῦ Κορινθίων κυβερνήτου, τοὺς περὶ τὸ ἀριστερόν, ὡς εἴρηκε Θουκυδίδης, κατὰ κράτος ἡττήθησαν, καὶ πολλοὺς ἀπέβαλον· καὶ ἀθυμία πολλὴ περιειστήκει τὸν Νικίαν, τῇ τε μοναρχίᾳ κακοπαθοῦντα, καὶ σφαλλόμενον αὖθις ὑπὸ τῶν συναρχόντων.

Ἐν τούτῳ δὲ Δημοσθένης ὑπὲρ τῶν λιμένων ἐπεφαίνετο λαμπρότατος τῇ παρασκευῇ, καὶ δεινότατος τοῖς πολεμίοις, ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν ἄγων ὁπλίτας πεντακισχιλίους, ἀκοντιστὰς δὲ καὶ τοξότας καὶ σφενδονήτας τρισχιλίων οὐκ ἐλάττους, ὅπλων δὲ κόσμῳ καὶ παρασήμοις τριήρων, καὶ πλήθει κελευστῶν καὶ αὐλητῶν, θεατρικῶς καὶ πρὸς ἔκπληξιν πολεμίων ἐξησκημένος. ἦν οὖν, ὡς εἰκός, αὖθις ἐν φόβῳ μεγάλῳ τὰ Συρακουσίων, εἰς οὐδὲν πέρας οὐδὲ ἀπαλλαγήν, ἀλλὰ πονοῦντας ἄλλως καὶ φθειρομένους αὐτοὺς μάτην ὁρώντων. τὸν δὲ Νικίαν οὐ πολὺν χρόνον εὔφρανεν ἡ παρουσία τῆς δυνάμεως, ἀλλ' ἅμα τῷ πρῶτον ἐν λόγοις γενέσθαι, τοῦ Δημοσθένους εὐθὺς ἐπιχειρεῖν τοῖς πολεμίοις κελεύοντος, καὶ τῷ ταχίστῳ τὸν κίνδυνον περὶ τοῦ παντὸς δια-
γω-

noribus & male instructis pugnam capessere. At Menandrum & Euthydemum novos duces ambitio & æmulatio occupaverat adversus utrumque imperatorem, ut Demosthenem re præclare gesta aliqua prævenirent, & supergrederentur Niciam. Prætexebant civitatis gloriam, quam concidere & perire omnem aiebant, insultum si extimescerent Syracusanorum. Itaque expresserunt ut prœlio navali dimicaretur. At hi, ab Aristone Corinthiorum gubernatore circumventi in sinistro cornu (ut scribit Thucydides) fusique & fugati sunt. Multis desideratis magna animi consternatio incessit Niciam, qui & solus belli administrationem ægre susciperet, atque iterum collegarum impulsu impingeret.

Interea ostendit se ante portum hostibus Demosthenes splendidissimo apparatu formidandus. Advehebat navibus septuaginta tribus peditum quinque millia, jaculatorum, sagittariorum, & funditorum non minus tria millia, armorum fulgore, navium insignibus, numero hortatorum & tibicinum pompose atque ad hostium exornatus terrorem. Fuerunt igitur non immerito apud Syracusanos omnia denuo perculsa, quod nullum finem vel exitum, sed nequicquam sudare se & perire incassum cernerent. At Niciæ haud diuturnum attulit adventus copiarum gaudium: verum ut primum in colloquium venit cum Demosthene, qui quam primum adoriendos hostes censebat, & quam citissime de summa decernendum, capiendasque

γωνισαμένους ἑλεῖν Συρακούσας, καὶ ἀποπλεῖν οἴκαδε, δείσας καὶ θαυμάσας τὴν ὀξύτητα καὶ τόλμαν, ἐδεῖτο μηδὲν ἀπεγνωσμένως πράττειν, μηδὲ ἀνοήτως. τὴν γὰρ τριβὴν εἶναι κατὰ τῶν πολεμίων, οὔτε χρήματα κεκτημένων ἔτι, μήτε τῶν συμμάχων αὐτοῖς πολὺν χρόνον παραμενούντων· εἰ δὲ θλίβοιντο ταῖς ἀπορίαις, ταχὺ πάλιν ἐπ' αὐτὸν ἐπὶ συμβάσεις τραπησομένων, ὡς πρότερον. καὶ γὰρ ἦσαν ἄνδρες οὐκ ὀλίγοι τῶν ἐν Συρακούσαις διαλεγόμενοι τῷ Νικίᾳ κρύφα, καὶ μένειν κελεύοντες, ὡς καὶ νῦν ὑπερπονούντων τῷ πολέμῳ, καὶ τὸν Γύλιππον βαρυνομένων· ἐὰν δὲ μικρὸν ἐπιτείνωσιν αἱ ἀνάγκαι, παντάπασιν ἀπαγορευσόντων. τούτων ὁ Νικίας τὰ μὲν αἰνιττόμενος, τὰ δ' οὐ θέλων ἐν φανερῷ λέγειν, ἀτολμίας παρεῖχε τοῖς στρατηγοῖς δόξαν· καὶ ταῦτ' ἐκεῖνα πάλιν ἥκειν φάσκοντες αὐτοῦ μελλήματα, καὶ διατριβάς, καὶ ἀκριβολογίας, αἷς ἀπώλεσε τὴν ἀκμήν, οὐκ εὐθὺς ἐπιχειρῶν τοῖς πολεμίοις, ἀλλ' ἕωλος καὶ καταφρονούμενος, τῷ Δημοσθένει προσετίθεντο. καὶ ὁ Νικίας μόλις συνεχώρησεν ἐκβιασθείς. οὕτω δὴ τὴν πεζὴν στρατιὰν ἀναλαβὼν ὁ Δημοσθένης νυκτός, ἐπεχείρει ταῖς Ἐπιπολαῖς· καὶ τοὺς μὲν φθάσας, πρὶν αἰσθέσθαι, τῶν πολεμίων ἀπέκτεινε, τοὺς δ' ἀμυνομένους ἐτρέψατο. καὶ κρατῶν οὐκ ἔμενεν, ἀλλ' ἐχώρει προσωτέρω, μέχρις οὗ τοῖς Βοιωτοῖς ἐνέτυχε. πρῶτοι γὰρ οὗτοι συστρέψαντες ἑαυτούς, καὶ συνδραμόντες εἰς τοὺς Ἀθηναίους, ἐναντίοις τοῖς δόρασι μετὰ βοῆς ὤσαντο, καὶ πολλοὺς αὐτοῦ κατέβαλον. δι' ὅλου δὲ τοῦ στρατεύματος εὐθὺς ἦν πτοία καὶ ταραχή, καὶ τοῦ φεύγοντος ἤδη κατα-

que Syracuſas ac penates repetendos, veritus & admiratus præcipitantiam atque audaciam ejus, oravit eum ne quo temere & inconſulte progrederetur, ac infeſtam oſtendit moram eſſe hoſtibus, quos deficeret pecunia & brevi relicturi ſocii eſſent. Hos ſi premerentur inopia, cito rurſus ſicut ante ad conditiones pacis ab ipſo petendas ſe converſuros. Siquidem non pauci erant Syracuſis, qui ſecreta colloquia habebant cum Nicia, monebantque eum ut maneret, quod jam quoque fatiſcerent bello, & Gylippum gravarentur. Quod ſi paululum intenderetur inopia, omnem eos animum abjecturos. Ea quia partim ambagibus Nicias involvebat, partim nolebat propalam denudare, opinionem apud duces incurrit timiditatis, atque eaſdem ipſius reponi ſibi prædicantes cunctationes, moras & nimium exacta conſilia, quibus corruperat articulum, quod non ſubito fuiſſet hoſtes aggreſſus, ſed quum refrixiſſet jam & deſpectus eſſet, aſſenſi ſunt Demoſtheni, Niciam vero ægre adegerunt ut admitteret ejus conſilium. Ita Demoſthenes aſſumptis terreſtribus copiis noctu adortus eſt Epipolas, ac tanta uſus celeritate eſt ut partim hoſtium, priuſquam ſentirent, conciderit, partim ſe defendentes pepulerit: nec victoriæ modum fecit, verum progreſſus eſt, dum incidit in Bœotios. Hi namque globo facto primi impetum dederunt in Athenienſes, eoſque infeſtis lanceis & ſublato clamore impulerunt. Multos ibi obtruncaverunt, totumque confeſtim pavore & tumultu perfuderunt exercitum, fugientibuſque permi-

ſta

καταπιμπλάμενον τὸ ἔτι νικῶν, καὶ τὸ ἀποβαῖνον καὶ προσφερόμενον ὑπὸ τῶν πεφοβημένων ἀνακοπτόμενον, ἑαυτῷ περιέπιπτε, τοὺς μὲν φεύγοντας οἰόμενον διώκειν, τοῖς δὲ φίλοις ὡς πολεμίοις χρώμενον. ἡ γὰρ ἄτακτος ἀνάμιξις ἐν ταυτῷ μετὰ φόβου καὶ ἀγνοίας, καὶ τὸ τῆς ὄψεως ἄπιστον, ἐν νυκτὶ μήτε σκότος ἄκρατον μήτε φῶς ἐχούσῃ βέβαιον, ἀλλ' οἷον εἰκὸς ἤδη καταφερομένης σελήνης καὶ περισκιαζομένης ὅπλοις πολλοῖς καὶ σώμασι κινουμένοις διὰ τοῦ φωτὸς, μὴ διασαφοῦσαν τὰ εἴδη, φόβῳ τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιεῖν ὕποπτον, εἰς δεινὰς ἀπορίας καὶ περιπετείας καθίστη τοὺς Ἀθηναίους. ἔτυχον δέ πως καὶ τὴν σελήνην ἔχοντες ὄπισθεν· ὅθεν αὐτοὶ μὲν αὑτοῖς τὰς σκιὰς ἐπιβάλλοντες, ἀπέκρυπτον τὸ πλῆθος τῶν ὅπλων καὶ τὴν λαμπρότητα, τοὺς δ' ἐναντίους ὁ πρὸς τὴν σελήνην τῶν ἀσπίδων ἀντιφωτισμὸς πολὺ πλείονας ὁρᾶσθαι καὶ λαμπροτέρους ἐποίει. τέλος δὲ, πανταχόθεν αὐτοῖς, ὡς ἐνέδοσαν, προσκειμένων τῶν πολεμίων, φεύγοντες οἱ μὲν ὑπ' ἐκείνων, οἱ δ' ὑπ' ἀλλήλων ἀπέθνησκον, οἱ δὲ, κατὰ τῶν κρημνῶν ὀλισθαίνοντες. τοὺς δ' ἀποσκεδασθέντας καὶ πλανωμένους ἡμέρας ἐπιγινομένης οἱ ἱππεῖς καταλαμβάνοντες διέφθειρον. ἐγένοντο δὲ νεκροὶ δισχίλιοι, καὶ τῶν περιγινομένων ὀλίγοι μετὰ τῶν ὅπλων ἀπεσώθησαν.

Ὁ μὲν οὖν Νικίας πληγεὶς οὐκ ἀπροσδοκήτως, ᾐτιᾶτο τοῦ Δημοσθένους τὴν προπέτειαν. ἐκεῖνος δὲ περὶ τούτων ἀπολογησάμενος, ἐκέλευσεν ἀποπλεῖν τὴν ταχίστην· οὔτε γὰρ ἄλλην ἀφίξεσθαι δύναμιν αὐτοῖς, οὔτ' ἀπὸ τῆς παρούσης τῶν πολεμίων κρατεῖν· ὅπου γε καὶ κρατοῦντας ἐκείνων ἔδει μεταστῆ-

ναι

ſta pars adhuc integra & victrix, quique deſcendebant atque accurrebant, a perculſis inhibiti in ſemetipſos incurrerunt, rati eos qui effuſi in fugam erant, inſtare, & ſocios pro hoſtibus ducentes. Quippe incondita inter ipſos confuſio cum cæco metu, conſpectuſque per noctem incertitudo, neque plane opacam neque perlucidam, ſed quæ faceret (luna nimirum jam in occaſum præcipite, ac, quum eſſet frequentium armorum & corporum inumbrata jactatione, non ſatis lumine ſuo figuras oſtendente, ut cognoſcerent inter ſe) metu hoſtium etiam ſocios ſuſpectos, in graves difficultates atque calamitates conjecit Athenienſes. Ad hæc habebant forte lunam a tergo: unde ſemet ipſi inumbrantes multitudinem ſuorum & fulgorem involvebant armorum. Hoſtes vero clypei objecta refulgentes luna multo plures repræſentabant & ſplendidiores. Poſtremo prementibus eos undique; ubi pedem retulere, hoſtibus terga dantes, partim ab illis, partim ab ſe mutuo ſunt oppreſſi, alii ex locis abruptis delapſi. Alios diſſipatos & palantes orta luce equites oppreſſerunt occideruntque. Ceciderunt duo millia, reliquorum pauci cum armis incolumes evaſere.

Nicias haud præter exſpectationem accepta clade Demoſthenis inſectabatur temeritatem. Ille purgabat ſe de his, ſuadebatque ut quamprimum inde reciperent ſe. Neque enim exſpectandas ipſis copias alias, neque præſentibus viribus ſuperaturos ſe hoſtem; quando ſi vel ſint eo ſuperiores, demigrandum, & vitandus

hic

ναι καὶ φυγεῖν τὸ χωρίον, ἀεὶ μὲν, ὡς πυνθάνονται, βαρὺ καὶ νοσῶδες ὂν στρατοπέδῳ, νῦν δ', ὡς βλέπουσι, καὶ διὰ τὴν ὥραν ὀλέθριον. μετοπώρου γὰρ ἦν ἡ ἀρχὴ, καὶ πολλοὶ μὲν ἠσθένουν ἤδη, πάντες δὲ ἠθύμουν. ὁ δὲ Νικίας χαλεπῶς ἤκουε τὴν φυγὴν καὶ τὸν ἀπόπλουν, οὐ τῷ μὴ δεδιέναι τοὺς Συρακουσίους, ἀλλὰ τῷ μᾶλλον τοὺς Ἀθηναίους καὶ τὰς ἐκείνων δίκας καὶ συκοφαντίας φοβεῖσθαι. δεινὸν μὲν οὖν οὐδὲν αὐτόθι προσδοκᾶν ἔφασκεν· εἰ δὲ συμβαίη, μᾶλλον αἱρεῖσθαι τὸν ὑπὸ τῶν πολεμίων θάνατον, ἢ τὸν ὑπὸ τῶν πολιτῶν· οὐχ ὅμοια φρονῶν οἷς ὕστερον ὁ Βυζάντιος Λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας, Βούλομαι γὰρ, ἔφη, μᾶλλον ὑφ' ὑμῶν, ἢ μεθ' ὑμῶν ἀποθανεῖν· περὶ μέντοι τόπου καὶ χώρας εἰς ἣν μετατάξουσι τὸ στρατόπεδον, βουλεύσασθαι καθ' ἡσυχίαν. ταῦτα δ' αὐτοῦ λέγοντος, ὁ μὲν Δημοσθένης, οὐδὲ τῇ προτέρᾳ γνώμῃ κατευτυχήσας ἐπαύσατο βιαζόμενος, τοῖς δ' ἄλλοις παρέσχε τὸν Νικίαν προσδοκῶντα καὶ πιστεύοντα τοῖς ἔνδον, οὕτως ἐρρωμένως ἀναμάχεσθαι περὶ τῆς ἀποβάσεως. διὸ καὶ συνεχώρησεν. ὡς μέντοι στρατιὰ Συρακουσίοις ἐπῆλθεν ἄλλη, καὶ μᾶλλον ἥπτετο τῶν Ἀθηναίων ἡ νόσος, τότ' ἤδη καὶ τῷ Νικίᾳ συνεδόκει μεθίστασθαι, καὶ παρήγγελλε τοῖς στρατιώταις εὐτρεπεῖς εἶναι πρὸς ἀπόπλουν.

Ὡς δ' ἦν ἕτοιμα ταῦτα πάντα, καὶ τῶν πολεμίων οὐδεὶς παρεφύλαττεν, ἅτε δὴ μὴ προσδοκώντων, ἐξέλιπεν ἡ σελήνη τῆς νυκτὸς, μέγα δέος τῷ Νικίᾳ καὶ τῶν ἄλλων τοῖς ὑπὸ ἀπειρίας ἢ δεισιδαιμονίας ἐκπεπληγμένοις τὰ τοιαῦτα. τοῦ μὲν γὰρ ἡλίου τὴν περὶ τὰς τριακάδας ἐπισκότησιν ἁμωσγέπως

hic locus esset, semper ille quidem (ut fama ferret) gravis & exercitui insalubris, tunc vero etiam (ut experirentur) propter anni tempus pestifer. Nam autumni erat principium, ac cum multi jam morbis tentabantur, tum summittebant omnes animum. Enimvero graviter ferebat Nicias mentionem fieri fugæ & decessus, non quin timeret a Syracusanis, sed quod populum Atheniensem plus, illiusque judicia & calumnias formidaret: nihil autem ferebat se ibi gravius exspectare. Sin quid accideret, malle ab hostibus sibi quam civibus infligi mortem, non idem sentiens ac postmodum Byzantinus Leo est apud cives suos loquutus, Præopto, inquit, per vos quam vobiscum mortem oppetere. At de loco & regione quo castra transferrent, per otium dixit deliberandum. Ita fatum Demosthenes, cui prius consilium male ceciderat, destitit urgere. Cæteris vero visus est Nicias exspectatione & fide, quam habebat certis in urbe, tam pertinaciter de receptu repugnare. Quare etiam ipsi assensi sunt. Ut tamen novæ copiæ subvenerunt Syracusanis, ac gravis morbus sævi it in castris Atheniensium, tunc comprobavit Nicias quoque consilium discessus. Itaque edixit militibus ut vasa colligerent ad navigandum.

Omnibus his paratis quum nullus hostium asservaret eos, ut qui nec exspectarent id, nocte luna defecit magno metu Niciæ & aliorum, qui ex imperitia vel superstitione ea expavescebant. Quippe solis quidem circa trigesimum mensis diem deliquium intelligebat

πως ἤδη συνεφρόνουν καὶ οἱ πολλοὶ γινομένην ὑπὸ τῆς σελήνης αὐτὴν ἢ τὴν σελήνην, ᾧ τινι τυγχάνουσαν, καὶ πῶς αἰφνίδιον ἐκ πανσελήνου τὸ φῶς ἀπόλλυσι, καὶ χρόας ἵησι παντοδαπὰς, οὐ ῥᾴδιον ἦν καταλαβεῖν, ἀλλ᾽ ἀλλόκοτον ἡγοῦντο, καὶ πρὸς συμφορῶν τινων μεγάλων, ἐκ Θεοῦ γινόμενον σημεῖον. ὁ γὰρ πρῶτος σαφέστατόν γε πάντων καὶ θαῤῥαλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας, οὔτ᾽ αὐτὸς ἦν παλαιὸς, οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ᾽ ἀπόῤῥητος ἔτι, καὶ δι᾽ ὀλίγων καὶ μετ᾽ εὐλαβείας τινὸς ἢ πίστεως βαδίζων. οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας τὸ θεῖον. ἀλλὰ καὶ Πρωταγόρας ἔφυγε, καὶ Ἀναξαγόραν εἰρχθέντα μόλις περιεποιήσατο Περικλῆς· καὶ Σωκράτης, οὐδὲν αὐτῷ τῶν γε τοιούτων προσῆκον, ὅμως ἀπώλετο διὰ φιλοσοφίαν. ὀψὲ δ᾽ ἡ Πλάτωνος ἐκλάμψασα δόξα, διὰ τὸν βίον τοῦ ἀνδρὸς, καὶ ὅτι ταῖς θείαις καὶ κυριωτέραις ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας, ἀφεῖλε τὴν τῶν λόγων τούτων διαβολὴν, καὶ τοῖς μαθήμασιν εἰς ἅπαντας ὁδὸν ἐνέδωκεν. ὁ γοῦν ἑταῖρος αὐτοῦ Δίων, καθ᾽ ὃν χρόνον ἔμελλεν ἄρας ἐκ Ζακύνθου πλεῖν ἐπὶ Διονύσιον, ἐκλιπούσης τῆς σελήνης οὐδὲν διαταραχθεὶς ἀνήχθη, καὶ καταχὼν ἐν Συρακούσαις, ἐξέβαλε τὸν τύραννον. τῷ μέντοι Νικίᾳ συνηνέχθη τότε μηδὲ μάντιν ἔχειν ἔμπειρον. ὁ γὰρ συνήθης αὐτοῦ, καὶ τὸ πολὺ τῆς δεισιδαιμονίας ἀφαιρῶν Στιλβίδης, ἐτεθνήκει μικρὸν ἔμπροσθεν, ἐπεὶ

gebat aliquatenus etiam vulgus ſubeunte fieri à luna: ipſa vero luna non erat comprehenſu proclive, cujus objectu, & quemadmodum in plenilunio repente tenebris obducatur, variosque ſumat colores, verum abſurdum arbitrabantur eſſe cladiumque oſtentum cœleſte magnarum. Etenim qui primus dilucidiſſimam omnium confidentiſſimamque, unde illuminetur atque inumbretur luna, doctrinam ſcripto prodidit Anaxagoras, neque ipſe erat antiquus, neque celebris doctrina, ſed abdita, atque verſabatur cum cautione vel ſub fide inter paucos. Neque enim ferebant phyſicos & μετεωρολέσχας tunc appellatos, id eſt, diſputantes de rebus cœleſtibus, quaſi cauſis ratione expertibus atque potentiis nullum certum finem propoſitum habentibus affectionibusque coactis adſtringerent id quod Deorum eſt. Qua de cauſa Protagoras in exilium ivit: Anaxagoram in vincula conjectum magna labore liberavit Pericles. Socrates autem, quamvis eſſet ab iſtis remotiſſimus, tamen philoſophiæ nomine ſublatus eſt. Tandem Platonis effulgens autoritas, ob vitam ejus, & quia principiis ſubjugavit naturales iſtas neceſſitates divinis potentioribuſque, calumnias his præceptis deterſit, ac diſciplinis mathematicis viam ad omnes munivit. Itaque amicus ejus Dion, quo tempore ex Zacyntho ſolvens contra Dionyſium profecturus erat, nihil ſane defectione lunæ commotus vela fecit, exegitque delatus Syracuſas tyrannum. Atqui accidit Niciæ tunc, ut ne peritum quidem hariolum haberet. Nam familiaris ejus, qui multum detrahebat ei ſuperſtitionis, Stilbides, paulo ante deceſſerat. Pro-

ἐπεὶ τὸ σημεῖον, ὥς φησι Φιλόχορος, φεύγουσιν οὐκ ἦν πονηρὸν, ἀλλὰ καὶ πάνυ χρηστόν. ἐπικρύψεως γὰρ αἱ σὺν φόβῳ πράξεις δέονται, τὸ δὲ φῶς πολέμιόν ἐστιν αὐταῖς. ἄλλως τε καὶ τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας ἐποιοῦντο φυλακὴν, ὡς Αὐτοκλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς. ὁ δὲ Νικίας ἄλλην ἔπειθε σελήνης ἀναμένειν περίοδον, ὥσπερ οὐκ εὐθὺς θεασάμενος αὐτὴν ἀποκαθαρθεῖσαν, ὅτε τὸν σκιερὸν τόπον καὶ ὑπὸ τῆς γῆς ἀντιφραττόμενον παρῆλθε.

Μικροῦ δὲ πάντων ἀφέμενος τῶν ἄλλων, ἐθύετο καθήμενος, ἕως ἐπῆλθον αὐτοῖς οἱ πολέμιοι, τῷ μὲν πεζῷ τὰ τείχη καὶ τὸ στρατόπεδον αὐτῶν πολιορκοῦντες, ταῖς δὲ ναυσὶ κύκλῳ τὸν λιμένα περιλαμβάνοντες, οὐκ αὐτοὶ μόνον ταῖς τριήρεσιν, ἀλλὰ καὶ τὰ παιδάρια πανταχόθεν ἐπιβαίνοντα τῶν ἁλιάδων, καὶ ταῖς σκάφαις προσπλέοντα, προὐκαλεῖτο τοὺς Ἀθηναίους καὶ προὐπηλάκιζεν. ὧν ἕνα παῖδα γνωρίμων γονέων, Ἡρακλείδην, προεξελάσαντα τῷ πλοίῳ, ναῦς Ἀττικὴ διώκουσα κατελάμβανε. δείσας δὲ περὶ αὐτῷ Πόλλιχος ὁ θεῖος, ἀντελαύνει δέκα τριήρεσιν, ὧν ἦρχεν· οἱ δὲ ἄλλοι περὶ τοῦ Πολλίχου φοβηθέντες, ὡσαύτως ἀνήγοντο. καὶ ναυμαχίας ἰσχυρᾶς γενομένης, ἐνίκησαν οἱ Συρακούσιοι, καὶ τὸν Εὐρυμέδοντα πολλῶν μετ' ἄλλων διέφθειραν. ἦν οὖν οὐκέτι μένειν ἀνασχετὰ Ἀθηναίοις, ἀλλὰ τῶν στρατηγῶν κατεβόων, πεζῇ κελεύοντες ἀναχωρεῖν. καὶ γὰρ οἱ Συρακούσιοι νικήσαντες, εὐθὺς ἐνέφραξαν καὶ ἀπέκλεισαν τὸν διέκπλουν τοῦ λιμένος. οἱ δὲ περὶ τὸν Νικίαν, τοῦτο μὲν οὐκ ἐπεί-

Prodigium erat alioquin id (ut Philochorus ait) haud fœdum fugientibus, immo admodum fauſtum: ſiquidem occultari, quæ geruntur cum metu, quærunt, lucemque habent infeſtam. Alioquin etiam in ſolis & lunæ laboribus, non niſi tribus diebus (ut annotavit in commentariis Autoclides) ſoliti erant ſibi cavere, & eos ſuſpectos habere. Nicias vero alium ſuadebat exſpectandum lunæ ambitum: quaſi vero non conſpecturus eſſet illico eam illuſtratam, ubi locum inumbratum & a terra obſtructum prætervecta eſt.

At ille relictis aliis pene omnibus digreſſus ſacrificavit reſes, quouſque ſupervenerunt ipſis hoſtes, qui copiis terreſtribus murum & caſtra eorum obſederunt, navibus portum undique cinxerunt. Neque hi modo ex triremibus, verum etiam pueri omni ex parte conſcendentes parvis naviculis & ſcaphis advecti laceſſiverunt Athenienſes, eiſque inſultaverunt. Eorum unum puerum claris natalibus Heraclidem, navigio ante cæteros evectum, navis Attica inſequuta pene comprehendit. Cujus periculo patruus motus Pollichus, decem triremibus, quibus præerat, infeſtus occurrit. Cæteri, Pollicho timentes, pari modo evecti ſunt. Acri commiſſa pugna, Syracuſani victoriam obtinuerunt, atque Eurymedonta cum multis aliis occiderunt. Athenienſes igitur non ultra paſſi moram, duces inceſſerunt convitiis, ac terra juſſerunt ſe abduci. Victores enim Syracuſani extemplo obſepſerant & occluſerant fauces portus. At non eſt iis Nicias aſſen-

ἐπείθοντο· δεινὸν γὰρ ἦν ἀπολιπεῖν ὁλκάδας τε πολλὰς καὶ τριήρεις ὀλίγον ἀριθμὸν διακοσίων ἀποδεούσας· ἐμβιβάσαντες δὲ τῶν πεζῶν τοὺς ἀρίστους, καὶ τῶν ἀκοντιστῶν τοὺς ἀλκιμωτάτους, ἐπλήρωσαν ἑκατὸν καὶ δέκα τριήρεις. αἱ γὰρ ἄλλαι ταρσῶν ἐνδεεῖς ἦσαν. τὸν δὲ λοιπὸν ὄχλον ἔστησε παρὰ τὴν θάλασσαν ὁ Νικίας, ἐκλιπὼν τὸ μέγα στρατόπεδον, καὶ τὰ τείχη τὰ συνάπτοντα πρὸς τὸ Ἡράκλειον. ὥστε μὴ τεθυκότων τὴν εἰθισμένην θυσίαν τῷ Ἡρακλεῖ τῶν Συρακουσίων, θῦσαι τότε τοὺς ἱερεῖς καὶ στρατηγοὺς ἀναβάντας.

Ἤδη δὲ πληρουμένων τῶν τριήρων, ἐπειδὴ οἱ μάντεις τοῖς Συρακουσίοις ἀπήγγειλαν ἐκ τῶν ἱερῶν λαμπρότητα καὶ νίκην, μὴ καταρχομένοις μάχης, ἀλλ' ἀμυνομένοις, (καὶ γὰρ τὸν Ἡρακλέα πάντων κρατεῖν ἀμυνόμενον καὶ προεπιχειρούμενον) ἀνήχθησαν. ἡ δὲ ναυμαχία πολὺ μεγίστη καὶ καρτερωτάτη γενομένη, καὶ μηδὲν ἐλάττονα πάθη καὶ θορύβους παρασχοῦσα τοῖς θεωμένοις ἢ τοῖς ἀγωνιζομένοις, διὰ τὴν παντὸς ἐπίβλεψιν τοῦ ἔργου ποικίλας μεταβολὰς καὶ ἀπροσδοκήτως ἐν ὀλίγῳ λαμβάνοντος, ἔβλαπτε ταῖς αὐτῶν παρασκευαῖς οὐχ ἧττον τῶν πολεμίων τοὺς Ἀθηναίους. ἀθρόαις γὰρ ἐμάχοντο ταῖς ναυσὶ καὶ βαρείαις πρὸς κούφας, ἀλλαχόθεν ἄλλαις ἐπιφερομέναις, καὶ βαλλόμενοι λίθοις ὁμοίαν ἔχουσι τὴν πληγὴν πανταχόθεν, ἀντέβαλλον ἀκοντίοις καὶ τοξεύμασιν, ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέστρεφεν, ὥστε μὴ πάντα καθ' αἰχμὴν προσφέρεσθαι. ταῦτα δ' Ἀρίστων ὁ Κορίνθιος κυβερνήτης ἐδίδαξε τοὺς Συρακουσίους, καὶ παρὰ τὴν μάχην αὐτὴν ἀγωνιζόμενος προ-

assensus. Siquidem indigna res videbatur magnum numerum relinquere navium onerariarum & triremes paulo minus ducentas, sed impositis fortissimis quibusque peditum & jaculatorum robustissimis, complevit centum & decem triremes: nam cæteræ erant remigio nudatæ. Reliquam turbam desertis magnis castris & muris ad fanum Herculis pertinentibus collocavit Nicias in littore. Itaque quod diu solennia sacra Herculi non fecissent Syracusani, sacerdotes & duces ascenderunt eo immolaveruntque.

Navibus jam completis renuntiaverunt Syracusanis læta exta & victoriam aruspices, si non committerent conflictum, sed vim propulsarent. Etenim superasse omnes Herculem se defendendo prius violatum. Atque ita provecti sunt. Prœlium hoc navale multo fuit maximum & acerrimum, neque minores præbuit motus & perturbationes spectatoribus quam prœliantibus, quod essent in conspicuo omnia facta, in quibus magnæ inclinationes atque inexpectatæ extitere. Suus apparatus Athenienses non minus quam hostes offendit: quippe confertis navibus dimicabant, & gravibus adversus expeditas, quarum alia ex parte aliæ incurrebant, ac lapidibus petiti, æquabilem habentibus undique ictum, contra ingerebant jacula & sagittas, quorum detorsit fluctus directum jactum, ne omnia spiculo adigerentur. Id suggessit Syracusanis Corinthius Aristo gubernator, qui in ipso conflictu strenue dimicans

προθύμως, ἔπεσεν ἤδη κρατούντων τῶν Συρακουσίων. γενομένης δὲ μεγάλης τροπῆς καὶ φθορᾶς, ἡ μὲν κατὰ θάλασσαν φυγὴ τοῖς Ἀθηναίοις ἀποκέκοπτο. χαλεπὴν δὲ καὶ διὰ γῆς τὴν σωτηρίαν ὁρῶντες, οὔτε ναῦς ἀφέλκοντας ἐγγύθεν ἔτι τοὺς πολεμίους ἐκώλυον, οὔτε νεκρῶν ᾔτησαν ἀναίρεσιν· ἅτε δὴ τῆς ἐκείνων ἀταφίας, τὴν τῶν νοσούντων καὶ τετρωμένων ἀπόλειψιν οἰκτροτέραν οὖσαν. ἃ δὴ πρὸς ὀφθαλμῶν ἔχοντες, αὐτοὺς δὲ κἀκείνων ἐπιπονωτέρους ἡγούμενοι, μετὰ πλειόνων κακῶν ἐπὶ ταυτὸ πάντως ἀφιξομένους τέλος.

Ὡρμημένων δ' αὐτῶν ἀπαίρειν διὰ νυκτὸς, οἱ μὲν περὶ τὸν Γύλιππον ὁρῶντες ἐν θυσίαις καὶ πότοις τοὺς Συρακουσίους διά τε τὴν νίκην καὶ τὴν ἑορτὴν ὄντας, οὔτε πείσειν, οὔτε βιάσεσθαι προσεδόκων ἀναστάντας ἤδη προσφέρεσθαι τοῖς πολεμίοις ἀπιοῦσιν. Ἑρμοκράτης δ' αὐτὸς ἀφ' ἑαυτοῦ συνθεὶς ἐπὶ τὸν Νικίαν ἀπάτην, ἔπεμψέ τινας τῶν ἑταίρων πρὸς αὐτὸν, ἀπ' ἐκείνων μὲν ἥκειν τῶν ἀνδρῶν φάσκοντας, οἳ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι, παραινοῦντας δὲ μὴ πορεύεσθαι διὰ τῆς νυκτὸς, ὡς τῶν Συρακουσίων ἐνέδρας πεποιημένων αὐτοῖς, καὶ προκατεχόντων τὰς παρόδους. τούτῳ δὲ καταστρατηγηθεὶς ὁ Νικίας, διέμενεν ἀψευδῶς, καὶ ἔδεισε μὴ τὸ τῶν πολεμίων ἀληθῶς παθεῖν. προελθόντες γὰρ ἅμ' ἡμέρᾳ τὰς δυσχωρίας τῶν ὁδῶν κατέλαβον, καὶ τὰς διαβάσεις τῶν ποταμῶν ἀπετείχισαν, τάς τε γεφύρας ἀπέκοψαν, ἐν δὲ τοῖς ὁμαλοῖς καὶ πεδινοῖς τοὺς ἱππεῖς ἔταξαν, ὥστε μηδένα λελεῖφθαι τοῖς Ἀθηναίοις τόπον ἀμαχεὶ προελθεῖν. οἱ δὲ καὶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν νύκτα

cans vincentibus jam Syracuſanis cecidit. Ingenti clade & ſtrage data, Athenienſibus fuga mari præciſa eſt: qui quum terra item difficilem ſalutis expeditionem cernerent, neque hoſtes, quum abſtraherent ex propinquo naves, arcuerunt, neque corpora petierunt ad ſepulturam; quando ægrorum & ſauciorum, qui deſerendi erant, quam illorum inſepultorum ſortem ducebant miſerabiliorem. Quæ quum ante oculos haberent, ſemetipſos etiam illis calamitoſiores exiſtimabant, qui per plures ærumnas eodem tandem eſſent omnino perventuri.

Molientibus autem his noctu ab urbe movere ſigna, cernens Syracuſanos Gylippus ſacrificiis & poculis ob victoriam & ſolennem feſtivitatem immerſos, deſperavit vel monendo vel cogendo excitaturum ſe eos, ut abeuntes adorirentur hoſtes. At Hermocrates dolum ex ſemetipſo in Niciam commentus, miſit ad eum certos ex amicis ſuis, qui venire ſimulabant ſe ab illis qui ante conſueverant clam cum eo colloqui. Hi monuerunt eum ne ſe nocte moveret, quod ipſis locaſſent Syracuſani inſidias, anguſtiaſque, quibus tranſeundum erat, inſediſſent. Hac fraude deceptus Nicias remanſit ſimpliciter, ac veritus eſt ne non vere in hoſtium retia incideret: ſiquidem prima luce præcurrerunt, ſaltus obſederunt, vada fluviorum munierunt muris, pontes reſciderunt, locis planis & campeſtribus equites locaverunt, nullus ut eſſet relictus Athenienſibus locus ſine dimicatione progrediendi. Athenienſes quum & illum diem & inſequentem noctem

τα τὴν ἑτέραν ἐπιμείναντες, ἐπορεύοντο κλαυθμῷ καὶ ὀλοφυρμῷ, καθάπερ ἐκ πατρίδος, οὐ πολεμίας ἀνιστάμενοι, διὰ τὰς ἀπορίας τῶν ἀναγκαίων, καὶ τὰς ἀπολείψεις τῶν ἀδυνάτων φίλων καὶ συνήθων· ὅμως τὰ παρόντα κακὰ κουφότερα τῶν προσδοκωμένων νομίζοντες εἶναι. πολλῶν δὲ δεινῶν ἐν τῷ στρατοπέδῳ φαινομένων, οὐδὲν ἦν οἰκτρότερον αὐτοῦ Νικίου θέαμα, κεκακωμένου μὲν ὑπὸ τῆς ἀσθενείας, συνεσταλμένου δὲ παρ' ἀξίαν εἰς ἀναγκαίαν δίαιταν καὶ τὰ σμικρότατα τῶν ἐφοδίων εἰς τὸ σῶμα, πολλῶν διὰ τὴν νόσον δεόμενον· πράττοντος δὲ μετ' ἀῤῥωστίας, καὶ καρτεροῦντος, ἃ πολλοὶ τῶν ἐῤῥωμένων μόλις ὑπέμενον· καταφανοῦς καὶ πᾶσιν ὄντος, οὐ δι' αὐτὸν οὐδὲ τῷ φιλοψυχεῖν τοῖς πόνοις ἐμμένοντος, ἀλλὰ δι' ἐκείνους τὴν ἐλπίδα μὴ προϊεμένου. καὶ γὰρ εἰς δάκρυα καὶ ὀδυρμοὺς τῶν ἄλλων ὑπὸ φόβου καὶ λύπης τρεπομένων, ἐκεῖνος εἴ ποτε βιασθείη τοῦτο ποιῆσαι, δῆλος ἦν τὸ αἰσχρὸν καὶ τὸ ἀκλεὲς τῆς στρατείας ἀναλογιζόμενος πρὸς τὸ μέγεθος καὶ τὴν δόξαν ὧν ἤλπιζε κατορθώσειν. οὐ μόνον δ' αὐτοῦ τὴν ὄψιν ὁρῶντες, ἀλλὰ καὶ τῶν λόγων μνημονεύοντες, καὶ τῶν παραινέσεων ἃς ἐποιήσατο κωλύων τὸν ἔκπλουν, ἔτι μᾶλλον ἐνόμιζον ἀναξίως ταλαιπωρεῖν· καὶ πρὸς τὰς ἐκ Θεῶν ἐλπίδας ἀθύμως εἶχον, ἐννοοῦντες ὡς ἀνὴρ θεοφιλὴς καὶ πολλὰ καὶ μεγάλα λαμπρυνόμενος πρὸς τὸ θεῖον, οὐδενὸς ἐπιεικεστέρᾳ τύχῃ χρῆται τῶν κακίστων ἐν τῷ στρατεύματι καὶ ταπεινοτάτων.

Οὐ μὴν ἀλλ' ὅ γε Νικίας ἐπειρᾶτο καὶ φωνῇ καὶ προσώπῳ καὶ δεξιώσει κρείττων ὁρᾶσθαι τῶν δεινῶν. καὶ παρὰ πᾶσάν γε τὴν πορείαν ἐφ' ἡμέρας ὀκτὼ

noctem ibi commorati essent, ob necessariorum inopiam & imbecillos amicos familiaresque, quos relinquebant, quasi ex patria migrarent, non ex hostico, cum ejulatu perrexerunt & lamentatione. Attamen præsentia mala ducebant imminentibus leviora. Quum essent autem acerba spectacula in exercitu multa, nullum ipso erat Nicia ærumnosius, tum valetudine corporis affecto, tum indigne contracto ob viatici exiguitatem ad curam angustam corporis, quod multa morbi causa requirebat. Quum faceret tamen in hac imbecillitate & toleraret ea quæ multi vix sustinebant valentes; cum perspiciebant omnes, non sui causa nec vitæ cupiditate in illis perdurare ærumnis, verum ipsorum causa spem non abjicere. Nam quum alii ad lacrymas & gemitus ex timore atque mœrore converterent se, illum, si quando esset eo compulsus, liquebat maculam & deformitatem reputare hujus expeditionis cum magnitudine & gloria rerum, quas speraverat perpetrare. Neque vero solum quum speciem illius intuerentur, verum etiam quum dictorum reminiscerentur ac monitorum ejus, quum ab ea expeditione deterreret populum, multo censebant indigniorem ejus fortunam; neque spem in Diis ullam reponebant, volventes secum virum religiosum, qui prolixissimus in Deos fuerat, nihilo sorte uti clementiore quam deterrimi in exercitu & abjectissimi.

Veruntamen enitebatur Nicias voce, vultu, suis compellandis superiorem se calamitatibus ostendere, atque itinere toto dum per dies octo

ὀκτὼ βαλλόμενος καὶ τραυματιζόμενος ὑπὸ τῶν πολεμίων, ἀήττητον ἐφύλαττε τὴν σὺν αὐτῷ δύναμιν, ἄχρις οὗ Δημοσθένης ἑάλω, καὶ τὸ μετ' ἐκείνου στράτευμα, περὶ τὴν Πολυζήλειον αὐλὴν ἐν τῷ διαμάχεσθαι καὶ ὑπολείπεσθαι κυκλωθέν. αὐτὸς δὲ Δημοσθένης σπασάμενος τὸ ξίφος, ἔπληξε μὲν ἑαυτὸν, οὐ μὴν ἀπέθανε, ταχὺ τῶν πολεμίων περισχόντων καὶ συλλαβόντων. ὡς δὲ τῷ Νικίᾳ προσελάσαντες ἔφραζον οἱ Συρακούσιοι, καὶ πέμψας ἱππέας, ἔγνω τὴν ἐκείνου τοῦ στρατεύματος ἅλωσιν, ἠξίου σπείσασθαι πρὸς τὸν Γύλιππον, ὅπως ἀφῶσι τοὺς Ἀθηναίους ἐκ Σικελίας, ὅμηρα λαβόντες ὑπὲρ τῶν χρημάτων ὅσα Συρακουσίοις ἀνάλωτο πρὸς τὸν πόλεμον. οἱ δ' οὐ προσεῖχον, ἀλλὰ πρὸς ὕβριν καὶ μετ' ὀργῆς ἀπειλοῦντες καὶ λοιδοροῦντες ἔβαλλον, ἤδη πάντων ἐνδεῶς ἔχοντα τῶν ἀναγκαίων. οὐ μὴν ἀλλὰ καὶ τὴν νύκτα διεκαρτέρησε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν προῄει βαλλόμενος πρὸς τὸν Ἀσίναρον ποταμόν. ἐκεῖ δὲ τοὺς μὲν οἱ πολέμιοι συνενεγκόντες ἐνέσεισαν εἰς τὸ ῥεῖθρον, οἱ δὲ, φθάνοντες ὑπὸ δίψους ἔρριπτον ἑαυτούς· καὶ πλεῖστος ἐνταῦθα μόρος ἦν καὶ ὠμότατος, ἐν τῷ ποταμῷ πινόντων ἅμα καὶ σφαττομένων. ἄχρι Νικίας Γυλίππῳ προσπεσὼν, εἶπεν, Ἔλεος ὑμᾶς, Γύλιππε, λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδεὶς, ὃς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξας ἔχον, τῶν δ' ἄλλων Ἀθηναίων, ἐννοηθέντας ὅτι κοιναὶ μὲν αἱ τύχαι τοῦ πολέμου, μετρίως δ' αὐταῖς καὶ πράως ἐχρήσαντο ἐν οἷς ηὐτύχουν Ἀθηναῖοι πρὸς ὑμᾶς. τοιαῦτα τοῦ Νικίου λέγοντος, ἔπαθε μέν τι καὶ πρὸς τὴν ὄψιν αὐτοῦ καὶ πρὸς τοὺς λόγους ὁ Γύλιππος· ᾔδει γὰρ τοὺς Λακεδαιμονίους εὖ πεπονθότας ὑπ' αὐτοῦ περὶ τὰς γενομένας

octo jaculis percutitur & vulneratur ab hostibus, copias, quas ipse ducebat, servavit integras, donec captus Demosthenes est, & manus, cui ille præerat, ad Polyzeliam villam inter dimicandum & restitandum circumventa. Demosthenes quidem districto ense percussit seipsum, sed ictu non lethali, quod cito eum cingerent & comprehenderent hostes. Ut Niciæ Syracusani advecti casum nuntiarunt illius, atque hic missis equitibus illas copias cognovit in deditionem venisse, petiit a Gylippo inducias, ut Athenienses ex Sicilia dimitterent incolumes, obsidibus acceptis de impensa, quam eo bello fecerant Syracusani. At hi cum id rejecerunt, tum superbe atrociterque minitantes proscindentesque jaculis omnium jam rerum egenum petierunt. Sustinuit tamen illam noctem, & postero die processit inter hostium tela ad Asinarum amnem. Illic hostes alios vi impulerunt in flumen, alii occuparunt præ siti abjicere semetipsos. Atque ibi in fluvio, dum simul & bibunt & contrucidantur, maxima strages & cruentissima edita est; quousque genibus advolutus Gylippi Nicias, Misereat, inquit, vos Gylippe victores, nequaquam mei quidem, qui ex tantis cladibus nomen & famam comparavi, sed Atheniensium reliquorum, memores belli communem esse aleam, ea autem moderate clementerque adversus vos in rebus suis secundis usos Athenienses. Ita fati Niciæ nonnihil est Gylippus tum conspectu tum oratione motus. Sciebat enim in componenda pace bene meritum de Lacedæmoniis Niciam.

μένας διαλύσεις· μέγα δ' ἡγεῖτο πρὸς δόξαν, εἰ ζῶντας ἀπαγάγοι τοὺς ἀντιστρατήγους. διὸ τόν τε Νικίαν ἀναλαβὼν ἐθάρρυνε, καὶ τοὺς ἄλλους ζωγρεῖν παρήγγελε. βραδέως δὲ τοῦ παραγγέλματος διϊκνουμένου, πολλῷ τῶν φονευθέντων ἐλάττονες οἱ διασωθέντες ἐγένοντο. καίτοι πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν. τοὺς δὲ φανερῶς ἑαλωκότας ἀθροίσαντες, τὰ μὲν κάλλιστα καὶ μέγιστα δένδρα τῶν περὶ τὸν ποταμὸν ἀνέδησαν αἰχμαλώτοις πανοπλίαις, ἐστεφανωμένοι δὲ αὐτοὶ καὶ κοσμήσαντες ἵππους διαπρεπῶς, κείραντες δὲ τοὺς τῶν πολεμίων, εἰσήλαυνον εἰς τὴν πόλιν, ἀγῶνα λαμπρότατον, ὃν Ἕλληνες πρὸς Ἕλληνας ἠγωνίσαντο, καὶ νίκην τελεωτάτην κράτει πλείστῳ καὶ ῥώμῃ μεγίστῃ προθυμίας καὶ ἀρετῆς κατωρθωκότες.

Ἐκκλησίας δὲ πανδήμου Συρακουσίων καὶ τῶν συμμάχων γενομένης, Εὐρυκλῆς δημαγωγὸς ἔγραψεν, πρῶτον μὲν τὴν ἡμέραν ἐν ᾗ τὸν Νικίαν ἔλαβον, ἱερὰν ἔχειν, θύοντας καὶ σχολάζοντας ἔργων, Ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποπαμοῦ καλοῦντας. ἡμέρα δ' ἦν τετρὰς φθίνοντος τοῦ Καρνείου μηνὸς, ὃν Ἀθηναῖοι Μεταγειτνιῶνα προσαγορεύουσι. τῶν δ' Ἀθηναίων τοὺς μὲν οἰκέτας ἀποδόσθαι, καὶ τοὺς ἄλλους συμμάχους, αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ Σικελίας φρουρεῖν, ἐμβαλόντας εἰς τὰς λατομίας, πλὴν τῶν στρατηγῶν· ἐκείνους δὲ ἀποκτεῖναι. ταῦτα προσδεχομένων τῶν Συρακουσίων, Ἑρμοκράτης μὲν εἰπὼν ὅτι τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη. Γύλιππον δὲ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν Λα-

em. Magnificum ſimul ad gloriam putabat, ſi duces hoſtium captivos abduxiſſet. Itaque Niciam comiter excipit & confirmat, edicitque ut cæteros capiant. Cæterum perlato tarde ad omnes edicto, longe minor fuit captorum quam interfectorum numerus, quamvis multos ſubducerent milites. Contractis autem omnibus qui propalam capti erant, pulcherrimas & excelſiſſimas arbores ſecundum amnem ſpoliis captivorum exornavere. Ipſi coronati equis ſuis eximie excultis & hoſtium tonſis urbem ſunt invecti, quod nobiliſſimo certamine quod unquam Græci contra Græcos decertaverant, ſolidam victoriam maxima contentione & ſumma vi ſtrenuitatis ac virtutis reportaſſent.

Inde totius populi Syracuſani & ſociorum concione advocata, Eurycles concionator legem rogavit, primum, ut diem, quo ceperant Niciam, feſtum agerent, eoque ſacrificarent atque ab operibus feriarentur, eumque diem feſtum a fluvio appellarent Aſinarium. Dies fuit viceſimus ſeptimus menſis Carnei, quem Metagitniona Athenienſes vocant: Athenienſium ſervitia & alii ſocii ſub haſta venderentur: ipſi, & ſiqui eſſent eorum ſocii Siculi, in vinculis haberentur, & in lapidicinas conderentur, exceptis ducibus: illi ut necarentur. Sciſcente hæc populo Syracuſano, Hermocrates, quum commemoraſſet bene uti victoria præſtantius eſſe quam vincere, non mediocri eſt tumultu exceptus. Gylippum vero duces Athenienſium depoſcentem ſibi condonari, quo ducere eos Lacedæmonem

Λακεδαιμονίοις, ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ Συρακούσιοι, κακῶς ἔλεγον, ἄλλως τε καὶ παρὰ τὸν πόλεμον, αὐτοῦ τὴν τραχύτητα καὶ τὸ Λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥᾳδίως ἐνηνοχότες· ὡς δὲ Τίμαιός φησι, καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν κατεγνωκότες, ἀῤῥώστημα πατρῷον, ἐφ' ᾧ καὶ Κλεανδρίδης ὁ πατὴρ αὐτοῦ δώρων ἁλοὺς ἔφυγε. καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων, ἃ Λύσανδρος ἔπεμψεν εἰς τὴν Σπάρτην, ὑφελόμενος τριάκοντα, καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθεὶς, αἴσχιστα πάντων ἐξέπεσεν. ἀλλὰ ταῦτα μὲν ἐν τῷ Λυσάνδρου βίῳ μᾶλλον διηκρίβωται. Δημοσθένην δὲ καὶ Νικίαν ἀποθανεῖν Τίμαιος οὔ φησιν ὑπὸ τῶν Συρακουσίων καταλευσθέντας, ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, ἀλλ' Ἑρμοκράτους πέμψαντος, ἔτι τῆς ἐκκλησίας συνεστώσης, καὶ δι' ἑνὸς τῶν φυλάκων παρέντων, αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν· τὰ μέντοι σώματα πρὸς ταῖς πύλαις ἐκβληθέντα, κεῖσθαι φανερὰ τοῖς δεομένοις τοῦ θεάματος. πυνθάνομαι δὲ μέχρι νῦν ἐν Συρακούσαις ἀσπίδα κειμένην πρὸς ἱερῷ δείκνυσθαι, Νικίου μὲν λεγομένην, χρυσοῦ δὲ καὶ πορφύρας εὖ πως πρὸς ἄλληλα μεμιγμένων δι' ὑφῆς συγκεχρωσμένην.

Τῶν δ' Ἀθηναίων οἱ μὲν πλεῖστοι διεφθάρησαν ἐν ταῖς λατομίαις ὑπὸ νόσου καὶ διαίτης πονηρᾶς, εἰς ἡμέραν ἑκάστου κοτύλας δύο κριθῶν λαμβάνοντες, καὶ μίαν ὕδατος. οὐκ ὀλίγοι δ' ἐπράθησαν διακλαπέντες, ἢ καὶ διαλαθόντες, ὡς οἰκέται. καὶ τούτους ὡς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. ἀλλ' ἦσαν οἱ καὶ τοῦτο πρὸς τῷ δουλεύειν ὑπομένοντες. ἐβοήθει δὲ

καὶ

nem posset, luxuriantes jam rebus secundis insectati Syracusani sunt, alioquin ejus etiam in bello asperitatem & Laconicum pertæsi imperium. Sordes quoque ejus (ut ait Timæus) avaritiamque damnaverunt, vitium paternum: ob quod Cleandrides item pater ejus repetundarum damnatus, exilii causa solum vertit: & hic ipse ex mille talentis, quæ Lysander Spartam misit, depeculatus triginta, quæ sub tecto recondiderat, inde detectus fœdissime conscivit sibi exilium. Cæterum hæc in historia Lysandri exequuti sumus fusius. Demosthenem autem & Niciam periisse Timæus negat lapidibus ab Syracusanis coopertos, ut Philistus & Thucydides scriptum reliquerunt, sed certiores factos ab Hermocrate quid ageretur, quum nondum dimissa concione misisset ad eos certum, qui ab uno fuit ex custodibus admissus, sibimet ipsos mortem conscivisse. Corpora tamen ante portam projecta in publicum ad cujuslibet spectaculum fuisse. Accepi Syracusis etiam hac ætate ostendi in templo quodam fixum clypeum, quem Niciæ autumant fuisse, auro & purpura affabre inter se contextis compactum.

Athenienses plerique in latomiis morbo & victu pravo absumpti sunt: siquidem hordei heminæ binæ, singulæ aquæ illis in dies præbebantur. Non paucos surreptos venumdedere, aut non cognitos pro servis distraxere, equo in fronte compunctos, ac fuerunt qui præter servitutem hoc etiam tulere. Verum

sublevavit

καὶ τούτοις ἥ τ' αἰδὼς καὶ τὸ κόσμιον· ἢ γὰρ ἠλευθεροῦντο ταχέως, ἢ τιμώμενοι παρέμενον τοῖς κεκτημένοις. ἔνιοι δὲ καὶ δι' Εὐριπίδην ἐσώθησαν. μάλιστα γὰρ, ὡς ἔοικε, τῶν ἐκτὸς Ἑλλήνων ἐπόθησαν αὐτοῦ τὴν μοῦσαν οἱ περὶ Σικελίαν· καὶ μικρὰ τῶν ἀφικνουμένων ἑκάστοτε δείγματα καὶ γεύματα κομιζόντων ἐκμανθάνοντες, ἀγαπητῶς μετεδίδοσαν ἀλλήλοις. τότε γοῦν φασι τῶν σωθέντων οἴκαδε συχνοὺς ἀσπάσασθαι τὸν Εὐριπίδην φιλοφρόνως, καὶ διηγεῖσθαι τοὺς μὲν, ὅτι δουλεύοντες ἀφείθησαν, ἐκδιδάξαντες ὅσα τῶν ἐκείνου ποιημάτων ἐμέμνηντο, τοὺς δ', ὅτι πλανώμενοι μετὰ τὴν μάχην, τροφῆς καὶ ὕδατος μετέλαβον τῶν μελῶν ᾄσαντες. οὐ δεῖ δὲ θαυμάζειν ὅτι τοῦ Καυνίου φασὶ πλοίου προσφερομένου τοῖς λιμέσιν, ὑπὸ λῃστρίδων διωκομένου, μὴ μάχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν· εἶτα μέντοι διαπυνθανομένους εἰ γινώσκουσιν ᾄσματα τοῦ Εὐριπίδου, φησάντων ἐκείνων, οὕτω παρεῖναι καὶ καταγαγεῖν τὸ πλοῖον.

Ἀθηναίοις δέ φασι τὴν συμφορὰν οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. ξένος γάρ τις, ὡς ἔοικεν, ἀποβὰς εἰς Πειραιᾶ, καὶ καθίσας ἐπὶ κουρεῖον, ὡς ἐγνωκότων ἤδη τῶν Ἀθηναίων, λόγους ἐποιεῖτο περὶ τῶν γεγονότων. ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυνθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ, καὶ προσβαλὼν τοῖς ἄρχουσιν, εὐθὺς κατ' ἀγορὰν ἐνέβαλε τὸν λόγον. ἐκπλήξεως δὲ καὶ ταραχῆς, ὡς εἰκὸς, γενομένης, οἱ μὲν ἄρχοντες ἐκκλησίαν συναγαγόντες, εἰσήγαγον τὸν ἄνθρωπον. ὡς δ' ἐρωτώμενος παρ' οὗ πύθοιτο, σαφὲς

sublevavit hos verecundia & modestia sua: quippe vel brevi manumissi fuerunt, vel in honore habiti remanserunt apud dominos. Fuerunt & nonnulli Euripidis causa conservati. Nam præter cæteros interiores Græcos desideraverunt illius versus maxime ii qui Siciliam incolebant. Quod siqua specimina & gustus horum adferrent ii qui quotidie appellebant, ea ediscebant, lætique inter se communicabant. Plures autem tunc commemorant, qui sospites domum reversi sunt, Euripidem benigne salutavisse, ac prædicasse alios, fuisse se manumissos, quod quæ ipsius carmina tenuerant memoria, illos ea docuissent, alios palantes post pugnam, fuisse cibo & potu adjutos, quum versus illius canerent. Neque id novum est: quia Caunium navigium ferunt, quum litori appelleret Siculo, prementibus navibus prædatoriis, Siculos primo non recepisse, sed repulisse: tandem rogatos nossentne cantica Euripidis, ubi scire ostenderunt, tum applicare navigium permisisse.

Apud Athenienses ferunt hanc cladem maxime propter nuntium non fidem reperisse. Siquidem peregrinus quidam qui forte in Pyræum descenderat, & in tonstrina sedebat, quasi re Atheniensibus jam nota, sermonem habuit de gestis illis. Tonsor, ubi audivit, priusquam divulgaretur apud alios, cursum contendit in urbem, ac quum ad Magistratus contulisset se, detulit illico ea dicta in forum. Pavore & trepidatione haud immerito insequuta, archontes advocata concione hominem produxere. Qui interrogatus de quo accepisset, quum nihil certi ha-

σαφὲς οὐδὲν εἶχε φράζειν, δόξας λογοποιὸς εἶναι, καὶ ταράττειν τὴν πόλιν, εἰς τὸν τροχὸν καταδεθεὶς ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν ὡς εἶχεν ἀπαγγέλλοντες. οὕτω μόλις ὁ Νικίας ἐπιστεύθη παθὼν ἃ πολλάκις αὐτοῖς προεῖπεν.

beret dicere, pro mendace & civitatis turbatore in rotam deligatus & diu tortus est, donec advenerunt qui totam cladem ordine annuntiarunt. Adeo ægre crediderunt ea Niciam esse passum, que eventura sæpius iis prædixerat.

ΜΑΡΚΟΣ ΚΡΑΣΣΟΣ.

ΜΑΡΚΟΣ δὲ Κράσσος, ἦν τιμητικοῦ καὶ θριαμβικοῦ πατρός· ἐτράφη δ' ἐν οἰκίᾳ μικρᾷ μετὰ δυοῖν ἀδελφῶν. καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γυναῖκες ἦσαν, ἔτι τῶν γονέων ζώντων· καὶ πάντες ἐπὶ τὴν αὐτὴν ἐφοίτων τράπεζαν. ὅθεν οὐχ ἥκιστα δοκεῖ καὶ διὰ τοῦτο σώφρων καὶ μέτριος γενέσθαι περὶ τὴν δίαιταν. ἀποθανόντος δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν, τῇ γυναικὶ συνῴκησε, καὶ τὰς παῖδας ἐξ ἐκείνης ἔσχεν, οὐδενὸς ἧττον καὶ περὶ ταῦτα Ῥωμαίων εὔτακτος γενόμενος. καίτοι προϊὼν καθ' ἡλικίαν, αἰτίαν ἔσχε Λικιννίᾳ συνιέναι τῶν Ἑστιάδων μιᾷ παρθένων· καὶ δίκην ἔφυγεν ἡ Λικιννία, Πλωτίνου τινὸς διώκοντος. ἦν δὲ προάστειον αὐτῇ καλὸν, ὃ βουλόμενος λαβεῖν ὀλίγης τιμῆς ὁ Κράσσος, καὶ διὰ τοῦτο προσκείμενος ἀεὶ τῇ γυναικὶ καὶ θεραπεύων, εἰς τὴν ὑποψίαν ἐκείνην ἐνέπεσε· καὶ τρόπον τινὰ τῇ φιλοπλουτίᾳ τὴν αἰτίαν τῆς φθορᾶς ἀπολυσάμενος, ὑπὸ τῶν δικαστῶν ἀφείθη. τὴν δὲ Λικιννίαν οὐκ ἀνῆκε πρότερον ἢ τοῦ κλήματος κρατῆσαι. Ῥω-

M. Crassus patrem habuit cenſorium & triumphalem. Eductus eſt anguſtis in ædibus in duorum fratrum contubernio. Fratres ejus uxores ſuperſtitibus adhuc parentibus duxerant, utebanturque menſa omnes eadem. Ob quod vel maxime vita temperans fuiſſe & moderatus videtur. Altero defuncto fratre, uxorem ejus duxit, liberoſque ſuos ex illa genuit, neque in his continentia cuiquam ceſſit Romanorum: licet ætatis progreſſu ſtupratæ virginis Veſtalis Liciniæ aſperſus ſuſpicione fuerit: cæterum Licinia, Plotino quodam accuſatore, eſt abſoluta. Poſſidebat villam illa ſuburbanam amœnam, quam dum auferre Craſſus vili pretio cupit, eam affectando & colendo in iſtam incidit ſuſpicionem, atque avaritia quodammodo crimen inceſtus diluens, a judicibus liberatus eſt. Liciniam tamen non ante dimiſit quam prœdio eſſet potitus. Per-

Ῥωμαῖοι μὲν οὖν λέγουσι πολλαῖς ἀρεταῖς τοῦ Κράσσου κακίαν μόνην ἐπισκοτῆσαι, τὴν φιλοπλουτίαν. ἔοικε δὲ μία, πασῶν δ' ἐρρωμενεστέρα τῶν ἐν αὐτῷ κακιῶν γενομένη, τὰς ἄλλας ἀμαυρῶσαι. τεκμήρια δὲ τῆς φιλοπλουτίας αὐτοῦ μέγιστα ποιοῦνται, τόν τε τρόπον τοῦ πορισμοῦ, καὶ τῆς οὐσίας τὸ μέγεθος. τριακοσίων γὰρ οὐ πλείω κεκτημένος ἐν ἀρχῇ ταλάντων, εἶτα παρὰ τὴν πολιτείαν ἀποθύσας μὲν τῷ Ἡρακλεῖ τὴν δεκάτην, καὶ τὸν δῆμον ἑστιάσας, τρεῖς δὲ μνᾶς ἑκάστῳ Ῥωμαίων σιτηρέσιον ἐκ τῶν αὐτοῦ παρασχὼν, ὅμως πρὸ τῆς ἐπὶ Πάρθους στρατείας αὐτὸς αὑτῷ θέμενος ἐκλογισμὸν τῆς οὐσίας, εὗρεν ἑκατὸν ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις. τὰ δὲ πλεῖστα τούτων, εἰ δεῖ μετὰ βλασφημίας εἰπεῖν τὸ ἀληθὲς, ἐκ πυρὸς συνήγαγε καὶ πολέμου, ταῖς κοιναῖς ἀτυχίαις προσόδῳ τῇ μεγίστῃ χρησάμενος. ὅτε γὰρ Σύλλας ἑλὼν τὴν πόλιν, ἐπώλει τὰς οὐσίας ἀνῃρημένων ὑπ' αὐτοῦ, λάφυρα καὶ νομίζων καὶ ὀνομάζων, καὶ βουλόμενος ὅτι πλείστοις καὶ ἀκρατήτοις προσομόρξασθαι τὸ ἄγος, οὔτε λαμβάνων οὔτ' ὠνούμενος ἀπεῖπε. πρὸς δὲ τούτοις, ὁρῶν τὰς συγγενεῖς καὶ συνοίκους τῆς Ῥώμης κῆρας, ἐμπρησμοὺς καὶ συνιζήσεις, διὰ βάρος καὶ πλῆθος οἰκοδομημάτων, ἐωνεῖτο δούλους ἀρχιτέκτονας καὶ οἰκοδόμους. εἶτ' ἔχων τούτους ὑπὲρ πεντακοσίους ὄντας, ἐξηγόραζε τὰ καιόμενα καὶ γειτνιῶντα τοῖς καιομένοις, διὰ φόβον καὶ ἀδηλότητα τῶν δεσποτῶν ἀπ' ὀλίγης τιμῆς προϊεμένων· ὥστε τῆς Ῥώμης τὸ πλεῖστον μέρος ὑπ' αὐτῷ γενέσθαι. τοσούτους δὲ κεκτημένος τεχνίτας, οὐδὲν ᾠκοδόμησεν αὐτὸς, ἢ τὴν

Perhibent Romani multarum Craſſi virtutum unum hoc vitium luminibus obſtruxiſſe avaritiam. In ſpecie quidem erat unum: verum, omnium in eo vitiorum quum eſſet valentiſſimum, offuſcavit cætera. Indicia ejus avaritiæ hæc potiſſima cenſent, rationem quæſtus & facultatum amplitudinem. Nam quum ab initio non excederent trecenta talenta, inde rempublicam tractans, decimam facultatum ſuarum partem Herculi ſacraſſet, præbuiſſet etiam populo epulum, ad hæc ſingulis civibus Romanis teſſeram annonariam trium menſium de ſuo dediſſet; tamen antequam ad bellum Parthicum proficiſceretur, ſubducto ſecum fortunarum ſuarum calculo, reperit in cenſu ſepties mille & centum talenta. Harum divitiarum pleraſque, ſi cum illius ignominia proferenda veritas eſt, ex igne & bello conflavit, ex publicis calamitatibus maximum quæſtum faciens. Siquidem quum Sylla capta urbe bona ab ſe interemptorum ſubhaſtaret, prædam eam ſuam & cenſens & appellans, idque agens ut quam plurimis ex potentiſſimis civibus illud inureret piaculum, nullum donum vel ſectionem repudiavit. Præterea conſiderans peſtes urbis Romæ cognatas & familiares, ædificiorum propter molem & frequentiam, incendia ac ſedimenta, ſervos comparavit architectos & fabros. Quibus ad quingentos paratis, emptitabat inflammata & vicina inflammatis, quæ domini metu & incertitudine rerum vili pretio dimittebant. Ita pars urbis maxima in illius recidit mancipium. Qui quum manum tantam haberet artificum, niſi propriam domum nihil ipſe ædificavit, cupidos

τὴν ἰδίαν οἰκίαν, ἀλλ' ἔλεγε τοὺς φιλοικοδόμους αὐτοὺς ὑφ' ἑαυτῶν καταλύεσθαι, χωρὶς ἀνταγωνιστῶν. ὄντων δ' αὐτῷ παμπόλλων ἀργυρείων, πολυτιμήτου δὲ χώρας, καὶ τῶν ἐργαζομένων ἐν αὐτῇ, ὅμως ἄν τις ἡγήσαιτο μηδὲν εἶναι ταῦτα πάντα πρὸς τὴν τῶν οἰκετῶν τιμήν· τοσούτους ἐκέκτητο καὶ τοιούτους, ἀναγνώστας, ὑπογραφεῖς, ἀργυρογνώμονας, διοικητάς, τραπεζοκόμους· αὐτὸς ἐπιστατῶν μανθάνουσι καὶ προσέχων καὶ διδάσκων, καὶ ὅλως νομίζων τῷ δεσπότῃ προσήκειν μάλιστα τὴν περὶ τοὺς οἰκέτας ἐπιμέλειαν, ὡς ὄργανα ἔμψυχα τῆς οἰκονομικῆς. καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος, εἴπερ, ὡς ἔλεγεν, ἡγεῖτο τὰ μὲν ἄλλα διὰ τῶν οἰκετῶν χρῆναι, τοὺς δ' οἰκέτας δι' αὐτοῦ κυβερνᾶν. τὴν γὰρ οἰκονομικήν, ἐν ἀψύχοις χρηματιστικὴν οὖσαν, ἐν ἀνθρώποις πολιτικὴν γιγνομένην ὁρῶμεν. ἐκεῖνο δὲ οὐκ εὖ, τὸ μηδένα νομίζειν μηδὲ φάσκειν εἶναι πλούσιον, ὃς οὐ δύναται τρέφειν ἀπὸ τῆς οὐσίας στρατόπεδον. ὁ γὰρ πόλεμος οὐ τεταγμένα σιτεῖται, κατὰ τὸν Ἀρχίδαμον. ὥστ' ὁ πρὸς πόλεμον πλοῦτος, ἀόριστος, καὶ πολὺ τῆς Μαρίου γνώμης ἀπηρτημένος. ἐκεῖνος γὰρ ἐπεὶ κατ' ἄνδρα νείμας ἑκάστῳ δέκα καὶ τέσσαρα πλέθρα γῆς, ἔγνω πλέον ἐπιζητοῦντας, Μηδεὶς, ἔφη, γένοιτο Ῥωμαίων ὀλίγην ἡγούμενος τὴν τρέφειν ἀρκοῦσαν.

Οὐ μὴν ἀλλὰ καὶ περὶ ξένους ἦν φιλότιμος ὁ Κράσσος. ἀνέῳκτο γὰρ οἰκία πᾶσι, καὶ τοῖς φίλοις ἐδάνειζεν ἄνευ τόκων· ἀπῄτει δ' ἀποτόμως τοῦ χρόνου παρελθόντος εἰς ὃν ἐδάνειζε, καὶ τὸ προῖκα πολλῶν ἐγίνετο τόκων

ἐπαχ-

dos dicens ædificandi a semet ipsis everti, cum nullus iis esset adversarius. Multas possidebat argenti fodinas, agrum pretiosum, multosque qui eum exercerent. Veruntamen omnia hæc minime sunt cum servorum pretio comparanda: Tam multos tamque habebat excellentes lectores, amanuenses, argentarios, dispensatores, structores. Assistebat ipse discentibus, attendebat, atque etiam docebat eos. Omnino enim putabat servorum, quasi animata essent rei familiaris instrumenta, præcipue ad dominos pertinere curam. Recte id quidem Crassus, si (ut dicebat) ita sentiebat, cætera per servos, ipsos vero esse per patrem familias regendos servos. Quippe œconomicam, quæ est disciplina tuendæ rei familiaris, quum sit in inanimatis quæstuaria, in hominibus artem esse videmus politicam & civilem. Illud parum recte, quod neminem censeret vel prædicaret divitem esse, qui suis fructibus exercitum alere non posset. Bellum enim, ut ait Archidamus, certum modum non habet pabuli: itaque opes ad bellum definiri nequeunt. Ac longe a Marii fuit sententia remotus. Ille enim, quum viritim agri jugera quaterna dena divisisset, plura autem milites cognovisset flagitare: Absit, inquit, ut civis Romanus ullus eum agrum qui alere ipsum queat existimet exiguum.

Erat in hospites tamen prolixus Crassus: siquidem patebat omnibus domus ejus, atque amicis mutuo dabat sine fœnore: verum elapso tempore, id quod crediderat repetebat præcise, & evadebat hoc gratuitum multis odiosius

ἐπαχθέστερον. ἐν δὲ τοῖς δείπνοις, ἡ μὲν κλῆσις ἦν ὡς τὰ πολλὰ δημοτικὴ καὶ λαώδης· ἡ δ' εὐτέλεια τὴν καθαριότητα καὶ τὴν φιλοφροσύνην ἡδίονα τοῦ πολυτελοῦς εἶχε. παιδείας δὲ τῆς περὶ λόγον, μάλιστα μὲν τὸ ῥητορικὸν καὶ χρειῶδες εἰς πολλοὺς ἤσκησε· καὶ γενόμενος δεινὸς εἰπεῖν ἐν τοῖς μάλιστα Ῥωμαίων, ἐπιμελείᾳ καὶ πόνῳ τοὺς εὐφυεστάτους ὑπερέβαλλεν. οὐδεμίαν γὰρ οὕτω δίκην φασὶ μικρὰν οὐδ' εὐκαταφρόνητον γενέσθαι, πρὸς ἣν ἀπαράσκευος ἦλθεν. ἀλλὰ καὶ Πομπηΐου πολλάκις ὀκνοῦντος καὶ Καίσαρος ἐξαναστῆναι καὶ Κικέρωνος, ἐκεῖνος ἀνεπλήρου τὴν συνηγορίαν. καὶ διὰ τοῦτο μᾶλλον ἤρεσκεν, ὡς ἐπιμελὴς καὶ βοηθητικός. ἤρεσκε δὲ καὶ τὸ περὶ τὰς δεξιώσεις καὶ προσαγορεύσεις φιλάνθρωπον αὐτοῦ καὶ δημοτικόν. οὐδενὶ γὰρ οὕτως ἀπήντησε Ῥωμαίων ἀδόξῳ καὶ ταπεινῷ Κράσσος, ὃν ἀσπασάμενον οὐκ ἀντιπροσηγόρευσεν ἐξ ὀνόματος. λέγεται δὲ καὶ πολυμαθὴς καθ' ἱστορίαν γενέσθαι, καί τι καὶ φιλοσοφῆσαι τοῖς Ἀριστοτέλους λόγοις προσθέμενος· ὧν διδάσκαλον εἶχεν Ἀλέξανδρον, ἄνθρωπον εὐκολίας καὶ πραότητος ἀπόδειξιν διδόντα τὴν πρὸς Κράσσον συνήθειαν. οὐ γὰρ ἦν ἀποφήνασθαι ῥᾳδίως, πότερον προσῆλθεν αὐτῷ πενέστερος, ἢ προσελθὼν ἐγένετο. μόνος δ' οὖν ἀεὶ τῶν φίλων αὐτῷ συναποδημῶν, στέγαστρον ἐλάμβανεν εἰς τὴν ὁδὸν, καὶ τοῦτ' ἐπανελθὼν ἀπῃτεῖτο. φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος. ἀλλὰ ταῦτα μὲν ὕστερον.

Ἐπεὶ δὲ Κίννα καὶ Μαρίου κρατήσαντος, εὐθὺς ἦσαν ἔνδηλοι κατιόντες οὐκ ἐπ' ἀγαθῷ

sius usuris. Mensa ejus, quum quos ad cœnas invitasset, civilis erat & popularis, ac habebat munditiem & comitatem jucundiorem hæc frugalitas splendore & sumptu. Ex litterarum studio artem oratoriam & eam qua uti in publico posset, potissimum est meditatus. Qui quanquam esset inter Romanos eloquentissimus, sedulitate tamen & labore superavit summe ad eam artem factos. Nullam enim referunt causam fuisse adeo tenuem & levem, ad quam imparatus accederet: sed Pompeio frequenter & Cæsare recusante dicere ac Cicerone, ille absolvebat defensionem. Qua de causa imprimis gratus fuit, tanquam solicitus & ad succurrendum promptus. Grata fuit etiam ejus in complectendo & salutando humanitas atque popularitas. Nulli enim civi Romano occurrebat tam obscuro vel abjecto, quem salutantem non nomine suo resalutaret. Perhibetur historiæ quoque fuisse studiosus, & vero etiam aliquid philosophiæ operæ dedisse, addictus Aristotelis scriptis, quorum habuit Alexandrum doctorem. Is facilitatis & mansuetudinis documentum ex Crassi contubernio dedit: quippe non facile dixeris, egentior ad illum venerit, an apud eum factus sit. Solus enim ex amicis peregrinantem semper comitans lecticam accipiebat, quam reposcebatur reversus. Misera profecto Alexandri patientia, qui ne paupertatem quidem in rerum indifferentium numero habuerit. Verum hæc infra.

Quum Cinnæ & Marii arma valerent, protinus ambiguum erat nemini, redire hos non ad

ἀγαθῷ τῆς πατρίδος, ἐπ' ἀναιρέσει δ' ἄντικρυς καὶ ὀλέθρῳ τῶν ἀρίστων, οἱ μὲν ἐγκαταληφθέντες ἀπέθνησκον· ὧν ἦν καὶ ὁ πατὴρ Κράσσου καὶ ὁ ἀδελφός· αὐτὸς δὲ νέος ὢν παντάπασι, τὸ μὲν αὐτίκα δεινὸν ἐξέφυγε, πάντη δὲ περιβαλλόμενον ἑαυτὸν αἰσθανόμενος καὶ κυνηγετούμενον ὑπὸ τῶν τυράννων, τρεῖς φίλους ἀναλαβὼν, καὶ θεράποντας δέκα, τάχει δ' ὑπερβάλλοντι χρησάμενος, εἰς Ἰβηρίαν ἔφυγε, γεγονὼς πάλαι στρατηγοῦντος αὐτόθι τοῦ πατρὸς, καὶ φίλους πεποιημένος. εὑρὼν δὲ πάντας περιδεεῖς, καὶ τὴν ὠμότητα τὴν Μαρίου, καθάπερ ἐφεστῶτος αὐτοῖς, τρέμοντας, οὐδενὶ γενέσθαι φανερὸς ἐθάρρησεν, ἀλλ' εἰς ἀγροὺς ἐμβαλὼν παραλίους Οὐιβίου Πακιακοῦ, σπήλαιον ἔχοντας εὐμέγεθες, ἔκρυψεν ἑαυτόν. πρὸς δὲ τὸν Οὐίβιον ἔπεμψεν ἕνα δοῦλον, ἀποπειρώμενος, ἤδη καὶ τῶν ἐφοδίων ἀπολιπόντων. ὁ δὲ Οὐίβιος ἀκούσας, ἥσθη τε σωζομένῳ, καὶ πυθόμενος τὸ πλῆθος τῶν σὺν αὐτῷ καὶ τὸν τόπον, αὐτὸς μὲν οὐκ ἦλθεν εἰς ὄψιν, τὸν δὲ τῶν χωρίων ἐπίτροπον προσαγαγὼν εὐθὺς, ἐκέλευσε καθ' ἡμέραν δεῖπνον πεποιημένον κομίζειν, καὶ τιθέντα παρὰ τὴν πέτραν, ἀπέρχεσθαι σιωπῇ, καὶ μὴ πολυπραγμονεῖν μηδὲ ἐξετάζειν· προειπὼν πολυπραγμονοῦντι θάνατον, συμπράττοντι δὲ τοῦτο πιστῶς, ἐλευθερίαν. τὸ δὲ σπήλαιον οὐκ ἄπωθεν μέν ἐστι θαλάσσης· κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι λεπτὴν καὶ ἀσαφῆ παραπέμπουσιν αὔραν ἀνάγουσιν εἴσω. παρελθόντι δ' ὕψος τε θαυμασὸν ἀναπέπταται, καὶ κατ' εὖρος ἔχει κόλπους δι' ἄλλων ἀνοιγομένους μεγάλαις περιφερείαις. ἀμοιρεῖ δ' οὔτε ὕδατος, οὔτε φωτὸς, ἀλλὰ πηγὴ μὲν ἡδίστου νάματος

ὑπορ-

ad ſalutem patriæ, ſed plane ad cædem & perniciem optimatium: quorum pars, quos illi occupaverunt, necati ſunt. Inter eos Craſſi pater & frater fuere. Ipſe juvenis præſens defugit periculum. Cæterum quia a tyrannis ſe undique cinctum captari advertit, tres amicos & ſervos decem ſecum trahens, profugit incredibili celeritate in Hiſpaniam, quod pridem illic in parentis prætura fuiſſet, amicoſque ſibi adjunxiſſet. Quum vero reperiſſet pavore omnes conſternatos, atque ſævitiam Marii quaſi præſentis exhorreſcentes, apud nullum auſus fuit ſe detegere, ſed agrum maritimum Vibii Paciani ingreſſus, in quo ampla erat ſpelunca, eo abdidit ſe, atque ad Vibii animum explorandum unum ſervum miſit, viatico quoque jam deficiente. Vibius re nuntiata, exultavit ejus incolumitate, acceptoque comitatus numero & loco, non inviſit ipſe eum, verum accito procuratori prædiorum præcepit ut cœnam quotidie appararet, eamque ad petram deportaret, qua ibi relicta ſilentio abiret, neu curioſe rimaretur vel ſcrutaretur, denuntiata nece ſi id faceret, & ſi ſe in iſta re fideliter adjuviſſet libertate oſtenſa. Ea ſpelunca haud procul abeſt a mari, quam rupes coeuntes undique claudunt, tenuemque & lenem auram intromittunt. Ubi ingreſſus ſis, altitudo exſurgit ingens, atque in ſpatio interiore ſinus habet inter ſe pervios mire laxos. Neque vero aquæ exſors eſt vel luminis, ſed fons delabitur ex

rupe

ὑπορρεῖ παρὰ τὸν κρημνόν· αὐτοφυεῖς δὲ ῥωχμοὶ τῆς πέτρας, ᾗ μάλιστα περιπίπτει τὸ φῶς ἔξωθεν ὑπολαμβάνουσι, καὶ καταλάμπεται ἡμέρας τὸ χωρίον. ὁ δ' ἐντὸς ἀὴρ ἀστάλακτος καὶ καθαρὸς, πυκνότητι τῆς πέτρας τὸ νοτερὸν καὶ ἀποτηκόμενον εἰς τὴν πηγὴν ἐκπιεζούσης.

Ἐνταῦθα διατρίβοντι τῷ Κράσσῳ τὰ ἐπιτήδεια καθ' ἡμέραν ἐφοίτα κομίζων ὁ ἄνθρωπος, αὐτὸς μὲν οὐχ ὁρῶν ἐκείνους οὐδὲ γινώσκων, ὑπ' ἐκείνων δὲ καθορώμενος, εἰδότων καὶ παραφυλαττόντων τὸν καιρόν. ἦν δ' ἄφθονα καὶ πρὸς ἡδονὴν, οὐ μόνον χρείαν ποιούμενα τὰ πρὸς τὸ δεῖπνον. ἐγνώκει γὰρ ὁ Οὐΐβιος ἁπάσῃ φιλοφροσύνῃ θεραπεύειν τὸν Κράσσον. ᾧ γε καὶ τὸ τῆς ὥρας ἐν νῷ λαβεῖν ἐπῆλθεν, ὡς παντάπασι νεανίας εἴη, καί τι καὶ ταῖς καθ' ἡλικίαν ἡδοναῖς αὐτοῦ χαριστέον. ἐπεὶ τήν γε χρείαν, ἀναγκαίως μᾶλλον ἢ προθύμως ὑπουργοῦντος εἶναι. δύο δὴ θεραπαινίδας εὐπρεπεῖς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν θάλασσαν. ὡς δ' ἦλθεν ἐπὶ τὸν τόπον, δείξας τὴν ἄνοδον, ἐκέλευσεν εἴσω πορεύεσθαι καὶ θαρρεῖν. οἱ δὲ περὶ τὸν Κράσσον ἰδόντες προσερχομένας, ἔδεισαν μὴ καταφανὲς καὶ γνώριμον εἴη τὸ χωρίον. ἀνέκρινον οὖν αὐτὰς τί βούλονται καὶ τίνες εἰσίν. ὡς δ' ἀπεκρίναντο δεδιδαγμέναι, δεσπότην ζητεῖν ἐνταῦθα κρυπτόμενον, μαθὼν ὁ Κράσσος τοῦ Οὐϊβίου τὴν πρὸς αὐτὸν παιδιὰν καὶ φιλοφροσύνην, ἀνέλαβε τὰς παιδίσκας· καὶ συνῆσαν αὐτῷ τὸν λοιπὸν χρόνον, ὧν ἐδεῖτο φράζουσαι καὶ διαγγέλλουσαι πρὸς τὸν Οὐΐβιον. τούτων φησὶ τὴν ἑτέραν ἤδη πρεσβῦτιν οὖσαν ὁ Φενεστέλλας ἰδεῖν αὐτὸς, καὶ πολλάκις ἀκοῦσαι μεμνημένης ταῦτα καὶ διεξιούσης προθύμως.

Ὁ

rupe amœnissimi laticis. Rimæ etiam petræ nativæ, qua maxime coit, lumen extrinsecus excipiunt, estque lucidus interdiu locus. Interior aer non madet, sed est purus, quod liquorem & madorem in fontem exprimat densitas petræ.

Agenti ibi Crasso afferebat procurator quotidie necessaria: neque hic illos vel vidit vel cognovit, sed conspiciebatur ipse ab illis qui tempus sciebant & observabant. Cœnæ paratus vel ad voluptatem affluens erat, nedum ad necessitatem: quippe statuerat Vibius omni benignitate prosequi Crassum. Nempe venit ei in mentem ætatem quoque ejus respicere, quod admodum esset adolescens Crassus, atque aliquid etiam indulgendum ætatis flori. Nam extra ea quibus opus haberet nihil suppeditare, necessarii potius ducebat quam prompti esse officii. Itaque ancillas duas venustas accersit, ac cum his pergit ad mare. Ubi ad locum ventum est, monstrato ascensu imperat ut sine trepidatione ingrediantur. Advenientes Crassus conspicatus, metuit ne cognitus locus & ipse proditus esset. Igitur rogat eas quid quærant & quæ sint. Ut responderunt doctæ, latentem se ibi dominum quærere: perspecto Crassus Vibii cum ipso ludo & comitate, recepit puellas, easque, quoad illic hæsit, retinuit secum. Hæ quibus haberet opus significabant & renuntiabant Vibio. Earum alteram ait Fenestella se jam anum vidisse, ac crebro ex ipsa audiisse libenter hæc commemorantem & narrantem.

Post-

Ὁ δὲ Κράσσος ὀκτὼ μῆνας οὕτω διαγαγὼν καὶ διακλαπεὶς, ἅμα τῷ πυθέσθαι τὴν Κίννα τελευτὴν φανερὸς γενόμενος, συνδραμόντων πρὸς αὐτὸν οὐκ ὀλίγων ἀνθρώπων, ἀπολεξάμενος δισχιλίους καὶ πεντακοσίους, ἐπήρχετο τὰς πόλεις· καὶ μίαν γε διήρπασε Μαλάκην, ὡς πολλοὶ γεγράφασιν· αὐτὸν δέ φασιν ἀρνεῖσθαι καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας. ἐκ τούτου συναγαγὼν πλοῖα καὶ διαπεράσας εἰς Λιβύην, ἀφίκετο πρὸς Μέτελλον Πίον, ἔνδοξον ἄνδρα, συνειληχότα στρατιὰν οὐκ εὐκαταφρόνητον. οὐ πολὺν δὲ χρόνον ἐνταῦθα παρέμεινεν, ἀλλὰ στασιάσας τῷ Μετέλλῳ, πρὸς Σύλλαν ἀπῆρε, καὶ συνῆν ἐν τοῖς μάλιστα τιμώμενος. ἐπεὶ δὲ διαβὰς εἰς Ἰταλίαν ὁ Σύλλας, πάντας ἐβούλετο τοὺς σὺν αὐτῷ νέους ἔχειν ἐνεργοὺς, καὶ πρὸς ἄλλην ἄλλον ἔταττε πρᾶξιν, ἀποστελλόμενος εἰς Μαρσοὺς ἐπὶ στρατείαν ὁ Κράσσος, ᾔτει φύλακας· ἦν γὰρ ἡ πάροδος παρὰ τοὺς πολεμίους. εἰπόντος δὲ τοῦ Σύλλα σὺν ὀργῇ καὶ σφόδρα πρὸς αὐτὸν, δίδωμί σοι φύλακας, τὸν πατέρα, τὸν ἀδελφὸν, τοὺς φίλους, τοὺς συγγενεῖς, ὧν παρανόμως καὶ ἀδίκως ἀναιρεθέντων, ἐγὼ μετέρχομαι τοὺς φονεῖς· οὕτω παθών τι καὶ παροξυνθεὶς ὁ Κράσσος, εὐθὺς ἐξῆλθε, καὶ διὰ τῶν πολεμίων ὠσάμενος εὐρώστως, δύναμίν τε συχνὴν ἤθροισε, καὶ πρόθυμον αὐτὸν ἐν τοῖς ἀγῶσι τῷ Σύλλᾳ παρεῖχεν. ἀπ᾽ ἐκείνων δὲ τῶν πράξεων λέγουσιν αὐτῷ πρῶτον ἐγγενέσθαι τὴν πρὸς Πομπήϊον ὑπὲρ δόξης ἅμιλλαν καὶ φιλοτιμίαν. ὁ γὰρ Πομπήϊος ἡλικίᾳ τε λειπόμενος αὐτοῦ, καὶ πατρὸς γεγονὼς ἀδοξήσαντος ἐν Ῥώμῃ καὶ μισηθέντος ἔσχατον μῖσος ὑπὸ τῶν πολιτῶν, ἐν ἐκείνοις τοῖς πράγμασιν ἐξέλαμψεν

Poſtquam ita Craſſus menſes octo delituit & tranſegit, ſimul atque mortem Cinnæ accepit, prodiit in lucem. Ibi frequentes mortales concurrerunt ad eum. Delectis duobus millibus quingentis adiit oppida, atque unam Malacam, ut multi tradidere, diripuit. Ipſum Craſſum tamen aiunt id inficiatum, &, ſiquis diceret, repugnare ſolitum. Hinc contractis navibus trajecit in Africam, contulitque ſe ad Metellum Pium, clarum virum, qui non contemnendum exercitum conſcripſerat. Non diu tamen hæſit apud illum, ſed diſſenſione inter eum & Metellum orta, ad Syllam contendit, apud quem fuit in ſummo honore. Ut tranſmiſit Sylla in Italiam, omnium juvenum voluit, qui ipſum ſequerentur, opera uti, atque alium alii rei præfecit. Hic Craſſus, quum in Marſos ad delectum deſtinaretur, præſidium poſtulavit: erat enim ei præter hoſtes tranſeundum. Cui cum ſtomacho Sylla & acriter reſpondit, Do præſidium tibi parentem, fratrem, amicos, propinquos: quorum indigne & inique interemptorum perſequor ab homicidis pœnas. Ita commotus & ſtimulatus Craſſus, confeſtim profectus eſt, fortiterque per medios hoſtes perrupit, magnaſque conſcripſit copias, atque impigrum in certaminibus ſe Syllæ præbuit. Ex his factis ortam primum referunt hujus cum Pompeio de gloria contentionem & æmulationem: quippe ætate eo inferior Pompeius, cujus pater infamia Romæ flagraverat, & in ſummo fuerat civium odio, illis in bellis effulſit & eluxit

mag-

ψεν καὶ διεφάνη μέγας, ὥστε Σύλλαν, ἃ πρεσβυτέροις καὶ ἰσοτίμοις οὐ πάνυ πολλάκις παρεῖχεν, ὑπεξανίστασθαι προσιόντος αὐτοῦ, καὶ κεφαλὴν ἀποκαλύπτεσθαι, καὶ προσειπεῖν αὐτοκράτορα. ταῦτα διέκαιε καὶ παρώξυνε τὸν Κράσσον, οὐκ ἀλόγως ἐλαττούμενον. ἐμπειρίας τε γὰρ ἐνδεὴς ἦν, καὶ τῶν πράξεων αὐτοῦ τὴν χάριν ἀφῄρουν αἱ συγγενεῖς κῆρες ἐπιφερόμεναι, φιλοκέρδεια καὶ μικρολογία. καὶ γὰρ πόλιν Ὀμβρικὴν Τουδερτίαν ἑλὼν, ἔδοξε πλεῖστα τῶν χρημάτων σφετερίσασθαι, καὶ διεβλήθη πρὸς Σύλλαν. ἀλλ᾽ ἔν γε τῷ περὶ τὴν Ῥώμην ἀγῶνι, πάντων γενομένῳ μεγίστῳ καὶ τελευταίῳ, Σύλλας μὲν ἡττήθη, τῶν κατ᾽ αὐτὸν ὠσθέντων ἐκείνων καὶ συντριβέντων· Κράσσος δὲ τὸ δεξιὸν κέρας ἔχων ἐνίκησε, καὶ μέχρι νυκτὸς διώξας τοὺς πολεμίους, ἔπεμψε πρὸς Σύλλαν, δεῖπνον αἰτῶν τοῖς στρατιώταις, καὶ τὸ κατόρθωμα φράζων. ἐν δὲ ταῖς προγραφαῖς καὶ δημεύσεσι πάλιν κακῶς ἤκουσεν, ὠνούμενός τε τιμῆς βραχείας μεγάλα πράγματα, καὶ δωρεὰς αἰτῶν. ἐν δὲ Βρεττίοις λέγεται καὶ προγράψαι τινὰ, οὐ Σύλλα κελεύσαντος, ἀλλ᾽ ἐπὶ χρηματισμῷ· δι᾽ ὃ καὶ Σύλλαν καταγνόντα, πρὸς μηδὲν ἔτι χρῆσθαι δημόσιον αὐτῷ. καίτοι δεινότατος ἦν Κράσσος πάντας ἀνθρώπους κολακείᾳ κατεργάσασθαι, πάλιν δ᾽ αὐτὸς ὑπὸ πάντων διὰ κολακείας εὐάλωτος. ἴδιον δὲ κἀκεῖνο περὶ αὐτοῦ λέγεται, φιλοκερδέστατον ὄντα, μάλιστα μισεῖν καὶ λοιδορεῖν τοὺς ὁμοίους.

Ἠνία δὲ Πομπήϊος αὐτὸν εὐημερῶν ἐν ἡγεμονίαις, καὶ πρὶν ἢ βουλῆς μεταλαβεῖν, θριαμβεύων, καὶ Μάγνος, ὅπερ ἐστὶ μέγας, ὑπὸ τῶν πολιτῶν ἀνα-

magnus: ut Sylla, quæ ætate majoribus ac dignitate paribus perquam raro tribuebat, assurgeret adeunti, caput aperiret, & salutaret imperatorem. Ea urebant & mordebant Crassum, licet non immerito postponeretur Pompeio. Nam & peritia deficiebatur, & factorum ejus insiti morbi prodentes se auferebant avaritia & sordes gratiam. Etenim quum oppidum Umbriæ Tuder cepisset, prædam pene totam habitus est intervertisse: qua de caussa apud Syllam est delatus. At magno illo & novissimo, qui pro portis urbis commissus est, conflictu, Sylla pulsus fuit, profligatis illis qui in cornu ejus stabant aliquatenus & obtritis: Crassus vero, qui lævum cornu tenebat, victor fuit, atque hostes in noctem usque insequutus, misit ad Syllam cœnam militibus petitum & nuntiatum victoriam. In proscriptionibus & sectionibus rursus male audivit, quod exiguo pretio magnos redimeret census, & dona posceret. In Brutiis proscripsisse eum quendam ferunt, inscio Sylla, tantum quæstus gratia. Quapropter re comperta, in nullo usus est eo postea publico negotio. Quamvis autem esset ad omnes homines Crassus assentationibus subigendos peritissimus, idem erat tamen vicissim adulationibus opportunus omnium. Peculiare insuper de eo hoc narratur, quum esset ipse intentissimus lucro, odio & convitio persequutum fuisse sui similes.

Agitabat eum Pompeii in rebus gerendis successus, & quod priusquam esset in senatum lectus, triumpharet, appellareturque a civibus Mag-

ἀναγορευθείς. καί ποτε φήσαντός τινος ὡς Πομπήϊος Μάγνος πρόσεισι, γελάσας ἠρώτησεν, ὡς πηλίκος. ἀπογνοὺς δὲ τοῖς πολεμικοῖς ἐξισώσασθαι πρὸς ἐκεῖνον, ὑπεδύετο τὴν πολιτείαν, σπουδαῖς καὶ συνηγορίαις καὶ δανεισμοῖς, καὶ τῷ συμπαραγγέλλειν καὶ συνεξετάζεσθαι τοῖς δεομένοις τι τοῦ δήμου, κτώμενος δύναμιν ἀντίπαλον καὶ δόξαν ἣν Πομπήϊος εἶχεν ἀπὸ πολλῶν καὶ μεγάλων στρατειῶν. καὶ πρᾶγμα συνέβαινεν αὐτοῖς ἴδιον. μεῖζον γὰρ ἦν ἀπόντος ὄνομα τοῦ Πομπηΐου καὶ κράτος ἐν τῇ πόλει, διὰ τὰς στρατείας· παρὼν δὲ πολλάκις ἠλαττοῦτο τοῦ Κράσσου, διὰ τὸν ὄγκον καὶ τὸ πρόσχημα τοῦ βίου, φεύγων τὰ πλήθη, καὶ ἀναδυόμενος ἐξ ἀγορᾶς, καὶ τῶν δεομένων ὀλίγοις καὶ μὴ πάνυ προθύμως βοηθῶν, ὡς ἀκμαιοτέραν ἔχοι τὴν δύναμιν ὑπὲρ αὐτοῦ χρώμενος. ὁ δὲ Κράσσος ἐνδελεχὲς τὸ χρήσιμον ἔχων, καὶ σπάνιος οὐκ ὤν, οὐδὲ δυσπρόσοδος, ἀλλ' ἐν μέσαις ἀεὶ ταῖς σπουδαῖς ἀναστρεφόμενος, τῷ κοινῷ καὶ φιλανθρώπῳ περιεγίνετο τῆς ἐκείνου σεμνότητος. σώματος δὲ ἀξίωμα, καὶ λόγου πειθὼ, καὶ προσώπου χάριν ἀγωγὸν ἀμφοτέροις ὁμοίως προσεῖναι λέγουσιν. οὐ μέντοι πρὸς ἔχθραν τινὰ τὸν Κράσσον ἢ κακόνοιαν ἐξήνεγκεν οὗτος ὁ ζῆλος· ἀλλὰ καὶ Πομπηΐῳ καὶ Καίσαρι τιμωμένοις ὑπὲρ αὐτὸν ἤχθετο, τῇ δὲ φιλοτιμίᾳ ταύτῃ δυσμένειαν ἢ κακοήθειαν οὐ συνῆπτε. καίτοι Καῖσαρ, ὑπὸ λῃστῶν ἁλοὺς ἐν Ἀσίᾳ, καὶ φρουρούμενος, ἀνεβόησεν, ἡλίκης, ὦ Κράσσε, χαρᾶς ἀπολαύσεις, πυθόμενος τὴν ἐμὴν ἅλωσιν; ἀλλ' ὕστερόν γε φιλικῶς ἀλλήλοις προσεφέροντο, καί ποτε τῷ Καίσαρι μέλλοντι μὲν εἰς Ἰβηρίαν ἐξιέναι στρατηγῷ, χρήματα δ' οὐκ ἔχοντι,

τι,

Magnus. Ac quum aliquando diceret quispiam Pompeium Magnum adesse, ridens quæsivit, Quam magnus? Cæterum abjecta spe illum rebus bellicis æquandi, confugit ad togam, atque officiis, defensionibus, mutuum dando, commendando, & suffragando candidatorum petitionibus, opes & autoritatem comparavit parem ei quam ex multis magnisque bellis gestis Pompeius habebat. Fuit autem quiddam in illis singulare. Majus erat absentis Pompeii nomen & potentia in urbe ob res ejus bello gestas: præsens vero concedebat frequenter Crasso, quod ex fastu & gravitate morum multitudinem declinaret, & devitaret forum, paucis autem & petentibus ægre advocatum se præberet, quo favorem haberet vegetiorem, ubi pro se ageret. Crassus vero, cujus patebat perpetuus fructus, qui rarus non erat neque difficilis aditu, sed in mediis volvebatur negotiis, civilitate ac humanitate antecelluit illius supercilio. Corporis majestas, facundia, vultusque ad sui gratiam alli ciens (uti ferunt) utrique ex æquo. Ad inimicitiam tamen aut simultatem non deduxit hæc æmulatio Crassum. Nam Pompeium & Cæsarem ægre ferebat quidem in majore honore esse: verum ei ambitioni odium vel malevolentiam non adjungebat: licet captus a piratis Cæsar atque in custodia asservatus exclamaverit, Quanto gaudio, Crasse, perfunderis nuntiata mea captivitate! Cæterum intercessit postmodum familiaris inter eos usus. Ac quum Cæsar in Hispaniam prætor profecturus solvendo non esset,

in-

τι, τῶν δανειστῶν ἐπιπεσόντων, καὶ τῆς παρασκευῆς ἐπιλαμβανομένων, ὁ Κράσσος οὐ περιεῖδεν, ἀλλ' ἀπήλλαξεν, ὑποθεὶς αὐτὸν ἔγγυον τριάκοντα καὶ ὀκτακοσίων ταλάντων. καθόλου δὲ τῆς Ῥώμης εἰς τρεῖς νενεμημένης δυνάμεις, τὴν Πομπηΐου, τὴν Καίσαρος, τὴν Κράσσου, (Κάτωνος γὰρ ἡ δόξα μείζων ἦν τῆς δυνάμεως, καὶ τὸ θαυμαζόμενον πλέον ἴσχυεν) ἡ μὲν ἔμφρων καὶ καθεστῶσα μερὶς ἐν τῇ πόλει Πομπήϊον ἐθεράπευε· τὸ δ' ὀξὺ καὶ φερόμενον μετ' εὐχερείας, ταῖς Καίσαρος ἐλπίσιν ἐπηκολούθει. Κράσσος δὲ μέσος ὤν, ἀμφοτέραις ἐχρῆτο, καὶ πλείστας μεταβολὰς ἐν τῇ πολιτείᾳ μεταβαλλόμενος, οὔτε φίλος ἦν βέβαιος, οὔτ' ἀνήκεστος ἐχθρὸς, ἀλλὰ ῥᾳδίως καὶ χάριτος καὶ ὀργῆς ἐξέπιπτεν ὑπὸ τοῦ συμφέροντος, ὥστε πολλάκις μὲν ἀνθρώπων, πολλάκις δὲ νόμων ἐν ὀλίγῳ φανῆναι τῶν αὐτῶν συνήγορος καὶ ἀντίδικος. ἴσχυε δὲ χάριτι καὶ φόβῳ, φόβῳ δ' οὐκ ἔλαττον. ὁ γοῦν πλεῖστα πράγματα παρέχων τοῖς καθ' αὐτὸν ἄρχουσι καὶ δημαγωγοῖς, Σικίννιος, πρὸς τὸν εἰπόντα, τί δὴ μόνον οὐ σπαράττει τὸν Κράσσον, ἀλλὰ παρίησιν αὐτὸν, χόρτον ἔχειν φησὶν ἐπὶ τοῦ κέρατος. εἰώθεσαν δὲ Ῥωμαῖοι τὸν κυρίττοντα τῶν βοῶν, ὑπὲρ τοῦ φυλάττεσθαι τοὺς ἐντυγχάνοντας, χόρτῳ περιελίσσειν τὸ κέρας.

Ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς Ἰταλίας, ἣν οἱ πολλοὶ Σπαρτάκειον πόλεμον ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. Λέντλου τινὸς Βατιάτου μονομάχους ἐν Καπύῃ τρέφοντος, ὧν οἱ πολλοὶ Γαλάται καὶ Θρᾷκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικίᾳ τοῦ πριαμένου συν-

inſtantibus creditoribus & impedimentis ejus manum injicientibus, ſuccurrit ei Craſſus, explicavitque eum, ipſe pro eo octingenta triginta talenta ſpondens. In ſumma, quum diſtracta civitas Romana in tres factiones eſſet, Pompei, Cæſaris, Craſſi, (nam Catonis nomen majus quam opes erat, & opinio virtutis ejus plus pollebat) pars cordatior & conſtantior civitatis Pompeium colebat, præceps & mobilior ſectabatur Cæſaris ſpes, intermedius Craſſus utraque utebatur. Adeo ut actionibus ſuis fuerit varius plerumque, neque amicus firmus, neque implacabilis inimicus, ſed utilitate objecta cito a gratia & ira diſcedebat. Unde ſæpe homines, ſæpe leges parvo intervallo eaſdem defendit & oppugnavit. Valebat gratia & metu, verum metu præcipue: unde qui plurimum negotii ſui temporis magiſtratibus atque ducibus populi exhibuit Sicinius, roganti cuidam, quid unum non laceſſeret Craſſum, ſed hunc omitteret: Fœnum habet, inquit, in cornu. Solent autem Romani bobus cornu petentibus, quo obvii ſibi caverent, cornu fœno circumligare.

At gladiatorum motus & vaſtitas Italiæ, quæ inde ſequuta eſt, quam multi bellum Spartacium nominant, ex hujuſcemodi eſt cauſa orta: Lentulus quidam Batiatus Capuæ gladiatorum familiam alebat: hi magna ex parte Galli erant & Thraces, qui nullum ob ſcelus, ſed injuria domini vincti

συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν. γενομένης δὲ μηνύσεως, οἱ προαισθόμενοι καὶ φθάσαντες, ὀγδοήκοντα δυεῖν δέοντες, ἔκ τινος ὀπτανείου κοπίδας ἀράμενοι καὶ ὀβελίσκους, ἐξεπήδησαν. ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἀφήρπασαν καὶ ὡπλίσαντο· καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες, ἡγεμόνας εἵλοντο τρεῖς, ὧν πρῶτος ἦν Σπάρτακος, ἀνὴρ Θρᾷξ τοῦ Νομαδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα καὶ ῥώμην ἔχων, ἀλλὰ καὶ συνέσει καὶ πρᾳότητι τῆς τύχης ἀμείνων, καὶ τοῦ γένους Ἑλληνικώτερος. τούτῳ δὲ λέγουσιν, ὅτε πρῶτον εἰς Ῥώμην ὤνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον. ἡ γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ Σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν εἰς εὐτυχὲς τέλος ἐσομένης δυνάμεως. ἣ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφυγε.

Καὶ πρῶτον μὲν τοὺς ἐκ Καπύης ἐλθόντας ὠσάμενοι, καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων, ἄσμενοι ταῦτα μετελάμβανον, ἀπορρίψαντες ὡς ἄτιμα καὶ βάρβαρα, τὰ τῶν μονομάχων. ἔπειτα Κλωδίου στρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ Ῥώμης, καὶ πολιορκοῦντος αὐτοὺς ἐν ὄρει μίαν ἔχοντι καὶ χαλεπὴν καὶ στενὴν ἄνοδον, ἣν ὁ Κλώδιος ἐφρούρει, τὰ δ' ἄλλα κρημνοὺς ἀποτόμους καὶ λισσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα· καὶ συμπλέκοντες ἐξ αὐτῶν

ti & compulsi erant ut spectaculis gladiatoriis depugnarent. Eorum ducenti de fuga consilium iniere. Quo detecto septuaginta octo, qui id resciverant, prævenerunt, atque ex popina quadam cultris coquinariis verubusque correptis eruperunt ex oppido. Offenderunt in itinere plaustra quæ arma gladiatoria ad aliud oppidum portabant. Hæc rapuerunt armaveruntque se. Occupato autem firmo præsidio, duces tres legere, quorum fuit Spartacus primus, ex Thracia ortus de genere eorum qui incertis habitationibus vagando Nomadum nomen meruere. Fuit hic non solum animo & viribus ingens, sed & supra conditionem suam prudens modestusque, magis & ad Græcos mores compositus quam pro natione sua. Ejus aiunt, quum primum Romam venalis ductus est, draconem dormientis circumjectum faciem visum. Uxor autem popularis Spartaci, fatidica & numine afflata Liberi patris, annuntiavit ea re ingentem potentiam horrendamque, quæ desitura in lætum exitum esset, portendi. Hæc tunc quoque cum eo erat, & comitabatur fugientem.

Fugaverunt primum eos qui ex Capua ipsos persequebantur. Ibi armis multis bellicis potiti, læti sumpserunt hæc, ac gladiatoria, ut fœda & barbarica, abjecere. Inde Clodius prætor contra hos ex urbe cum tribus millibus militum missus est. Obsidente illo servos in monte, qui unum habebat asperumque & angustum ascensum, quem obsepserat statione, cæteris partibus abruptas rupes atque crepidines, frequenti autem labrusca erat in superficie vestitus; ex ea palmites, qui esse usui possent, secuerunt, scalasque com-

τῶν κλιμακίδας εὐτόνους καὶ βαθείας, ὥστ᾽ ἄνωθεν ἀνηρτημένας παρὰ τὸ κρημνῶδες ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι᾽ αὐτῶν, πλὴν ἑνός. οὗτος δὲ τῶν ὅπλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν, ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα, τελευταῖος ἀπεσώζετο καὶ αὐτός. ταῦτ᾽ ἠγνόουν οἱ Ῥωμαῖοι· δι᾽ ὃ καὶ περιελθόντες αὐτοὺς, ἐξέπληξαν τῷ αἰφνιδίῳ, καὶ φυγῆς γενομένης, ἔλαβον τὸ στρατόπεδον. καὶ προσεγίνοντο πολλοὶ τῶν αὐτόθι βοτήρων καὶ ποιμένες αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες· ὧν τοὺς μὲν ὥπλιζον, τοῖς δὲ προδρόμοις καὶ ψιλοῖς ἐχρῶντο. δεύτερος ἐκπέμπεται πρὸς αὐτοὺς στρατηγὸς, Πούπλιος Βαρῖνος, οὗ πρῶτα μὲν ὑποστράτηγόν τινα Φούριον, ἔχοντα δισχιλίους στρατιώτας, ἐτρέψαντο συμβαλόντες· ἔπειτα σύμβουλον αὐτοῦ καὶ συνάρχοντα Κοσσίνιον ἀποσταλέντα μετὰ πολλῆς δυνάμεως ἐπιτηρήσας ὁ Σπάρτακος λουόμενον περὶ Σαλίνας, μικρὸν ἐδέησε συναρπάσαι. χαλεπῶς δὲ καὶ μόλις ἐκφυγόντος, εὐθὺς μὲν ἐκράτησε τῆς ἀποσκευῆς· ἐκ ποδὸς δὲ κατέχων καὶ διώκων φόνῳ πολλῷ τὸ στρατόπεδον εἷλεν. ἔπεσε δὲ καὶ Κοσσίνιος. αὐτὸν δὲ τὸν στρατηγὸν ἄλλαις μάχαις πολλαῖς καταγωνισάμενος, τέλος τούς τε ῥαβδούχους καὶ τὸν ἵππον αὐτοῦ λαβὼν, ἤδη μὲν μέγας καὶ φοβερὸς ἦν. ἐφρόνει δὲ τὰ εἰκότα, καὶ μὴ προσδοκῶν ὑπερβαλέσθαι τὴν Ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς Ἄλπεις τὸν στρατὸν, οἰόμενος δεῖν ὑπερβαλόντας αὐτοὺς ἐπὶ τὰ οἰκεῖα χωρεῖν, τοὺς μὲν εἰς Θρᾴκην, τοὺς δ᾽ εἰς Γαλατίαν. οἱ δὲ, πλήθει τε ὄντες ἰσχυροὶ καὶ μέγα φρονοῦντες, οὐχ ὑπήκουον, ἀλλ᾽ ἐπόρθουν ἐπιπορευόμενοι τὴν Ἰταλίαν. οὐκέτ᾽ οὖν τὸ παρ᾽ ἀξίαν καὶ τὸ αἰσχρὸν ἠνώχ-

λει

complicaverunt validas & longas, ut ſuperne ex rupe ſuſpenſæ pertinerent ad planiciem. His ſine periculo deſcenderunt præter unum, qui armorum dejiciendorum cauſa remanſit. Ubi deſcenderunt, demiſit ea, inde omnium poſtremus evaſit ipſe quoque. Hæc latuerunt Romanos: quare adorti eos ſunt, ac repentino adventu perculere, pulſiſque his, caſtra cepere. Frequentes ibi ejus regionis bubulci paſtoreſque, ſtrenui viri & pernices, aggregaverunt ſe ad illos: quorum partim armaverunt, partim pro antecurſoribus & levi armatura ſunt uſi. Alter inde adverſus eos dux mittitur P. Varinus: cujus primo legatum Furium cum duobus millibus militum congreſſum ſignis collatis profligaverunt. Hinc conſiliarium ejus & collegam Coſſinium cum valida manu miſſum, nihil propius factum eſt quam ut lavantem ad Salinas Spartacus circumvenerit & oppreſſerit: quem, quum ægre & difficulter aufugiſſet, extemplo exuit impedimentis, ac veſtigiis inſtitit magna cæde perſequi, caſtraque ejus expugnavit. Cecidit etiam Coſſinius. Ipſum etiam prætorem crebris aliis prœliis fudit: cepit denique lictores ejus & equum. Unde ingens jam & formidabilis erat. Veruntamen inſtituit conſilium ſuum ſapienter. Quum enim opes Romanas opprimere diffideret ſe poſſe, movit cum exercitu verſus Alpes, cenſuitque iis ſuperatis domum cuique abeundum, aliis in Thraciam, aliis in Galliam. At illi numero ſubnixi & elati animis non auſcultabant ei, ſed Italiam populabundi percurſabant. Igitur non amplius indignitas & turpitudo

λει τῆς ἀποστάσεως τὴν σύγκλητον· ἀλλὰ δὴ διὰ φόβον τε καὶ κίνδυνον, ὡς πρὸς ἕνα τῶν δυσκολωτάτων πολέμων καὶ μεγίστων ἀμφοτέρους ἐξέπεμπον τοὺς ὑπάτους. ὧν Γέλλιος μὲν τὸ Γερμανικὸν, ὕβρει καὶ φρονήματι τῶν Σπαρτακίων ἀποσχισθὲν, ἐξαίφνης ἐμπεσὼν ἅπαν διέφθειρε· Λέντλου δὲ τὸν Σπάρτακον μεγάλοις στρατοπέδοις περιλαβόντος, ὁρμήσας ὁμόσε, καὶ μάχην συνάψας, ἐκράτησε μὲν τῶν πρεσβευτῶν, ἔλαβε δὲ τὴν ἀποσκευὴν ἅπασαν. ὠθουμένῳ δ' αὐτῷ πρὸς τὰς Ἄλπεις Κάσσιος ὁ τῆς περὶ Πάδον Γαλατίας στρατηγὸς ἔχων μυρίους, ἀπήντησε· καὶ γενομένης μάχης κρατηθεὶς, καὶ πολλοὺς ἀποβαλὼν, μόλις αὐτὸς ἐξέφυγε.

Ταῦθ' ἡ βουλὴ πυθομένη, τοὺς μὲν ὑπάτους πρὸς ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν, Κράσσον δὲ τοῦ πολέμου στρατηγὸν εἵλετο. καὶ πολλοὶ διὰ δόξαν αὐτοῦ καὶ φιλίαν συνεστράτευον τῶν ἐπιφανῶν. αὐτὸς μὲν οὖν ὑπέμεινε πρὸ τῆς Πικηνίδος, ὡς τὸν Σπάρτακον ἐκεῖ φερόμενον δεξόμενος· Μόμμιον δὲ πρεσβευτὴν, ἄγοντα δύο τάγματα, κύκλῳ περιέπεμψεν, ἕπεσθαι κελεύσας τοῖς πολεμίοις, συμπλέκεσθαι δὲ μὴ, μηδὲ ἀψιμαχεῖν. ὁ δ' ἅμα τῷ πρῶτον ἐπ' ἐλπίδος γενέσθαι, μάχην θέμενος ἡττήθη· καὶ πολλοὶ μὲν ἔπεσον, πολλοὶ δὲ ἄνευ τῶν ὅπλων φεύγοντες ἐσώθησαν. ὁ δὲ Κράσσος αὐτόν τε τὸν Μόμμιον ἐδέξατο τραχέως, καὶ τοὺς στρατιώτας ὁπλίζων αὖθις, ἐγγυητὰς ᾔτει τῶν ὅπλων, ὅτι φυλάξουσι. πεντακοσίους δὲ τοὺς πρώτους, καὶ μάλιστα τοὺς τρέσαντας, εἰς πεντήκοντα διανείμας δεκάδας, ἀφ' ἑκάστης ἀπέκτεινεν ἕνα τὸν κλήρῳ λαχόντα· πάτριόν τι τοῦτο διὰ πολλῶν χρόνων κόλασμα τοῖς στρατιώ-

ταις

pitudo rebellionis solicitavit senatum, verum ob metum & periculum quasi ad unum ex gravissimis & maximis bellis ambos consules misit; quorum Gellius cohortes Germanicas contemptu & arrogantia divulsas a Spartaciis repentino adventu omnes oppressit: Lentulus magnis copiis circumvallavit Spartacum, qui hujus legatos adortus pugna commissa fudit, atque omnibus exuit impedimentis. Contendenti ad Alpes Galliæ circumpadanæ occurrit prætor Cassius decem millibus militum, atque acie fusus multos milites amisit, ipse ægre fuga quæsivit salutem.

His nuntiatis senatus infensus jussit consulibus nihil pro imperio agere, & bellum Crasso mandavit. Eum multi ex nobilitate auctoritatis ejus & amicitiæ causa sequuti sunt. Hic pro agro Piceno consedit, tendentem illuc Spartacum excepturus. Legatum Mommium cum duabus legionibus circummisit, imperans ut hostes sequeretur, signa non conferret neque lacesseret eos. Ille vero, ut primum oblata spes est, manum conseruit, & fusus est: multi cecidere, multi abjectis armis fuga salutem petiere. Crassus ipsum Mommium aspere increpavit, milites iterum armans sponsores exegit arma non amissuros. Quingentos primos, a quibus initium fugæ ortum fuerat, in quinquaginta decurias divisit: ex his decimum quemque sorte ductum morte mulctavit. quod vetus supplicii genus decimationem dictam, longo intervallo reduxit in

exer-

ταῖς ἐπαγαγών. καὶ γὰρ αἰσχύνη τοῦ θανάτου τῷ τρόπῳ πρόσεστι, καὶ δρᾶται πολλὰ φρικώδη καὶ σκυθρωπὰ περὶ τὴν κόλασιν, ἁπάντων θεωμένων. οὕτω δ' ἐπιστρέψας τοὺς ἄνδρας, ἦγεν ἐπὶ τοὺς πολεμίους. ὁ δὲ Σπάρτακος ὑπεξεχώρει διὰ Λευκανίας εἰς τὴν θάλασσαν· ἐν δὲ πορθμῷ λῃστρίσι Κιλίσσαις ἐπιτυχών, ὥρμησεν ἅψασθαι Σικελίας, καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον, αὖθις ἐξεζωπύρησε τὸν δουλικὸν ἐκεῖ πόλεμον, οὔπω πολὺν χρόνον ἀπεσβηκότα, καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον. ὁμολογήσαντες δὲ οἱ Κίλικες αὐτῷ, καὶ δῶρα λαβόντες, ἐξηπάτησαν καὶ ἀπέπλευσαν. οὕτω δὴ πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας, ἐκάθιζε τὸν στρατὸν εἰς τὴν Ῥηγίνων χερρόνησον. ἐπελθὼν δ' ὁ Κράσσος, καὶ τοῦ τόπου τὴν φύσιν ὁρῶν ὑφηγουμένην τὸ δέον, ὥρμησεν ἀποτειχίσαι τὸν ἰσθμόν· ἅμα καὶ τὴν σχολὴν τῶν στρατιωτῶν ὑφαιρῶν, καὶ τὴν εὐπορίαν τῶν πολεμίων. μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ ἔργον, ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ, τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θάλασσαν διὰ τοῦ αὐχένος, σταδίων τριακοσίων, εὖρος δὲ καὶ βάθος πεντεκαίδεκα ποδῶν. ὑπὲρ δὲ τῆς τάφρου τεῖχος ἔστησεν ὕψει καὶ ῥώμῃ θαυμαστόν. ὧν ὁ Σπάρτακος ἠμέλει καὶ κατεφρόνει τὸ πρῶτον· ὡς δὲ τῆς λείας ὑπολειπούσης προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμόν, καὶ λαμβάνειν οὐδὲν ἦν ἐκ τῆς χερρονήσου, νύκτα νιφετώδη καὶ πνεῦμά τι χειμέριον παραφυλάξας, ἔχωσε τῆς τάφρου μέρος οὐ πολὺ γῇ καὶ ὕλῃ καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατείας περαιῶσαι τὸ τρίτον.

Ἐφο-

exercitum. Huic enim generi pœnæ adjuncta infamia est, inspectantibusque omnibus horrendum & triste spectaculum editur. Ita correctis militibus duxit in hostem. At Spartacus cessit per Lucaniam ad mare. In freto navigia prædatoria Cilicum nactus, animum adjecit ad tentandam Siciliam, ac duobus millibus armatorum in eam insulam conjectis, bellum servile illic denuo concitavit, quod non ita dudum sopitum facile potuit exiguo tantum fomite resuscitari. At Cilices inito cum eo pacto muneribusque acceptis imposuerunt ei ac subduxerunt se. Ita recepit se a mari, atque in Rheginorum consedit peninsulam. Ibi supervenit Crassus, qui videns naturam loci quod faciendum esset subjicientem, fauces muro instituit sepire, simul ut otium militibus, & hostibus commeatus facultatem adimeret. Quod, etsi grande esset & laboriosum opus, brevi spatio tamen præter omnium opinionem perfecit & absolvit, fossamque ex mari in mare per cervicem triginta septem millia quingentos passus longam, latam & altam quindecim pedes duxit. Super fossam murum excitavit mira altitudine & firmitate. Ea Spartacus primum floccipendebat & contemnebat. Ubi vero deficiente præda, quum vellet progredi, advertit se interclusum muro, neque ex peninsula quicquam capere valuit: noctem nive infestam ac vento procellosam pro se capiens, exiguam partem fossæ complevit humo, materia, & arborum ramis, ac tertiam partem exercitus traduxit.

Hic

Ἐφοβήθη μὲν οὖν ὁ Κράσσος, μὴ λάβοι τις ὁρμὴ τὸν Σπάρτακον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. ἐθάρρησε δὲ, πολλῶν ἐκ διαφορᾶς ἀποστάντων αὐτοῦ, καὶ στρατοπεδευσαμένων καθ᾽ αὑτοὺς ἐπὶ Λευκανίδος λίμνης, ἥν φασι τρέπεσθαι διὰ χρόνου γινομένην γλυκεῖαν, καὶ αὖθις ἁλμυρὰν καὶ ἄποτον. τούτοις ἐπελθὼν ὁ Κράσσος ἐξέωσε μὲν ἀπὸ τῆς λίμνης, ἀφῃρέθη δὲ τὸν φόνον καὶ τὴν δίωξιν αὐτῶν, ἐπιφανέντος ὀξέως τοῦ Σπαρτάκου, καὶ τὴν φυγὴν ἐπιστήσαντος. γεγραφὼς δὲ τῇ βουλῇ πρότερον, ὡς χρὴ καὶ Λεύκολλον ἐκ Θρᾴκης καλεῖν, καὶ Πομπήϊον ἐξ Ἰβηρίας, μετενόει, καὶ πρὶν ἥκειν ἐκείνους, ἔσπευδε διαπράξασθαι τὸν πόλεμον· εἰδὼς ὅτι τοῦ προσγενομένου καὶ βοηθήσαντος, οὐκ αὐτοῦ τὸ κατόρθωμα δόξει. πρῶτον μὲν οὖν διαγνοὺς τοῖς ἀφεστῶσι καὶ κατ᾽ ἰδίαν στρατευομένοις, ὧν ἀφηγοῦντο Γάϊος Καννίκιος καὶ Κάστος, ἐπιθέσθαι, λόφον τινὰ προκαταληψομένους ἄνδρας ἑξακισχιλίους ἀπέστειλε, λανθάνειν κελεύσας πειρᾶσθαι. οἱ δ᾽ ἐπειρῶντο μὲν τὴν αἴσθησιν ἀποκρύπτειν, τὰ κράνη καταμπέχοντες· ὀφθέντες δ᾽ ὑπὸ δυοῖν γυναικῶν προθυομένων τοῖς πολεμίοις, ἐκινδύνευσαν, εἰ μὴ Κράσσος ὀξέως ἐπιφανεὶς, μάχην ἔθετο πασῶν καρτερωτάτην, ἐν ᾗ τριακοσίους ἐπὶ δισχιλίοις καὶ μυρίοις καταβαλὼν, δύο μόνους εὗρε κατὰ νώτου τετρωμένους· οἱ δ᾽ ἄλλοι πάντες ἑστῶτες ἐν τάξει, καὶ μαχόμενοι τοῖς Ῥωμαίοις ἀπέθανον. Σπαρτάκῳ δὲ μετὰ τὴν τούτων ἧτταν ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ Πετηλῖνα, Κόϊντος τῶν περὶ Κράσσον ἡγεμόνων, καὶ Σκρώφας ταμίας, ἐξαπτόμενοι παρηκολούθουν. ἐπιστρέψαντος δὲ, γίνεται φυγὴ μεγάλη τῶν Ῥωμαίων, καὶ μόλις τρω-

Hic timuit Craſſus ne impetus Spartacum Romam raperet: verum confirmatus eſt, quod multi ex diſſenſione deſciviſſent ab illo, & caſtra ſeorſum ſuper ſtagno Lucano poſuiſſent. Hoc certis temporibus variari ferunt, ac modo dulce, modo ſalſum nec potabile fieri. Eos Craſſus adortus repulit a ſtagno: ſed ne delere eos vel conſectari poſſet, per ſupervenientem propere Spartacum & fugam ſiſtentem factum eſt. Pœnituit autem eum quod ſenatui ſcripſiſſet, Lucullum ex Thracia & Pompeium ex Hiſpania ut excirent, maturabatque ante illorum adventum patrare bellum; quod ſciret fore, ut ei qui ſibi adjunctus eſſet & ſubveniſſet, non ſibi attribueretur decus. Certus igitur illos qui defecerant & ſeorſum poſuerunt caſtra, quos C. Cannicius & Caſtus ducebant, aggredi, mittit ſex millia militum ad occupandum collem quendam. His imperat ut quam poſſint occultiſſime iter faciant: qui ſtudentes hoſtem fallere, galeas frondibus contexere; conſpecti autem a duabus mulieribus quæ ſacrificabant ante caſtra pro ſalute hoſtium, in periculo fuiſſent, ni celeriter interveniens Craſſus pugnam commiſiſſet multo acerrimam, in qua duodecim millibus trecentis cæſis, ſolos duos invenit qui averſa vulnera haberent, reliqui in acie omnes ſtantes & dimicantes cum Romanis occubuere. Spartacum, poſt horum cladem recipientem ſe ad montes Petilinos, Quintus Craſſi legatus & quæſtor Scropha tergo inhærentes carpebant. Verum ubi ille agmen tandem convertit, fœde fugerunt Romani, atque ægre ſau-
cio

τρωθέντα τὸν ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. τοῦτο τὸν Σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα, φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν, οὐδ᾽ ἐπείθοντο τοῖς ἄρχουσιν, ἀλλ᾽ ἤδη καθ᾽ ὁδὸν ὄντας ἐν τοῖς ὅπλοις περισχόντες, ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς Λευκανίας ἄγειν ἐπὶ τοὺς Ῥωμαίους, εἰς ταυτὸ τῷ Κράσσῳ σπεύδοντες. ἤδη γὰρ ὁ Πομπήϊος προσιὼν ἀπηγγέλλετο· καὶ δὴ ἀρχαιρεσιάζοντες ἦσαν οὐκ ὀλίγοι τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν· ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. ἐπειγόμενος οὖν διαγωνίσασθαι, καὶ παραστρατοπεδεύσασθαι τοῖς πολεμίοις, ὤρυττε τάφρον πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι προσεμάχοντο τοῖς ἐργαζομένοις. ἀεὶ δὲ πλειόνων ἑκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ Σπάρτακος, ἅπαν παρέταξε τὸ στράτευμα. καὶ πρῶτον μὲν τοῦ ἵππου προσαχθέντος αὐτῷ, σπασάμενος τὸ ξίφος, καὶ εἰπὼν ὅτι νικῶν μὲν ἕξει πολλοὺς ἵππους καὶ καλοὺς τῶν πολεμίων, ἡττώμενος δὲ οὐ δεῖται, κατέσφαξε τὸν ἵππον. ἔπειτα πρὸς Κράσσον αὐτὸν ὠθούμενος, διὰ πολλῶν ὅπλων καὶ τραυμάτων, ἐκείνου μὲν οὐκ ἔτυχεν, ἑκατοντάρχας δὲ δύο συμπεσόντας ἀνεῖλε. τέλος δὲ, φυγόντων τῶν περὶ αὐτὸν, αὐτὸς ἑστὼς, καὶ κυκλωθεὶς ὑπὸ πολλῶν, ἀμυνόμενος κατεκόπη. Κράσσου δὲ τῇ τύχῃ χρησαμένου, καὶ στρατηγήσαντος ἄριστα, καὶ τὸ σῶμα τῷ κινδύνῳ παρασχόντος, ὅμως οὐ διέφυγε τὸ κατόρθωμα τὴν Πομπηΐου δόξαν. οἱ γὰρ διαπεσόντες αὐτῷ, διεφθάρησαν· ὥστε καὶ γράψαι πρὸς τὴν σύγκλητον, ὅτι μάχῃ μὲν τοὺς δραπέτας φανερᾷ Κράσσος νενίκηκεν, αὐτὸς δὲ τοῦ πολέμου τὴν ῥίζαν ἀνῄρηκε.

cio erepto quæſtore incolumes evaſere. Hæc victoria, quod nimios ſpiritus feciſſet fugitivis, perdidit Spartacum. Nolebant enim ultra pugnam detrectare, neque ducibus dicto erant audientes, ſed in itinere armis cinctos coegerunt retro per Lucaniam ducere in Romanos, cupidi cum Craſſo congredi. Jam enim adeſſe nuntiabatur Pompeius. Frequentes autem jam jactabant in concionibus ad illum pertinere hujus palmam belli: quem, ſimul atque hoſtem vidiſſet, pugnaturum & debellaturum. Maturans igitur cum hoſtibus dimicare, ac caſtris hoſtium caſtra conferre, ducebat foſſam, ad quam eruptione facta ſervi infeſtabant operi intentos. Pluribus ſemper hinc inde affluentibus, cernens Spartacus neceſſitatem, omnes copias explicavit. Primum ſtricto gladio admotum equum, fatus victorem multos ſe & eximios hoſtium equos habiturum, ſin victus eſſet, non fore ſibi eo opus, confodit. Deinde impreſſione facta per tela multa & vulnera Craſſum petens, illum non eſt aſſequutus, verum duos centuriones, qui manus cum eo conſeruere, interemit. Poſtremo effuſis in fugam iis qui circa eum erant, dum ipſe locum tenet & hoſtium globo cingitur, pugnans trucidatur. Quamvis autem Craſſus fortuna uſus eſt ſecunda, bonique imperatoris & militis ſtrenui munus præſtitit, victoriæ tamen non fuit Pompeii gloria exſors, ſiquidem qui ex prœlio fugerunt, ab illo fuerunt oppreſſi. Unde ſenatui ſcripſit, fuſos quidem a Craſſo ſignis collatis fugitivos, ſe vero radices belli excidiſſe.

ρηκε. Πομπήϊος μὲν οὖν ἀπὸ Σερτωρίου καὶ Ἰβηρίας ἐπιφανῶς ἐθριάμβευσε· Κράσσος δὲ τὸν μὲν μέγαν θρίαμβον οὐδ' αὐτὸς αἰτεῖν ἐπεχείρησεν· ἐδόκει δὲ καὶ τὸν πεζὸν, ὀβὰν δὲ καλούμενον, ἀγεννῶς καὶ παρ' ἀξίαν ἐπὶ δουλικῷ πολέμῳ θριαμβεῦσαι. τί δ' οὗτος ἐκείνου διαφέρει, καὶ περὶ τῆς κλήσεως ἐν τῷ Μαρκέλλου βίῳ γέγραπται.

Μετὰ δὲ ταῦτα τοῦ Πομπηΐου αὐτόθεν ἐπὶ τὴν ὑπατείαν καλουμένου, ἐλπίδας ἔχων ὁ Κράσσος συνάρξειν, ὅμως οὐκ ὤκνησε τοῦ Πομπηΐου δεηθῆναι. δεξάμενος δὲ τὴν χρείαν ἀσμένως ἐκεῖνος, (ἐπεθύμει γὰρ ἁμωσγέπως ἀεὶ χάριτός τινος ὀφειλέτην λαβεῖν τὸν Κράσσον) ἐσπούδασε προθύμως· καὶ τέλος, εἶπεν ἐκκλησιάζων, ὡς οὐκ ἐλάττονα περὶ τοῦ συνάρχοντος ἕξει χάριν ἢ περὶ τῆς ἀρχῆς. οὐ μὴν ἔμειναν ἐπὶ τῆς αὐτῆς φιλοφροσύνης εἰς τὴν ἀρχὴν καταστάντες, ἀλλ' ὀλίγου δεῖν περὶ πάντων διαφερόμενοι, καὶ πάντα δυσκολαίνοντες ἀλλήλοις καὶ φιλονεικοῦντες, ἀπολίτευτον καὶ ἄπρακτον αὐτοῖς τὴν ὑπατείαν ἐποίησαν. πλὴν ὅτι Κράσσος Ἡρακλεῖ μεγάλην θυσίαν ποιησάμενος, ἑστίασε τὸν δῆμον ἀπὸ μυρίων τραπεζῶν, καὶ σῖτον ἐμέτρησεν εἰς τρίμηνον. ἤδη δὲ τῆς ἀρχῆς αὐτοῖς τελευτώσης, ἔτυχον μὲν ἐκκλησιάζοντες· ἀνὴρ δέ τις οὐ τῶν ἐπιφανῶν, ἱππεὺς Ῥωμαίων, ἀγροῖκος δὲ τῷ βίῳ καὶ ἰδιώτης, Ὀνάτιος Αὐρήλιος, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προελθὼν, ὄψιν διηγεῖτο κατὰ τοὺς ὕπνους αὐτῷ γενομένην. Ὁ γὰρ Ζεὺς, ἔφη, μοι φανεὶς, προσέταξεν εἰς κοινὸν εἰπεῖν, ὅπως μὴ πρότερον περιίδητε τοὺς ὑπάτους ἀποθέσθαι τὴν ἀρχὴν ἢ φίλους γενέσθαι. ταῦτα λέγοντος τοῦ ἀνθρώπου,

cidiſſe. Pompeius igitur de Sertorio & Hiſpanis clarum triumphum duxit, Craſſus triumphum ne ipſe quidem ſuſtinuit petere: etiam ovantem ex bello ſervili iniiſſe urbem abjectum viſum & putidum. Quid autem hoc ab illo differat, atque de vocabulo in vita Marcelli diſſeruimus.

Hinc quum vocaretur illico ad conſulatum Pompeius, Craſſus, quanquam in ſpe eſſet una ſe cum eo conſulem fore, non dubitavit tamen Pompeium rogare. Quam occaſionem ille libenter arripiens (deſiderabat enim quocunque modo Craſſum ſemper beneficiis ſuis obſtrictum habere) adjuvit eum enixe, atque ad extremum pro concione dixit, non minorem gratiam de collega ſe quam de ipſo habiturum honore. Inito magiſtratu tamen haud in eadem conſtiterunt benevolentia, ſed ferme in omnibus diſſentientes, mutua ubique acerbitate & concertatione, nihil domi vel foris geſſerunt in conſulatu memorabile, niſi quod Herculi Craſſus magno exhibito ſacrificio, populo epulum decem millibus menſarum præbuit, ac frumentum in tres menſes admenſus eſt. Quum abituri jam magiſtratu concionem haberent, eques Romanus ex obſcurioribus quidam, ruri agens & a republica remotus, Onatius Aurelius, conſcendit in roſtra, progreſſusque viſionem narravit ſibi in ſomnis oblatam: Jupiter, inquit, mihi obverſatus præcepit, ut pro concione vobis nuntiarem, ne prius deponere conſules honorem, quam in gratiam redierint, permittatis. Ea ubi dixit,

θεώπου, καὶ τοῦ δήμου διαλλάττεσθαι κελεύοντος, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑστώς, ὁ δὲ Κράσσος ἐμβαλὼν τὴν δεξιὰν αὐτῷ πρότερος, Οὐδὲν, εἶπεν, ὦ ἄνδρες, οἶμαι, πολῖται, ταπεινὸν πράττειν οὐδ' ἀνάξιον ἐμαυτοῦ, καταρχόμενος εὐνοίας καὶ φιλίας πρὸς Πομπήϊον, ὃν ὑμεῖς μήπω γενειῶντα μέγαν ἀνηγορεύσατε, καὶ μήπω μετέχοντι βουλῆς ἐψηφίσασθε θρίαμβον.

Ἡ μὲν οὖν ὑπατεία τοῦ Κράσσου ταῦτ' ἔσχεν ἄξια μνήμης. ἡ δὲ τιμητεία παντάπασιν ἀτελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν. οὔτε γὰρ βουλῆς ἐξέτασιν, οὔθ' ἱππέων ἐπίσκεψιν, οὔτ' ἀποτίμησιν πολιτῶν ἐποιήσατο, καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι τὸν πρᾳότατον Λουτάτιον Κάτλον. ἀλλὰ φασὶν ἐπὶ δεινὸν ὁρμήσαντι τῷ Κράσσῳ πολίτευμα καὶ βίαιον, Αἴγυπτον ποιεῖν ὑποτελῆ Ῥωμαίοις, ἀντιβῆναι τὸν Κάτλον ἐρρωμένως· ἐκ δὲ τούτου γενομένης διαφορᾶς, ἑκόντας ἀποθέσθαι τὴν ἀρχήν. ἐν δὲ τοῖς περὶ Κατιλίναν πράγμασι μεγάλοις καὶ μικροῦ δεήσασιν ἀνατρέψαι τὴν Ῥώμην, ἥψατο μέν τις ὑπόνοια τοῦ Κράσσου, καὶ προσῆλθεν ἄνθρωπος ὀνομάζων ἀπὸ τῆς συνωμοσίας· οὐδεὶς δ' ἐπίστευσεν. ὅμως δ' ὁ Κικέρων ἔν τινι λόγῳ φανερὸς ἦν Κράσσῳ καὶ Καίσαρι τὴν αἰτίαν προστριβόμενος. ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν. ἐν δὲ τῷ περὶ ὑπατείας ὁ Κικέρων νύκτωρ φησὶ τὸν Κράσσον ἀφικέσθαι πρὸς αὐτὸν, ἐπιστολὴν κομίζοντα περὶ τοῦ Κατιλίνα, καὶ ζητουμένην ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. ὁ δ' οὖν Κράσσος ἀεὶ μὲν ἐμίσει τὸν Κικέρωνα διὰ τοῦτο· τοῦ δὲ βλάπτειν ἀναφανδὸν, ἐμποδὼν

dixit, & juſſit populus reconciliationem, diu Pompeius immobilis ſiluit: Craſſus vero prior dextra illi porrecta, Nihil arbitror, inquit, Quirites, demiſſum aut me indignum facere, qui benevolentiam & amicitiam exordiar cum Pompeio, quem vos imberbem adhuc Magnum appellaviſtis, & nondum in ſenatum lecto decreviſtis triumphum.

Hæc ſunt in Craſſi conſulatu memoranda. Cenſura ejus ignava plane & imperfecta tranſacta. Neque enim ſenatum luſtravit, neque recognovit equites, neque recenſum populi egit, quamvis Romanorum modeſtiſſimum Lutatium Catulum haberet collegam. At fama eſt acerbam actionem & violentam ſuſcipienti Craſſo, ut efficeret populo Romano vectigalem Ægyptum, enixe Catulum reſtitiſſe: hinc diſſenſione exorta, ultro eos magiſtratum depoſuiſſe. In magna illa Catilinæ conjuratione, quæ prope Romanam evertit rempublicam, nonnulla aſperſus ſuſpicione Craſſus fuit. Atque extitit quidam qui cum inter conjuratos nominavit: verum fidem homini adhibuit nemo. Cicero tamen in quadam oratione aperte Craſſo & Cæſari eam notam inurit: ſed edita eſt poſt utriuſque fata ea oratio. In oratione autem de conſulatu Craſſum noctu dicit cum epiſtola, quæ Catilinæ faceret mentionem, adiiſſe ſe, ſic ut conjurationem, de qua quærebatur, ut certam jam confirmantem. Quamobrem Ciceroni ſemper infeſtus Craſſus fuit: verum ne propalam eum læderet, eſt per

δεῖν εἶχε τὸν υἱόν. ὁ γὰρ Πόπλιος ὢν φιλολόγος καὶ φιλομαθὴς, ἐξήρτητο τοῦ Κικέρωνος· ὥστε καὶ συμμεταβαλεῖν αὐτῷ τὴν ἐσθῆτα κρινομένῳ, καὶ τοὺς ἄλλους νέους ταυτὰ ποιοῦντας παρασχεῖν. τέλος δὲ τὸν πατέρα πείσας φίλον ἐποίησεν.

Ὁ δὲ Καῖσαρ, ὡς ἐπανῆλθεν ἀπὸ τῆς ἐπαρχίας, παρασκευαζόμενος ὑπατείαν μετιέναι, καὶ Κράσσον ὁρῶν καὶ Πομπήϊον αὖθις ἐν διαφοραῖς πρὸς ἀλλήλους ὄντας, οὔτε θατέρου δεηθεὶς, ἐβούλετο λαβεῖν ἐχθρὸν τὸν ἕτερον, οὔτε μηδετέρου συνεργοῦντος, ἤλπιζε κατορθώσειν. ἔπραττεν οὖν διαλλαγὰς αὐτοῖς, προσκείμενος ἀεὶ, καὶ διδάσκων ὡς καταλύοντες ἀλλήλους αὔξουσι Κικέρωνας καὶ Κάτλους καὶ Κάτωνας· ὧν οὐδεὶς λόγος, ἂν ἐκεῖνοι συνενεγκόντες εἰς ταυτὸ τὰς φιλίας καὶ τὰς ἑταιρείας, ἑνὶ κράτει καὶ μιᾷ γνώμῃ τὴν πόλιν ἄγωσι. πείσας δὲ καὶ διαλλάξας, συνήγαγε καὶ συνέστησεν ἐκ τῶν τριῶν ἰσχὺν ἄμαχον, ᾗ κατέλυσε Ῥωμαίων τὴν βουλὴν καὶ τὸν δῆμον, οὐκ ἐκείνους δι' ἀλλήλων μείζονας, ἀλλὰ δι' ἐκείνων ἑαυτὸν μέγιστον ἀπεργασάμενος. εὐθὺς γὰρ αἱρεθεὶς ὑπ' ἀμφοτέρων, ὕπατος ἀπεδείχθη λαμπρῶς. ὑπατεύοντι δ' αὐτῷ καλῶς, ψηφισάμενοι στρατευμάτων ἡγεμονίαν, καὶ Γαλατίαν ἐγχειρίσαντες, ὥσπερ εἰς ἀκρόπολιν κατέστησαν, οἰόμενοι καθ' ἡσυχίαν νεμήσεσθαι τὰ λοιπὰ πρὸς ἀλλήλους, ἐκείνῳ βεβαιοῦντες ἣν ἔλαχεν ἀρχήν. Πομπήϊος μὲν οὖν ὑπὸ φιλαρχίας ἀμέτρου ταῦτ' ἔπραττε· τῶν δὲ Κράσσου νοσημάτων τὸ ἀρχαῖον ἡ φιλοπλουτία, καινὸν ἔρωτα προσλαβοῦσα καὶ ζῆλον, ἐπὶ ταῖς Καίσαρος ἀριστείαις, τροπαίων καὶ θριάμβων, ὥστε μόνοις

per filium impeditus. Publius enim, qui eloquentiæ & literarum studiosus esset, cupidus erat Ciceronis, adeo ut cum reo vestem mutaret, ac reliquam juventutem ad idem faciendum impelleret. Induxit denique parentem ut rediret cum Cicerone in gratiam.

Jam Cæsar ex provincia reversus parabat consulatum petere: qui ut novum inter Crassum & Pompeium dissidium vidit, noluit adjuncto altero contrahere sibi alterius odium, neque sperabat neutro opitulante voti se fore compotem. Quare reducere eos in gratiam molitus est, sedulo admonens eos semetipsos evertere, Cicerones autem, Catulos, & Catones augere, qui nullo numero essent, si collatis in unum partibus & factionibus, unis viribus reipublicæ, atque uno moderarentur consilio. Quibus suasu suo reconciliatis, potentiam contraxit & conflavit ex tribus invictam, quæ senatum & populum Romanum convulsit: neque mutua opera illos majores, sed per eos se effecit maximum. Nam extemplo utriusque factionis suffragiis gloriose est consul declaratus. Cui consulatum egregie gerenti legiones decreverunt, Galliamque tradiderunt, atque ita tanquam in arce collocaverunt: rati, si provinciam illi, quam erat sortitus, firmarent, reliqua se nullo negotio inter se partituros. Pompeium quidem impulit eo immodica dominandi cupido: Crassus vero, quum ad inveteratum morbum suum, avaritiam scilicet, novam affectationem assumpsisset, & æstum ex Cæsaris victoriis trophæorum & triumphorum, quod,

νοις ἐλαττοῦσθαι προὔχοντα τοῖς ἄλλοις, ἑαυτὸν οὐκ ἀνῆκεν, οὔτ' ἐλώφησε, πρὶν εἰς ὄλεθρον ἀκλεῆ καὶ δημοσίας συμφορὰς τελευτῆσαι. Καίσαρος γὰρ εἰς Λουκίαν πόλιν ἐκ Γαλατίας καταβάντος, ἄλλοι τε πολλοὶ Ῥωμαίων ἀφίκοντο, καὶ Πομπήιος καὶ Κράσσος ἰδίᾳ συγγενόμενοι πρὸς αὐτὸν, ἔγνωσαν ἐγκρατέστερον ἔχεσθαι τῶν πραγμάτων, καὶ πᾶσαν ὑφ' ἑαυτοῖς ποιεῖσθαι τὴν ἡγεμονίαν· Καίσαρος μὲν ἐν τοῖς ὅπλοις μένοντος, ἄλλας δὲ ἐπαρχίας καὶ στρατεύματα Πομπηίου καὶ Κράσσου λαβόντων. ἐνταῦθα δ' ὁδὸς ἦν μία, δευτέρας ὑπατείας αἴτησις· ἣν μετιόντων ἐκείνων, ἔδει συμπράττειν Καίσαρα, τοῖς τε φίλοις γράφοντα, καὶ τῶν στρατιωτῶν πέμποντα πολλοὺς ἀρχαιρεσιάσοντας.

Ἐπὶ τούτοις οἱ περὶ Κράσσον εἰς Ῥώμην ἐπανελθόντες, εὐθὺς ἦσαν ὕποπτοι, καὶ πολὺς ἐχώρει διὰ πάντων λόγος, οὐκ ἐπ' ἀγαθῷ γεγονέναι τὴν σύνοδον αὐτῶν. ἐν δὲ τῇ βουλῇ Μαρκελλίνου καὶ Δομιτίου Πομπήιον ἐρωτώντων εἰ μέτεισιν ὑπατείαν, ἀπεκρίνατο, τυχὸν μὲν μετιέναι, τυχὸν δὲ μὴ μετιέναι. καὶ πάλιν ἐρωτώμενος, ἔφη μετιέναι τοῖς δικαίοις πολίταις, μὴ μετιέναι δὲ τοῖς ἀδίκοις. τούτου δὲ δόξαντος ὑπερηφάνους ἀποκρίσεις καὶ τετυφωμένας ποιεῖσθαι, μετριώτερον ὁ Κράσσος εἶπεν, εἰ τῇ πόλει μετιέναι συμφέρει τὴν ἀρχήν· εἰ δὲ μὴ, πεπαύσεσθαι. διὸ καί τινες ἐθάῤῥησαν ὑπατείαν μετελθεῖν· ὧν ἦν καὶ Δομίτιος. γενομένων δὲ φανερῶν ἐκείνων ἐν ταῖς παραγγελίαις, οἱ μὲν ἄλλοι δείσαντες ἀπέστησαν, Δομίτιον δὲ Κάτων οἰκεῖον ὄντα καὶ φίλον ἐθάῤῥυνεν, ἐγκελευόμενος καὶ παρορμῶν ἔχεσθαι τῆς ἐλπίδος, ὡς ὑπερμαχοῦντα τῆς κοι-

quod, qui cæteris rebus antecelleret, illis foret inferior, non remisit ante studium neque conquievit quam in fœdum exitium & clades recidit publicas. Nam quum Lucam Cæsar ex Gallia venisset, frequentesque Romani ad eum essent profecti, Pompeius quoque & Crassus privatim cum eo colloquuti statuerunt acrius summam rerum capessere, ac totam rempublicam sui juris facere: hac ratione, Cæsar ut in armis maneret, alias provincias exercitusque Pompeius & Crassus caperent. Eo una patebat via, alterius consulatus petitio, cujus illos Cæsar candidatos adjuvare scribendo ad amicos, & frequentes milites ad comitia mittendo debebat.

Hac de re Crassus & Pompeius ad urbem regressi, illico in suspicionem venere, eratque in omnium ore, nullius fuisse eos rei salutaris causa congressos. In senatu etiam Marcellino & Domitio Pompeium interrogantibus an petiturus consulatum esset, respondit, fortassis se petiturum, fortassis non. Instantibus illis, ait æquis civibus petiturum se, non petiturum iniquis: qui quum superbe visus esset & arroganter respondisse, moderatius Crassus dixit, si e republica foret, honorem se petiturum, sin minus, quieturum. Quare aliqui, quorum de numero fuit Domitius, animum sumpserunt ad consulatum ambiendum. Verum ubi hi candidati processerunt, cæteri metu doterriti abjecerunt petitionem. Domitium Cato propinquum & amicum suum confirmavit, adhortans & incitans eum, ut qui pro libertate publica propugnaret, spem sequeretur

κοινῆς ἐλευθερίας. οὐ γὰρ ὑπατείας Πομπήιον δεῖσθαι καὶ Κράσσον, ἀλλὰ τυραννίδος, οὐδ' ἀρχῆς αἴτησιν, ἀλλ' ἁρπαγὴν ἐπαρχιῶν καὶ στρατοπέδων εἶναι τὰ πραττόμενα. ταῦτα δὲ καὶ λέγων οὕτω καὶ φρονῶν ὁ Κάτων, μονονοὺ προῆγεν εἰς ἀγορὰν τὸν Δομίτιον, καὶ συνίσταντο πολλοὶ πρὸς αὐτούς. καὶ τὸ θαυμάζον οὐκ ὀλίγον ἦν, τί δὴ δευτέρας οὗτοι χρῄζουσιν ὑπατείας; τί δὲ πάλιν μετ' ἀλλήλων; τί δ' οὐ μεθ' ἑτέρων; πολλοὶ δ' εἰσὶν ἄνδρες ἡμῖν, οὐκ ἀνάξιοι δήπου Κράσσῳ καὶ Πομπηΐῳ συνάρχειν. ἐκ τούτου δείσαντες οἱ περὶ Πομπήιον, οὐδενὸς ἀπείχοντο τῶν ἀκοσμοτάτων καὶ βιαιοτάτων· ἀλλὰ πρὸς πᾶσι τοῖς ἄλλοις λόχον ὑφέντες τῷ Δομιτίῳ, νυκτὸς ἔτι μετὰ τῶν ἄλλων κατερχομένῳ, κτείνουσι μὲν τὸν ἀνέχοντα τὸ φῶς πρὸ αὐτοῦ, συντιτρώσκουσι δὲ πολλούς· ὧν ἦν καὶ Κάτων. τρεψάμενοι δὲ καὶ κατακλείσαντες εἰς τὴν οἰκίαν ἐκείνους, ἀνηγορεύθησαν ὕπατοι· καὶ μετ' οὐ πολὺν χρόνον αὖθις ὅπλοις περισχόντες τὸ οἴκημα, καὶ τὸν Κάτωνα τῆς ἀγορᾶς ἐκβαλόντες, καί τινας ὑποστάντας ἀποκτείναντες, Καίσαρι μὲν ἄλλην ἀπέδοσαν πενταετίαν τῆς ἀρχῆς, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν ἐψηφίσαντο Συρίαν, καὶ Ἰβηρίας συναμφοτέρας. κληρουμένων δὲ, Συρίαν ἔλαχε Κράσσος, τὰ δ' Ἰβηρικὰ Πομπήιος.

Ἦν δὲ οὐκ ἀκούσιος ὁ κλῆρος ἅπασιν. οἵ τε γὰρ πολλοὶ Πομπήιον μὴ μακρὰν εἶναι τῆς πόλεως ἐβούλοντο, καὶ Πομπήιος ἐρῶν τῆς γυναικὸς, αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε. Κράσσος δὲ ὑπὸ χαρᾶς εὐθὺς ἐκπεσόντι τῷ κλήρῳ καταφανὴς ἦν οὐδὲν εὐτύχημα λαμπρότερον ἑαυτῷ γεγονέναι τοῦ παρ-

queretur ſuam. Neque enim Pompeium vel Craſſum conſulatum quærere, ſed dominationem, neu id agi, ut magiſtratum peterent, ſed ut provincias & legiones raperent. Ita dicens hæc & ſentiens Cato, Domitium deduxit tantum non vi in forum, multique ſe ad illos aggregaverunt: nec pauci mirabantur, quidnam iterum hi conſulatum peterent: quid iterum una, quidni cum aliis. Atqui multos dicebant eſſe non indignos, qui quidem conſulatum cum Craſſo & Pompeio caperent. Hinc timens Pompeii factio, non temperavit a ſumma indignitate & violentia: ac præter alia, locatis inſidiis Domitio, qui ante lucem in comitium cum aliis deſcendebat, ſervum ei prælucentem occidit, multos vulneravit, atque inter hos Catonem, quibus fugatis & domo incluſis conſules renuntiati ſunt. Nec multo poſt cincta denuo armis Domitii domo, Catone foro dejecto, & nonnullis, qui ſubſtiterunt ibi, interfectis, prorogaverunt Cæſari in quinquennium provincias, ſibi procurarunt provincias Syriam & utramque Hiſpaniam. Sortientibus, Syria Craſſo, Pompeio Hiſpaniæ obvenere.

Sors fuit omnibus haud ingrata. Quippe nolebat remotum plebs ab urbe Pompeium, & uxoris Pompeius amore deperiens, erat circa urbem plerumque commoraturus. Craſſus ſimul ac ſors exiit, exultans, fortunam præ ſe tulit arbitrari ſe præſente accidiſſe ſibi ſplendidiorem

παρὸν ἡγούμενος· ὡς μόλις ἐν ἀλλοτρίοις καὶ πολλοῖς ἡσυχίαν ἄγειν, πρὸς δὲ τοὺς συνήθεις πολλὰ καινὰ καὶ μειρακιώδη λέγειν, παρ' ἡλικίαν τὴν ἑαυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς ἢ σοβαρὸς τῷ βίῳ γεγονώς. τότε δ' ἐπηρμένος κομιδῇ καὶ διεφθαρμένος, οὐ Συρίαν, οὐδὲ Πάρθους ὅρον ἐποιεῖτο τῆς εὐπραξίας, ἀλλ' ὡς παιδιὰν ἀποφανῶν τὰ Λουκούλλου πρὸς Τιγράνην, καὶ Πομπηΐου πρὸς Μιθριδάτην, ἄχρι Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσσης ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι. καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ Παρθικὸς πόλεμος οὐ προσῆν. ᾔδεσαν δὲ πάντες ὅτι πρὸς τοῦτο Κράσσος ἐπτόηται· καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραψεν αὐτῷ, τὴν ὁρμὴν ἐπαινῶν, καὶ παροξύνων ἐπὶ τὸν πόλεμον. ἐπεὶ δὲ δημαρχῶν Ἀτήϊος ἔμελλε πρὸς τὴν ἔξοδον ἐναντιώσεσθαι, καὶ συνίσταντο πολλοί, χαλεπαίνοντες εἴ τις ἀνθρώποις οὐδὲν ἀδικοῦσιν, ἀλλ' ἐνσπόνδοις πολεμήσων ἄπεισι, δείσας ὁ Κράσσος ἐδεήθη Πομπηΐου παραγενέσθαι, καὶ συμπροπέμψαι. μέγα γὰρ ἦν ἐκείνου τὸ πρὸς τὸν ὄχλον ἀξίωμα· καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι καὶ καταβοᾶν, ὁρώμενος πρὸ αὐτοῦ φαιδρῷ βλέμματι καὶ προσώπῳ κατεπράϋνεν ὁ Πομπήϊος, ὥσθ' ὑπείκειν σιωπῇ δι' αὐτῶν προσιοῦσιν. ὁ δ' Ἀτήϊος ἀπαντήσας, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρετο μὴ βαδίζειν, ἔπειτα τὸν ὑπηρέτην ἐκέλευεν ἁψάμενον τοῦ σώματος κατέχειν. ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης οὐκ ἀνῆκε τὸν Κράσσον· ὁ δ' Ἀτήϊος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχαρίδα καιομένην· καὶ τοῦ Κράσσου γενομένου κατ' αὐτήν, ἐπι-

didiorem nullam: vix ut apud alienos & vulgus temperaret sibi, apud interiores vero multa vana & insolentia juvenum more effunderet præter ætatem & ingenium suum, qui minime gloriosus aut jactabundus per totam vitam fuisset. Tunc vero mirum in modum elatus & dissolutus, non Syriam nec Parthos, metam destinabat suæ prosperitatis, verum quasi effecturus, ut pro ludicris haberentur Luculli contra Tigranem res gestæ, & contra Mithridatem Pompeii, usque ad Bactros & Indos & Oceanum exteriorem proferebat spes suas. Atqui, quæ de imperio ejus lata lex fuit, bellum Parthicum non complectebatur, sed noverant omnes gestienti animo id affectare Crassum: & Cæsar ex Gallia literis ardorem ejus commendavit, inflammavitque eum ad bellum. Quia vero Ateius tribunus plebis parabat profectionem ejus interpellare, multique coibant, indignantes quod pacatis & fœderatis gentibus bellum moturus proficisceretur, timens Crassus oravit Pompeium ut sibi præsto esset & prosequeretur se. Erat enim magna ejus ad plebem autoritas. Atque in præsentia frequentes ad impediendum & convitiis lacerandum Crassum paratos, conspectus ipse ante Crassum placido intuitu ac vultu lenivit Pompeius, ut silentio locum darent per medios progredientibus. Ateius vero occurrit ei, ac primum, ne proficisceretur, verbis interdixit & testato denuntiavit, deinde viatori jussit manu corpori injecta eum retinere. Aliis autem tribunis intercedentibus non dimisit viator Crassum, & præcurrit ad portam Ateius. Ibi focum accendit: quo quum pervenisset Crassus, suffi-

ἐπιθυμιῶν καὶ καταςπένδων, ἀρὰς ἐπηρᾶτο δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινοὺς δέ τινας Θεοὺς καὶ ἀλλοκότους ἐπ' αὐταῖς καλῶν καὶ ὀνομάζων. ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους καὶ παλαιὰς τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς· κακῶς δὲ πράσσειν καὶ τὸν χρησάμενον· ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν αὐτὰς οὐδ' ὑπὸ πολλῶν ἀρᾶσθαι. καὶ τότ' οὖν ἐμέμφοντο τὸν Ἀτήϊον, εἰ δι' ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε καὶ δεισιδαιμονίαν τοσαύτην.

Ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν. ἔτι δ' ἀστάτου οὔσης χειμῶνι τῆς θαλάσσης, οὐ περιέμεινεν, ἀλλ' ἀνήχθη, καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε. τὴν δ' ἄλλην ἀναλαβὼν δύναμιν, ἠπείγετο πεζῇ διὰ Γαλατίας. εὑρὼν δὲ τὸν βασιλέα Δηϊόταρον πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν, ἐπέσκωψεν, εἰπὼν, ὦ βασιλεῦ, δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ; γελάσας δ' ὁ Γαλάτης, Ἀλλ' οὐδ' αὐτὸς, εἶπεν, ὦ αὐτοκράτορ, ὡς ὁρῶ, πρωῒ λίαν ἐπὶ Πάρθους ἐλαύνεις. ἦν δ' ὁ Κράσσος ἑξήκοντα μὲν ἔτη παραλλάττων, πρεσβύτερος δὲ τὴν ὄψιν ἢ καθ' ἡλικίαν. ἀφικόμενον δ' αὐτὸν ἐδέξατο τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον. καὶ γὰρ ἔζευξε ῥᾳδίως τὸν Εὐφράτην, καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς, καὶ πόλεις πολλὰς ἐν τῇ Μεσοποταμίᾳ κατέσχεν, ἑκουσίως προσθεμένας. ἐν μιᾷ δ', ἧς Ἀπολλώνιός τις ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν αὐτοῖς καὶ κρατήσας, διήρπασε τὰ χρήματα, καὶ τοὺς ἀνθρώπους ἀπέδοτο. Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. ἐπὶ ταύτης ἁλούσης δεξάμενος αὐτοκράτωρ ὑπὸ τῆς στρατιᾶς ἀναγορευθῆναι, πολλὴν

suffitibus injectis factisque libaminibus, diras capiti ejus atroces & horrendas imprecatus est: adhæc immanes Deos & inauditos ibi invocavit & appellavit. Has Romani arcanas & vetustas devotiones ea præditas vi ferunt, ut nemo, adversus quem conceptæ sint, evitare illas queat, nec bene cedant etiam concipientibus eas. Unde neque qualibet de causa has, neque in multos imprecari. Ac tunc quoque Ateium reprehenderunt, quod cujus reipub. gratia Crasso infensus erat, devotionibus eam tanta obstrinxisset religione.

At Crassus Brundusium pervenit. Pelago autem etiamnum ex tempestate turbido non exspectavit, sed conscendit, magnumque numerum navigiorum amisit. Reliquis copiis properavit pedestri itinere per Galatiam. Ibi quum reperisset regem Deiotarum, qui ætate jam gravis novam urbem condebat, dicto incessit eum, ac duodecima hora, inquit, rex, ædificare exordiris? Cui Galata ridens, Atqui neque tu, imperator, admodum matutinus contendis in Parthos. Excesserat autem annum Crassus sexagesimum, facie tamen apparebat quam ætate grandior. Advenienti res primo pro ipsius exspectatione responderc. Etenim nullo negotio Euphratem ponte junxit, exercitum traduxit sine impedimento, oppidis multis Mesopotamiæ se ultro dedentibus potitus est. Uni, cujus erat Apollonius tyrannus, ubi milites centum amisit, admovit signa, captamque diripuit, & captivos sub corona vendidit, Zenodotiam Græci dicebant. Qua capta, quum salutari se ab exercitu imperator sustinuisset, magnam subiit in-

4

λὴν ὦφλεν αἰσχύνην, καὶ ταπεινὸς ἐφάνη, καὶ περὶ τὰ μείζονα δύσελπις, οὕτω πλεονέκτημα μικρὸν ἠγαπηκώς. ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυίαις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοὶ, χίλιοι δ' ἱππεῖς, ἀνεχώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων. καὶ δεξάμενος αὐτόθι τὸν υἱὸν ἥκοντα παρὰ Καίσαρος ἐκ Γαλατίας, αὐτόν τε κεκοσμημένον ἀριστείοις, καὶ χιλίους ἱππεῖς ἐπιλέκτους ἄγοντα, τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος, μετά γε τὴν στρατείαν αὐτὴν, μεγίστων ἁμαρτημάτων γενομένων, ὅτι πρόσω χωρεῖν δέον, ἔχεσθαί τε Βαβυλῶνος καὶ Σελευκείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων, χρόνον ἔδωκε τοῖς πολεμίοις παρασκευῆς. ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς ᾐτιῶντο, χρηματιστικὰς μᾶλλον οὔσας ἢ στρατηγικάς. οὐ γὰρ ὅπλων ἀριθμὸν ἐξετάζων, οὐδὲ γυμνασίων ποιούμενος ἁμίλλας, ἀλλὰ προσόδους πόλεων ἐκλογιζόμενος, καὶ τὰ χρήματα τῆς ἐν Ἱερᾷ πόλει Θεοῦ σταθμοῖς καὶ τρυτάναις μεταχειριζόμενος ἐπὶ πολλὰς ἡμέρας, ἐπιγράφων δὲ καὶ δήμοις καὶ δυνάσταις στρατιωτῶν καταλόγους, εἶτ' ἀνιεὶς ἀργύριον διδόντας, ἠδόξει καὶ κατεφρονεῖτο τούτοις. γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς Θεοῦ ταύτης, ἣν οἱ μὲν Ἀφροδίτην, οἱ δὲ Ἥραν, οἱ δὲ τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν καὶ φύσιν νομίζουσι, καὶ τὴν πάντων εἰς ἀνθρώπους ἀρχὴν ἀγαθῶν καταδείξασαν. ἐξιόντων γὰρ ἐκ τοῦ ἱεροῦ, πρῶτος ἐσφάλη κατὰ τὰς πύλας ὁ νεανίας Κράσσος, εἶτ' ἐπ' αὐτῷ περιπεσὼν ὁ πρεσβύτερος.

Ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος αὐτοῦ, πρέσβεις

infamiam, abjectusque est habitus, nec majora sperare, successu qui tam se efferret tenui. Postquam oppidis, quæ deditionem fecerant, imposuit præsidium, quod fuit peditum septem millium & mille equitum, retro in Syriam hybernatum cessit. Ibi venientem ex Gallia a Cæsare excipit filium, qui donis militaribus ab illo ornatus mille delectos equites adduxit. In eo primo visus est impingere Crassus secundum expeditionem ipsam, in qua maximæ offensiones extitere, quod quum progrediendum ultra & Babylon esset tentanda Seleuciaque, Parthis semper infestæ urbes, spatium dederit hostibus ad se instruendos. Deinde commorationes in Syria ejus laceraverunt tanquam quæstuarias potius quam imperatorias. Non enim lustravit exercitum, non instituit ad exercendos milites certamina, sed vectigalia tantum civitatum, Deæ Hieropolitanæ thesaurum ponderibus & trutinis per multos dies examinavit, indicebat populis dynastisque militum delectus, mox pecuniæ causa remittebat. His rebus male audivit & contemptui fuit. Omen autem primum ei offertur ab hac Dea, quam alii Venerem, alii Junonem, nonnulli eam quæ incunabula & semina omnibus ex humido præbuit, causam & naturam arbitrantur esse, & quæ principium omnium bonorum docuit mortales. Nam templo quum excederent, primus in foribus adolescens Crassus lapsus est, inde incurrens in illum senex.

Quum jam ex hybernis legiones evocaret, adierunt

βεις ἀφίκοντο παρ' Ἀρσάκου βραχύν τινα λόγον κομίζοντες. ἔφασαν γὰρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ στρατὸς ἀπέσταλται, πόλεμον ἄσπονδον εἶναι καὶ ἀδιάλλακτον· εἰ δὲ τῆς πατρίδος ἀκούσης, ὡς πυνθάνονται, Κράσσος ἰδίων ἕνεκα κερδῶν ὅπλα Πάρθοις ἐπενήνοχε, καὶ χώραν κατείληφε, μετριάζειν Ἀρσάκην, καὶ τὸ Κράσσου γῆρας οἰκτείρειν· ἀφιέναι δὲ Ῥωμαίοις τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον ἢ φρουροῦντας. πρὸς ταῦτα Κράσσου κομπάσαντος, ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων Οὐαγίσης, καὶ τῆς χειρὸς ὑπτίας δείξας τὸ μέσον, ἐντεῦθεν, εἶπεν, ὦ Κράσσε, φύσονται τρίχες, ἢ σὺ ὄψει Σελεύκειαν. οὗτοι μὲν οὖν ἀπήλαυνον ὡς βασιλέα Ὑρώδην, πολεμητέα φράσοντες. ἐκ δὲ τῶν πόλεων ἃς ἐφρούρουν Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως τινὲς διεκπεσόντες, ἄξια φροντίδων ἀπήγγελλον, αὐτόπται γεγονότες τοῦ τε πλήθους τῶν πολεμίων, καὶ τῶν ἀγώνων οὓς ἠγωνίσαντο προσμαχόμενοι ταῖς πόλεσιν· οἷα δὲ φιλεῖ, πάντα πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν οἱ ἄνδρες, διώκοντες, ἄληπτοι δὲ, φεύγοντες, βέλη δὲ καινὰ προθέοντα τῆς ὄψεως, καὶ πρὶν ὀφθῆναι τὸν βάλλοντα, χωροῦντα διὰ τοῦ προστυχόντος· τῶν δὲ καταφράκτων ὅπλων τὰ μὲν διὰ παντὸς ὠθεῖσθαι, τὰ δὲ, πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα. ταῦτα τῶν στρατιωτῶν ἀκουόντων, τὸ θράσος ὑπέπιπτε. πεπεισμένοι γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους, οὐδὲ Καππαδοκῶν, οὓς ἄγων καὶ φέρων Λούκουλλος ἀπεῖπε, καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι μακρὰν ὁδὸν ἔσεσθαι, καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ' ἐλπίδας ἀγῶνα καὶ κίνδυνον μέ-

ierunt cum Arsacis legati cum brevi oratione. Ea hæc fuit: Si missus a populo Romano exercitus esset, gesturum illum implacabile & inexpiabile bellum: sin patria invita privati Crassus quæstus gratia arma Parthis intulisset, & urbes occupasset, acturum Arsacem moderate, & Crassi misericordiam senectutis capturum, populoque Romano remissurum milites, quos obsessos teneat potius quam in præsidiis locatos. Ad ea Crasso jactante Seleuciæ se responsum daturum, ex legatis Vagises, qui cæteros ætate anteibat, ridens, manus supinæ ostensa vola, Hinc prius, inquit, pili, Crasse, exorientur, quam tu aspicias Seleuciam. Ita ad regem Hyrodem discessere, bellandum renuntiantes. Ex oppidis Mesopotamiæ, ubi Romana præsidia erant, evaserant quidam magno cum periculo. Hi non levia nuntiaverunt, quod numerum ipsi hostium ac prœlia eorum oppida oppugnantium spectassent, atque (ut fieri solet) omnia in gravius extulerunt, ubi nempe instarent, nullum esse effugium, nec fugientes assequi ullum posse, tela inaudita, quæ oculorum aciem anteverterent, & antequam conspiceretur is qui emiserit, quicquid obvium esset, penetrarent, arma cataphractorum partim ad omnia perrumpenda, partim ne ulli rei cederent, fabricata. Ea audientes milites ceciderunt animis. Persuasi enim nihil Parthos præstare Armeniis vel Cappadocibus, quibus agendis ferendis fatigatus Lucullus fuerat, difficillimum autem eo in bello rati longinquum iter fore, hominumque insectationem comminus non pugnantium, præter exspectationem certamina & ingens discrimen cer-

μέγαν προσεδόκων ὥστε καὶ τῶν ἐν τέλει τινὰς οἴεσθαι δεῖν ἐπισχόντα τὸν Κράσσον, αὖθις ὑπὲρ τῶν ὅλων γνώμην προθέσθαι. τούτων ἦν Κάσσιος ὁ ταμίας. ἡσυχῇ δὲ παρεδήλουν καὶ οἱ μάντεις ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. ἀλλ' οὔτε τούτοις προσεῖχεν, οὔτε τοῖς ἕτερόν τι πλὴν ἐπείγεσθαι παραινοῦσιν.

Οὐχ ἥκιστα δ' αὐτὸν Ἀρταβάζης ὁ Ἀρμενίων βασιλεὺς ἐπέρρωσεν. ἦλθε γὰρ εἰς τὸ στρατόπεδον μεθ' ἑξακισχιλίων ἱππέων. καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες καὶ προπομποὶ βασιλέως· ἑτέρους δὲ μυρίους ὑπισχνεῖτο καταφράκτους, καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. ἔπειθε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρμενίας εἰς τὴν Παρθίαν· οὐ γὰρ μόνον ἐν ἀφθόνοις διάξειν τὴν στρατιὰν, αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύεσθαι δι' ἀσφαλείας, ὄρη πολλὰ καὶ λόφους συνεχεῖς, καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ἣ μόνη Πάρθων ἀλκὴ, προβαλλόμενον. ὁ δὲ τὴν προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς βοηθείας μετρίως ἠγάπησε· βαδιεῖσθαι δ' ἔφη διὰ Μεσοποταμίας, ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. ὁ μὲν οὖν Ἀρμένιος ἐπὶ τούτοις ἀπήλαυνε. τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ Ζεῦγμα, πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιερρήγνυντο, πολλὰ δὲ καὶ ἤστραπτεν ἐναντία τῷ στρατῷ. πνεῦμα δὲ νέφει καὶ πρηστῆρι μεμιγμένον, ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας, ἀνέρρηξε πολλὰ καὶ συνέτριψεν. ἐβλήθη δὲ καὶ κεραυνοῖς δυσὶν ὁ χῶρος οὗ στρατοπεδεύειν ἔμελλεν. ἵππος δὲ τῶν στρατηγικῶν ἐπιφανῶς κεκοσμημένος βίᾳ συνεπισπάσας τὸν ἡνίοχον, εἰς τὸ ῥεῖθρον ὑποβρύχιος ἠφανίσθη. λέγεται δὲ καὶ τῶν ἀετῶν ὁ πρῶ-

cernebant proposita. Itaque quidam etiam ex præfectis subsistendum Crasso censebant, atque ex integro de summa rerum consilium advocandum. In his quæstor erat Cassius. Aruspices quoque nuntiaverunt tecte Crasso nunquam litare victimas & dira semper denuntiare. Cæterum neque his auscultavit, neque ulli qui aliud quam ad maturandum hortaretur.

Imprimis erexit eum Armeniorum rex Artabazes, qui in castra cum sex millibus equitum venit. Dicebantur hi esse regis stipatores & satellites; alia pollicebatur decem millia cataphractorum, & triginta millia peditum, iisque se alimenta daturum. Suadebat autem Crasso, per Armeniam ut irrueret in Parthiam. Omnia enim affatim se subministraturum exercitui, tutum etiam iter fore, quod montes frequentes & continentes colles regionemque asperam objectam habituri essent equitatui, quo Parthi uno pollerent. At Crassus collaudata modice promptitudine ejus & subsidii amplitudine, ducturum se ostendit per Mesopotamiam, ubi multos & egregios milites Romanos reliquisset. Ita discessit Armenius. Traducente autem exercitum juxta Zeugma Crasso, crebra eruperunt & atrocia tonitrua, frequentia fulmina ex adverso exercitui emicavere, ventus cum atra nube & prestere procellosus in pontem ejus temporarium incumbens, magna ex parte convulsit & dirupit eum: Locus item, ubi metaturus erat castra, bis est de cœlo tactus. Equus ex prætoriis insigniter exornatus ablato vi rectore, in flumine submersus atque ex oculis est ablatus. Dicitur prima aqui-

πρῶτος, ἀρθεὶς ἀπὸ ταυτομάτου μεταστραφῆναι. πρὸς δὲ τούτοις, συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτήδεια τοῖς στρατιώταις, πρῶτα πάντων δοθῆναι φακοὺς καὶ ἅλας, ἃ νομίζουσι Ῥωμαῖοι πένθιμα, καὶ προτίθενται τοῖς νέκυσιν· αὐτοῦ τε Κράσσου δημηγοροῦντος, ἐξέπεσε φωνὴ, δεινῶς συγχέασα τὸν στρατόν. ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ. καὶ δέον, ὡς ἤσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπὸ αὐθαδείας. τέλος δὲ, τὸν εἰθισμένον καθαρμὸν ἐσφαγιάζετο, καὶ τὰ σπλάγχνα τοῦ μάντεως αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν. ἐφ᾽ ᾧ καὶ μάλιστα δυσχεραίνοντας ἰδὼν τοὺς παρόντας ἐμειδίασε, καὶ, Τοιοῦτον, ἔφη, τὸ γῆρας· ἀλλὰ τῶν γε ὅπλων οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας.

Ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν, ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα, καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας ἱππεῖς, ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. τῶν δὲ προδρόμων τινὲς ἀπὸ σκοπιᾶς ἐπανελθόντες ἤγγελλον, ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν χώραν, ἵππων δ᾽ ἐντετυχηκέναι πολλῶν ἴχνεσιν, οἷον ἐκ μεταβολῆς ὀπίσω διωκομένων. ὅθεν αὐτός τε Κράσσος ἔτι μᾶλλον εὔελπις ἦν, καὶ τοῖς στρατιώταις παντάπασι τῶν Πάρθων παρέστη καταφρονεῖν, ὡς οὐκ ἀφιξομένων εἰς χεῖρας. ὅμως δὲ οἱ περὶ Κάσσιον αὖθις διελέγοντο τῷ Κράσσῳ, καὶ παρήνουν, μάλιστα μὲν ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρις οὗ τι πύθηται περὶ τῶν πολεμίων βέβαιον· εἰ δὲ μὴ, χωρεῖν ἐπὶ Σελευκείας παρὰ τὸν ποταμόν· εὐπορεῖν γὰρ τὰ

σιτηγὰ

aquila, quum sublata esset, retro sponte sua conversa fuisse. Ad hæc accidit, postquam transmisit amnem, ut quum militibus alimenta metiretur, præberet ante omnia lentes & salem, quæ Romani habent pro feralibus, & defunctis apponuntur. Jam ipsi Crasso excidit concionanti vox, quæ majorem in modum consternavit exercitum: siquidem pontem dixit se rescissurum, ne quis eorum regrederetur. Ac quum oportuisset, ubi advertit dicti importunitatem, lenire id & declarare apud trepidos, præ superbia tamen neglexit. Postremo quum lustraret solenni sacrificio exercitum, porrecta ei ab aruspice exta exciderunt manibus, unde vel maxime perculsam coronam cernens risit, ac, Ea adfert senectus, inquit: verum haudquaquam elabentur manibus meis arma.

Hinc secundum flumen progressus est. Habebat sub signis septem legiones, equites paulo minus quatuor millia, levis armatura æquabat equitatum. Speculatores aliquot a contemplanda ex specula regione reversi, nullum hominem nuntiaverunt usquam comparere, incidisse vero in frequentium equorum vestigia se quasi ad fugam retrocedentium. Unde aucta Crasso est spes, cœperuntque milites Parthos ut manus non conserturos contemnere. Cassius tamen iterum Crassum convenit, monuitque, maxime ut, dum aliquid de Parthis allatum esset certi, in aliqua urbium, in quibus præsidium habebat, reficeret exercitum. Sin minus, ut secundum flumen Seleuciam signa moveret. Commeatus enim naves frumentarias facul-

ta-

σιτηγὰ τῆς ἀγορᾶς παρέχειν, ἅμα συγκαταίροντα πρὸς τὸ στρατόπεδον, καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν ἔχοντας, ἀπ᾽ ἴσης ἀεὶ πρὸς ἐναντίους μάχεσθαι τοὺς πολεμίους.

Ταῦτα τοῦ Κράσσου διασκοποῦντος ἔτι καὶ βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων Ἀριάμνης ὄνομα, δολερὸς καὶ παλίμβολος ἀνὴρ, καὶ πάντων ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακὰ, μέγιστον αὐτοῖς καὶ τελεώτατον γενόμενος. τοῦτον δ᾽ ᾔδεσαν ἔνιοι τῶν Πομπηΐῳ συνεστρατευμένων ἀπολαύσαντά τι τῆς ἐκείνου φιλανθρωπίας, καὶ δόξαντα φιλορώμαιον εἶναι. τότε δ᾽ ὑφεῖτο τῷ Κράσσῳ μετὰ γνώμης τῶν βασιλέως στρατηγῶν, εἰ δύναιτο παραπέμψας αὐτὸν ἀπωτάτω τοῦ ποταμοῦ καὶ τῶν ἠπείρων, εἰς πεδίον ἐκβαλεῖν ἀχανὲς περιελαυνόμενον. πάντα γὰρ διενοοῦντο μᾶλλον, ἢ κατὰ στόμα συμφέρεσθαι Ῥωμαίοις. ἐλθὼν οὖν πρὸς τὸν Κράσσον ὁ βάρβαρος (ἦν δὲ καὶ πιθανὸς εἰπεῖν) Πομπήϊον μὲν ὡς εὐεργέτην ἐπῄνει· Κράσσον δὲ τῆς δυνάμεως μακαρίσας, ἐμέμφετο τῆς διατριβῆς, μέλλοντα καὶ παρασκευαζόμενον, ὥσπερ ὅπλων αὐτῷ δεησόντων, οὐ χειρῶν οὐδὲ ποδῶν τῶν ταχίστων, ἐπ᾽ ἀνθρώπους οἳ πάλαι ζητοῦσιν ἁρπάσαντες τὰ τιμιώτατα τῶν χρημάτων καὶ σωμάτων, εἰς Σκύθας ἢ Ὑρκανοὺς ἀναπτᾶσθαι. Καίτοι μάχεσθαι μέλλοντας, ἔφη, σπεύδειν ἔδει, πρὶν ἅπασαν ἐν ταυτῷ γενέσθαι τὴν δύναμιν, ἀναθαρρήσαντος βασιλέως. ἐπεὶ νῦν γε Σουρήνας ὑμῖν προβέβληται καὶ Σιλλάκης, ἐφ᾽ αὑτοὺς ἀναδεξάμενοι τὴν δίωξιν· ὁ δ᾽ οὐδαμῆ φανερός ἐστι. ταῦτα δὲ ἦν ψευδῆ πάντα. δίχη γὰρ εὐθὺς Ὑρώδης διελὼν τὴν δύναμιν, αὐτὸς μὲν Ἀρ-
μενίαν

tatem suppeditaturas, simulque castra sequuturas, & præstaturum amnem, ne circumveniri possent, sed pari opportunitate semper dimicarent cum hostibus.

Hæc volventem adhuc & perpendentem Crassum adit regulus Arabum Ariamnes nomine, homo astutus & versipellis, qui omnium quæ ad exitium Crassi coacervavit fortuna malorum maximum & præcipuum fuit caput. Hunc aliqui, qui sub Pompeio meruerant, meminerant munificentia Pompeii nonnihil affectum, habitumque Romanorum studiosum. Verum is fuerat tunc in Crassum ex consilio præfectorum regiorum subornatus & missus, ut comitans eum, quam remotissime, si qua posset, a flumine & locis inæqualibus in vastum campum conjiceret, ubi cingi valeret equitatu. Quidvis enim quam fronte concurrere malebant cum Romanis. Barbarus ergo ubi ad Crassum accessit (& erat facundus) Pompeium extulit ut bene de se meritum. Copias vero miratus Crassi, moram ejus improbavit cunctantis, & in apparatu occupati, quasi armis, non manibus & pedibus opus esset habiturus in homines, qui jampridem pararent rebus ereptis pretiosissimis & corporibus ad Scythas vel Hyrcanos evolare. Et quidem si vel pugnandum sit, inquit, properandum erat priusquam resumpto rex animo vires in unum contraheret omnes; quando nunc quidem Surenas vobis & Sillaces objecti sunt, qui ab insequendo sunt vos moraturi: ille vero apparet nusquam. Ficta hæc erant omnia. Quippe Hyrodes bipertito statim exercitu ipse Arme-

μενίαν ἐπόρθει, τιννύμενος Ἀρταυάσδην· Συρήναν δὲ ἀφῆκεν ἐπὶ Ῥωμαίους, οὐχ ὑπερφροσύνῃ χρώμενος, ὡς ἔνιοί φασιν. οὐ γὰρ ἦν αὐτοῦ, Κράσσον μὲν ἀπαξιοῦν ἀνταγωνιστὴν, ἄνδρα Ῥωμαίων πρῶτον, Ἀρταυάσδῃ δὲ προσπολεμεῖν, καὶ τὰς Ἀρμενίων ἐπιόντα κώμας ἐξαιρεῖν· ἀλλὰ καὶ πάνυ δοκεῖ καταδείσας τὸν κίνδυνον, αὐτὸς μὲν ἐφεδρεύειν καὶ καραδοκεῖν τὸ μέλλον· Συρήναν δὲ προκαθεῖναι πειρασόμενον μάχης, καὶ περιέλξοντα τοὺς πολεμίους. οὐδὲ γὰρ ἦν τῶν τυχόντων ὁ Συρήνας, ἀλλὰ πλούτῳ μὲν καὶ γένει καὶ δόξῃ μετὰ βασιλέα δεύτερος, ἀνδρείᾳ δὲ καὶ δεινότητι τῶν κατ' αὐτὸν ἐν Πάρθοις πρῶτος· ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος, ὡς οὐδεὶς ἕτερος. ἐξήλαυνε δὲ καθ' ἑαυτὸν ἀεὶ χιλίαις σκευοφορούμενος καμήλοις, καὶ διακοσίας ἀπήνας ἐπήγετο παλλακίδων· ἱππεῖς δὲ κατάφρακτοι χίλιοι, πλείονες δὲ τῶν κούφων παρέπεμπον. εἶχε δὲ τοὺς σύμπαντας ἱππεῖς ὁμοῦ πελάτας τε καὶ δούλους, μυρίων οὐκ ἀποδέοντας. κατὰ γένος μὲν οὖν ἐξ ἀρχῆς ἐκέκτητο βασιλεῖ γινομένῳ Πάρθων ἐπιτιθέναι τὸ διάδημα πρῶτος. Ὑρώδην δὲ τοῦτον αὐτὸν ἐξεληλαμένον εἰς Πάρθους κατήγαγε, καὶ Σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε, πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιστάντας. οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα κατ' ἐκεῖνον τὸν χρόνον, εὐβουλίας καὶ συνέσεως δόξαν εἶχε μεγίστην· οἷς οὐχ ἥκιστα καὶ τὸν Κράσσον ἔσφηλε, διὰ θάρσος καὶ φρόνημα πρῶτον, εἶτα ὑπὸ δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχειρώτατον γινόμενον.

Τότ'

meniam vaſtabat Artavaſdem ulciſcens, Surenam Romanis immiſerat, nulla quidem (ut nonnulli autumant) deſpicientia. Neque enim ut Craſſum dedignaretur adverſarium, virum inter Romanos primarium, conveniebat, cum Artavaſdo vero bellaret atque Armeniorum præſidia expugnaret. Verum qui, meo judicio, impenſe timeret periculum, ſpectator volebat eſſe & exſpectare eventum: Surenam autem priorem præmittere ad periclitandum prœlium, & circumveniendos hoſtes. Neque enim vulgaris vir Surenas erat, ſed opibus, genere, auctoritate a rege ſecundus, virtute vero & conſilio ſuæ ætatis Parthorum primus; ad hæc, corporis ſtatura eminenti & venuſtate nemini comparandus. Solus ſemper iter faciebat mille camelis impedimenta ejus portantibus, rhedaſque ſecum ducentas trahebat pellicum. Equites eum cataphracti mille, levis armaturæ major manus comitabatur. Equites in ſumma, qui eſſent clientes ſui & ſervi, non minus habebat decem millia. Prærogativa erat ei antiquitus gentilitia, regi Parthorum deſignato ut imponeret primus diadema. Hunc ipſum Hyrodem reduxit exactum in Parthos, ac Seleuciam magnam in poteſtatem ejus redegit, qui in murum evaſit primus, hoſteſque ſua manu pepulit. Habebatur id temporis, annos nondum natus triginta, conſilio atque prudentia primus, quibus artibus potiſſimum evertit Craſſum, ex audacia & confidentia primum, per pavorem deinde & clades impoſturis maxime opportunum.

Tunc

Τότ᾽ οὖν ὁ βάρβαρος ὡς ἔπεισεν αὐτόν, ἀποσπάσας τοῦ ποταμοῦ διὰ μέσων ἦγε τῶν πεδίων, ὁδὸν ἐπιεικῆ καὶ κούφην τὸ πρῶτον, εἶτα μοχθηράν, ἄμμου βαθείας ὑποδεχομένης, καὶ πεδίων ἀδένδρων καὶ ἀνύδρων, καὶ πρὸς οὐδὲν οὐδαμῆ πέρας ἐφικτὸν αἰσθήσει παυομένων. ὥστε μὴ μόνον δίψει καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν, ἀλλὰ καὶ τὸ τῆς ὄψεως ἀπαραμύθητον ἀθυμίαν παρέχειν, οὐ φυτὸν ὁρῶσιν, οὐ ῥεῖθρον, οὐ προβολὴν ὄρους καθιέντος, οὐ πόαν διαβλαστάνουσαν, ἀλλ᾽ ἀτεχνῶς πελάγιόν τι χεῦμα θινῶν τινων ἐρήμων περιεχόντων τὸν στρατόν. ἦν μὲν οὖν καὶ ἀπὸ τούτων ὁ δόλος ὕποπτος. ἐπεὶ δὲ παρὰ Ἀρταυάσδου τοῦ Ἀρμενίου παρῆσαν ἄγγελοι, φράζοντες ὡς πολλῷ συνέχοιτο πολέμῳ, ῥυέντος ἐπ᾽ αὐτὸν Ὑρώδου, καὶ πέμπειν μὲν ἐκείνῳ βοήθειαν οὐ δύναται, παραινεῖ δὲ Κράσσῳ, μάλιστα μὲν ἐκεῖ τραπέσθαι, καὶ γενόμενον μετ᾽ Ἀρμενίων, ὁμοῦ διαγωνίσασθαι πρὸς τὸν Ὑρώδην· εἰ δὲ μή, πορεύεσθαι καὶ στρατοπεδεύειν, ἀεὶ τὰ ἱππάσιμα φεύγοντα, καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς· Κράσσος μὲν οὐδὲν ἀντιγράψας ὑπ᾽ ὀργῆς καὶ σκαιότητος ἀπεκρίνατο, νῦν μὲν Ἀρμενίοις μὴ σχολάζειν, αὖθις δ᾽ ἀφίξεσθαι δίκην ἐπιθήσων Ἀρταυάσδῃ τῆς προδοσίας. οἱ δὲ περὶ Κάσσιον αὖθις ἠγανάκτουν, καὶ Κράσσον μὲν ἀχθόμενον αὐτοῖς ἐπαύσαντο νουθετοῦντες, ἰδίᾳ δὲ τὸν βάρβαρον ἐλοιδόρουν, Τίς σε δαίμων πονηρός, ὦ κάκιστε ἀνθρώπων, ἤγαγε πρὸς ἡμᾶς; τίσι δὲ φαρμάκοις καὶ γοητείαις ἔπεισας Κράσσον, εἰς ἐρημίαν ἀχανῆ καὶ βυθὸν ἐκχέαντα τὴν στρατιάν, ὁδὸν ὁδεύειν Νομάδι λῃστάρχῃ μᾶλλον ἢ Ῥωμαίων

Tunc ergo barbarus, ubi impulit eum, a flumine abſtractum mediis duxit campis, via leni & facili initio, inde ſuccedente alta arena, nudiſque & ſitientibus campis, qui terminari nuſquam oculis poterant, odioſa. Nec tantum ſitis & itineris moroſitas torporem inducebat militibus, ſed præbebat etiam proſpectus triſtitia ingentem horrorem, ſtirpem nullam conſpicientibus, non rivum, non montis ſupercilium ſe ſummittentis, non virentem herbam, verum revera fluxum quendam marinum vaſtæ arenæ exercitum amplectentis. Erat jam vel hinc ſuſpectus dolus. At ubi nuntii quoque ab Armenio Artavaſde advenerunt, bello eum gravi premi, ruente in ipſum Hyrode, ideo mittere non poſſe illi auxilia, monere autem Craſſum maxime illuc ut ſe convertat, junctiſque cum Armeniis copiis una decernant cum Hyrode: quod ſi non placeat, ita ſemper incedat, & locum capiat caſtris, ut regiones declinet equitabiles, & montoſas ſequatur: Craſſus præ ſtomacho & væcordia nihil reſcripſit, ſed reſpondit, Armeniis ſe in præſentia non vacare, verum poſt aditurum eos, ut de Artavaſdis proditione expetat pœnas. Porro Caſſius iterum fremuit, & Craſſum quidem infenſum ſibi deſtitit monere, barbarum vero ſeorſum increpavit, ac, Quis te malus genius, inquit, homo ſceleſtiſſime, ad nos adduxit? Quibus medicamentis & præſtigiis Craſſum faſcinaſti, ut conjecto in vaſtam & profundam ſolitudinem exercitu, iter ingrediatur Arabi latronum duci magis quam imperatori Romano

Digitized by Google

μαίων αὐτοκράτορι προσήκουσαν; ὁ δὲ βάρβαρος, ἀνὴρ ὢν ποικίλος, ἐκείνους μὲν ὑποπίπτων ἐθάρρυνε, καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι· τοὺς δὲ στρατιώτας, ἅμα συμπαραθέων καὶ παραβοηθῶν, ἐπέσκωπτε μετὰ γέλωτος, Ὑμεῖς δὲ διὰ Καμπανίας ὁδεύειν οἴεσθε, κρήνας καὶ νάματα, καὶ σκιὰς, καὶ λουτρὰ δηλαδὴ καὶ πανδοκεῖα ποθοῦντες; οὐ μέμνησθε δὲ τὴν Ἀράβων διεξιόντες καὶ Ἀσσυρίων μεθορίαν; οὕτω μὲν ὁ βάρβαρος διεπαιδαγώγησε τοὺς Ῥωμαίους, καὶ πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν, ἀφίππευσεν, οὐ λαθὼν τὸν Κράσσον, ἀλλὰ καὶ τοῦτο πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων.

Λέγεται δὲ τῆς ἡμέρας ἐκείνης τὸν Κράσσον, οὐχ ὥσπερ ἔθος ἐστὶ Ῥωμαίων στρατηγοῖς, ἐν φοινικίδι προελθεῖν, ἀλλ' ἐν ἱματίῳ μέλανι· καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα. τῶν δὲ σημαιῶν ἐνίας μόλις, ὥσπερ πεπηγυίας, πολλὰ παθόντας ἀνελέσθαι τοὺς φέροντας. ὧν ὁ Κράσσος καταγελῶν ἐπετάχυνε τὴν πορείαν, προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι· πρίν γε δὴ τῶν ἐπὶ κατασκοπὴν ἀποσταλέντων ὀλίγοι προσπελάσαντες ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν· ἐπιέναι δὲ μαχομένους πλήθει πολλῷ καὶ θάρσει τοὺς ἄνδρας. ἅπαντες μὲν οὖν ἐθορυβήθησαν, ὁ δὲ Κράσσος ἐξεπλάγη παντάπασι, καὶ διὰ σπουδῆς οὐ πάνυ καθεστηκὼς παρέταττε· πρῶτον μὲν, ὡς οἱ περὶ Κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν ἐπὶ πλεῖστον ἀνάγων τοῦ πεδίου πρὸς τὰς κυκλώσεις, τοὺς δ' ἱππεῖς διανέμων τοῖς κέρασιν. ἔπειτα μετέδοξε, καὶ

mano conſentaneum? Barbarus, qui verſipellis eſſet, ſuppliciter agens confirmavit illum, hortatuſque eſt ut pauliſper adhuc ſuſtineret. Milites vero ſimul ſubveniens & una curſitans deridebat. Quid vos, num per Campaniam, inquit, iter facere putatis, fontes, rivos, umbras, balnea ſcilicet & diverſoria quæritis? Non venit in mentem Arabum & Aſſyriorum peragrare vos confinium? Ita Romanos barbarus deliniebat, qui priuſquam compertus doli eſſet, aufugit, non clam Craſſum tamen; verum & hoc ei perſuaſerat, exercitum ſe hoſtium circumventurum & perturbaturum.

Fama eſt Craſſum illo die non (ut ſolenne Romanis imperatoribus eſt) paludamento purpureo proceſſiſſe amictum, ſed toga pulla, eamque ubi animadvertit, mutaſſe: ſigna autem quædam velut infixa vix magno labore valuiſſe ſigniferos convellere, quos Craſſus irridens urgebat iter, cogens agmen curſum æquare equitum, ſaltem quouſque pauci ſpeculatores accurrentes reliquos nuntiaverunt ab hoſtibus occiſos, ſe ægre elapſos, hoſtes adeſſe ingenti multitudine & animo ad dimicandum. Ibi omnes perculſi ſunt. Craſſus plane obſtupuit, ac præ properatione non ſatis ſui compos inſtruxit aciem. Primum ex Caſſii ſententia raros ordines legionum, ne circundarentur, quam longiſſime per campum produxit, equites diſtribuit in cornua. Mox conſilium mutavit, ac

καὶ συναγαγὼν, ἀμφίστομον ἐποίησε καὶ βαθὺ πλινθίον, ἐν δώδεκα σπείραις προσερχομένης τῶν πλευρῶν ἑκάστης. παρὰ δὲ σπεῖραν, ἴλην ἱππέων ἔταξεν, ὡς μηδὲν ἔχοι μέρος ἐνδεὲς ἱππικῆς βοηθείας, ἀλλὰ πανταχόθεν ὁμαλῶς προσφέροιτο πεφραγμένος. τῶν δὲ κεράτων τὸ μὲν Κασσίῳ, τὸ δὲ τῷ νέῳ Κράσσῳ παρέδωκεν, αὐτὸς δὲ εἰς μέσον κατέστη. καὶ προαγόντες οὕτως, ἐπὶ ῥεῖθρον ἦλθον, ὃ καλεῖται Βάλισσος, οὐ πολὺ μὲν ἄλλως, οὐδὲ ἄφθονον, ἀσμένοις δὲ τότε τοῖς στρατιώταις φανὲν, ἐν αὐχμῷ καὶ καύματι, καὶ παρὰ τὴν ἄλλην ἐπίπονον καὶ ἄνυδρον πορείαν. οἱ μὲν οὖν πλεῖστοι τῶν ἡγεμόνων ᾤοντο δεῖν ἐνταῦθα καταυλισαμένους καὶ νυκτερεύσαντας, καὶ πυθομένους ἐφ' ὅσον οἷόν τε τὸ πλῆθος καὶ τάξιν τῶν πολεμίων, ἅμ' ἡμέρᾳ χωρεῖν ἐπ' αὐτούς· Κράσσος δὲ τῷ παιδὶ καὶ τοῖς περὶ αὐτὸν ἱππεῦσιν ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν ἐπαρθεὶς, ἐκέλευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους. καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι καλῶς, ἦγεν οὐ σχέδην οὐδ' ὡς ἐπὶ μάχην διαναπαύων, ἀλλ' ὀξείᾳ καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ, μέχρις οὗ κατώφθησαν οἱ πολέμιοι παρὰ δόξαν, οὔτε πολλοὶ φανέντες, οὔτε σοβαροὶ τοῖς Ῥωμαίοις. τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε τοῖς προτάκτοις Σουρήνας, τὴν δὲ λαμπρότητα κατέκρυψε τῶν ὅπλων, ἱμάτια καὶ διφθέρας προΐσχεσθαι κελεύσας. ὡς δ' ἐγγὺς ἐγένοντο, καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. Πάρθοι γὰρ οὐ κέρασιν, οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν ἑαυτοὺς εἰς μάχην, ἀλλὰ ῥόπτρα βυρσοπαγῆ καὶ κοῖλα περιτείναντες ἠχείοις χαλκοῖς, ἅμα πολλαχόθεν ἐπι-

ac contractis copiis ancipitem aciem & profundam quadratamque fecit. Erant in singulis lateribus duodenæ cohortes. Adjunxit cuique cohorti alam equitum, ne qua pars equestri subsidio careret, sed concurreret undequaque juxta munita. Alterum cornu Cassio, alterum Crasso filio attribuit, ipse in media acie constitit. Ita processerunt ad rivum (Balissus appellatur) non magnum nec largum, verum in tanto squalore & æstu per viam reliquam laboriosam & sitientem, gratum tamen eo tempore militibus. Ibi plerique duces castra ponenda & pernoctandum censuerunt, explorandumque, quatenus fieri posset, quam magnæ hostium copiæ essent, & quemadmodum instructæ; inde prima luce in illos movendum. At Crassus filio suo atque equitibus ejus prœlium cientibus elatus, imperavit ut in acie stantes, quibus liberet, cibum caperent & biberent. Priusquam hoc per omnes ordine factum esset, processit non composito gradu, neque ut ad prœlium interquiescens, sed propero & continuo agmine, quoad in conspectu fuere hostes, qui neque numerosi (ut exspectabant) neque pomposi visi Romanis sunt. Nam multitudinem post primam aciem occuluerat Surenas, splendoremque armorum texerat tunicis & sagis pelliceis, quibus edixerat ut se velarent. Ubi appropinquaverunt, & signum pugnæ sublatum a duce est, primum gravi sonitu atque fremitu terribili compleverunt campum. Neque enim cornibus aut tubis classicum canunt Parthi, sed clavas ex corio concavas æramentis intenta resonantibus pulsant undique

ἐπιδουποῦσι. τὰ δὲ φθέγγεται βύθιόν τι καὶ δεινόν, ὠρυγῇ θηριώδει καὶ τραχύτητι βροντῆς μεμιγμένον· εὖ πως συνεωρακότες, ὅτι τῶν αἰσθητηρίων ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς, καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ, καὶ μάλιστα ἐξίστησι τὴν διάνοιαν.

Ἐκπεπληγμένων δὲ τῶν Ῥωμαίων διὰ τὸν ἦχον, ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβαλόντες, ὤφθησαν αὐτοί τε φλογοειδεῖς, κράνεσι καὶ θώραξι τοῦ Μαργιανοῦ σιδήρου στίλβοντος ὀξὺ καὶ περιλαμπές· οἵ θ' ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς ὑφάσμασιν. ὁ δὲ Σουρήνας μέγιστος καὶ κάλλιστος αὐτός, τῇ κατ' ἀνδρείαν δόξῃ τὴν θηλύτητα τοῦ κάλλους οὐκ ἐοικώς, ἀλλὰ Μηδικώτερον ἐσκευασμένος ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει, τῶν ἄλλων Πάρθων ἔτι Σκυθικῶς ἐπὶ τὸ φοβερὸν τῶν ἀνασίλλων κομώντων. καὶ πρῶτον μὲν διενοοῦντο τοῖς κοντοῖς εἰσελαύνοντες ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους· ὡς δ' ἑώρων τό, τε βάθος τοῦ συνασπισμοῦ, καὶ τῶν ἀνδρῶν τὸ μόνιμον καὶ παρεστηκός, ἀνῆγον ὀπίσω, καὶ σκίδνασθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν, ἐλάνθανον ἐν κύκλῳ περιβάλλοντες τὸ πλινθίον αὐτῶν. Κράσσου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν οὐ πολὺ προῆλθον, ἀλλὰ πολλοῖς τοξεύμασιν ἐντυχόντες ταχὺ καὶ συμπαρέντες, αὖθις ἐνεδύοντο τοῖς ὁπλίταις, καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ δέους, ὁρῶσι τὸν τόνον τῶν οἰστῶν καὶ τὴν ῥώμην, ὅπλα τε ῥηγνύντων, καὶ διὰ παντὸς φερομένων ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ τοῦ τάγματος. οἱ δὲ Πάρθοι διαστάντες ἐκ μήκους ἤρξαντο τοξεύειν ἅμα πανταχόθεν, οὐ τὴν ἀκριβῆ τάξιν,

que. Hæ raucum clangorem & dirum edunt velut ululatu belluino & tonitrui asperitate mistum. Ac recte adverterunt ab auditus sensu animum turbari maxime, ejusque ocyssime cieri affectus, ac potissimum de statu mentem dejici.

Eo strepitu expavescentibus Romanis, repente abjiciunt armorum integumenta. Tum illi rutilare visi galeis loricisque ex Margiano ferro factis coruscante & refulgente. Equi erant æreis & ferreis operti velamentis. Ipse eximia statura Surenas ac pulcherrimus, venustatis mollitia opinionem non æquans suæ virtutis, verum erat potius ad Medorum morem fucata facie & coma redimitus discriminata, quum cæteri Parthi etiam tum Scythico modo horrerent capillo incompto. Instituerunt primum infestis hastis antesignanos impellere & movere. Cæterum ut altitudinem consertæ aciei & militum videre stabilitatem immobilitatemque, gradum retulerunt. Dissipari autem atque dissolvere ordines quum viderentur, priusquam adverterent Romani, undique se ipsorum aciei quadratæ circumfudere. Quum vero levem armaturam Crassus procurrere jussisset, haud longe sunt progressi, sed grandine sagittarum male accepti & confixi retro se inter gravem armaturam receperunt, initiumque tumultus & pavoris præbuerunt, cum cernerent vim & robur jaculorum arma lacerantium, & juxta omnia penetrantium, sive dura arma sive molle foret corpus. At Parthi divulserunt se, cœperuntque eminus undique sagittare, non exacte dirigentes

τάξιν, (ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν Ῥωμαίων οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχεν) εὐτόνους δὲ τὰς πληγὰς καὶ βιαίους διδόντες ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων, καὶ τῇ σκολιότητι τῆς καμπῆς ἠναγκασμένον τὸ βέλος ἀποστελλόντων. ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ Ῥωμαίων. καὶ γὰρ μένοντες ἐν τάξει, συνετιτρώσκοντο, καὶ χωρεῖν ὁμόσε πειρώμενοι, τοῦ μὲν ποιεῖν ἴσον ἀπεῖχον, ὁμοίως δ' ἔπασχον· ὑπέφευγον γὰρ ἅμα βάλλοντες οἱ Πάρθοι, καὶ τοῦτο κράτιστα ποιοῦσι μετὰ Σκύθας· καὶ σοφώτατόν ἐστιν, ἀμυνομένους ἐπὶ τῷ σώζεσθαι τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν.

Ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη σχήσεσθαι μάχης, ἢ συνάψειν εἰς χεῖρας, ἐκαρτέρουν· ὡς δ' ἔγνωσαν ὅτι πολλαὶ κάμηλοι παρεστᾶσι τοξευμάτων πλήρεις, ἀφ' ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ Κράσσος ἠθύμει· καὶ σκοπεῖν ἐκέλευεν, ἀγγέλους πέμψας πρὸς τὸν υἱὸν, ὅπως προσμῖξαι βιάσεται τοῖς ἐναντίοις, πρὶν ἢ κυκλωθῆναι. μάλιστα γὰρ ἐκείνῳ προσέπιπτε καὶ περιίππευε τὸ κέρας, ὡς κατὰ νώτου γενησόμενον. λαβὼν οὖν ὁ νεανίας ἱππεῖς τε χιλίους τριακοσίους, ὧν οἱ χίλιοι παρὰ Καίσαρος ἦσαν, καὶ τοξότας πεντακοσίους, καὶ τῶν ἔγγιστα θυρεοφόρων ὀκτὼ σπείρας, περιήγαγεν εἰς ἐμβολήν. τῶν δὲ Πάρθων οἱ περιελαύνοντες, εἴτε συντάγμασιν ἐντυχόντες, ὡς ἔνιοί φασιν, εἴτε λαβεῖν τὸν Κράσσον ἀπωτάτω τοῦ πατρὸς στρατηγοῦντες, ὀπίσω στρέψαντες ἐδίωκον. ὁ δὲ βοήσας ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε, καὶ σὺν αὐτῷ Κηνσωρῖνός

τε

tes tela. Siquidem efficiebat Romanæ aciei spissitudo ac densitas, ut ne de industria quidem ictu possent aberrare, validasque plagas & violentas incusserunt grandibus atque firmis arcubus, qui ex tortuosa flexura impellebant magna vi telum. Erant jam hinc res afflictæ Romanorum, quando si ordines servarent, convulnerabantur, & si conferre conarentur pedem, quum nihilo magis læderent, pariter ipsi infestabantur. Quippe fugiebant, atque interim jaculabantur Parthi: atque id faciunt secundum Scythas peritissime; quod quidem egregium est commentum, quo salutem suam defendentibus etiam fuga turpitudine careat.

Quousque autem speraverunt effusis telis temperaturos illos pugna, aut ad manus venturos, pertulerunt Romani. Ut vero cognoverunt multos camelos illis præsto esse sagittis onustos, a quibus circumvecti primi sumebant, neque vidit Crassus finem, obtorpuit, jussitque per nuntios filio, eniteretur manum cum hostibus ante conserere quam cum circumvaderent. Illum enim incursabat potissimum, illique circumfundebat se hostium cornu, ut aversum adorirentur. Igitur adolescens mille trecentos equites, ex quibus adduxerat mille a Cæsare, sagittarios quingentos, & ex proximis scutatis octo cohortes, orbe facto infestos duxit in hostem. Parthi, qui se circunfundebant, vel quod in compositam aciem incurrebant (uti dictitant nonnulli) vel artificio molientes ut Publium, quam longissime retraherent a patre, retro fugerunt. Ille vero, clamans terga hostes dare, subdit equo calcaria. Sequuntur cum Censorinus

τε καὶ Μεγάβακχος, ὁ μὲν εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων, Κηνσωρῖνος δὲ βουλευτικὸν ἔχων ἀξίωμα, καὶ δεινὸς εἰπεῖν, ἑταῖροι δὲ Κράσσου, καὶ παραπλήσιοι καθ᾽ ἡλικίαν. ἐπισπωμένων δὲ τῶν ἱππέων, οὐδὲ τὸ πεζὸν ἀπελείπετο προθυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος. νικᾶν γὰρ ᾤοντο καὶ διώκειν, ἄχρις οὗ πολὺ προελθόντες ᾔσθοντο τὴν ἀπάτην, μεταβαλλομένων ἅμα τῶν φεύγειν δοκούντων, καὶ πλειόνων ἄλλων ἐπιφερομένων. ἐνταῦθα ἔστησαν, οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας ὀλίγοις οὖσι τοὺς πολεμίους. οἱ δὲ, τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς Ῥωμαίοις, τὴν δ᾽ ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες, καὶ συνταράττοντες τὸ πεδίον, ἀνιστᾶσαι ἐκ βυθοῦ θῖνας ἄμμου, κονιορτὸν ἐπαγούσας ἄπλετον, ὡς μήτε διορᾶν ῥᾳδίως μήτε φθέγγεσθαι τοὺς Ῥωμαίους, εἰλουμένους δὲ ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις, βάλλεσθαι καὶ ἀποθνήσκειν οὐ ῥᾴδιον οὐδ᾽ ὀξὺν θάνατον, ἀλλ᾽ ὑπὸ σπασμοῦ καὶ ὀδύνης δυσανασχετοῦντας, καὶ κυλινδουμένους περὶ τοῖς οἰστοῖς, ἐναποθνήσκειν τοῖς τραύμασι, βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιστρωμένας ἀκίδας, καὶ δεδυκυίας διὰ φλεβῶν καὶ νεύρων προσαναρρηγνύναι, καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν. καὶ τοῦ Ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν ἑαυτῶν χεῖράς τε θυρεοῖς συμπεπερονημένας, καὶ πόδας διαμπὰξ προσεληλαμένους πρὸς τοὔδαφος, ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι, καὶ πρὸς ἄμυναν. αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας, προσέβαλλε μὲν ἐρρωμένως, καὶ συνῆψε τοῖς ἀνδράσιν· ἦν δὲ ἄνισος ἔν τε ταῖς πληγαῖς, καὶ τῷ

φυ-

rinus & Megabacchus, hic animi celsitudine & vi corporis insignis, ille senatoria dignitate & eloquentia clarus, Crassi sodales & ætate pares; qui quum traherent secum equites, non concesserunt iis pedites alacritate & spe elati. Vincere enim putabant se & consectari hostes, quoad perceperunt longe progressi dolum, circumagentibus se iis quos fugere putabant, & pluribus advolantibus aliis. Itaque substiterunt ibi, rati hostes cum ipsis scilicet paucis manus conferturos. Enimvero cataphractos illi in fronte opposuerunt Romanis, reliquo equitatu incondito circumjecerunt eos, campumque conturbantes, cumulos arenæ ex imo excitaverunt: unde ingens edita est pulveris vis, ut nec dispicere commode Romani nec loqui valerent, volutati autem in angusto atque in se mutuo incurrentes configerentur caderentque, non facili neque celeri morte, sed convulsione & dolore intolerabili cruciati, jactatique inter jacula, vulneribus immorerentur: si vero eniterentur cuspides hamatas, quæ venas & nervos perruperant, elidere, lacerarent insuper & dilaniarent semetipsi. Ita multis occumbentibus, erant etiam superstites ad dimicandum inutiles. Adeo ut cum hortaretur eos Publius, in cataphractos ut darent impressionem, manus suas ostenderunt scutis affixas pedesque trajectos, & solo adstrictos, ut neque fugere neque valerent prœliari. Igitur concitatis equitibus, ipse magna vi intulit se in hostes, dimicavitque cum iis. Cæterum haudquaquam par erat certamen vel inferendis ictibus vel declinandis. Nam imbe-

cillibus

φυλάττεσθαι, παίων μὲν ἀσθενέσι καὶ μικροῖς δορατίοις θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὐσταλῆ καὶ γυμνὰ σώματα τῶν Γαλατῶν. τούτοις γὰρ ἐθάρρει μάλιστα, καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο, καὶ συμπαραπλεκόμενοι τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας. πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολιπόντες ἵππους, καὶ δυόμενοι τοῖς ἐκείνων, ἔτυπτον εἰς τὰς γαστέρας· οἱ δ᾽ ἀνεσκίρτων ὑπ᾽ ὀδύνης, καὶ συμπατοῦντες ἐν ταυτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους ἀπέθνησκον. ἐπίεζε δὲ τοὺς Γαλάτας μάλιστα τό, τε θάλπος καὶ τὸ δίψος, ἀμφοτέρων ἀήθεις ὄντας· καὶ τῶν ἵππων ἀπολώλεισαν οἱ πλεῖστοι, πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας, ἔχοντες τὸν Πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. ἰδόντες δὲ θῖνα βουνώδη πλησίον, ἐχώρουν ἐπ᾽ αὐτήν, καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν, ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλείσαντες, ᾤοντο ῥᾷον ἀμυνεῖσθαι τοὺς βαρβάρους. ἀπέβαινε δὲ τοὐναντίον. ἐν μὲν γὰρ τῷ ὁμαλῷ, τοῖς ὄπισθεν ἁμωσγέπως παρέχουσιν οἱ πρόταχθοι ῥᾳστώνην· ἐκεῖ δ᾽ ἄλλον ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἔχοντος τοῦ χωρίου, καὶ μᾶλλον ἀεὶ τὸν κατόπιν ἐξαίροντος, οὐκ ἐδύναντο διαφεύγειν, ἀλλ᾽ ἐβάλλοντο πάντες ὁμαλῶς, ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακτον αὑτῶν τελευτήν. ἦσαν δὲ περὶ τὸν Πόπλιον ἄνδρες Ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων ἐν Κάρραις, Ἱερώνυμος καὶ Νικόμαχος· οἳ συνέπειθον αὐτὸν ὑπεξελθεῖν μετ᾽ αὐτῶν, καὶ διαφεύγειν εἰς Ἴχνας, πόλιν ᾑρημένην τὰ Ῥωμαίων, καὶ οὐ μακρὰν

cillibus & brevibus lanceis cædebat loricas ex corio crudo confectas vel ferreas, contra præbebat contorum ictibus leviter armata & nuda corpora Gallorum. His enim fidebat imprimis, horumque virtute insignia facta edebat: siquidem contos prehendebant, hostesque complexi deturbabant ex equis armorum pondere immobiles. Complures equis suis relictis hostium equos subeuntes ventres eorum fodiebant. Exiliebant illi præ dolore, obterentesque simul sessores & hostes promiscuos, emoriebantur. Præcipue autem affligebat Gallos æstus & sitis, quorum utriusque ea gens est impatientissima. Equi plerique perierunt in contos infestos admissi: quare coacti sunt ad pedites se recipere. Habebant in medio Publium vulneribus jam graviter affectum. Conspicati autem in propinquo clivum sabulosum, eo contenderunt, religatisque in medio equis, foris se clypeis contegebant, atque ita commodius putabant protecturos se adversus barbaros: verum longe cecidit secus. Ubi enim in plano consistunt, præbent aliquatenus in fronte collocati securitatem posterioribus. Ibi vero ex loci inæqualitate alii aliis editiores, prioribusque posteriores excelsiores non poterant tela devitare, sed omnes juxta figebantur, mortem suam deplorantes ingloriam & ignavam. Erant cum Publio Græci duo, qui eo in tractu Carnas colebant, Hieronymus & Nicomachus. Hi suadebant ei ut cum ipsis subduceret se & confugeret Ischnas oppidum partium Romanarum, quod non procul

κρὰν οὖσαν. ὁ δὲ φήσας οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς Πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι' αὐτὸν, ἐκείνους μὲν ἐκέλευε σώζεσθαι, καὶ δεξιωσάμενος ἀπέλυσεν· αὐτὸς δὲ τῇ χειρὶ χρήσασθαι μὴ δυνάμενος (διελήλατο γὰρ βέλει) τὸν ὑπασπιστὴν ἐκέλευσε πατάξαι τῷ ξίφει, παρασχὼν τὸ πλευρόν. ὁμοίως δὲ καὶ Κηνσωρῖνον ἀποθανεῖν λέγουσι. Μεγάβακχος δ' αὐτὸν διεχρήσατο, καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι. τοὺς δ' ἀπολελειμμένους ἀναβαίνοντες οἱ Πάρθοι τοῖς κοντοῖς διήλαυνον μαχομένους. ζῶντας δ' οὐ πλείονας ἁλῶναι φασὶ πεντακοσίων, τὰς δὲ κεφαλὰς τῶν περὶ τὸν Πόπλιον ἀποκείραντες, ἤλαυνον εὐθὺς ἐπὶ τὸν Κράσσον.

Εἶχε δὲ τὰ κατ' αὐτὸν οὕτως. ὡς ἐκέλευσε τὸν υἱὸν ἐμβαλεῖν τοῖς Πάρθοις, καί τις ἤγγειλεν αὐτῷ μακρὰν τροπὴν εἶναι, καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοὺς καθ' αὐτὸν οὐκέτι προσκειμένους ὁμοίως, (ἐκεῖ γὰρ ἐρρύησαν οἱ πλεῖστοι) μικρὸν ἀνεθάρρησε, καὶ συναγαγὼν ὑπέστειλεν ἐν χωρίοις προσάντεσι τὸν στρατὸν, αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ Ποπλίου πρὸς αὐτὸν, ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν, ἐμπεσόντες εἰς τοὺς βαρβάρους, οἱ δ' ὕστεροι, μόγις διαφυγόντες, ἀπήγγελλον οἴχεσθαι τὸν Πόπλιον, εἰ μὴ ταχεῖα καὶ πολλὴ βοήθεια παρ' ἐκείνου γένοιτο. τὸν δὲ Κράσσον ἅμα πολλὰ πάθη κατέσχε, καὶ λογισμῷ μὲν οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα, φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα, καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν, τέλος ὥρμησε προάγειν τὴν δύναμιν. ἐν τούτῳ δ' οἱ πολέμιοι προσεφέροντο, κλαγγῇ καὶ παι-

ᾶνι

cul aberat. Verum ille nullam ait tam acerbam occursuram sibi mortem, cujus ipse metu deserturus esset illos qui sua causa occumberent, jussosque ut suam ipsi salutem expedirent, complexu dimisit eos. Mox, quod impotens manus esset telo trajecta, latus armigero præbuit & haurire jussit. Pari fato aiunt cecidisse Censorinum. Megabacchus semetipse interemit, similiter nobilissimi quique. Residuos subeuntes barbari collem contis confodere pugnantes. Vivi non amplius quingenti dicuntur in eorum potestatem venisse. Capite detruncato Publii contenderunt illico in Crassum.

Ejus res hoc in statu erant. Postquam filio imperavit invehere in Parthos, ac quispiam effusam acriter instante Publio fugam esse nuntiasset, cerneret autem sibi objectos non perinde instare, quod plerique eorum illuc concurrissent, recepit aliquantulum animi, & conglobatum exercitum ad loca subvexa retraxit, mox regressurum a consectandis hostibus exspectans filium. Qui missi fuerant a Publio, postquam in discrimen venerat, primi a barbaris, in quos inciderunt, trucidati sunt: novissimi, qui magno labore evaserant, actum esse nuntiaverunt de Publio, nisi mature & firmum subsidium ab ipso mitteretur. Crassus autem multis uno tempore distinebatur motibus, ac consilio jam nihil expediebat, verum metu simul de summa rerum & filii desiderio incitatus ad ei succurrendum, instituit denique cum exercitu progredi. Interea supervenerunt hostes clangore & victorialibus car-

ᾶνι φοβερώτεροι, καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς Ῥωμαίους, ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. οἱ δὲ τὴν κεφαλὴν τοῦ Ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν, ἐγγὺς προσελάσαντες ἀνέδειξαν, ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος. οὐ γὰρ δὴ πρέπειν γε Κράσσου πατρὸς ἀνανδροτάτου καὶ κακίστου γενναῖον οὕτω παῖδα καὶ λαμπρὸν ἀρετῇ γενέσθαι. τοῦτο τὸ θέαμα Ῥωμαίων ὑπὲρ ἅπαντα τἆλλα δεινὰ τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἄμυναν, ὥσπερ ἦν εἰκός, ἀλλὰ φρίκης καὶ τρόμου πᾶσιν ἐγγενομένου. καίτοι τόν γε Κράσσον αὐτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει φανῆναι λέγουσι· ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις, ἐμόν, ὦ Ῥωμαῖοι, τοῦτο τὸ πένθος ἴδιόν ἐστιν· ἡ δὲ μεγάλη τύχη καὶ δόξα τῆς Ῥώμης ἐν ὑμῖν ἕστηκε σωζομένοις ἄθραυστος καὶ ἀήττητος. εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου παῖδα πάντων ἄριστον, ἀποδείξασθε τοῦτο ὀργῇ πρὸς τοὺς πολεμίους. ἀφέλεσθε τὴν χαρὰν αὐτῶν, τιμωρήσασθε τὴν ὠμότητα. μὴ καταπλαγῆτε τοῖς γεγενημένοις, εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους· οὐδὲ Λεύκολλος Τιγράνην ἀναιμωτὶ καθεῖλεν, οὐδὲ Σκιπίων Ἀντίοχον. χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ Σικελίαν ἀπώλεσαν, ἐν δ' Ἰταλίᾳ πολλοὺς αὐτοκράτορας καὶ στρατηγούς· ὧν οὐδεὶς προηττηθεὶς ἐκώλυσεν αὐτοὺς κρατῆσαι τῶν νενικηκότων. οὐ γὰρ εὐτυχίᾳ τὰ Ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ χωρούντων εἰς τοῦτο προῆλθε δυνάμεως.

Τοιαῦτα λέγων καὶ παραθαρσύνων ὁ Κράσσος, οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας, ἀλλὰ καὶ συναλαλάξαι κελεύσας, ἤλεγξε τοῦ στρατοῦ τὴν κατή-

carminibus formidabiliores, simul crebra tympana iterum obstrepebant Romanis, alterius pugnæ exspectantibus exordium. Qui Publii caput suffixum hasta ferebant, propius advecti ostentabant id Romanis, ac per ludibrium parentes ejus & gentem quærebant: neque enim oportere Crassi, patris ignavissimi & fœdissimi, tam fortem & virtute præstantem filium fuisse. Hoc spectaculum supra reliqua omnia acerba animos debilitavit & infregit Romanorum. Neque enim ira ad vindictam (ut decuerat) sed horror tremorque incessit cunctos. At Crassum ferunt in ea acerbitate supra quam ante celsum animum præ se tulisse. Vociferabatur enim circumvectus ordines, Meus est, milites, privatus hic luctus. Inclyta fortuna & gloria urbis Romæ in vestra consistit incolumitate integra & intacta. Quod si quis meam quoque vicem dolet, omnium optimo filio orbati, id ira vestra in hostes ostendat. Extorquete his exultationem, vindicate sævitiam. Nolite obstupescere acceptis cladibus. Aliquid etiam perpetiendum magna affectantibus. Nec Lucullus Tigranem sine sanguine subvertit, nec Antiochum Scipio. Mille naves majores nostri circa Siciliam amisere, in Italia multos imperatores & duces, quorum ante oppressus obstitit nemo, quo minus illi superarent ipsos victores. Neque enim secunda fortuna res Romana, sed tolerantia & virtute asperis rebus obnitentium ad tantas opes evasit.

Dum hisce dictis eos excitat Crassus, raros animadvertit commoveri. Sed & quum tollere imperasset eis clamorem, animum dejectum

κατήφειαν, ὡς ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ἐποιήσατο· ἡ δὲ παρὰ τῶν βαρβάρων, λαμπρὰ καὶ θρασεῖα κατεῖχε. τραπομένων δὲ πρὸς ἔργον, οἱ μὲν ἱππόται πλάγιοι περιελαύνοντες ἐτόξευον· αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρόταγμοι χρώμενοι συνέστελλον εἰς ὀλίγον τοὺς Ῥωμαίους, πλὴν ὅσοι τὸν ὑπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον, ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι, μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ θνήσκοντες ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων, παχὺν ἐπωθούντων τῷ σιδήρῳ τὸν κοντὸν εἰς τοὺς ἱππεῖς, πολλάκις δὲ καὶ διὰ δυοῖν ἀνδρῶν ὑπὸ ῥύμης διαπορευομένων. οὕτω διαγωνισάμενοι, νυκτὸς ἐπιούσης ἀπηλλάγησαν εἰπόντες, ὅτι Κράσσῳ χαρίζονται νύκτα μίαν ἀποθρηνῆσαι τὸν υἱὸν, ἢν ἄρα μὴ βέλτιον ὑπὲρ ἑαυτοῦ σκεψάμενος, ἐλθεῖν μᾶλλον ἐθελήσῃ πρὸς Ἀρσάκην, ἢ κομισθῆναι. οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον, ἐν ἐλπίσι μεγάλαις ἦσαν· νὺξ δὲ χαλεπὴ τοὺς Ῥωμαίους κατελάμβανεν, οὔτε ταφῆς τῶν κειμένων, οὔτε θεραπείας τῶν τετρωμένων καὶ ψυχορραγούντων ποιουμένους λόγον, ἑκάστου δ' αὐτὸν ἀποκλαίοντος. ἄφυκτα γὰρ ἐφαίνετο, τήν τε ἡμέραν αὐτοῦ προσμείνασι, καὶ νύκτωρ εἰς πεδίον ἀχανὲς ἐμβάλλουσιν. οἵ τε τραυματίαι πολλὴν ἀπορίαν παρεῖχον καὶ κομίζειν, ἐμποδὼν τῷ τάχει τῆς φυγῆς ἐσόμενοι, καὶ ἀπολιπεῖν, βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. τοῦ δὲ Κράσσου, καίπερ αἴτιον ἁπάντων νομίζοντες, ἐπόθουν ὅμως τήν τε ὄψιν καὶ τὴν φωνήν. ὁ δὲ καθ' ἑαυτὸν ἐγκεκαλυμμένος ὑπὸ σκότους ἔκειτο, παράδειγμα τοῖς πολλοῖς τύχης, τοῖς δ' εὖ φρονοῦσιν ἀβου-

jeſtum exercitus comperit, ubi languidum & tenuem & inæqualem edidere: a barbaris vero clarus reſonabat atque animorum plenus. Quum jam ad rem gerendam converteretur, equites ex latere obequitantes ingeſſerunt ſagittas, anteſignani contis Romanos in anguſtum cogerent, niſi qui, ne conficerentur ſagittis, temere in illos auſi ſunt ruere. Atqui parum hi quidem hoſti intulerunt detrimenti, verum celeri fato ſunt defuncti, quod ampla vulnera & lethalia ipſis ferro adactus infligeret craſſus contus, qui ſubinde duos viros ſimul ipſo impetu transverberabat. Ita quum eſſent præliati, appetente nocte receperunt ſe, jactantes unam noctem ſe Craſſo largiri ad lugendum filium, niſi rectius ſaluti ſuæ conſulens malit ire ad Arſacem, quam portari. Atque hi in propinquo pernoctantes magna in ſpe erant. At Romanos triſtis nox excepit, qui nullam cogitationem ſepeliendorum mortuorum, nec curæ vulneratorum, atque animas agentium habebant rationem, ſed complorabat ſemet quiſque. Neque enim evadere ſe videbant poſſe, ſive lucem ibi operirentur, ſive in campum ſe noctu conjicerent vaſtum. Jam adferebant ſaucii perplexitatem, ſi auferrentur, fugæ celeritatem moraturi, ſin relinquerentur, fugam vociferatione ſignificaturi. Craſſi vero, etſi omnium eum autorem exiſtimarent, conſpectum & vocem deſiderabant tamen. Ille vero capite obvoluto in tenebras abdiderat ſe, ubi exemplum jacebat in vulgus fortunæ, ſapientibus præcipitantiæ & ambi-

ἀβουλίας καὶ φιλοτιμίας· δι' ὧν οὐκ ἠγάπα μὴ πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνθρώπων τοσαύταις, ἀλλ' ὅτι δυεῖν μόνον ἀνδρῶν ὕστερος ἐκρίνετο, τοῦ παντὸς ἀποδεῖν νομίζων. τότε δ' οὖν αὐτὸν Ὀκτάβιος ὁ πρεσβευτὴς καὶ Κάσσιος ἀνίστασαν καὶ παρεθάρρυνον. ὡς δ' ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας καὶ λοχαγοὺς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατὸν ἄνευ σάλπιγγος, καὶ δι' ἡσυχίας τὸ πρῶτον εἶτ' αἰσθομένων ὡς ἀπελείποντο τῶν ἀδυνάτων, ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ' οἰμωγῆς καὶ βοῆς τὸ στρατόπεδον κατεῖχεν. ἐκ τούτου δὲ ταραχὴ καὶ πτοία προϊόντας αὐτοὺς ὑπελάμβανεν, ὡς ἐπιφερομένων τῶν πολεμίων. καὶ πολλάκις μὲν ἐκτρεπόμενοι, πολλάκις δὲ εἰς τάξιν καθιστάμενοι, τῶν τε τραυματιῶν ὅσοι παρηκολούθουν, τοὺς μὲν ἀναλαμβάνοντες, τοὺς δ' ἀποτιθέμενοι, διατριβὴν εἶχον, πλὴν τριακοσίων ἱππέων, οὓς Ἰγνάτιος ἔχων προσέμιξε ταῖς Κάρραις περὶ μέσας νύκτας. φθεγξάμενος δὲ Ῥωμαϊστὶ τοῖς τειχοφυλακοῦσιν, ὡς ὑπήκουσαν, ἐκέλευσε Κοπωνίῳ τῷ ἄρχοντι φράζειν ὅτι γέγονε μάχη μεγάλη Κράσσῳ πρὸς Πάρθους. ἄλλο δ' οὐδὲν εἰπὼν, οὐδ' αὐτὸν ὅστις ἦν, ἀπήλαυνεν ἐπὶ τὸ Ζεῦγμα, καὶ διέσωσε μὲν τοὺς σὺν αὐτῷ, κακῶς δ' ἤκουσε, καταλιπὼν τὸν στρατηγόν. οὐ μὴν ἀλλ' ὤνησέ γε τὸν Κράσσον ἡ προσριφεῖσα τότε τῷ Κοπωνίῳ φωνή· συμφρονήσας γὰρ ὅτι οὐδὲν χρηστὸν ἀγγέλλειν ἔχοντος ἐστὶ τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου, παρήγγειλεν εὐθὺς ἐξοπλίζεσθαι τοὺς στρατιώτας· καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν Κράσσον ἐν ὁδῷ γεγενημένον, ἀπαντήσας, ἀνελάμβανε καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν.

Οἱ

bitionis; cui non satis fuit quod esset in tam immenso hominum numero maximus, sed quod infra duos duntaxat viros existimaretur, omnium se ducebat infimum. Ibi Octavius legatus ejus & Cassius conati sunt allevare & confirmare eum: qui quum plane obtorpuisset, ipsi centuriones & manipulares convocaverunt, atque, ubi in concilio censuerunt capiendam fugam, excitaverunt exercitum sine tuba ac silentio primum, mox relinqui se debilibus sentientibus, ingens tumultus & confusio cum ejulatu & comploratione occupavit castra. Inde perturbatio pavorque sicut instantibus hostibus invasit progredientes. Crebro autem deflectendo, crebro aciem struendo, sauciis, qui sequebantur, partim sustollendis, partim deponendis moram interponebant, præter trecentos equites, quibuscum Ignatius circa mediam noctem pervenit Carras ad muros. Ibi latine appellat excubias. Ubi exaudiere, jussit præfecto Coponio nuntiari ingentem pugnam Crassum cum Parthis commisisse. Nihilo præterea addito, nec qui esset ipse, properavit ad urbem Zeugma. Servavit hic quidem suos, sed male audivit, quod deseruisset imperatorem. Profuit Crasso tamen ea vox ad Coponium conjecta. Intelligens enim infaustam rem nuntiantis tam properam & confusam esse orationem, edixit ut milites extemplo arma caperent: atque ut primum Crassum accepit venire, occurrens excepit eum, exercitumque in urbem deducit.

Par-

Οἱ δὲ Πάρθοι, νυκτὸς μὲν αἰσθόμενοι τὴν ἀπόδρασιν, οὐκ ἐδίωκον, ἅμα δ' ἡμέρᾳ, τοὺς μὲν ἐν τῷ στρατοπέδῳ καταλειφθέντας, οὐ μείους τετρακισχιλίων, ἐπελθόντες ἀπέσφαξαν· ἐν δὲ τῷ πεδίῳ πλανωμένους πολλοὺς ἱππασάμενοι συνέλαβον. τέσσαρας δ' ὁμοῦ σπείρας ἔτι νυκτὸς ἀπέρρηξε Βαργοντῖνος ὁ πρεσβευτής, ἐκπεσούσας τῆς ὁδοῦ· ἃς περισχόντες ἔν τινι λόφῳ, διέφθειραν ἀμυνομένας, πλὴν ἀνδρῶν εἴκοσι. τούτους δὲ γυμνοῖς τοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν θαυμάσαντες, εἶξαν, καὶ διέξοδον ἀπιοῦσι βάδην εἰς τὰς Κάρρας ἐδίδοσαν. τῷ δὲ Σουρήνᾳ προσέπεσε ψευδὴς λόγος, ἐκπεφευγέναι Κράσσον μετὰ τῶν ἀρίστων· τὸν δ' εἰς Κάρρας συνερρυηκότα ὄχλον, εἶναι σύμμικτον οὐκ ἀξίων σπουδῆς ἀνθρώπων. οἰόμενος οὖν ἀποβεβληκέναι τὸ τῆς νίκης τέλος, ἔτι δ' ἀμφιδοξῶν, καὶ μαθεῖν βουλόμενος τὸ ἀληθές, ὅπως ἢ προσμένων ἐνταῦθα πολιορκοίη, ἢ Κράσσον διώκοι, χαίρειν ἐάσας Καρρηνούς, ὑποπέμπει τινὰ τῶν παρ' αὐτῷ διγλώττων πρὸς τὰ τείχη, κελεύσας ἱέντα Ῥωμαϊκὴν διάλεκτον καλεῖν Κράσσον αὐτὸν ἢ Κάσσιον, ὡς Σουρήνα διὰ λόγων ἐθέλοντος αὐτοῖς συγγενέσθαι. ταῦτα τοῦ διγλώττου φράσαντος, ὡς ἀπηγγέλη τοῖς περὶ Κράσσον, ἐδέχοντο τὰς προκλήσεις, καὶ μετὰ μικρὸν ἧκον ἀπὸ τῶν βαρβάρων Ἄραβες, οἳ Κράσσον εὖ καὶ Κάσσιον ἀπ' ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ πρὸ τῆς μάχης γεγονότες. οὗτοι τὸν Κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους, ἔλεγον ὅτι Σουρήνας σπένδεται, καὶ δίδωσιν αὐτοῖς φίλοις οὖσι βασιλέως σώζεσθαι, Μεσοποταμίαν ἐκλιποῦσι· τοῦτο γὰρ ὁρᾶν

Parthi, quanquam fugam nocte ſenſerunt, haud tamen ſunt eos inſequuti. Ut vero diluxit, in caſtra Romana profecti, relictos non infra quatuor millia occuparunt contrucidaveruntque. Multos in campo palantes exceperunt equitatu. Quatuor ſimul cohortes, quæ deceſſerant de via, Varguntinus legatus adhuc nocte avulſit. Has in colle circumvecti pugnantes oppreſſerunt præter viginti milites: quos ſtrictis gladiis per medios perrumpentes admirati, ceſſerunt eis, & locum dederunt evadendi lento gradu ad Carras. Porro ad Surenam falſus perlatus rumor eſt, Craſſum cum primoribus evolaſſe: illos autem qui Carras confluxiſſent, colluviem miſcellaneam eſſe nihili hominum. Exiſtimans igitur victoriæ faſtigium ſibi de manibus elapſum, anceps tamen adhuc & volens rem ipſam cognoſcere, quo vel ſubſiſteret ibi & urbem obſideret, vel Craſſum conſectaretur, omiſſis Carrenis, ſummittit quendam ex iis quos ſecum habebat utriuſque linguæ peritos, imperans ad mœnia ut latine ipſum Craſſum aut Caſſium evocaret, colloqui Surenam cum iis velle. Ubi dicta ejus, qui ambas linguas callebat, ſunt Craſſo annuntiata, accepit conditionem. Mox advenerunt a barbaris Arabes, qui, quod in caſtris ante prœlium fuiſſent, probe noſcebant de facie Craſſum & Caſſium. Hi conſpecto ex muris Caſſio nuntiaverunt cupere Surenam paciſci cum ipſis fœdus, & dare, ſi jungere amicitiam vellent cum rege, incolumitatem, modo excederent Meſopotamia. Id enim e re fore utriuſque

partis

ὁρᾶν λυσιτελὲς ἀμφοτέροις πρὸ τῆς ἐσχάτης ἀνάγκης. δεξαμένου δὲ τοῦ Κασσίου, καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦντος ἐν ᾧ συνίασι Σουρήνας καὶ Κράσσος, οὕτω φάμενοι ποιήσειν, ἀπήλαυνον.

Ἡσθεὶς οὖν ὁ Σουρήνας ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπῆγε τοὺς Πάρθους, πολλὰ καθυβρίζοντας, καὶ κελεύοντας, εἰ βούλονται τυχεῖν σπονδῶν Ῥωμαῖοι, Κράσσον ἐγχειρίσαι σφίσι καὶ Κάσσιον δεδεμένους. οἱ δ' ἤχθοντο μὲν ἠπατημένοι, μακρὰς δὲ καὶ κενὰς τὰς Ἀρμενίων ἐλπίδας καταβάλλειν τῷ Κράσσῳ φράσαντες, ἔχοντο δρασμοῦ· καὶ τοῦτ' ἔδει μηδένα πρὸ καιροῦ Καρρηνῶν πυθέσθαι. πυνθάνεται δ' ὁ πάντων ἀπιστότατος Ἀνδρόμαχος, ὑπὸ Κράσσου καὶ τοῦτο πιστευθείς, τῆς ὁδοῦ τὴν ἡγεμονίαν. οὐδὲν οὖν ἔλαθε τοὺς Πάρθους, ἐξαγγέλλοντος τοῦ Ἀνδρομάχου καθ' ἕκαστον. ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πάτριον αὐτοῖς ἐστιν οὐδὲ ῥᾴδιον, ἐξῄει δὲ νύκτωρ ὁ Κράσσος, ὅπως μὴ καθυστερήσωσι πολὺ τῇ διώξει, στρατηγῶν ὁ Ἀνδρόμαχος, ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο, καὶ τέλος ἐξέτρεψεν εἰς ἕλη βαθέα καὶ χωρία τάφρων μεστὰ τὴν πορείαν, χαλεπὴν καὶ πολυπλανῆ γινομένην τοῖς ἐπισπωμένοις. ἐγένοντο γάρ τινες, οἳ μηδὲν ὑγιὲς τὸν Ἀνδρόμαχον στρέφειν καὶ περιελίττειν εἰκάσαντες, οὐκ ἠκολούθησαν· ἀλλὰ Κάσσιος μὲν ἐπανῆλθεν εἰς Κάρρας πάλιν, καὶ τῶν ὁδηγῶν, Ἄραβες δ' ἦσαν, ἀναμένειν κελευόντων ἄχρις ἂν σελήνη παραλλάξῃ τὸν σκορπίον, ἀλλ' ἔγωγε, εἰπών, ἔτι τοῦτον μᾶλλον φοβοῦμαι τὸν τοξότην, ἀπήλαυνεν εἰς Ἀσσυρίαν μεθ' ἱππέων πεντακοσίων.

partis illum videre, niſi experiri ultima vellent. Quod ubi eſt Caſſius amplexus, locumque & tempus poſtulavit, quo Surenas & Craſſus congreſſuri eſſent, præfiniri, ita facturos ſe fati regrediuntur.

Surenas igitur, quod implicatus Craſſus obſidione eſſet, exultans poſtero die admovit Parthos, oppido vehementer inſultantes Romanis imperanteſque, ſi cupiant inducias obtinere, ut Craſſum & Caſſium dederent ſibi vinctos. Fremuerunt hi impoſitum ſibi eſſe, mittendamque longinquam & inanem ſubſidii Armeniorum ſpem Craſſo dicentes, fugam intenderunt. Id quum nullum Carrenorum intelligere ante tempus oportuiſſet, intelligit ex Craſſo perfidiſſimus omnium Andromachus, quem inſuper delegit itineris ducem. Itaque nihil Parthos fefellit, enuntiante ſingula Andromacho. Quia vero Parthi de nocte pugnare nec ſolent nec facile poſſunt, Craſſus autem nocte movit, ne multo ſerius inſequerentur, machinans Andromachus, duxit eos aliis atque aliis viis. Poſtremo in profundas paludes & loca foſſis conciſa deflexit, iter laborioſum & cæcum ſequentibus. Erant enim nonnulli, qui ex ambagibus & circumflexionibus Andromachi nihil ſani conjicientes, nollent eum ſequi. Verum Caſſius retulit ſe Carras, & ducibus itineris (Arabes hi erant) ut operiretur monentibus eum, dum eſſet ſcorpionem luna prætervecta, Atqui ſagittarium ego, inquit, magis quam hunc exhorreſco. Ita cum equitibus quingentis abripuit ſe in Aſſyriam.

σίων. ἄλλοι δὲ χρησάμενοι πιστοῖς ὁδηγοῖς ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται Σίννακα, καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας. οὗτοι περὶ πεντακισχιλίους ἦσαν, ἡγεῖτο δ' αὐτῶν ἀνὴρ ἀγαθὸς Ὀκτάβιος. τὸν δὲ Κράσσον ἡμέρα κατελάμβανεν ἐπιβουλευόμενον ὑπ' Ἀνδρομάχου περὶ τὰς δυσχωρίας καὶ τὸ ἕλος. ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεοφόρων, ἱππεῖς δὲ παντελῶς ὀλίγοι, καὶ πέντε ῥαβδοῦχοι· μεθ' ὧν ἐπιπόνως εἰς τὴν ὁδὸν καὶ μόλις καταστὰς, ἤδη τῶν πολεμίων ἐπικειμένων, ὅσον δώδεκα σταδίους ἀπολιπὼν τοῦ συμμῖξαι τοῖς περὶ τὸν Ὀκτάβιον, ἐπ' ἄλλον ἀναφεύγει λόφον, οὐχ οὕτω μὲν ἄφιππον οὐδ' ὀχυρὸν, ὑποκείμενον δὲ τοῖς Σιννάκοις καὶ συνηρτημένον αὐχένι μακρῷ διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς τοῦτον. ἦν οὖν ἐν ὄψει τοῖς περὶ τὸν Ὀκτάβιον ὁ κίνδυνος αὐτοῦ. καὶ πρῶτος Ὀκτάβιος ἔθει μετ' ὀλίγων ἄνωθεν ἐπιβοηθῶν, εἶτα οἱ λοιποὶ κακίσαντες ἑαυτοὺς ἐπεφέροντο· καὶ προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου, περιέσχον ἐν μέσῳ τὸν Κράσσον, καὶ περιεβάλοντο τοὺς θυρεοὺς, μεγαληγοροῦντες, ὡς οὐκ ἔστι Πάρθοις βέλος ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος, πρὶν ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους ἀποθανεῖν.

Ὁρῶν οὖν ὁ Σουρήνας τούς τε Πάρθους ἀμβλύτερον ἤδη κινδυνεύοντας, καὶ ἢν ἥ τε νὺξ ἐπίσχῃ, καὶ τῶν ὀρῶν οἱ Ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους, ἐπῆγε τῷ Κράσσῳ δόλον. ἀφείθησαν μὲν γὰρ ἔνιοι τῶν αἰχμαλώτων, ἀκηκοότες ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπίτηδες διαλεγομένων, ὡς οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ τὸν πόλεμον

riam. Alii fidos nacti duces, loca montosa, quæ Sinnaca dicuntur, ceperunt, perveneruntque ante lucem in tutum. Hi erant quinque millia, quibus vir fortis præerat Octavius. Crassum autem Andromachi insidiis implicatum in locis illis difficilibus & palude occupavit dies. Habebat secum cohortes legionariorum quatuor, equites plane paucos, & quinque lictores, quibuscum magno labore tandem in viam pervenit, incumbentibus jam hostibus: qui quum non plus mille quingentos passus abesset, quo minus se conjungeret cum Octavio, in alium collem confugit non perinde inequitabilem vel munitum, subjectum tamen Sinnacis, a longo dorso per medium exporrecto campum cum illo commissum. Igitur erat in conspectu Octavii illius periculum. Primus autem cum paucis decurrit Octavius ad opem ei ferendam. Mox reliqui semetipsi insectantes advolant, factaque impressione dejiciunt ex clivo hostes, ac Crassum in medio sepiunt, circumjiciuntque eum scutis, nullum telum jactantes Parthis esse, quod ante attacturum corpus imperatoris esset, quam ipsi pro eo propugnantes omnes occubuissent.

Considerans ergo Parthos Surenas segnius jam discrimen adire, & si nox ipsos oppressisset, tenuissentque Romani montes, plane fore ut capi non possent, dolum nectit Crasso. Captivos nempe aliquot dimisit, qui Parthos in castris audiverant ex composito colloquentes, nolle bellum sibi

μον εἶναι πρὸς Ῥωμαίους, τὴν δὲ φιλίαν ἀναλαβεῖν χάριτι, Κράσσῳ χρησάμενος φιλανθρώπως. ἔσχοντο δὲ μάχης οἱ βάρβαροι, Σουρήνας δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα τῷ λόφῳ, τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε, τὴν δὲ δεξιὰν προὔτεινε. καλεῖ δὲ τὸν Κράσσον ἐπὶ συμβάσεις, εἰπὼν ὅτι τῆς μὲν ἀνδρείας καὶ δυνάμεως ἄκοντος πεπείραται βασιλέως, πραότητα δ' αὐτοῖς καὶ φιλοφροσύνην ἑκὼν ἐπιδείκνυται, σπενδόμενος ἀπιοῦσι καὶ παρέχων σώζεσθαι. ταῦτα τοῦ Σουρήνα λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο, καὶ περιχαρεῖς ἦσαν· ὁ δὲ Κράσσος, οὐδὲν ὅ, τι μὴ δι' ἀπάτης ἐσφαλμένος ὑπ' αὐτῶν, καὶ τὸ αἰφνίδιον τῆς μεταβολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν, ἀλλ' ἐβουλεύετο. τῶν δὲ στρατιωτῶν βοώντων καὶ κελευόντων, εἶτα λοιδορούντων καὶ κακιζόντων, ὡς προβάλλοντα μαχουμένους αὐτοὺς οἷς αὐτὸς ἀνόπλοις εἰς λόγους οὐ θαρρεῖ συνελθεῖν, πρῶτον μὲν ἐπειρᾶτο δεῖσθαι, καὶ λέγειν ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερήσαντες ἐν τοῖς ὀρεινοῖς καὶ τραχέσι δύνανται διὰ νυκτὸς ἰέναι, καὶ τὴν ὁδὸν ἐδείκνυε, καὶ παρεκάλει τὴν ἐλπίδα μὴ προέσθαι τῆς σωτηρίας ἐγγὺς οὔσης. ὡς δὲ χαλεπαίνοντες αὐτῷ, καὶ τὰ ὅπλα κρούοντες ἠπείλουν, φοβηθεὶς ἐχώρει· καὶ τοσοῦτον εἶπε μεταστραφείς, Ὀκτάουϊε καὶ Πετρώνιε, καὶ ὅσοι πάρεστε Ῥωμαίων ἄρχοντες, ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην, καὶ σύνιστε παρόντες ὡς αἰσχρὰ πάσχω καὶ βίαια. τοῖς δ' ἄλλοις ἅπασιν ἀνθρώποις λέγετε σωθέντες, ὡς Κράσσος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων, οὐκ ἐκδοθεὶς ὑπὸ τῶν πολιτῶν ἀπώλετο.

Οὐ

bi regem cum Romanis internecinum, verum amicitiam beneficio velle redintegrare, benigne cum Craſſo agendo. Simul abſtinuerunt barbari prœlio. Surenas autem cum principibus ad collem ſenſim advectus, nervum arcus remittit, dextram protendit, Craſſum ad paciſcendum invitat, invito rege ferens ſe virtutem & potentiam ejus ipſis oſtendiſſe, nunc lenitatem & benignitatem ultro velle induciis faciendis & ſalute concedenda abeuntibus oſtendere. Verba quidem hæc Surenæ cæteri magno cum aſſenſu audivere, majoremque in modum erexerunt animos. At Craſſus, qui nuſquam non impoſtura eorum circumventus impegiſſet, & mutationis repentinæ arbitraretur nullam ſubeſſe cauſam, nolebat auſcultare, ſed deliberabat. Cæterum ubi milites conclamantes voluerunt ut colloqueretur cum Surena, inde convitia & probra ei ingeſſerunt, quod objiceret ſe ad pugnandum cum illis, quibuſcum congredi ipſe inermibus non ſuſtineret ad colloquium, tentavit primum orare ac docere eos, ſi quod ſupereſſet diei pertuliſſent, poſſe nocte ipſos ad loca montoſa & aſpera recipere ſe. Oſtendit viam, hortatuſque eſt ne propinquæ ſalutis abjicerent ſpem. Ut vero infenſi & armis concrepantes ſunt ei comminati, exterritus pergit ad hoſtes, ac tantum ait converſus, Vos, Octavi & Petroni, & quotquot adeſtis præfecti Romani, itineris mei cernitis neceſſitatem, & teſtes eſtis indigne me & violenter tractari: verum cæteris mortalibus omnibus nuntiate, ubi incolumes fueritis, deceptum ab hoſtibus Craſſum, non a civibus deditum ad ſupplicium periiſſe.

Non

Οὐ μὴν ἔμειναν οἱ περὶ τὸν Ὀκτάβιον, ἀλλὰ συγκατέβαινον ἀπὸ τοῦ λόφου. τοὺς δὲ ῥαβδούχους ἑπομένους ὁ Κράσσος ἀπήλασε. πρῶτοι δὲ τῶν βαρβάρων ἀπήντησαν αὐτῷ, δύο μιξέλληνες οἳ καὶ προσεκύνησαν τὸν Κράσσον ἀπὸ τῶν ἵππων ἀλόμενοι, καὶ προσαγορεύσαντες Ἑλλάδι φωνῇ, παρεκάλουν προπέμψαι τινάς, οἷς ἐπιδείξεται Σουρήνας ἑαυτὸν καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήρους προσερχομένους. ὁ δὲ Κράσσος ἀπεκρίνατο μὲν ὡς εἰ καὶ τὸν ἐλάχιστον εἶχε τοῦ ζῆν λόγον, οὐκ ἂν εἰς χεῖρας αὐτοῖς ἦλθεν· δύο δὲ Ῥωσκίους ἀδελφοὺς ἔπεμψε πευσομένους ἐπὶ τίσι καὶ πόσοι συνίασιν. οὓς εὐθὺς συλλαβὼν ὁ Σουρήνας κατέσχεν, αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἱππότης προσῄει, καὶ, Τί τοῦτ', ἔφη, πεζὸς ὁ Ῥωμαίων αὐτοκράτωρ, ἡμεῖς δὲ ὀχούμεθα; καὶ προσαγαγεῖν ἐκέλευσεν ἵππον αὐτῷ. τοῦ δὲ Κράσσου φήσαντος, οὔτε αὐτὸν ἁμαρτάνειν, οὔτ' ἐκεῖνον, ὡς ἑκατέρῳ πάτριόν ἐστι ποιουμένους τὴν σύνοδον· εἶναι μὲν αὐτόθεν ἔφη σπονδὰς καὶ εἰρήνην ὁ Συρήνας Ὑρώδῃ τε βασιλεῖ καὶ Ῥωμαίοις, δεῖν δὲ γράψασθαι τὰς συνθήκας, ἐπὶ τὸν ποταμὸν προσελθόντας. Οὐ γὰρ ὑμεῖς γε, ἔφη, μνήμονες ὁμολογιῶν οἱ Ῥωμαῖοι. καὶ προὔτεινε τὴν δεξιὰν αὐτῷ. μεταπεμπομένου δὲ ἵππον, οὐδὲν ἔφη δεῖν· βασιλεὺς γὰρ σοι δίδωσι τοῦτον. ἅμα δ' ἵππος τῷ Κράσσῳ παρέστη χρυσοχάλινος, οἵ τε ἀναβολεῖς αὐτὸν ἀράμενοι παρεβίβασαν, καὶ παρείποντο πληγῇ τὸν ἵππον ἐπιταχύνοντες. Ὀκτάβιος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν, καὶ μετ' ἐκεῖνον, εἷς τῶν χιλιάρχων, Πετρώνιος, εἶτα οἱ λοιποὶ περιΐσταντο, τόν τε ἵππον ἀνακόπτειν πειρώμενοι, καὶ τοὺς πιέζοντας Κράσσον ἐξ ἑκατέρου μέ-

Non hæſit tamen illic Octavius, verum deſcendentem de colle eſt comitatus: lictores ſequentes abegit Craſſus. Primi ex barbaris occurrerunt duo ſemigræci, qui Craſſum ex equis deſilientes adoraverunt, ac græce appellantes dixerunt ei, ut certos præmitteret, quibus Surenas ſe comiteſque ſuos inermes oſtenderet & pacatos accedere. His quum reſpondiſſet Craſſus, ſi vel minimam vitæ ſuæ rationem haberet, non facturum ſe fuiſſe, ipſis ut committeret ſe: duos tamen Roſcios fratres miſit percunctatum ſuper quibus conditionibus, & quot convenirent. Quos extemplo correptos Surenas detinuit, atque cum primoribus equo advectus, Quid hoc rei eſt, inquit, pedes Romanus imperator, & nos equo vehimur? Simul juſſit adduci ei equum. Quum reſpondiſſet Craſſus neque ſe peccare neque ipſum, quod congrederetur more uterque patrio: jam tum Hyrodi regi cum Romanis ait Surenas fœdus & pacem eſſe, verum ad conditiones ſcribendas progrediendum ad fluvium. Neque enim fœderum, inquit, vos Romani memores eſtis: porrexitque ei dextram. Jubente Craſſo equum adduci, negavit ille opus eſſe. Nam rex, inquit, hunc tibi donat. Simul admotus Craſſo equus eſt aureis exornatus phaleris, ſtratoreſque ſuſtulerunt eum in equum, & aſſectati ſunt verberibus equum concitantes. Ibi Octavius primus arripuit frænum, & ſecundum illum unus ex tribunis Petronius, mox reliqui circumfuſi inhibere paraverunt equum, atque illos qui ex utraque parte urgebant Craſſum re-

μέρους ἀφέλκοντες. ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς, εἶτα πληγῶν, Ὀκτάβιος μὲν ἀνασπάσας τὸ ξίφος, ἑνὸς τῶν βαρβάρων κτείνει τὸν ἱπποκόμον· ἕτερος δὲ τὸν Ὀκτάβιον, ἐκ τῶν ὄπισθεν πατάξας. Πετρώνιος δὲ ὅπλου μὲν οὐκ εὐπόρησεν, εἰς δὲ τὸν θώρακα πληγεὶς, ἀπεπήδησεν ἀπὸ τοῦ ἵππου ἄτρωτος. τὸν δὲ Κράσσον, ὄνομα Πομαξαίθρης Πάρθος ἀπέκτεινεν. οἱ δ᾽ οὔ φασιν, ἀλλ᾽ ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα· τοῦτον δὲ κειμένου τὴν κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. εἰκάζεται δὲ ταῦτα μᾶλλον ἢ γινώσκεται. τῶν γὰρ παρόντων οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν Κράσσον ἀνῃρέθησαν, οἱ δ᾽ εὐθὺς ἀνεπήδησαν ἐπὶ τὸν λόφον. ἐπελθόντων δὲ τῶν Πάρθων, καὶ λεγόντων ὅτι Κράσσος μὲν δίκην ἔδωκε, τοὺς δ᾽ ἄλλους κελεύει Σουρήνας κατιέναι θαῤῥοῦντας, οἱ μὲν ἐνεχείρισαν αὑτοὺς καταβάντες, οἱ δὲ τῆς νυκτὸς ἐσπάρησαν, καὶ τούτων ὀλίγοι παντάπασι διεσώθησαν. τοὺς δ᾽ ἄλλους ἐκθηρεύοντες οἱ Ἄραβες συνελάμβανον καὶ διέφθειρον. λέγονται δ᾽ οἱ πάντες, δισμύριοι μὲν ἀποθανεῖν, μύριοι δὲ ἁλῶναι ζῶντες.

Ὁ δὲ Σουρήνας τὴν κεφαλὴν τοῦ Κράσσου καὶ τὴν χεῖρα πρὸς Ὑρώδην ἔπεμψεν εἰς Ἀρμενίαν· αὐτὸς δὲ διαδοὺς λόγον ὑπ᾽ ἀγγέλων εἰς Σελεύκειαν, ὡς ζῶντα Κράσσον ἄγοιτο, παρεσκευάζετο πομπήν τινα γελοίαν, ὕβρει προσαγορεύων θρίαμβον. ὁ μὲν γὰρ ἐμφερέστατος Κράσσῳ τῶν αἰχμαλώτων, Γάϊος Πακκιανὸς, ἐσθῆτα βαρβαρικὴν ἐνδὺς, καὶ διδαχθεὶς Κράσσος ὑπακούειν καὶ αὐτοκράτωρ τοῖς καλοῦσιν, ἐφ᾽ ἵππου καθήμενος ἤγετο· πρὸ αὐτοῦ δὲ σαλπιγκταὶ καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις ἤλαυνον.

retrahere. Tum impulſu ſequuto & tumultuatione, mox verberibus, ſtricto Octavius gladio occidit unius barbari equiſonem, alius Octavium, a tergo feriens. Petronius cum armis careret, quibus ſe defenderet, percuſſus in loricam reſiliit ab equo illæſus. Craſſum Parthus Pomaxæthres nomine interfecit. Id alii negant, alium autem aſſerunt percuſſorem fuiſſe: hunc vero jacentis caput & dextram detruncaſſe. Cæterum hæc conjectura potius quam certa veritate feruntur; quando qui præſentes erant, partim pugnantes circa Craſſum confoſſi ſunt, partim confeſtim in collem recurrere. Hos Parthi ſequuti, Craſſum dixerunt pœnas exſolviſſe, reliquos Surenam jubere bono animo eſſe & deſcendere. Ita alii de colle digreſſi dediderunt ſe, alii nocte dilapſi ſunt: quorum ſalvi evaſerunt omnino pauci. Cæteros Arabes venati aſſequutique peremere. Summa interſectorum viginti millia dicitur fuiſſe: eorum qui vivi in poteſtatem hoſtium venerunt, decem millia.

Caput Craſſi & dextram miſit Surenas ad Hyrodem in Armeniam. Inde rumore per nuntios Seleuciæ diſperſo ſe Craſſum vivum adducere, pompam quandam ridiculam inſtruxit, quam contumeliæ cauſa appellabat triumphum. Siquidem qui in captivis conſimillimus Craſſi erat, C. Pacianus, amiculo barbarico velatus, doctuſque Craſſus & imperator vocari, inſidens equo ducebatur. Eum tubicines & lictores quidam in camelis præcedebant.

νον. ἐξήρτητο δὲ τῶν ῥάβδων βαλάντια, καὶ παρὰ τοὺς πελέκεις πρόσφατοι κεφαλαὶ Ῥωμαίων ἀποτετμημέναι. κατόπιν δ' εἵποντο Σελευκιάδες ἑταῖραι μουσουργοί, πολλὰ βωμολόχα καὶ γελοῖα δι' ᾀσμάτων εἰς θηλύτητα καὶ ἀνανδρίαν τοῦ Κράσσου λέγουσαι. ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. τὴν δὲ γερουσίαν τῶν Σελευκέων ἀθροίσας, εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν· οὔτι ταῦτά γε καταψευσάμενος. εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις, καὶ παρέσχε τῷ Σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. τοῖς μέντοι Σελευκεῦσιν ἐδόκει σοφὸς ἀνὴρ Αἴσωπος εἶναι, τὸν Σουρήναν ὁρῶσι τὴν μὲν τῶν Μιλησιακῶν ἀκολαστημάτων πήραν ἐξηρτημένον πρόσωθεν, ὄπισθεν δὲ Παρθικὴν Σύβαριν ἐφελκόμενον ἐν τοσαύταις παλλακίδων ἁμάξαις, τρόπον τινὰ ταῖς λεγομέναις ἐχίδναις καὶ σκυτάλαις ἀντιμόρφους, τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη, φοβερὰ καὶ θηριώδη, δόρασι καὶ τόξοις καὶ ἵπποις προβαλλομένην, κατ' οὐρὰν δὲ τῆς φάλαγγος, εἰς πόρνας καὶ κρόταλα καὶ ψαλμοὺς καὶ παννυχίδας ἀκολάστους μετὰ γυναικῶν τελευτῶσαν. ψεκτὸς μὲν γὰρ ὁ Ῥούστιος, ἀναιδεῖς δὲ Πάρθοι τὰ Μιλησιακὰ ψέγοντες, ὧν πολλοὶ βεβασιλεύκασιν ἐκ Μιλησίων καὶ Ἰωνίδων ἑταιρῶν γεγονότες Ἀρσακίδαι.

Τούτων δὲ πραττομένων, Ὑρώδης ἐτύγχανεν ἤδη διηλλαγμένος Ἀρταουάσδῃ τῷ Ἀρμενίῳ, καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα Πακόρῳ τῷ παιδὶ καθωμολογημένος· ἑστιάσεις τε καὶ πότοι δι' ἀλλήλων ἦσαν αὐτοῖς, καὶ πολλὰ

bant. Dependebant ex virgis zonæ, & alligata securibus Romanorum recens desecta capita. Pone sequebantur Seleuciades meretrices cantrices, vernilia multa & ridicula cantilenis in mollitiam & ignaviam Crassi modulantes. Hoc spectaculum publice fuit editum. Senatu autem coacto Seleucensium intulit lascivos libros Aristidis, Milesiacos inscriptos. Neque fuit hoc commentitium. Fuerant enim in Roscii impedimentis reperti, præbueruntque Surenæ argumentum multis modis insectandi & illudendi Romanos, quod nec in bello temperare iis rebus & scriptis valerent. Atqui sapientem virum habuerunt Æsopum quum Surenam contemplarentur Seleucenses, ante dependentem qui gerebat Milesiacarum manticam lasciviarum, pone vero Sybarim Parthicam trahebat tam multis pellicum curribus, viperas quodammodo & scytalas repræsentantem: quæ partes conspicuas & anteriores præferret sævas & feras hastis, arcubus, equis; extremo autem agmine in scorta, crepitacula, cantus, & pernoctationes cum scortis terminaret. Dignus quidem reprehensione Roscius, verum impudentes Parthi, delicias qui reprehendebant Milesiacas, apud quos regnaverunt complures ex Milesiis & Ionicis nati meretricibus Arsacidæ.

Dum hæc aguntur, composuerat jam pacem Hyrodes cum Artavasde Armenio, cujus sorore filio suo Pacoro desponsa, agitabant inter se epulas & convivia, quæ multis

πολλὰ παρεισήγετο τῶν ἀπὸ τῆς Ἑλλάδος ἀκουσμάτων. ἦν γὰρ οὔτε φωνῆς οὔτε γραμμάτων Ὑρώδης Ἑλληνικῶν ἄπειρος. ὁ δ' Ἀρταυάσδης καὶ τραγῳδίας ἐποίει, καὶ λόγους ἔγραφε καὶ ἱστορίας, ὧν ἔνιοι διασώζονται. τῆς δὲ κεφαλῆς τοῦ Κράσσου κομισθείσης ἐπὶ θύρας, ἐπηρμέναι μὲν ἦσαν αἱ τράπεζαι· τραγῳδιῶν δὲ ὑποκριτὴς, Ἰάσων ὄνομα, Τραλλιανὸς, ᾖδεν Εὐριπίδου Βακχῶν τὰ περὶ τὴν Ἀγαύην. εὐδοκιμοῦντος δ' αὐτοῦ, Σιλλάκης ἐπιστὰς τῷ ἀνδρῶνι καὶ προσκυνήσας, προὔβαλλεν εἰς μέσον τοῦ Κράσσου τὴν κεφαλήν. κρότον δὲ τῶν Πάρθων μετὰ κραυγῆς καὶ χαρᾶς ἀραμένων, τὸν μὲν Σιλλάκην κατέκλιναν οἱ ὑπηρέται, βασιλέως κελεύσαντος· ὁ δ' Ἰάσων, τὰ μὲν τοῦ Πενθέως σκευοποιήματα παρέδωκε τινὶ τῶν χορευτῶν, τῆς δὲ τοῦ Κράσσου κεφαλῆς λαβόμενος καὶ ἀναβακχεύσας, ἐπέραινεν ἐκεῖνα τὰ μέλη μετ' ἐνθουσιασμοῦ καὶ ᾠδῆς,

> Φέρομεν ἐξ ὄρεος ἕλικα νεότομον
> Ἐπὶ μέλαθρα, μακαρίαν θήραν.

καὶ ταῦτα μὲν πάντας ἔτερπεν· ᾀδομένων δὲ τῶν ἐφεξῆς ἀμοιβαίων πρὸς τὸν χορὸν,

> Τίς ἐφόνευσεν;
> Ἐμὸν τὸ γέρας,

ἀναπηδήσας ὁ Πομαξαίθρης, (ἐτύγχανε δὲ δειπνῶν) ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς ἑαυτῷ ταῦτα λέγειν μᾶλλον ἢ ἐκείνῳ προσῆκον. ἡσθεὶς δ' ὁ βασιλεὺς, τὸν μὲν οἷς πάτριόν ἐστιν ἐδωρήσατο, τῷ δ' Ἰάσονι τάλαντον ἔδωκεν.

tis acroamatibus Græcis interpolabant. Neque enim erat linguæ & literarum Hyrodes Græcarum rudis. Artavasdes etiam tragœdias scripsit: orationes quoque & historias commentatus est, quarum adhuc extant quædam. Ubi jam allatum caput Crassi ad fores fuit, nondum sublatæ erant mensæ, & tragœdiarum actor Jason cognomine, Trallianus, recitabat ex Bacchis Euripideis Agaven, qui quum admodum placeret, ingrediens convivium Sillaces, postquam regem adoravit, projecit in medium caput Crassi. Ibi Parthis plausum cum clamore & gratulatione tollentibus, ministri Sillacem regis jussu invitaverunt ad accubandum. Jason autem tradita uni de mimis Penthei persona corripuit caput Crassi, corporisque fanatica jactatione carmina illa cum furore & cantu pronuntiavit,

> *Ex monte ferimus nos recens cæsum*
> *Cervum bonam prædam domum.*

Atque hæc omnes oblectaverunt. Dum vero sequentes alterni versus ad chorum decantantur,

> *Quis occidit?*
> *Meum decus est.*

Ibi exiliens Pomaxæthres, qui tunc cœnabat, apprehendit caput, quasi sibi ista dicere, quam illi, potius conveniret. Rex itaque his lætus, donis eum de more auxit, Jasoni largitus

ἔδωκεν. εἰς τοιοῦτό φασιν ἐξόδιον τὴν Κράσσου στρατηγίαν, ὥσπερ τραγῳδίαν τελευτῆσαι. δίκη μέντοι καὶ τῆς ὠμότητος Ὑρώδην, καὶ τῆς ἐπιορκίας Σουρήναν ἀξία μετῆλθε. Σουρήναν μὲν γὰρ οὐ μετὰ πολὺν χρόνον Ὑρώδης φθόνῳ τῆς δόξης ἀπέκτεινε· Ὑρώδῃ δὲ ἀποβαλόντι Πάκορον ὑπὸ Ῥωμαίων μάχῃ κρατηθέντα, καὶ νοσήσαντι νόσον εἰς ὕδρωπα τραπεῖσαν, Φραάτης ὁ υἱὸς ἐπιβουλεύων ἀκόνιτον ἔδωκεν. ἀναδεξαμένης δὲ τῆς νόσου τὸ φάρμακον ὑφ' ἑαυτὴν, ὥστε συνεκκριθῆναι, καὶ τοῦ σώματος ἐκκουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ Φραάτης, ἀπέπνιξεν αὐτόν.

tus eſt talentum. In hujuſcemodi aiunt exodium Craſſi expeditionem quaſi tragœdiam terminaſſe. Pœnas tamen & crudelitate Hyrodes & perjurio Surenas pependit dignas. Surenam enim brevi poſt invidia gloriæ ejus necavit Hyrodes: Hyrodi vero, poſtquam amiſit acie a Romanis fuſum Pacorum, implicito morbo, qui in aquam intercutem deſiit, Phraates filius ad maturandam mortem aconitum dedit. Id venenum quum morbus apprehendiſſet, atque una cum humore excerneretur, corpus autem recreatum regis eſſet, ad celerrimam viam Phraates converſus, ſuffocavit eum.

Ἐν δὲ τῇ συγκρίσει, πρῶτον ὁ Νικίου πλοῦτος τῷ Κράσσου παραβαλλόμενος, ἀμεμπτοτέραν ἔχει τὴν κτῆσιν. ἄλλως μὲν γὰρ οὐκ ἄν τις δοκιμάσειε τὴν ἀπὸ μετάλλων ἐργασίαν, ἧς τὰ πλεῖστα περαίνεται διὰ κακούργων ἢ βαρβάρων, ἐνίων δεδεμένων καὶ φθειρομένων ἐν τοῖς ὑπούλοις καὶ νοσεροῖς· παραβαλλομένη δὲ πρὸς τὰ Σύλλα δημιόπρατα, καὶ τὰς περὶ τὸ πῦρ ἐργολαβίας, ἐπιεικεστέρα φανεῖται. ταύταις γὰρ ὁ Κράσσος ἀναφανδὸν ὡς τῷ γεωργεῖν ἐχρῆτο καὶ τῷ δανείζειν. ἃ δὲ ἔξαρνος ἦν ἐλεγχόμενος, ἐπὶ κέρδεσιν ἐν βουλῇ λέγειν, καὶ τοὺς συμμάχους ἀδικεῖν, καὶ γύναια περιϊὼν κολακεύειν, καὶ συνεπικρύπτειν τοὺς πονηρούς, τούτων αἰτίαν οὐδὲ ψευδῆ ποτὲ Νικίας ἔλαβεν. ἄλλως δὲ διδοὺς καὶ προϊέμενος ἀργύριον ὑπὸ δειλίας τοῖς συκοφάνταις ἐχλευάζετο, πρᾶγμα ποιῶν Περικλεῖ μὲν ἴσως καὶ Ἀριστείδῃ μὴ πρέπον, αὐτῷ δ' ἀναγκαῖον, οὐκ εὖ πεφυκότι πρὸς τὸ θαρρεῖν. ᾧ καὶ Λυκοῦργος ὕστερον ὁ ῥήτωρ ἐπαρρησιάσατο πρὸς τὸν δῆμον, αἰτίαν ἔχων ἐξωνήσασθαί τινα τῶν συκοφαντῶν· ἥδομαι γὰρ, εἰπεῖν, εἰ τοσοῦτον χρόνον πεπολιτευμένος ὑμῖν, διδοὺς πεφώραμαι πρό-

In collatione primum Niciæ opes cum Crassi comparatæ opibus, acquisitionem habent inculpatiorem. Nemo alioqui quæstum probet ex metallis, quæ fere per facinorosos & barbaros, nonnullos etiam vinctos & fatigatos locis insalubribus pestilentibusque exercentur. Hic quæstus tamen si opponatur bonorum publicationibus Syllanis & redempturis ex incendiis, longe eum dicas probiorem. Eas enim Crassus aperte ut agriculturam & fœnus exercebat. Quæ vero inficias ibat objecta, sententiam suam in curia ipsum quæstui habere, socios expilare, passim mulierculis adulari easque captare, defensionem suscipere improborum, horum nihil Niciæ est ne falso quidem exprobratum unquam. Immo vero quod argentum donis profunderet ex timiditate in delatores, derisus est. Quæ res indigna Pericle fortassis & Aristide fuisset, verum necessaria illi qui natura esset meticulosus. Quod etiam Lycurgus orator postea ad populum jactavit, quum vitio verteretur ei quod sycophantam quendam redemisset, Gaudeo, inquit, quod tamdiu vestra in repub. versatus prius datæ pecu-

πρότερον ἢ λαμβάνων. ἦν δὲ ταῖς δαπάναις πολιτικώτερος μὲν ὁ Νικίας, ἀναθήμασι καὶ γυμνασιαρχίαις καὶ διδασκαλίαις χορῶν φιλοτιμούμενος. ὧν δ' ὁ Κράσσος ἀνάλωσεν, ἑστιάσας ἅμα τοσαύτας μυριάδας ἀνθρώπων, εἶτα θρέψας πάλιν, οὐδὲν ἢ μέρος ὁ Νικίας ἐκέκτητο σὺν οἷς ἀνήλωσεν· ὥστε θαυμάζειν εἴ τινα λέληθε τὸ τὴν κακίαν ἀνωμαλίαν εἶναί τινα τρόπου καὶ ἀνομολογίαν, ὁρῶντα τοὺς αἰσχρῶς συλλέγοντας, εἶτα χρηστῶς ἐκχέοντας.

Περὶ μὲν οὖν τοῦ πλούτου, τοσαῦτα. τοῖς δὲ πολιτεύμασι, τοῦ μὲν Νικίου, πανοῦργον οὐδὲν οὐδὲ ἄδικον οὐδὲ βίαιον πρόσεστιν, οὐδὲ θρασύτης, ἀλλ' ἐξηπατᾶτο μᾶλλον ὑπὸ Ἀλκιβιάδου, καὶ τῷ δήμῳ προσῄει μετ' εὐλαβείας. τοῦ δὲ Κράσσου πολλὴν μὲν ἐν ταῖς πρὸς ἔχθραν καὶ φιλίαν μεταβολαῖς ἀπιστίαν καὶ ἀνελευθερίαν κατηγοροῦσι· βίᾳ δ' οὐδ' αὐτὸς ἠρνεῖτο τὴν ὑπατείαν μετιέναι, μισθωσάμενος ἄνδρας τοὺς Κάτωνι καὶ Δομιτίῳ τὰς χεῖρας προσοίσοντας. ἐν δὲ τῇ περὶ τῶν ἐπαρχιῶν ψηφοφορίᾳ, τοῦ δήμου πολλοὶ μὲν ἐτρώθησαν, ἔπεσον δὲ τέσσαρες, αὐτὸς δ', ὅπερ ἡμᾶς ἐν τῇ διηγήσει παρελήλυθε, Λεύκιον Ἀνάλιον, ἄνδρα βουλευτὴν, ἀντιλέγοντα πὺξ πατάξας εἰς τὸ πρόσωπον, ἐξέβαλεν ᾑμαγμένον. ὡς δὲ περὶ ταῦτα βίαιος ὁ Κράσσος καὶ τυραννικὸς, οὕτως αὖ πάλιν ἐκείνου τὸ ψοφοδεὲς ἐν τῇ πολιτείᾳ καὶ ἄτολμον, καὶ τοῖς κακίστοις ὑφιέμενον, τῶν μεγίστων ἐπιλήψεων ἄξιον. ὁ δὲ Κράσσος, ὑψηλὸς περί γε ταῦτα καὶ μεγαλόφρων, οὐ πρὸς Κλέωνας οὐδ' Ὑπερβόλους, μὰ Δία, τοῦ ἀγῶνος ὄντος, ἀλλὰ πρὸς τὴν Καί-

pecuniæ arguar quam captæ. Jam sumptibus Nicias civilior, qui fuit donis Diis dicandis, gymnasiarchiis, & choris prolixus exhibendis: quæ vero Crassus absumpsit tam infinitæ simul hominum multitudini epulo, inde tessera frumentaria præbenda, eorum Nicias nihil nisi portionem, annumeratis illis quæ impendit, possedit; ut mirum sit, si quem prætereat, improbitatem inæqualitatem quandam esse morum & dissonantiam, quum cernat eos qui turpiter quæsiverunt mox effundere benigne. Atque de divitiis hactenus.

In actionibus politicis Niciæ nulla versutia, nulla iniquitas vel violentia apparet, nec ferocia: immo potius impositum fuit ei ab Alcibiade, atque cum populo agebat modeste. Crassi vero in variandis amicis & inimicis perfidiam animumque fucatum accusant. Vi vero ne ipse quidem abnuebat consulatum petiisse, conductis hominibus, qui Catonem & Domitium violarent. Jam in comitiis provincialibus multi vulnerati, ceciderunt quatuor. Ipse (quod in narratione nos præteriit) L. Annalio senatori populi Romani sibi adversanti pugno os cecidit, expulitque cruentum. Atqui ut his violentus Crassus & tyrannicus, ita contra illius in repub. gerenda trepidatio & pavor, & quod scelestissimis submitteret se, imprimis sunt vituperanda. Crassus vero celsus hic certe & magnanimus, qui, quum non cum Cleonibus ei neque cum Hyperbolis sane certamen foret, sed cum Cæ-

Καίσαρος λαμπρότητα, καὶ τρεῖς τοῦ Πομπηΐου θριάμβους, οὐχ ὑπείξας, ἀλλ' ἀντάρας ἑκατέρῳ τὴν δύναμιν, ἀξιώματι δὲ τῆς τιμητικῆς ἀρχῆς καὶ Πομπήϊον ὑπερβαλόμενος. δεῖ γὰρ ἐπὶ μεγίστοις οὐ τὸ ἐπίφθονον ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν, μεγέθει δυνάμεως ἐξαμαυροῦντα τὸν φθόνον. εἰ δ' ἐξ ἅπαντος ἀγαπᾷς ἀσφάλειαν καὶ ἡσυχίαν, καὶ δέδιας Ἀλκιβιάδην μὲν ἐπὶ τοῦ βήματος, ἐν δὲ Πύλῳ Λακεδαιμονίους, Περδίκκαν δ' ἐν Θρᾴκῃ, πολλὴν εὐρυχωρίαν ἡ πόλις ἔχει σχολῆς, ἐκ μέσου γενόμενον καθῆσθαι πλέκοντα τῆς ἀταραξίας σεαυτῷ στέφανον, ὡς ἔνιοι σοφισταὶ λέγουσιν. ὁ μὲν γὰρ τῆς εἰρήνης ἔρως θεῖος ἦν ὡς ἀληθῶς, καὶ τὸ λῦσαι τὸν πόλεμον Ἑλληνικώτατον πολίτευμα· καὶ τῆς πράξεως ἕνεκα ταύτης οὐκ ἄξιον Νικίᾳ παραβαλεῖν Κράσσον, οὐδ' εἰ τὸ Κάσπιον φέρων πέλαγος ἢ τὸν Ἰνδὸν ὠκεανὸν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσώρισε.

Πόλει μέντοι χρώμενον ἀρετῆς αἰσθανομένῃ, καὶ κρείττονα ὄντα τῇ δυνάμει, χώραν οὐ δοτέον τοῖς πονηροῖς, οὐδ' ἀρχὴν μὴ ἄρχουσιν, οὐδὲ πίστιν ἀπιστουμένοις. ὅπερ ἐποίησεν ὁ Νικίας, τὸν Κλέωνα, μηδὲν ὄντα πλέον ἐν τῇ πόλει τῆς ἀπὸ τοῦ βήματος ἀναισχυντίας καὶ κραυγῆς, αὐτὸς εἰς τὸ στρατηγεῖν καταστήσας. οὐκ ἐπαινῶ μὲν γὰρ ἐγὼ τὸν Κράσσον, ἐν τοῖς Σπαρτακίοις ἐπειχθέντα θᾶσσον ἢ ἀσφαλέστερον διαγωνίσασθαι. καίτοι φιλοτιμίας ἦν τὸ δεῖσαι μὴ Πομπήϊος ἐλθὼν ἀφέληται τὴν δόξαν αὐτοῦ, καθάπερ ἀφείλετο Μετέλλου Μόμμιος τὴν Κόρινθον. τὸ δὲ τοῦ Νικίου, παντάπασιν

Cæsaris splendore, atque tribus Pompeii triumphis, contendit cum utroque potentia, dignitate quidem certe censoria etiam Pompeium superavit. Decet enim eum qui rempublicam gerit, in maximis rebus non si invidiosæ sunt respicere, sed si præclaræ, atque potentiæ mole inumbrare invidiam. Quod si supra omnia securitatem & quietem sectaris, atque Alcibiadem formidas in suggestu, Pyli Lacedæmonios, Perdiccam in Thracia, habet otii civitas latum campum, in quo remotus in medio sedere queas, ac tibi ipse contexere tranquillitatis coronam, ut nonnulli sophistæ aiunt. Nam pacis quidem erat profecto divinum desiderium, atque bellum dirimere imprimis humana & civilis actio: cujus facti causa Niciæ nulla parte est æquiparandus Crassus, ne si ad mare quidem Caspium aut ad Oceanum Indicum terminos promovisset Romani imperii.

Non debet tamen is qui versatur in civitate sensum habente virtutis, & pollentior est opibus, dare locum malis, nec magistratum permittere privatis, nec fidem suspectis: quod quidem admisit Nicias, qui Cleonem, cujus in civitate nihil eminebat præterquam perfricta frons & pro tribunali vociferatio, provexit ad imperium. Equidem non laudo Crassum, qui bello Spartacio celerius quam tutius conferre properavit signa: quanquam animi laudis avidi erat, vereri ne decus sibi Pompeius adventu suo eriperet, quomodo Metello Corinthum eripuerat Mommius. At Niciæ absurdum plane

σιν ἄτοπον καὶ δεινόν. οὐ γὰρ ἐλπίδας οὐδὲ ῥᾳστώνην ἐχούσης ἐξέστη τῷ ἐχθρῷ φιλοτιμίας καὶ ἀρχῆς, ἀλλὰ κίνδυνον ὑφορώμενος ἐν τῇ στρατηγίᾳ μέγαν, ἠγάπησε τὸ καθ' αὑτὸν ἐν ἀσφαλεῖ θέμενος προέσθαι τὸ κοινόν. καίτοι ὅ γε Θεμιστοκλῆς, ἵνα μὴ φαῦλος ἄνθρωπος ἐν τοῖς Περσικοῖς καὶ ἄφρων στρατηγήσας ἀπολέσῃ τὴν πόλιν, ἀργυρίῳ τῆς ἀρχῆς ἀπέστησεν αὐτὸν· καὶ Κάτων, ὅτι μάλιστα ἑώρα πράγματα καὶ κινδύνους ἔχουσαν, ὑπὲρ τῆς πόλεως τὴν δημαρχίαν μετῆλθεν. ὁ δ' αὑτὸν ἐπὶ τὴν Μινώαν καὶ Κύθηρα καὶ Μηλίους τοὺς ταλαιπώρους φυλάττων στρατηγὸν, εἰ δέοι μάχεσθαι Λακεδαιμονίοις, ἀποδυόμενος τὴν χλαμύδα, καὶ τῇ Κλέωνος ἀπειρίᾳ καὶ θρασύτητι ναῦς καὶ ἄνδρας καὶ ὅπλα καὶ στρατηγίαν ἐμπειρίας ἄκρας δεομένην παραδιδοὺς, οὐ τὴν ἑαυτοῦ προΐεται δόξαν, ἀλλὰ τὴν τῆς πατρίδος ἀσφάλειαν καὶ σωτηρίαν. ὅθεν ὕστερον οὐχ ἑκὼν οὐδὲ βουλόμενος Συρακουσίοις πολεμεῖν ἠναγκάζετο, δοκῶν οὐ λογισμῷ τοῦ συμφέροντος, ἀλλὰ ῥᾳστώνῃ καὶ μαλακίᾳ τὸ παρ' αὑτὸν ἀποστερεῖν Σικελίας τὴν πόλιν. ἐκεῖνο μέντοι μεγάλης ἐπιεικείας σημεῖον, ὅτι δυσχεραίνοντα τὸ πολεμεῖν ἀεὶ, καὶ φεύγοντα τὸ στρατηγεῖν οὐκ ἐπαύοντο χειροτονοῦντες, ὡς ἐμπειρότατον καὶ βέλτιστον. τῷ δὲ Κράσσῳ παρὰ πάντα τὸν χρόνον ἐφιεμένῳ στρατηγίας, οὐχ ὑπῆρξε τυχεῖν, πλὴν ἐπὶ τὸν δουλικὸν πόλεμον ἐξ ἀνάγκης, Πομπηΐου καὶ Μετέλλου, καὶ Λευκόλλων ἀμφοτέρων ἀπόντων, καίτοι τότε τιμωμένῳ μάλιστα καὶ δυναμένῳ πλεῖστον. ἀλλ', ὡς ἔοικε, καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν ἐδόκει κατὰ τὸν κωμικὸν, ἀνὴρ Ἄρισ-

ne est factum & callidum: neque enim cessit inimico gloriæ campo & provincia, cujus appareret spes & facultas conficiendæ; sed quum grande illa in expeditione periculum timeret, contentus fuit rebus suis in tuto collocatis rempublicam projicere. At quidem Themistocles, ne bello Persico vilis homo & turpis ductu suo perderet rempublicam, cum pecunia removit a prætura: Cato autem tribunatum plebis, quum implicitum eum videret maximis negotiis & periculis, reipublicæ causa petiit. Qui vero se Minoæ, Cytheris, miseris Meliis reservat ducem, sin conserendæ cum Lacedæmoniis manus sint, chlamydem ponit, Cleonis autem imperitiæ & ferocitati tradit classem, milites, arma, provinciam, quæ summum usum & peritiam requirat, non laudes hic negligit suas, sed patriæ securitatem & salutem: unde post, quanquam invitus nolensque, bellum est cum Siculis gerere compulsus, quod non utilitatis publicæ, sed quietis & mollitiæ ratione rempub. quantum in se erat, Sicilia defraudare videretur. Illud tamen ingens est integritatis ejus signum, quod abhorrentem semper a bello atque imperium detrectantem non destiterint tanquam exercitatissimum & optimum designare. At inhians perpetuo provinciæ, non valuit eam Crassus consequi, nisi ex necessitate in bello servili, Pompeio & Metello & utroque Lucullo absentibus, licet id temporis summo in honore esset & polleret plurimum. Nam, meo quidem judicio, videbatur vel studiosis ejus, juxta comicum, vir

In

Ἄριστος εἶναι τἆλλα πλὴν ἐν ἀσπίδι.

καὶ τοῦτο Ῥωμαίους οὐδὲν ὤνησεν, ἐκβιασθέντας ὑπὸ τῆς φιλαρχίας αὐτοῦ καὶ φιλοτιμίας. Ἀθηναῖοι μὲν γὰρ ἄκοντα Νικίαν ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον, Ῥωμαίους δὲ Κράσσος ἄκοντας ἐξήγαγε· καὶ διὰ μὲν τοῦτον ἡ πόλις, ἐκεῖνος δὲ διὰ τὴν πόλιν ἠτύχησεν.

Οὐ μὴν ἀλλὰ μᾶλλόν ἐστιν ἐν τούτοις τὸν Νικίαν ἐπαινεῖν, ἢ ψέγειν τὸν Κράσσον. ὁ μὲν γὰρ, ἐμπειρίᾳ καὶ λογισμῷ χρησάμενος ἡγεμόνος ἔμφρονος, οὐ συνηπατήθη ταῖς ἐλπίσι τῶν πολιτῶν, ἀλλ᾽ ἀπεῖπε καὶ ἀπέγνω λήψεσθαι Σικελίαν· ὁ δ᾽ ὡς ἐπὶ ῥᾷστον ἔργον τὸν Παρθικὸν ὁρμήσας πόλεμον ἥμαρτεν. ὠρέχθη δὲ μεγάλων, καὶ Καίσαρος τὰ ἑσπέρια, καὶ Κελτοὺς καὶ Γερμανοὺς καταστρεφομένου, καὶ Βρεττανίαν, αὐτὸς ἐπὶ τὴν ἕω καὶ τὴν Ἰνδικὴν ἐλάσας θάλασσαν, καὶ προσεργάσασθαι τὴν Ἀσίαν, οἷς Πομπήϊος ἐπῆλθε, καὶ Λούκουλλος ἀντέσχεν, ἄνδρες εὐμενεῖς καὶ πρὸς πάντας ἀγαθοὶ διαμείναντες, προελόμενοι δ᾽ ὅμοια Κράσσῳ, καὶ τὰς αὐτὰς ὑποθέσεις λαβόντες. ἐπεὶ καὶ Πομπηΐῳ τῆς ἀρχῆς διδομένης, ἡ σύγκλητος ἠναντιοῦτο, καὶ Καίσαρα μυριάδας τριάκοντα Γερμανῶν τρεψάμενον, συνεβούλευεν ὁ Κάτων ἐκδοῦναι τοῖς ἡττωμένοις, καὶ τρέψαι τὸ μήνιμα τοῦ παρασπονδήματος εἰς ἐκεῖνον. ὁ δὲ δῆμος ἐρρῶσθαι φράσας Κάτωνι, πεντεκαίδεκα ἡμέρας ἔθυεν ἐπινίκια, καὶ περιχαρὴς ἦν. πῶς οὖν ἂν διετέθη, καὶ πόσας ἔθυσεν ἡμέρας, εἰ Κράσσος ἐκ Βαβυλῶνος ἔγραψε νικᾶν, εἶτ᾽ ἐπελθὼν Μηδίαν, Περσίδα, Ὑρκανοὺς, Σοῦσα,

In omnibus, nisi bello, rebus optimus.

Quod nihil Romanis profuit, ab illius expugnatis cupiditate provinciæ atque ambitione. Niciam enim Athenienses ad bellum repugnantem miserunt, Crassus in bellum Romanos duxit repugnantes: atque hujus causa respub. ille reipub. causa in calamitatem incidit.

Veruntamen Niciam citius hinc commendes quam improbes Crassum. Ille enim peritia & consiliis motus prudentis ducis, non est una cum civium spe in errorem detractus, verum desperavit & diffisus est posse capi Siciliam: hic, sicut ad rem proclivem ruens, bellum Parthicum impegit. At grandia concupivit, & Cæsare Occidentem, Gallos, Germanos, Britanniam subigente, ad Orientem ipse & Oceanum progredi Indicum, Asiamque in ditionem redigere; quæ Pompeius aggressus est, & quo contendit Lucullus: qui placidi viri atque in omnes boni permanserunt, quanquam eadem ac Crassus suscepissent, & idem haberent institutum. Nam Pompeium quoque, quum daretur ei provincia, senatus impugnavit: ac Cæsar, cæsis fugatisque Germanorum trecentis millibus, autor Cato fuit ut victis dederetur, ac violatæ pacis in illius caput verteretur ultio. Verum populus salutem dicens Catoni, in quindecim dies supplicationes decrevit, atque in magna fuit gratulatione. Qui fuisset ergo ejus animus, & quot dierum supplicationes decrevisset, ex Babylone si Crassus literas de victoria misisset: hinc progressus Mediam, Persidem, Hyrcanos, Susa,

σα, Βάκτρα, Ῥωμαίων ἐπαρχίας ἀπέδειξεν; εἴπερ γὰρ ἀδικεῖν χρὴ, κατὰ τὸν Εὐριπίδην, ἡσυχίαν ἄγειν μὴ δυναμένους, μηδὲ χρῆσθαι τοῖς παροῦσιν ἀγαθοῖς εἰδότας, οὐ Σκάνδειαν, οὐ Μένδην ἐκκοπτέον, οὐδὲ φεύγοντας Αἰγινήτας ἀπολελοιπότας τὴν ἑαυτῶν, ὥσπερ ὄρνιθας εἰς ἑτέραν χώραν, ἀποκεκρυμμένους ἐκθηρατέον, ἀλλὰ πολλοῦ τιμητέον τὸ ἀδικεῖν, μὴ ῥᾳδίως, μηδ' ἐπὶ τοῖς τυχοῦσιν, ὥς τι φαῦλον ἢ μικρὸν προϊεμένους τὸ δίκαιον. οἱ δὲ τὴν μὲν τῆς Ἀλεξάνδρου στρατείας ὁρμὴν ἐπαινοῦντες, τὴν δὲ Κράσσου ψέγοντες, οὐκ εὖ τὰ πρῶτα κρίνουσιν ἀπὸ τῶν τελευταίων.

Ἐν δὲ ταῖς στρατηγίαις αὐταῖς, Νικίου μὲν οὐκ ὀλίγα γενναῖα. καὶ γὰρ μάχαις πολλαῖς ἐνίκησε τοὺς πολεμίους, καὶ τοῦ λαβεῖν Συρακούσας ὀλίγον ἐδέησε· καὶ πάντα δι' αὐτὸν οὐκ ἔπταισεν, ἀλλὰ καὶ νόσον ἄν τις αἰτιάσαιτο, καὶ φθόνον τῶν οἴκοι πολιτῶν. Κράσσος δὲ διὰ πλῆθος ἁμαρτημάτων, οὐδὲν τῇ τύχῃ χρηστὸν ἀποδείξασθαι παρῆκεν· ὥστε θαυμάζειν αὐτοῦ τὴν ἀβελτηρίαν, οὐ τὴν Πάρθων δυνάμεως ἡττηθεῖσαν, ἀλλὰ τὴν Ῥωμαίων εὐτυχίας περιγενομένην. ἐπεὶ δ' ὁ μὲν μηδενὸς τῶν ἀπὸ μαντικῆς καταφρονῶν, ὁ δὲ πάντα ὑπερορῶν, ὁμοίως ἀπώλετο, χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσφάλεια καὶ δύσκριτος, ἐπιεικέστερον δὲ αὐτῆς τοῦ παρανόμου καὶ αὐθάδους, τὸ μετὰ δόξης παλαιᾶς καὶ συνήθους δι' εὐλάβειαν ἁμαρτανόμενον. περὶ μέντοι τὴν τελευτὴν ἀμεμπτότερος ὁ Κράσσος, οὐ παραδοὺς ἑαυτὸν, οὐδὲ δεθεὶς, οὐδὲ

ſa, Bactra redegiſſet in formam provinciarum ſub Romano imperio? Nam ſi jus violandum eſt (ut ait Euripides) iis qui otii ſunt impatientes, neque frui præſentibus norunt bonis, non Scandia, non Mende exſcindenda, nec profugi Æginetæ, qui relicta patria avium modo in aliena regione deliteſcunt, captandi, ſed magnum præmium quærendum juris violandi: non facile autem, neque qualibet de cauſa, ut res humilis & vilis, juſtitia negligenda. Enimvero qui Alexandri expeditionis propoſitum in cœlum ferunt, & Craſſi obterunt, hi parum recte primordia æſtimant ex noviſſimis.

Jam in ipſis gerendis bellis facta extant non pauca Niciæ præclara: quippe crebris prœliis hoſtes ſuperavit, ac Syracuſis parum abfuit quin potiretur; neque ſua culpa offenſavit in omnibus, ſed valetudini ejus partim & urbanorum civium expenſum feras invidiæ. Craſſus ob erratorum multitudinem locum fortunæ ad aliquid boni deſignandum reliquit nullum, ut mireris ſtoliditatem ejus, non quod a Parthorum ſit viribus victa, verum quod felicitatem vicerit Romanorum. Quia vero præſagio Nicias nullo negligendo, alter omnibus contemnendis ſimiliter perierunt, haud pronum quidem ſit, neque certum de iſtis judicare quatenus ad ſalutem conferant: benignius tamen in iis eſt cum vetuſta & recepta opinione per religionem peccare, quam contra mores & pervicaciter. At in exitu minus reprehendendus Craſſus, qui ſemet ipſe non dedidit, non vinctus, non

οὐδὲ φενακισθεὶς, ἀλλ' εἴξας τοῖς φίλοις δεομένοις, καὶ παρασπονδηθεὶς ὑπὸ τῶν πολεμίων. ὁ δὲ Νικίας, αἰσχρᾶς καὶ ἀκλεοῦς ἐλπίδι σωτηρίας, ὑποπεσὼν τοῖς πολεμίοις, αἰσχίονα ἑαυτῷ τὸν θάνατον ἐποίησεν.

non affectus contumelia fuit, verum orantibus ceſſit amicis, ac contra jus gentium violatus ab hoſtibus fuit: Nicias turpis & ingloriæ ſalutis ſpe ſupplicem ſe præbens hoſtibus, mortem ſibi effecit fœdiorem.



ΣΕΡΤΩΡΙΟΣ.

ΘΑΥΜΑΣΤΟΝ μὲν ἴσως οὐκ ἔστιν, ἐν ἀπείρῳ τῷ χρόνῳ τῆς τύχης ἄλλοτε ἄλλως ῥεούσης, ἐπὶ ταυτὰ συμπτώματα πολλάκις καταφέρεσθαι τὸ αὐτόματον. εἴτε γὰρ οὐκ ἔστιν τῶν ὑποκειμένων ὡρισμένον τὸ πλῆθος, ἄφθονον ἔχει τῆς τῶν ἀποτελουμένων ὁμοιότητος χορηγὸν ἡ τύχη τὴν τῆς ὕλης εὐπορίαν· εἴτ᾽ ἐκ τινων ὡρισμένων ἀριθμῶν ἐμπλέκεται τὰ πράγματα, πολλάκις ἀνάγκη ταυτὰ γίνεσθαι διὰ τῶν αὐτῶν περαινόμενα. ἐπεὶ δ᾽ ἀγαπῶντες ἔνιοι τὰ τοιαῦτα, συνάγουσιν ἱστορίᾳ καὶ ἀκοῇ τῶν κατὰ τύχην γεγονότων ὅσα λογισμοῦ καὶ προνοίας ἔργοις ἔοικεν, οἷον, ὅτι δυεῖν Ἄττεων γενομένων ἐμφανῶν, τοῦ μὲν Σύρου, τοῦ δὲ Ἀρκάδος, ἑκάτερος ὑπὸ συὸς ἀπώλετο· δυεῖν δὲ Ἀκταιώνων, ὁ μὲν ὑπὸ τῶν κυνῶν, ὁ δ᾽ ὑπὸ τῶν ἐραστῶν διεσπάσθη· δυεῖν δὲ Σκιπιώνων, ὑφ᾽ οὗ μὲν ἐνικήθησαν Καρχηδόνιοι πρότερον, ὑφ᾽ οὗ δὲ ὕστερον ἄρδην ἀνῃρέθησαν· ἑάλω δὲ τὸ Ἴλιον ὑφ᾽ Ἡρακλέους διὰ τὰς

τὰς

RES non eſt ſtupenda fortaſſis, ſi tempore immenſo, alias aliter fluente fortuna, devolvatur identidem ad caſus eoſdem temeritas. Sive enim finitus non eſt accidentium numerus, ipſa materiæ copia ſatis cauſæ eſſe poſſet, cur ſimiles aliquando producantur effectus: ſive ex numeris quibuſdam finitis connectantur res, eædem neceſſe eſt ſubinde exiſtant ex iiſdem abſolutæ. Quia vero libenter aliqui iſta, quæ acciderunt fortuito, lectione vel auditione percepta colligunt, ſiqua conſilio & providentia videntur facta, (ut quod duo nobilitati ſint Atties, unus Syrus, Arcas alter, uterque a ſue interemptus: duo Actæones, hic a canibus, ille diſcerptus ab amatoribus: duorum Scipionum ab altero devicti ante Carthaginenſes, ab altero funditus exciſi: captam Trojam ab Hercule ob

ob

τοὺς Λαομέδοντος ἵππους, καὶ ὑπὸ Ἀγαμέμνονος διὰ τοῦ δουρείου προσαγορευθέντος ἵππου· τρίτον δ' ὑπὸ Χαριδήμου, ταῖς πύλαις ἵππου τινὸς ἐμπεσόντος, ἀποκλεῖσαι ταχὺ τῶν Ἰλιέων μὴ δυνηθέντων. δυεῖν δὲ ὁμωνύμων τοῖς εὐωδεστάτοις φυτοῖς πόλεων, Ἴου καὶ Σμύρνης, τὸν ποιητὴν Ὅμηρον ἐν ᾗ μὲν γενέσθαι λέγουσιν, ἐν ᾗ δὲ ἀποθανεῖν. φέρε, καὶ τοῦτο προσθῶμεν αὐτοῖς, ὅτι καὶ τῶν στρατηγῶν οἱ πολεμικώτατοι, καὶ πλεῖστα δόλῳ κατεργασάμενοι μετὰ δεινότητος, ἑτερόφθαλμοι γεγόνασι, Φίλιππος, Ἀντίγονος, Ἀννίβας, περὶ οὗ τόδε τὸ σύγγραμμα, Σερτώριος· ὃν Φιλίππου μὲν ἄν τις ἀποφαίνοιτο σωφρονέστερον περὶ τὰς γυναῖκας, Ἀντιγόνου δὲ πιστότερον περὶ φίλους, Ἀννίβου δὲ ἡμερώτερον πρὸς πολεμίους, λειπόμενον δὲ συνέσει μὲν οὐδενὸς τούτων, τύχῃ δὲ πάντων. ᾗ πολὺ τῶν ἐμφανῶν πολεμίων χαλεπωτέρᾳ περὶ πάντα χρησάμενος, ἐπανίσωσεν ἑαυτὸν ἐμπειρίᾳ μὲν τῇ Μετέλλου, τόλμῃ δὲ τῇ Πομπηΐου, τύχῃ δὲ τῇ Σύλλα, δυνάμει δὲ τῇ Ῥωμαίων, φυγὰς καὶ βαρβάρων ἔπηλυς ἄρχων ἀντιταξάμενος. τούτῳ δὲ μάλιστα τῶν Ἑλλήνων τὸν Καρδιανὸν ὁμοιοῦμεν Εὐμένη. ἀμφότεροι γὰρ ἀρχικοί, καὶ σὺν δόλῳ πολεμικοί, καὶ τῆς μὲν αὐτῶν ἀποξενωθέντες, ἡγησάμενοι δ' ἀλλοδαπῶν, τύχῃ δὲ χρησάμενοι βιαίῳ περὶ τὴν τελευτήν. ἐπιβουλευθέντες γὰρ ἀμφότεροι, μεθ' ὧν τοὺς πολεμίους ἐνίκων, ὑπὸ τούτων ἀνῃρέθησαν.

Κοΐντῳ Σερτωρίῳ γένος ἦν οὐκ ἀσημότατον ἐν πόλει Νούρσοις τῶν Σαβίνων· τραφεὶς δὲ κοσμίως ὑπὸ μητρὶ χήρᾳ, πατρὸς ὀρφανός, ὑπερφυῶς δοκεῖ φιλομήτωρ γενέσθαι. ὄνομα τῆς μητρὸς Ῥέαν λέγουσιν. ἤσκητο μὲν οὖν καὶ

περὶ

ob Laomedontis equos; ab Agamemnone per ligneum appellatum equum: tertio a Charidemo, quum, prolapso in porta equo, eam claudere cito Trojani non potuissent: plantis duabus fragrantissimis cognominum urbium Ii & Smyrnæ, quæ significant violam & myrrham, Homerum poetam in una natum perhibeant, defunctum in altera) age, subnectamus hoc superioribus, imperatorum nempe bellicosissimos, quique plurima dolo & calliditate perpetraverunt, altero lumine orbatos fuisse, Philippum, Antigonum, Annibalem, & de quo nunc tractamus Sertorium: quem Philippo dicas in amoribus fuisse continentiorem, Antigono firmiorem erga amicos, clementiorem erga hostes Annibale, nulli horum prudentia concedere, sed omnibus fortuna: quæ cum omnibus in rebus multo plus ei, quam aperti hostes, molestiæ exhibuerit, ipse tamen sese, belli scientia cum Metelli usu, audacia cum Pompeii, fortuna cum Syllæ, potentia cum populi Romani viribus exul & barbarorum advena dux parem constituit. Huic in Græcis potissimum æquiparamus Cardianum Eumenem. Ambo enim insignes fuerunt imperatores, & astuti bellatores, extra patriam peregrinantes, alienigenarum ductores, fortuna conflictati aspera, ad exitum & violenta: siquidem circumventus uterque insidiis, atque quibuscum hostes vicerat, ab iisdem est oppressus.

Q. Sertorius, non obscurissimis natalibus, ex Sabinis oppido Nursia ortus fuit. A matre vidua patre orbus honeste eductus genitricem dilexit mirifice: nomen matris Rheam dicunt. In causis dicendis satis fu-

περὶ δίκας ἱκανῶς, καί τινα καὶ δύναμιν ἐν τῇ πόλει μειράκιον ὢν ἀπὸ τοῦ λέγειν ἔσχεν. αἱ δὲ περὶ τὰ στρατιωτικὰ λαμπρότητες αὐτοῦ καὶ κατορθώσεις ἐνταῦθα τὴν φιλοτιμίαν μετέστησαν.

Πρῶτον μὲν οὖν, Κίμβρων καὶ Τευτόνων ἐμβεβληκότων εἰς Γαλατίαν, στρατευόμενος ὑπὸ Σκιπίωνι, κακῶς ἀγωνισαμένων τῶν Ῥωμαίων, καὶ τροπῆς γενομένης, ἀποβεβληκὼς τὸν ἵππον, καὶ κατατετρωμένος τὸ σῶμα τὸν Ῥοδανὸν διεπέρασεν, αὐτῷ τε τῷ θώρακι καὶ θυρεῷ πρὸς ἐναντίον ῥεῦμα πολὺ νηχόμενος. οὕτω τὸ σῶμα ῥωμαλέον ἦν αὐτῷ καὶ διάπονον τῇ ἀσκήσει. δεύτερον δὲ τῶν αὐτῶν ἐπερχομένων μυριάσι πολλαῖς καὶ δειναῖς ἀπειλαῖς, ὥστε καὶ τὸ μένειν ἄνδρα Ῥωμαῖον ἐν τάξει τότε, καὶ τὸ πείθεσθαι τῷ στρατηγῷ, μέγα ἔργον εἶναι, Μάριος μὲν ἡγεῖτο, Σερτώριος δὲ κατασκοπὴν ὑπέστη τῶν πολεμίων. ἐσθῆτι δὲ Κελτικῇ σκευασάμενος, καὶ τὰ κοινότατα τῆς διαλέκτου πρὸς ἔντευξιν ἐπὶ καιροῦ παραλαβὼν, ἀναμίγνυται τοῖς βαρβάροις· καὶ τὰ μὲν ἰδὼν, τὰ δ' ἀκοῇ πυθόμενος τῶν ἐπειγόντων, ἐπανῆλθε πρὸς Μάριον. τότε μὲν οὖν ἀριστείων ἔτυχεν· ἐν δὲ τῇ λοιπῇ στρατείᾳ πολλὰ καὶ συνέσεως ἔργα καὶ τόλμης ἀποδειξάμενος, εἰς ὄνομα καὶ πίστιν ὑπὸ τοῦ στρατηγοῦ προήχθη. μετὰ δὲ τὸν Κίμβρων καὶ Τευτόνων πόλεμον, ἐκπεμφθεὶς ὑπὸ Δειδίῳ στρατηγῷ χιλίαρχος ἐπὶ Ἰβηρίας, ἐν τῇ πόλει Κάστλωνι παρεχείμαζε τῆς Κελτιβήρων. ἐπεὶ δὲ τῶν στρατιωτῶν ἐν ἀφθόνοις ὑβριζόντων καὶ τὰ πολλὰ μεθυόντων καταφρονήσαντες οἱ βάρβαροι, μετεπέμψαντο νυκτὸς ἐπικουρίαν παρὰ τῶν ἀστυγειτόνων Γυρισοινῶν, καὶ κατ' οἰκίας ἐπιόντες ἔκτεινον αὐτοὺς, ὑπεκδὺς ὁ Σερτώριος μετ' ὀλίγων, καὶ τοὺς ἐκπίπτοντας συναγαγὼν κύ-

it versatus, collegeratque adolescens nonnullas ex dicendi facultate opes. Verum ornamenta ejus militaria & praeclara facta eo animum deflexere.

Prima stipendia, quum Cimbri & Teutones impressionem fecissent in Galliam, sub Caepione faciens, quum essent Romani fusi fugatique, equo amisso ac conciso vulneribus corpore Rhodanum transmisit cum ipsa lorica & scuto adversis ingentibus undis natans. Adeo erat robusto corpore & subacto exercitatione. Incumbentibus iterum illis infinita multitudine & terribilibus minis, ut magni operis esset militem Romanum tunc ullum ordines tenere & dicto audientem esse duci, (dux Marius erat) Sertorius suscepit ire speculatum hostes. Vestitu amictus Gallico, & maxime communia linguae ad congressum ex tempore doctus, miscuit se barbaris. Ubi praecipue necessaria partim contemplatus est, partim accepit auribus, ad Marium est regressus. Cujus rei causa donis militaribus est honoratus. Per reliquum belli multa prudentiae, multa audaciae edidit opera, unde nomen & fidem apud imperatorem meruit. Bello profligato Cimbrico & Teutonico, tribunus militum in Hispaniam sub Didio praetore missus, hybernavit in urbe Celtiberorum Castulone. Quum vero milites in abundantia rerum petulantes & fere mero profligatos contemnerent barbari, auxilium noctu imploraverunt a vicinis Gyrisoenis, factoque per domos impetu interfecerunt eos. Ibi Sertorius cum paucis oppido elapsus, contractis iis qui evaserant, circulavit

κύκλῳ τὴν πόλιν περιῆλθε· καὶ καθ' ἃς οἱ βάρβαροι πύλας ἔλαθον παρεισπεσόντες ἀνεῳγμένας εὑρών, οὐ ταὐτὸν ἐκείνοις ἔπαθεν, ἀλλὰ φρουρὰς ἐπιστήσας, καὶ καταλαβὼν πανταχόθεν τὴν πόλιν, ἔκτεινεν τοὺς ἐν ἡλικίᾳ πάντας. ὡς δὲ ἀνῃρέθησαν, ἐκέλευσεν τοὺς στρατιώτας πάντας τὰ μὲν αὐτῶν ὅπλα καὶ τὴν ἐσθῆτα καταθέσθαι, τοῖς δὲ τῶν βαρβάρων ἐνσκευασαμένους ἕπεσθαι πρὸς τὴν πόλιν ἐκείνην, ἐξ ἧς ἀπεστάλησαν οἱ νύκτωρ ἐπιπεσόντες αὐτοῖς. ψευσάμενος δὲ τῇ τῶν ὅπλων ὄψει τοὺς βαρβάρους, τάς τε πύλας ἀνεῳγμένας εὗρεν, καὶ πλῆθος ἀνθρώπων ἔλαβεν, οἰομένων ἀπαντᾶν εὖ πεπραχόσι φίλοις καὶ πολίταις. διὸ πλεῖστοι μὲν ὑπὸ τῶν Ῥωμαίων ἐσφάττοντο περὶ τὰς πύλας, οἱ δὲ λοιποὶ παραδόντες ἑαυτοὺς ἐπράθησαν.

Ἐκ τούτου Σερτώριος ἐν τῇ Ἰβηρίᾳ διεβοήθη· καὶ ὅτε πρῶτον ἐπανῆκεν εἰς Ῥώμην, ταμίας ἀποδείκνυται τῆς περὶ Πάδον Γαλατίας ἐν δέοντι. τοῦ γὰρ Μαρσικοῦ πολέμου συνισταμένου, στρατιώτας τε προσταχθὲν αὐτῷ καταλέγειν, καὶ ὅπλα ποιεῖσθαι, σπουδὴν καὶ τάχος προσθεὶς τῷ ἔργῳ, παρὰ τὴν τῶν ἄλλων νέων βραδυτῆτα καὶ μαλακίαν, ἀνδρὸς ἐμπράκτως βιωσομένου δόξαν ἔσχεν. οὐ μὴν ὑφήκατο τῆς στρατιωτικῆς τόλμης, εἰς ἀξίωμα προεληλυθὼς ἡγεμόνος, ἀλλὰ καὶ χειρὸς ἐπιδεικνύμενος ἔργα θαυμαστὰ, καὶ τὸ σῶμα τοῖς ἀγῶσιν ἀφειδῶς ἐπιδιδοὺς, τῶν ὄψεων ἀπέβαλε τὴν ἑτέραν ἐκκοπεῖσαν. ἐπὶ τούτῳ δὲ καὶ καλλωπιζόμενος ἀεὶ διετέλει· τοὺς μὲν γὰρ ἄλλους οὐκ ἀεὶ τὰ μαρτύρια τῶν ἀριστείων περιφέρειν, ἀλλὰ καὶ ἀποτίθεσθαι στρεπτὰ καὶ δόρατα καὶ στεφάνους· αὐτῷ δὲ τῆς ἀνδραγαθίας παραμένειν τὰ γνωρίσματα, τοὺς

culavit mœnia, & qua porta fuerant barbari furtim ingressi, quum patentem eam reperisset, non idem ac illi fecit, verum statione apposita, atque occupata omni ex parte urbe, omnes puberes occidit. Quibus contrucidatis, imperat militibus ut armis & vestibus suis positis & barbarorum sumptis, pergant ad urbem illam ex qua fuerant missi, qui nocte oppresserant ipsos. Ludificatis armorum specie barbaris, offendit portas patentes, & multos mortales cepit, qui amicis & civibus re bene gesta arbitrabantur se processuros obviam. Unde multi sunt a Romanis circa portas contrucidati, reliqui deditione facta sub corona veniere.

Hinc Sertorii ingens in Hispania nomen fuit. Adeoque ut primum est ad urbem reversus, quæstor Galliæ circumpadanæ in tempore creatur. Nam bello exardescente Marsico, jussus delectum habere & arma parare, studio & festinatione rei adhibita præter cæterorum juvenum lentitudinem & mollitiam, peperit sibi viri impigri opinionem. Atqui non decessit de militari audacia, ubi ad dignitatem aspiravit ducis: sed & manu præclara opera edidit, corporique in certaminibus minus parcendo, alterum oculum, qui fuit ei erutus, amisit. Ob quod etiam gloriabatur perpetuo, alios non semper strenuitatis circumferre secum testimonia, sed deponere torques, hastas, coronas: sibi fortitudinis insignia permanere, quando

τοὺς αὐτοὺς ἔχοντι τῆς ἀρετῆς ἅμα καὶ τῆς συμφορᾶς θεατάς. ἀπέδωκε δὲ καὶ ὁ δῆμος αὐτῷ τιμὴν πρέπουσαν. εἰσελθόντα γὰρ εἰς θέατρον ἐξεδέξαντό τε κρότῳ καὶ κατευφήμησαν· ὧν οὐδὲ τοῖς πάνυ προήκουσιν ἡλικίᾳ τε καὶ δόξῃ τυχεῖν ἦν ῥᾴδιον. δημαρχίαν μέντοι μετιὼν, Σύλλα κατασασιάσαντος αὐτὸν, ἐξέπεσεν· διὸ καὶ δοκεῖ γενέσθαι μισοσύλλας. ἐπεὶ δὲ Μάριος μὲν ὑπὸ Σύλλα κρατηθεὶς ἔφυγε, Σύλλας δὲ Μιθριδάτῃ πολεμήσων ἀπῆρεν, τῶν δὲ ὑπάτων, Ὀκτάβιος μὲν ἐπὶ τῆς Σύλλα προαιρέσεως ἔμενεν, Κίννας δὲ νεωτερίζων ὑποφερομένην ἀνεκαλεῖτο τὴν Μαρίου στάσιν· τούτῳ προσένειμεν αὑτὸν ὁ Σερτώριος, ἄλλως τε καὶ τὸν Ὀκτάβιον ὁρῶν μὲν αὐτὸν ἀμβλύτερον ὄντα, τοῖς δὲ Μαρίου φίλοις ἀπιστοῦντα. γενομένης δὲ τοῖς ὑπάτοις ἐν ἀγορᾷ μάχης μεγάλης, Ὀκτάβιος μὲν ἐκράτησεν, Κίννας δὲ καὶ Σερτώριος οὐ πολλῷ ἐλάττους τῶν μυρίων ἀποβαλόντες ἔφυγον· καὶ τῶν περὶ τὴν Ἰταλίαν ἔτι διεσπαρμένων στρατοπέδων προσαγόμενοι τὰ πλεῖστα πειθοῖ, ταχὺ κατέστησαν ἀξιόμαχοι τοῖς περὶ τὸν Ὀκτάβιον.

Μαρίου δὲ καταπλεύσαντος ἐκ Λιβύης, καὶ τῷ Κίννᾳ προστιθέντος ἑαυτὸν, ὡς ἰδιώτην ὑπάτῳ, τοῖς μὲν ἄλλοις ἐδόκει δέχεσθαι, Σερτώριος δὲ ἀπηγόρευεν· εἴτε τὸν Κίνναν ἧττον οἰόμενος ἑαυτῷ προσέξειν, ἀνδρὸς ἡγεμονικωτέρου παρόντος, εἴτε τὴν βαρύτητα τοῦ Μαρίου δεδοικὼς, μὴ πάντα τὰ πράγματα συγχέῃ, θυμῷ μέτρον οὐκ ἔχοντι πέρα δίκης ἐν τῷ κρατεῖν προερχόμενος. ἔλεγε μὲν οὖν μικρὸν εἶναι τὸ ἀπολειπόμενον ἔργον αὐτοῖς ἤδη κρατοῦσι· δεξαμένων δὲ τὸν Μάριον, τὸ σύμπαν οἴσεσθαι τῆς δόξης ἐκεῖνον καὶ τῆς δυ-

do eosdem virtutis suæ & calamitatis habeat spectatores. Habuit etiam ei populus meritum honorem. Nam ingredientem theatrum plausu excepit & lætis acclamationibus: quod quidem non temere vel honoribus & ætate provectis deferebat. Tribunatum plebis tamen quum peteret, tulit per Syllanam factionem repulsam: quare Syllæ fuisse videtur infensus. Postquam autem a Sylla Marius victus fugam cepit, & Sylla ad bellum Mithridaticum est profectus: consules autem, Octavius in Syllanis partibus perstitit, Cinna vero res novas moliens, labentem instauravit Marii factionem, huic se associavit Sertorius, præsertim quod consideraret cum ipsum languidiorem Octavium, tum Marii amicis diffidentem. Commissa a consulibus in foro acri pugna, tulit Octavius victoriam: Cinna & Sertorius, amissis non multo minus decem millibus, in fugam se projecere. Quum vero milites per Italiam adhuc essent dispersi, plerisque benevolentia adscitis, brevi pares evaserunt Octavio.

Ibi Mario ex Africa advecto, & Cinnæ se ut privatum consuli aggregare volenti, quum cæteri recipiendum consulerent, dissuasit Sertorius, vel quod minus sibi Cinnam existimaret, viro præsente bello & imperiis præcellentiore, tributurum, vel quod amarulentiam vereretur Marii, ne omnia misceret, impotenti ira modum in victoria prætergrediens. Docuit autem parum operis ipsis jam victoribus restare. Quod si Marium admitterent, universum illum gloriæ & potentiæ laturum fru-

δυνάμεως, χαλεπὸν ὄντα πρὸς κοινωνίαν ἀρχῆς καὶ ἄπιστον. εἰπόντος δὲ τοῦ Κίννα, ταῦτα μὲν ὀρθῶς ὑπολογίζεσθαι τὸν Σερτώριον, αἰδεῖσθαι δὲ καὶ διαπορεῖν ὅπως ἀπώσεται τὸν Μάριον αὐτὸς, ἐπὶ κοινωνίᾳ πραγμάτων κεκληκὼς, ὑπολαβὼν ὁ Σερτώριος εἶπεν, ἀλλ' ἐγὼ μὲν αὐτὸν ἀφ' ἑαυτοῦ Μάριον ἥκειν νομίζων εἰς Ἰταλίαν, τὸ συμφέρον ἐσκόπουν· σοὶ δὲ τὴν ἀρχὴν οὐδὲ βουλεύεσθαι καλῶς εἶχεν, ἥκοντος ὃν αὐτὸς ἐλθεῖν ἠξίωσας, ἀλλὰ χρῆσθαι καὶ δέχεσθαι, τῆς πίστεως μηδενὶ λογισμῷ χώραν διδούσης. οὕτως μεταπέμπεται τὸν Μάριον Κίννας· καὶ τριχῆ τῆς δυνάμεως διανεμηθείσης ἦρχον οἱ τρεῖς. διαπολεμηθέντος δὲ τοῦ πολέμου, καὶ τῶν περὶ τὸν Κίνναν καὶ Μάριον ἐμφορουμένων ὕβρεώς τε καὶ πικρίας ἁπάσης, ὥστε χρυσὸν ἀποδεῖξαι Ῥωμαίοις τὰ τοῦ πολέμου κακὰ, Σερτώριος λέγεται μόνος οὔτε ἀποκτεῖναι τινὰ πρὸς ὀργὴν, οὔτε ἐνυβρίσαι κρατῶν, ἀλλὰ καὶ τῷ Μαρίῳ δυσχεραίνειν, καὶ τὸν Κίνναν ἐντυγχάνων ἰδίᾳ καὶ δεόμενος μετριώτερον ποιεῖν. τέλος δὲ τῶν δούλων, οὓς Μάριος συμμάχους μὲν ἐν τῷ πολέμῳ, δορυφόρους δὲ τῆς τυραννίδος ἔχων ἰσχυροὺς καὶ πολλοὺς ἐποίησεν, τὰ μὲν ἐκείνου διδόντος καὶ κελεύοντος, τὰ δὲ καὶ βίᾳ παρανομούντων εἰς τοὺς δεσπότας, σφαττόντων μὲν αὐτοὺς, ταῖς δὲ δεσποίναις πλησιαζόντων, καὶ βιαζομένων τοὺς παῖδας, οὐκ ἀνασχετὰ ποιούμενος ὁ Σερτώριος, ἅπαντας ἐν ταυτῷ στρατοπεδεύοντας κατηκόντισεν, οὐκ ἐλάττους τετρακισχιλίων ὄντας.

Ἐπεὶ δὲ Μάριος μὲν ἐτελεύτησε, καὶ Κίννας ἀνῃρέθη μικρὸν ὕστερον, ὁ δὲ νεανίας Μάριος ἄκοντος αὐτοῦ παρὰ τοὺς νόμους ὑπατείαν ἔλαβεν, Κάρβω-

νες

fructum, qui in imperii consortio difficilis esset & infidus. Cui quum Cinna diceret, recte ipsum reputare, sed erubescere se & hærere, quemadmodum Marium, quem ipse ad societatem accersivisset belli, repelleret: respondit Sertorius, Atqui ego, quod Marium arbitrarer ultro venisse in Italiam, id quod expediat respiciebam: te vero nec ab initio ponere decebat in deliberationem, postquam venit quem accivisti ipse: verum recipere eum atque uti, neque debebat ullum consultationi dare fides locum. Ita accersivit Marium Cinna, partitisque copiis, tres illi duces fuere. Bello perpetrato, quum Cinna & Marius nullum non exemplum insolentiæ & crudelitatis ederent, ostenderentque rem auream populo Romano belli mala esse, solus dicitur Sertorius neminem per iram occidisse, neque fuisse in victoria insolens: immo tum infensus Mario fuisse, Cinnam privatim appellasse, deprecandoque moderatiorem reddidisse. Servis denique, quos Marius in bello socios & dominatus habebat satellites, validosque atque opulentos effecerat, partim illius permissione & jussu, partim vi dominos opprimentibus, quum ipsos jugularent, dominas violarent, liberos eorum stuprarent, rem intolerandam Sertorius censens, omnes castra eodem in loco metatos non intra quatuor millia, jaculis confixit.

Ut decessit Marius, Cinna brevi post interemptus est, Marius junior illo invito cepit contra leges consulatum. Carbo autem

νες δὲ καὶ Νωρβανοὶ καὶ Σκιπίωνες ἐπιόντι Σύλλᾳ κακῶς ἐπολέμουν· καὶ τὰ μὲν ἀνανδρείᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν ἐφθείρετο, τὰ δὲ οἱ προδιδόντες ἀπώλλυσαν· ἔργον δὲ οὐδὲν ἦν αὐτοῦ παρόντος τοῖς πράγμασι μοχθηρῶς ὑποφερομένοις, διὰ τὸ χεῖρον φρονεῖν τοὺς μᾶλλον δυναμένους· τέλος δὲ, Σύλλας Σκιπίωνι παραστρατοπεδεύσας, καὶ φιλοφρονούμενος ὡς εἰρήνης ἐσομένης, διέφθειρε τὸ στράτευμα, καὶ ταῦτα προλέγων Σκιπίωνι καὶ διδάσκων Σερτώριος οὐκ ἔπειθεν, παντάπασιν ἀπογνοὺς τὴν πόλιν, ὥρμησεν εἰς Ἰβηρίαν, ὡς εἰ φθάσει τὴν ἐκεῖ κρατυνάμενος ἀρχὴν, καταφυγὴ τοῖς πταίουσιν ἐνταῦθα τῶν φίλων ἐσόμενος. χειμῶσι δὲ χαλεποῖς χρησάμενος ἐν χωρίοις ὀρεινοῖς, ὑπὸ βαρβάρων ἐπράττετο τέλη καὶ μισθοὺς τοῦ παρελθεῖν τὴν ὁδόν. ἀγανακτούντων δὲ τῶν σὺν αὐτῷ, καὶ δεινολογουμένων, εἰ Ῥωμαίων ἀνθύπατος τέλη καταβάλῃ βαρβάροις ὀλέθροις, μικρὰ φροντίσας τοῦ δοκοῦντος αἰσχροῦ, καὶ καιρὸν ὠνεῖσθαι φήσας, οὗ σπανιώτερον οὐδὲν ἀνδρὶ μεγάλων ἐφιεμένῳ, τοὺς μὲν βαρβάρους ἐθεράπευσε χρήμασι, τὴν δ' Ἰβηρίαν ἐπειχθεὶς κατέσχεν. παραλαβὼν δὲ ἔθνη πλήθει μὲν καὶ ἡλικίᾳ ἀκμάζοντα, πλεονεξίᾳ δὲ καὶ ὕβρει τῶν πεμπομένων ἑκάστοτε στρατηγῶν πρὸς ὅλην κακῶς διακείμενα τὴν ἡγεμονίαν, ἀνελάμβανεν ὁμιλίᾳ τε τοὺς δυνατοὺς, καὶ φόρων ἀνέσει τοὺς πολλούς· μάλιστα δὲ τῶν ἐπισταθμιῶν ἀπαλλάξας ἠγαπήθη. τοὺς γὰρ στρατιώτας ἠνάγκαζεν ἐν τοῖς προαστείοις χειμάδια πηγνύναι, πρῶτος αὐτὸς οὕτω κατασκηνῶν. οὐ μὴν ἐπὶ τῇ τῶν βαρβάρων εὐνοίᾳ τὸ πᾶν ἐποιήσατο,

tem, Norbanus, Scipio, poſt adventum Syllæ ſecus cum eo gerebant res, quæ partim timiditate & ignavia ducum dilabebantur, partim labefactabantur a proditoribus, neque ferre ipſe opem ſua præſentia valebat rebus labaſcentibus, quod minus recte conſulerent illi qui plus poterant: caſtra denique Sylla Scipioni contulit, blandiendoque & ſimulanda pace infecit exercitum ejus: nec quum hæc prædiceret, doceretque Scipionem Sertorius, auditus fuit; ſpe ſemel abjecta ſervandæ urbis, contendit in Hiſpaniam: quo, ſi eam obtineret provinciam, refugium amicis foret in Italia oppreſſis. Quum crebris tempeſtatibus jactaretur, exigebant ab eo in locis montoſis barbari vectigal ac mercedem tranſitus. Indignantibus comitibus ejus, & fœdum eſſe dictitantibus proconſulem Romanum tributum ſceleſtis barbaris pendere, floccipendens id quod ſpecie erat turpe, & tempus ſe, quo nihil ſit viro grandia affectanti carius, redimere ferens, barbaros argento conciliavit, & Hiſpaniam maturavit occupare. Quum gentes offendiſſet multitudine & juventute florentes, ob avaritiam autem & injurias magiſtratuum, qui quotannis eam in provinciam mitterentur, plane alienas ab imperio Romano, primores comitate, tributorum remiſſione lenuit plebem. Imprimis vero grata fuit eis hoſpitiorum præbendorum ſublata neceſſitas. Siquidem milites hybernacula in ſuburbiis coegit conſtituere, ac tabernaculum ſuum ipſe ibi primus locavit. Nec in barbarorum tamen benevolentia poſuit omnia, ſed

ἤσατο, Ῥωμαίων δὲ τῶν αὐτόθι μετοικούντων τοὺς ἐν ἡλικίᾳ καθοπλίσας, μηχανάς τε παντοδαπὰς καὶ ναυπηγίας τριήρων ὑποβαλόμενος, διὰ χειρῶν εἶχε τὰς πόλεις· ἥμερος μὲν ὢν ἐν ταῖς εἰρηνικαῖς χρείαις, φοβερὸς δὲ τῇ παρασκευῇ κατὰ τῶν πολεμίων φαινόμενος.

Ὡς δὲ Σύλλαν μὲν ἐπυνθάνετο τῆς Ῥώμης κρατεῖν, ἔρρειν δὲ τὴν Μαρίου καὶ Κάρβωνος στάσιν, αὐτίκα προσδοκῶν στρατιὰν διαπολεμήσουσαν αὐτῷ μεθ' ἡγεμόνος ἀφίξεσθαι, φράγνυται τὰ Πυρηναῖα ὄρη διὰ Ἰουλίου Σαλινάτορος ἑξακισχιλίους ὁπλίτας ἔχοντος. καὶ μετ' οὐ πολὺ Γάιος Ἄννιος ἐκπεμφθεὶς ὑπὸ Σύλλα, καὶ τὸν Ἰούλιον ἀπρόσμαχον ὁρῶν, ἐν ἀπόρῳ καθῆστο παρὰ ταῖς ὑπωρείαις. Καλπουρνίου δέ τινος ἐπίκλησιν Λαναρίου δολοφονήσαντος τὸν Ἰούλιον, καὶ τῶν στρατιωτῶν τὰ ἄκρα τῆς Πυρήνης ἐκλιπόντων, ὑπερβαλὼν Ἄννιος ἐπῄει χειρὶ μεγάλῃ τοὺς ἐμποδὼν ἀνιστάς. Σερτώριος δὲ οὐκ ὢν ἀξιόμαχος, μετὰ τρισχιλίων εἰς Καρχηδόνα τὴν νέαν καταφυγών, κἀκεῖθεν ἐπιβὰς τῶν νεῶν, καὶ διαπεράσας τὸ πέλαγος, Λιβύῃ κατὰ τὴν Μαυρουσίαν προσέσχεν. ἀφυλάκτοις δὲ τοῖς στρατιώταις ὑδρευομένοις τῶν βαρβάρων ἐπιπεσόντων, συχνοὺς ἀποβαλών, αὖθις εἰς Ἰβηρίαν ἀπέπλει, καὶ ταύτης μὲν ἀποκρούεται, Κιλίσσων δὲ λῃστρίδων αὐτῷ προσγενομένων, Πιτυούσσῃ νήσῳ προσέβαλεν, καὶ ἀπέβη τὴν παρ' Ἀννίου φρουρὰν βιασάμενος. Ἄννιος δὲ μετ' οὐ πολὺ παρῆν ναυσί τε πολλαῖς καὶ πεντακισχιλίοις ὁπλίταις. πρὸς ὃν ἐπεχείρησε μὲν διαναυμαχεῖν, καίπερ ἐλαφροῖς καὶ πρὸς τάχος οὐ πρὸς ἀλκὴν πεποιημένοις σκάφεσι χρώμενος· ζεφύρῳ δὲ λαμπρῷ τοῦ πε-

sed civium Romanorum, qui sedes eo transtulerant, armavit juventutem, machinasque cujusque generis & naves fabricare instituit: atque ita in potestate retinuit urbes, in pacis negotiis placidum se, sed terribilem praebens in apparatu hostibus.

Postquam Syllam allatum est potiri urbe, Marii autem & Carbonis pessum ire partes, haudquaquam dubitans quin ad debellandum se illico esset exercitus cum duce adfuturus, saltum Pyrenaeum per Julium Salinatorem sex millibus armatorum obsepit. Nec multo post mittitur a Sylla C. Annius, qui quum Julium videret inexpugnabilem, ad dorsa montium inops consilii consedit. Verum quia Calpurnius quidam, Lanarius cognomine, Julium per insidias obtruncavit, juga Pyrenaea a militibus deserta superavit Annius, magnamque manum secum trahens obsistentes pepulit. Quare impar viribus Sertorius refugit cum tribus millibus militum Carthaginem novam. Ibi naves conscendit, trajectoque pelago in Africam est ad Mauritaniam delatus. Milites incaute aquantes barbaris adortis, quum multos amisisset, in Hispaniam retro vela fecit: qua quum arceretur, adjunctis sibi navibus piraticis ex Cilicia, decurrit ad insulam Pityusam, expositisque militibus, praesidium Annii oppressit. Mox Annius magna classe & legionariorum quinque millibus adfuit; quicum praelium navale Sertorius instituit committere, quamvis leves haberet atque ad agilitatem non ad robur fabricatas naves. At quia salum vehemente Zephyro

πελάγους ἀνισταμένου, καὶ τὰ πολλὰ τῶν τοῦ Σερτωρίου πλοίων ὑπὸ κουφότητος πλάγια ταῖς ῥαχίαις περιβάλλοντος, αὐτὸς ὀλίγαις ναυσὶν τῆς μὲν θαλάσσης ὑπὸ τοῦ χειμῶνος εἰργόμενος, τῆς δὲ γῆς ὑπὸ τῶν πολεμίων, ἡμέρας δέκα σαλεύων πρὸς ἐναντίον κῦμα καὶ κλύδωνα τραχὺν ἐπιπόνως διεκαρτέρησεν.

Ἐνδόντος δὲ τοῦ πνεύματος φερόμενος νήσοις τισὶν ἐναυλίζεται σποράσιν, ἀνύδροις· κἀκεῖθεν ἄρας καὶ διεκβαλὼν τὸν Γαδειραῖον πορθμὸν, ἐν δεξιᾷ τοῖς ἐκτὸς ἐπιβάλλει τῆς Ἰβηρίας, μικρὸν ὑπὲρ τῶν τοῦ Βαίτιος ἐκβολῶν, ὃς εἰς τὴν Ἀτλαντικὴν ἐκφερόμενος θάλατταν, ὄνομα τῇ περὶ αὐτὸν Ἰβηρίᾳ παρέσχεν. ἐνταῦθα ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ, νέον ἐκ τῶν Ἀτλαντικῶν νήσων ἀναπεπλευκότες, αἳ δύο μέν εἰσι, λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δ' ἀπέχουσαι Λιβύης σταδίους, καὶ ὀνομάζονται μακάρων. ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ δὲ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις, οὐ μόνον ἀροῦν καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. ἀὴρ δὲ ἄλυπος ὡρῶν τε κράσει καὶ μεταβολῆς μετριότητι κατέχει τὰς νήσους. οἱ μὲν γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται, διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείρονται καὶ προαπολείπουσι· πελάγιοι δὲ περιρρέοντες ἀργέσται καὶ ζέφυροι, βληχροὺς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες ἡσυχῇ τρέφουσιν·

phyro intumuit, naveſque Sertorii complures ob levitatem in littus ſcopuloſum expulit obliquas: ipſe paucis navibus, quum mari per tempeſtatem & per hoſtes ſummoveretur terra, dies decem cum adverſis fluctibus & ſæva luctatus tempeſtate magno labore ſuſtinuit.

Ubi ceciderunt venti, delatus in inſulas quaſdam eſt diſperſas, ſitientes, ubi commoratus eſt. Ex quibus ſolvens tranſmiſſoque freto Gaditano, dextrorſum flectens ad eam Hiſpaniæ oram quæ expoſita oceano eſt, applicat paulo ſupra oſtia Batis, qui in oceanum Atlanticum ſe exonerans circumjectæ Hiſpaniæ nomen dedit. Hic nautæ quidam conveniunt eum, modo ex inſulis Atlanticis advecti. Sunt hæ duæ peranguſto divulſæ freto, & diſtant ab Africa duodecies centena millia paſſuum, Fortunatæ appellantur. Imbres habent moderatos, ſed raros, plerumque molles ventos & rorantes. Unde ſolum bonum eſt & uber non ſementi modo & plantis, ſed & ſua ſponte profundit fructum, qui copia & ſuavitate populum alere otioſum abunde citra laborem hominum & fatigationem valeat. Cœlum ambit has inſulas temporum moderatione & viciſſitudinis mediocritate lene. Nam qui ex hac plaga illud perflant Boreæ & Subſolani, propter tantum intervalli in locum delati vaſtum diſſipantur, & antequam eo perferantur, vim ſuam amittunt. Qui circumfunduntur marini, Cauri atque Zephyri, lentas pluvias ex pelago & raras afferentes, ſæpius autem humentibus ſerenitatibus refrigerantes, alunt le-

φυσιν· ὥστε μέχρι τῶν βαρβάρων διῖχθαι πίστιν ἰσχυρὰν, αὐτόθι τὸ ἠλύσιον εἶναι πεδίον, καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησεν.

Ταῦθ' ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἀπαύστων. αἰσθόμενοι δὲ οἱ Κίλικες, οὐθὲν εἰρήνης δεόμενοι καὶ σχολῆς, ἀλλὰ πλούτου καὶ λαφύρων, εἰς Λιβύην ἀπέπλευσαν, Ἀσκάλιον τὸν Ἴφθα κατάξοντες ἐπὶ τὴν Μαυρουσίων βασιλείαν. οὐ μὴν ἀπέκαμεν ὁ Σερτώριος, ἀλλὰ τοῖς πρὸς τὸν Ἀσκάλιον διαπολεμοῦσιν ἔγνω βοηθεῖν, ὡς οἱ σὺν αὐτῷ καινήν τινα λαβόντες ἐλπίδων ἀρχὴν καὶ πράξεων ἑτέρων ὑπόθεσιν, μὴ διαλυθεῖεν ὑπὸ τῆς ἀπορίας. ἀσμένοις δὲ τοῖς Μαυρουσίοις ἀφικόμενος εἴχετο ἔργου, καὶ καταμαχεσάμενος τὸν Ἄσκαλιν ἐπολιόρκει. Σύλλα δὲ Πακκιακὸν ἐκπέμψαντος βοηθῆσαι τοῖς περὶ τὸν Ἄσκαλιν μετὰ δυνάμεως, συμβαλὼν ὁ Σερτώριος, τὸν μὲν Πακκιακὸν ἀπέκτεινεν, τὴν δὲ στρατιὰν κρατήσας προσηγάγετο· καὶ τὴν Τιγγίνην, εἰς ἣν ὁ Ἄσκαλις συνέφυγε μετὰ τῶν ἀδελφῶν, ἐξεπολιόρκησεν. ἐνταῦθα τὸν Ἀνταῖον οἱ Λίβυες ἱστοροῦσι κεῖσθαι, καὶ τὸν τάφον αὐτοῦ Σερτώριος διέσκαψεν, τοῖς βαρβάροις ἀπιστῶν διὰ μέγεθος. ἐντυχὼν δὲ τῷ σώματι πηχῶν ἑξήκοντα μῆκος, ὥς φασι, κατεπλάγη, καὶ σφάγιον ἐντεμὼν, συνέχωσε τὸ μνῆμα, καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. Τιγγινῆται δὲ μυθολογοῦσιν, Ἀνταίου τελευτήσαντος, τὴν γυναῖκα Τίγγην Ἡρακλεῖ συνελθεῖν· Σόφακα δ' ἐξ αὐτῶν γενόμενον, βασιλεῦσαι τῆς χώρας καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ἀποδεῖξαι· Σόφακος δὲ παῖδα γε-

νέσθαι

leniter. Unde fides usque ad barbaros perlata firma est, campos Elysios eo loco & beatorum sedes, quas decantavit Homerus, esse.

Quibus intellectis, mirifico desiderio Sertorius captus est illas insulas incolendi atque in quiete vivendi, dominatu & bellis omnibus explicatus. Id ubi senserunt Cilices, qui non quærebant pacem vel otium, sed pecuniam & prædam, abnavigaverunt in Africam ut Ascalim Iphthæ filium in regnum Mauritaniæ reducerent. Haud succubuit tamen Sertorius, verum hostibus Ascalis statuit succurrere, ut milites sui, novæ spei oblata occasione & rerum materia aliarum, ne inopia dissiparentur. Quum esset Mauris adventus ejus gratus, operi manum admovit, victumque prœlio circumsedit Ascalim. Paccianum a Sylla cum exercitu missum Ascali subsidio occidit Sertorius in acie, victorque copias Pacciani sibi adjunxit: oppidumque Tigennam, quo confugerat cum fratribus Ascalis, expugnavit. Ibi Antæum tradunt Afri conditum, ejusque tumulum eruit Sertorius, non habita barbaris fide ob magnitudinem. Ut autem corpus offendit sexaginta cubitos (ut fama est) longum, obstupuit, cæsisque victimis tumulum adaggeravit, honoresque & famam ejus amplificavit. Fabulantur Tigennenses, Antæo defuncto uxorem ejus Tingen concubuisse cum Hercule, ex quibus editum Sophacem regnum ea in regione obtinuisse, atque oppido matris indidisse nomen. Sophacis Dio-

γενέσθαι Διόδωρον, ᾧ πολλὰ τῶν Λιβυκῶν ἐθνῶν ὑπήκουσεν, Ἑλληνικὸν ἔχοντι στράτευμα τῶν αὐτόθι κατῳκισμένων ὑφ' Ἡρακλέους Ὀλβιανῶν καὶ Μυκηναίων. ἀλλὰ ταῦτα μὲν ἀνακείσθω τῇ Ἰόβα χάριτι τοῦ πάντων ἱστορικωτάτου βασιλέων. ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους Διοδώρου καὶ Σόφακος ἀπογόνους εἶναι. Σερτώριος δὲ πάντων ἐγκρατὴς γενόμενος, τοὺς δεηθέντας αὐτοῦ καὶ πιστεύσαντας οὐκ ἠδίκησεν, ἀλλὰ καὶ χρήματα καὶ πόλεις καὶ τὴν ἀρχὴν ἀπέδωκεν αὐτοῖς, ὅσα καλῶς εἶχε δεξάμενος διδόντων.

Ἐντεῦθεν ὅποι χρὴ τραπέσθαι βουλευόμενον ἐκάλουν Λυσιτανοὶ, πρέσβεις πέμψαντες ἐφ' ἡγεμονίᾳ· πάντως μὲν ἄρχοντος ἀξίωμα μέγα καὶ ἐμπειρίαν ἔχοντος δεόμενοι πρὸς τὸν ἀπὸ Ῥωμαίων φόβον, ἐκείνῳ δὲ πιστεύοντες αὐτοὺς μόνῳ, καὶ πυνθανόμενοι παρὰ τῶν συγγεγονότων τὸ ἦθος αὐτοῦ. λέγεται δὲ ὁ Σερτώριος οὔτε ὑφ' ἡδονῆς, οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι, φύσει δὲ ἀνέκπληκτος ὢν παρὰ τὰ δεινὰ, καὶ μέτριος εὐτυχίαν ἐνεγκεῖν· καὶ πρὸς μὲν εὐθυμαχίαν οὐδενὸς ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων· ὅσα δὲ κλωπείας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας, περὶ τόπους ὀχυροὺς καὶ διαβάσεις τάχους δεομένας ἀπάτης τε καὶ ψευδῶν, ἐν δέοντι σοφιστὴς δεινότατος. ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζεν τῶν ἁμαρτημάτων. καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρυθυμίας τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον, ἀποδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἐπαμπεχομένην λογισμῷ διὰ

Diodorum filium fuiſſe, cui paruere complures Africæ urbes, exercitumque habuit Græcorum ex Olbianis & Mycenæis, quos illic collocaverat Hercules. Cæterum hæc in Jubæ gratiam dicta ſint regum omnium hiſtorici præſtantiſſimi. Illius enim majores Diodori & Sophacis tradunt poſteros fuiſſe. At Sertorius omnia in poteſtate tenens, ſupplices & eos qui ſe permittebant ipſius fidei, non violavit, immo bona, urbes, adminiſtrationem illis reddidit, neceſſaria tantum accepit ab ultro dantibus.

Deliberantem quo ſe verteret inde, Luſitani per legatos ad ſuſcipiendum imperium acciverе. Quærebant enim omnino hi contra Romanorum terrorem inſigni ducem autoritate & rerum uſu præditum, ſed uni ei fidebant, quod ab illis qui habuerant cum eo conſuetudinem, mores ejus didiciſſent. Perhibetur Sertorius neque lætitiæ neque timori facile patuiſſe, fuiſſe natura in periculis imperterritus, & ſecundam fortunam moderate tuliſſe; ad dimicandum ſignis collatis nemine ſui temporis ducum timidior: ubi vero in bello quid præripiendum eſſet ex occulto, aut præoccupanda loca munita, aut tranſeundum cum celeritate aut cum dolo & impoſtura, artifex in loco aſtutiſſimus. In tribuendis ob præclara facta honoribus prolixus extitit, & in ſuppliciis ob delicta exigendis moderatus; quamvis in calce vitæ exemplum quod edidit in obſides immanitatis & ſævitiæ, ingenium dicas aperuiſſe ejus non lene, ſed celatum ob neceſſitatem

διὰ τὴν ἀνάγκην. ἐμοὶ δὲ ἀρετὴν μὲν εἰλικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον· ἄλλως δὲ, προαιρέσεις καὶ φύσεις χρηστὰς ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας, οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος. ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γινόμενον πονηρὸν πρὸς τοὺς ἀδικοῦντας.

Οὐ μὴν ἀλλὰ τότε γε Λυσιτανῶν καλούντων, ἀπῆρεν ἐκ Λιβύης. καὶ τούτους συνέταττεν εὐθὺς αὐτοκράτωρ στρατηγὸς, καὶ τὴν ἐγγὺς Ἰβηρίαν ὑπήκοον ἐποιεῖτο, τῶν πλείστων ἑκουσίως προστιθεμένων, μάλιστα μὲν διὰ τὸ πρᾶον αὐτοῦ καὶ δραστήριον. ἔστι δὲ ἃ καὶ σοφιστικῶς αὐτὸς εἰς ἀπάτην καὶ κήλησιν ἐμηχανᾶτο· καὶ πρῶτόν γε πάντων, τὸ περὶ τὴν ἔλαφον. ἦν δὲ τοιόνδε. Σπανὸς, ἀνὴρ δημότης τῶν ἐπὶ χώρας βιούντων, ἐλάφῳ νεοτόκῳ φευγούσῃ κυνηγέτας ἐπιτυχὼν, αὐτῆς μὲν ἀπελείφθη, τὴν δὲ νεβρὸν, ἐκπλαγεὶς τῇ καινότητι τῆς χρόας (λευκὴ γὰρ ἦν πᾶσα) λαμβάνει διώξας. κατὰ τύχην δὲ Σερτωρίου τοῖς τόποις ἐναυλισαμένου, καὶ πᾶν ὅ τις ἐξ ἄγρας ἢ γεωργίας ἥκοι κομίζων δῶρον ἀσμένως δεχομένου, καὶ φιλοφρόνως ἀμειβομένου τοὺς θεραπεύοντας, ἐγχειρίζει φέρων αὐτῷ τὴν νεβρόν. ὁ δὲ δεξάμενος, αὐτίκα μὲν ἥσθη μετρίως· χρόνῳ δὲ ποιησάμενος τιθασὸν οὕτω καὶ φιλάνθρωπον, ὥστε καὶ καλοῦντος ἀκούειν, καὶ βαδίζοντί ποι παρακολουθεῖν, ὄχλου τε καὶ θορύβου παντὸς ἀνέχεσθαι στρατιωτικοῦ, κατὰ μικρὸν ἐξεθείαζε, φάσκων Ἀρτέμιδος δῶρον τὴν ἔλαφον εἶναι· καὶ πολλὰ τῶν ἀδήλων ἐπεφήμιζεν αὐτῷ δη-

sitatem ratione. Mihi vero sinceram virtutem atque ratione recta firmatam nulla unquam fortuna videatur deflectere in contrarium posse. Alioquin tamen probos animos & ingenia magnis calamitatibus afflicta indigne, haud mirum sit invertere cum casu mores. Quod accidisse existimo Sertorio, & destituente eum fortuna rebus exacerbatum evasisse adversus perfidos crudelem.

At tunc evocantibus eum Lusitanis decessit ex Africa, ac dux cum libera potestate delectum eorum habuit, finitimam Hispaniam subegit, plerisque præsertim ob placidos ejus mores strenuitatemque se ei conjungentibus: quædam etiam ipse est vafre ad imposturam & illecebras commentatus. Primum autem omnium illud de cerva, quod hujuscemodi erat: Spanus, vir popularis, ex iis qui degebant ruri, incidens in cervam, quæ recens pepererat & venatorem fugiebat, non est illam assequutus, sed hinnulum coloris raritate obstupefactus (totus enim erat candidus) insequutus cepit. Agebat forte illis in locis Sertorius. Cui, quum quicquid sibi ex venatione aut ex agri fœtibus offerretur muneris exciperet comiter, & benigne remuneraret se colentes, donavit ille hinnulum, & accepit eum Sertorius. Fuit hic ei primum modice gratus: quem quum tempore cicurasset & domasset, adeo ut audiret vocantem, & pergentem aliquo sequeretur, turbamque & strepitum omnem ferret castrensem, traxit rem paulatim in religionem, donum Dianæ cervam ferens, multaque arcana jactabat ab ea se edo-

δηλοῦν, γινώσκων εὐάλωτον εἰς δεισιδαιμονίαν εἶναι φύσει τὸ βαρβαρικόν. ὁ δὲ καὶ προσετεχνᾶτο τοιάδε· γνοὺς γὰρ ἂν κρύφα τοὺς πολεμίους ἐμβεβληκότας ποι τῆς ὑπ' αὐτὸν χώρας, ἢ πόλιν ἀφιστάντας, προσεποιεῖτο τὴν ἔλαφον αὐτῷ κατὰ τοὺς ὕπνους διειλέχθαι, κελεύουσαν ἐν ἑτοίμῳ τὰς δυνάμεις ἔχειν. αὖθις δὲ νίκην τινὰ τῶν ἑαυτοῦ στρατηγῶν ἀκούσας, τὸν μὲν ἄγγελον ἔκρυπτε, τὴν δὲ ἔλαφον ἐστεφανωμένην ἐπ' εὐαγγελίοις προῆγεν, εὐθυμεῖσθαι παρακαλῶν, καὶ τοῖς Θεοῖς θύειν, ὡς ἀγαθόν τι πευσομένους.

Οὕτω δὲ χειροήθεις ποιησάμενος αὐτούς, ἐχρῆτο πρὸς ἅπαντα μετριωτέροις, οὐχ ὑπ' ἀνδρὸς ἀλλοδαποῦ λογισμῶν, ἀλλ' ὑπὸ Θεοῦ στρατηγεῖσθαι πειθομένους· ἅμα καὶ τῶν πραγμάτων ἐπιμαρτυρούντων τῷ παρὰ λόγον τὴν δύναμιν αὐξάνεσθαι. δισχιλίοις γὰρ ἑξακοσίοις οὓς ὠνόμαζε Ῥωμαίους, συμμίκτοις δὲ ἑπτακοσίοις Λιβύων εἰς Λυσιτανίαν αὐτῷ συνδιαβᾶσιν, πελτασταῖς τετρακισχιλίοις Λυσιτανῶν καὶ ἱππεῖς ἑπτακοσίους προσλαβών, ἐπολέμει τέτταρσι Ῥωμαίων στρατηγοῖς· ὑφ' οἷς ἦσαν πεζῶν μὲν δώδεκα μυριάδες, ἱππεῖς δὲ ἑξακισχίλιοι, τοξόται δὲ καὶ σφενδονῆται δισχίλιοι, πόλεις δὲ ἀναρίθμητοι τὸ πλῆθος, αὐτὸς εἴκοσι τὰς πάσας ἐν ἀρχῇ κεκτημένος. ἀλλ' ὅμως ἀσθενὴς οὕτω καὶ μικρὸς ἀρξάμενος, οὐ μόνον ἐθνῶν ἐκράτησεν μεγάλων, καὶ πόλεις εἷλεν πολλάς, ἀλλὰ καὶ τῶν ἀντιστρατηγῶν, Κότταν μὲν ἐν τῷ περὶ τὴν Μελλαρίαν πορθμῷ κατεναυμάχησέν που· Φίδιον δέ, τὸν ἄρχοντα τῆς Βαιτικῆς, περὶ τὸν Βαῖτιν ἐτρέψατο, δισχιλίους ἀποκτείνας Ῥωμαίων. Δομέτιον

edoceri. Quippe barbaros ſciebat natura in ſuperſtitionem eſſe proclives. Auxit hanc opinionem ille alio aſtu. Quum incurriſſe hoſtes occulte reſciviſſet aliquo in provinciam ſuam, aut oppidum ad defectionem ſolicitaſſe, cervam fingebat ſe in ſomnis alloquutam monuiſſe, ut paratas haberet copias. Alias intellecta legatorum ſuorum victoria, nuntium abſcondebat, ac cervam producebat ob fauſtum nuntium coronatam, gratulari jubens & Diis honorem habere, quod brevi aliquid eſſent audituri boni.

Ita manſuefactis uſus eſt ubique obſequentioribus, quod arbitrarentur non ab hominis ſe conſiliis peregrini, ſed a divino duce regi. Quod confirmabant res ipſæ ſtupendo virium incremento. Siquidem duobus millibus ſexcentis, quos nominabat Romanos, collectitiis Afris ſeptingentis, qui eum ſunt in Luſitaniam ſequuti, cetratorum Luſitanorum quatuor millibus adjunctis, & equitibus ſeptingentis, bellum geſſit cum quatuor Romanis imperatoribus, qui ſub ſignis habebant centum viginti millia peditum, ſex millia equitum, ſagittariorum & funditorum duo millia, cum urbibus innumerabilibus, quum viginti ſolum in univerſum ipſe initio teneret. Attamen viribus auſpicatus tam infirmis & exiguis, non modo magnas gentes domuit, & urbes multas redegit in poteſtatem, verum etiam ex adverſarum partium ducibus Cottam in freto apud Mellariam pugna navali contudit: Aufidium, qui Bæticam cum imperio obtinebat, ad Bætin fudit fugavitque, cæſis duobus millibus Romanorum: Domitium

μέτιον δὲ καὶ Λούσιον, ἀνθύπατον ὄντα τῆς ἑτέρας Ἰβηρίας, διὰ τοῦ ταμίου καταγωνισάμενος, καὶ Θωράνιον ἄλλον ἡγεμόνα τῶν ὑπὸ Μετέλλου πεμφθέντων μετὰ δυνάμεως ἀνεῖλεν. αὐτόν τε τὸν Μέτελλον, ἄνδρα Ῥωμαίων ἐν τοῖς τότε μέγιστον καὶ δοκιμώτατον, οὐκ ὀλίγοις σφάλμασι περιβαλὼν, εἰς τοσαύτην ἀπορίαν κατέστησεν, ὥστε Λούκιον μὲν Λόλλιον ἐκ τῆς περὶ Ναρβῶνα Γαλατίας ἐλθεῖν αὐτῷ βοηθὸν, Πομπήϊον δὲ Μάγνον ἐκ Ῥώμης κατὰ τάχος ἀποσταλῆναι μετὰ δυνάμεως. οὐ γὰρ εἶχεν ὁ Μέτελλος ὅ, τι χρήσαιτο προσπολεμῶν ἀνδρὶ τολμητῇ, πάσης ἐξαναδυομένῳ φανερᾶς μάχης, πᾶσαν δὲ μεταβαλλομένῳ μεταβολὴν εὐσταλίᾳ καὶ κουφότητι τῆς Ἰβηρικῆς στρατιᾶς, αὐτὸς ὁπλιτικῶν καὶ νομίμων ἀσκητὴς γεγονὼς ἀγώνων, καὶ στρατηγὸς ἐμβριθοῦς καὶ μονίμου φάλαγγος, ὤσασθαι μὲν εἰς χεῖρας ἐλθόντας πολεμίους καὶ καταβαλεῖν ἄριστα γεγυμνασμένης, ὀρειβατεῖν δὲ καὶ συνηρτῆσθαι διώξεσι καὶ φυγαῖς ἀπαύστοις ἀνθρώπων ὑπηνεμίων, καὶ λιμὸν ἀνέχεσθαι καὶ δίαιταν ἄπυρον καὶ ἄσκηνον, ὥσπερ ἐκεῖνοι, μὴ δυναμένης.

Ἔτι δὲ αὐτὸς μὲν ἤδη πρεσβύτερος ἦν, καί τι καὶ πρὸς ἀνειμένην ἤδη καὶ τρυφερὰν δίαιταν ἐκ πολλῶν ἀγώνων καὶ μεγάλων ἐνδεδωκώς· τῷ δὲ Σερτωρίῳ συνειστήκει πνεύματος ἀκμαίου γέμοντι, καὶ κατεσκευασμένον ἔχοντι θαυμασίως τὸ σῶμα ῥώμῃ καὶ τάχει καὶ λιτότητι. μέθης μὲν γὰρ οὐδὲ ῥαθυμῶν ἥπτετο· πόνους δὲ μεγάλους καὶ μακρὰς ὁδοιπορίας καὶ συνεχεῖς ἀγρυπνίας ὀλίγοις εἴθιστο καὶ φαύλοις ἀρκούμενος σιτίοις διαφέρειν. πλάνοις δὲ χρώμενος ἀεὶ καὶ κυνηγεσίοις, ὁπότε σχολάζοι, πάσης διεκδύσεως, φεύγοντι, καὶ διώ-

tium & Luſium, alterius Hiſpaniæ proconſulem, per quæſtorem ſuum ſuperavit: Thoranium Metelli legatum cum exercitu oppreſſit. Ipſum etiam Metellum, ſummum illius memoriæ virum & clariſſimum, non paucis implicatum offenſionibus, ad eas redegit anguſtias, ut L. Lollius e Gallia Narbonenſi cogeretur ſuppetias ei venire, ac Pompeius Magnus illuc cum exercitu ab urbe propere mitteretur. Neque enim expedire Metellus poterat, qua ratione bellum gereret cum homine audace, qui omni ſe explicaret aperta pugna, atque in omnem ſpeciem verteret expedito & levi Hiſpano milite: quum ipſe in ſtatariis eſſet & legitimis pugnis verſatus, graviſque & ſtabilis dux agminis, quod impellere conferentes ſigna hoſtes ac proſternere optime didiciſſet: montes vero ſcandere & tergis inhærere inceſſanter fugientium hominum pedibus velocium, famem tolerare, vivere ſine pane & tentoriis, ut illi, non valeret.

Ad hæc erat ipſe jam gravior annis, ſeque ex multis & magnis certaminibus ad remiſſam tranſtulerat & delicatam vitam. Cum Sertorio autem committebatur, vividorum pleno ſpirituum, cui mirifice præparatum corpus erat robore, agilitate, ſobrietate. Vinolentiæ vero ne per otium quidem ſe dedebat. Ingentes labores, prolixa itinera, perpetuas vigilias anguſto & vili contentus victu aſſueverat ferre. Aſſidue vagans & venans, ubi per otium liceret, quemadmodum eludendus fugienti ſibi, quemadmodum cingendus inſectanti hoſtis eſſet,

διώκοντι, κυκλώσεως, ἀβάτων τε καὶ βασίμων τόπων ἐμπειρίαν προσειλήφει. διὸ τοῦ μὲν εἰργομένου μάχης, ὅσα νικώμενοι πάσχουσιν ἄνθρωποι, βλάπτεσθαι συνέβαινεν· ὁ δὲ τῷ φεύγειν εἶχε τὰ τῶν διωκόντων. καὶ γὰρ ὑδρείας ἀπέκοπτε, καὶ σιτολογίας εἶργε, καὶ προϊόντι μὲν ἐμποδὼν ἦν, ἐκίνει δὲ ἱδρυνθέντα· πολιορκοῦντι δὲ ἄλλους ἐπιφαινόμενος, ἀντεπολιόρκει ταῖς τῶν ἀναγκαίων ἀπορίαις. ὥστε τοὺς στρατιώτας ἀπαγορεύειν, καὶ τοῦ Σερτωρίου μονομαχῆσαι προκαλουμένου τὸν Μέτελλον, βοᾶν καὶ κελεύειν μάχεσθαι στρατηγὸν στρατηγῷ, καὶ Ῥωμαῖον Ῥωμαίῳ, ἀναδυόμενον δὲ χλευάζειν. ὁ δὲ τούτων μὲν, εὖ ποιῶν, κατεγέλα· στρατηγοῦ γὰρ, ὡς ἔφη Θεόφραστος, δεῖ θάνατον ἀποθνήσκειν τὸν στρατηγὸν, οὐ πελταστοῦ τοῦ τυχόντος. ὁρῶν δὲ τοὺς Λαγγοβρείτας οὐ μικρὰ τῷ Σερτωρίῳ συλλαμβανομένους, δίψῃ δὲ ὄντας εὐαλώτους, (ἓν γὰρ ἦν αὐτοῖς φρέαρ ἐν τῇ πόλει, τῶν δ' ἐν τοῖς προαστείοις καὶ παρὰ τὰ τείχη ναμάτων ὁ πολιορκῶν ἐπικρατεῖν ἔμελλεν) ἧκεν ἐπὶ τὴν πόλιν, ὡς ἡμέραις δυσὶν συναιρήσων τὴν πολιορκίαν, ὕδατος οὐκ ὄντος. διὸ καὶ πέντε ἡμερῶν ἐπιφέρεσθαι σιτία μόνον προείρητο τοῖς στρατιώταις. ὁ Σερτώριος δ' ὀξέως βοηθήσας, ἐκέλευσε δισχιλίους ἀσκοὺς ὕδατος ἐμπλῆσαι, καθ' ἕκαστον ἀσκὸν ἀργύριον συχνὸν τάξας. καὶ πολλῶν μὲν Ἰβήρων, πολλῶν δὲ Μαυρουσίων ὑφισταμένων τὸ ἔργον, ἐπιλεξάμενος ἄνδρας εὐρώστους ἅμα καὶ ποδώκεις, ἔπεμψε διὰ τῆς ὀρεινῆς, κελεύσας, ὅταν παραδῶσι τοὺς ἀσκοὺς τοῖς ἐν τῇ πόλει, τὸν ἄχρηστον ὑπεξαγαγεῖν ὄχλον, ὅπως ἐξαρκῇ τοῖς ἀμυνομένοις τὸ ποτόν. ἐκπύστου δὲ τούτου γενομένου πρὸς τὸν Μέ-

τελλον,

ſet, locorumque aviorum & patentium comparaverat experimentum. Quapropter Metello, non facta pugnandi copia, quicquid victi patiuntur incommodi inferebatur, Sertorius vero commoda in fugiendo habebat inſectantium. Aquationibus enim arcebat eum, frumentationibus prohibebat, progredienti obſiſtebat, infeſtabat ſedentem, obſidenti alios imminens invicem obſidebat cum commeatus inopia; ut milites fatiſcerent, & Sertorio Metellum ut congrederetur unus ſecum provocante, occlamarent juberentque, dux cum duce, Romanus cum Romano ut congrederetur, probriſque proſcinderent detrectantem, quos merito deriſit Metellus. Ducis enim (ut ait Theophraſtus) obeunda mors duci eſt, non gregarii militis. Advertens autem Lagobritas, qui non parum præſidii Sertorio ferebant, facile capi ſiti poſſe, (nam unicus in urbe erat puteus: rivuli autem & fontes qui in ſuburbiis extabant & ſub mœnibus, in poteſtate futuri erant obſidentis) ad oppidum movit, biduo ſperans ſe capturum aquæ penuria urbem. Quare edictum fuerat militibus, ut quinque tantum dierum cibaria ſecum ferrent. At Sertorius huic rei providere maturans, bis mille utres aqua jubet impleri, magno præmio in ſingulos utres pronuntiato. Quod frequentes Hiſpani, frequentes item Mauri ſuſcipiunt, ex quibus delectos viros valentes pariter & pernices mittit per montana, edicitque iis ubi tradiderint utres illis qui tenent urbem, inutilem turbam ut educant, quo potus affatim ſit oppidi defenſoribus. Quam rem Metellus, ut

fuit

τελλον, ἤχθετο μὲν, ἤδη τὰ ἐπιτήδεια τῶν στρατιωτῶν ὑπαναλωκότων· ἐξέπεμψε δὲ ἐπὶ σιτολογίαν Ἀκυῖνον ἑξακισχιλίων ἡγούμενον. αἰσθόμενος δὲ ὁ Σερτώριος, καὶ προλοχίσας τὴν ὁδὸν, ἐπανερχομένῳ τῷ Ἀκυΐνῳ τρισχιλίους ἄνδρας ἔκ τινος συσκίου χαράδρας ἐπανίστησιν. αὐτὸς δὲ κατὰ στόμα προσβαλὼν τρέπεται, καὶ τοὺς μὲν διαφθείρει, τοὺς δὲ λαμβάνει ζῶντας. Ἀκυῖνον δὲ μετὰ τῶν ὅπλων καὶ τὸν ἵππον ἀποβεβληκότα δεξάμενος Μέτελλος, αἰσχρῶς ἀπῄει, πολλὰ χλευαζόμενος ὑπὸ τῶν Ἰβήρων.

Ἔκ τε δὴ τούτων θαυμαζόμενος ἠγαπᾶτο παρὰ τοῖς βαρβάροις ὁ Σερτώριος, καὶ ὅτι Ῥωμαϊκοῖς ὁπλισμοῖς καὶ τάξεσι καὶ συνθήμασιν, ἀφαιρῶν τὸ μανικὸν καὶ θηριῶδες αὐτῶν τῆς ἀλκῆς, ἀντὶ λῃστείας μεγάλης στρατὸν ἐποιεῖτο τὴν δύναμιν. ἔτι δ' ἀργύρῳ χρώμενος ἀφειδῶς καὶ χρυσῷ κράνη τε κατεκόσμει, καὶ θυρεοὺς αὐτῶν διεποίκιλλεν, καὶ χλαμύσιν ἀνθιναῖς καὶ χιτῶσι χρῆσθαι διδάσκων, καὶ χορηγῶν εἰς ταῦτα καὶ συμφιλοκαλῶν ἐδημαγώγει. μάλιστα δὲ εἷλεν αὐτοὺς τὰ τῶν παίδων. τοὺς γὰρ εὐγενεστάτους ἀπὸ τῶν ἐθνῶν συναγαγὼν εἰς Ὄσκαν πόλιν μεγάλην, διδασκάλους ἐπιστήσας Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν μαθημάτων, ἔργῳ μὲν ἐξωμηρεύσατο, λόγῳ δὲ ἐπαίδευεν, ὡς ἀνδράσι γενομένοις πολιτείας τε μεταδώσων καὶ ἀρχῆς. οἱ δὲ πατέρες ἥδοντο θαυμαστῶς, τοὺς παῖδας ἐν περιπορφύροις ὁρῶντες μάλα κοσμίως φοιτῶντας εἰς τὰ διδασκαλεῖα, καὶ τὸν Σερτώριον ὑπὲρ αὐτῶν μισθοὺς τελοῦντα, καὶ πολλάκις ἀποδείξεις λαμβάνοντα, καὶ γέρα τοῖς ἀξί-

fuit ad se delata, moleste tulit, quod deficerent jam necessaria milites. Itaque Aquinum cum sex millibus militum frumentatum mittit. Id sentiens Sertorius, insidet viam occulte, atque in redeuntem Aquinum tria millia militum ex nemoroso torrentis alveo immittit. Ipse in frontem incurrens profligat eos, partim occidit, partim vivos capit. Metellus Aquino recepto qui cum armis etiam equum amiserat, fœde solvit obsidionem, multis convitiis ab Hispanis laceratus.

Hinc Sertorium habebant in admiratione & amore prosequebantur barbari, præterea quod Romanis armis, ordinibus, signis, detrahens ipsis fiduciam illam virium insanam & belluinam, pro magna latronum manu in formam exercitus redegisset copias suas. Jam argento affatim præbito & auro galeas eorum exornavit, & scuta variis distinxit ornamentis, chlamydesque pictas & tunicas usurpare eos docens, atque in id suppeditans & serviens illorum gloriæ, influebat in eorum animos. Præcipue cepit eos puerorum disciplina. Nam ex parentibus sibi gentibus nobilissimam juventutem in Oscam amplam urbem contraxit, iisque doctores præfecit literarum Græcarum & Latinarum. Ita illos revera obsides habebat, verbo erudiebat, ostendens, ubi crevissent, civitate Romana eos donaturum se, atque ad honores provecturum. Quorum genitores mire delectabantur, quod filios conspicerent prætextatos, decore ad ludum literarium commeantes, pendentem pro his salarium Sertorium, crebro periculum de eorum profectibus

ἀξίοις νέμοντα, καὶ τὰ χρυσᾶ περιδέραια δωρούμενον, ἃ Ῥωμαῖοι βούλλας καλοῦσιν. ἔθους δ' ὄντος Ἰβηρικοῦ, τοὺς περὶ τὸν ἄρχοντα τεταγμένους συναποθνήσκειν αὐτῷ πεσόντι, καὶ τοῦτο τῶν ἐκεῖ βαρβάρων κατάσπεισιν ὀνομαζόντων, τοῖς μὲν ἄλλοις ἡγεμόσιν ὀλίγοι τῶν ὑπασπιστῶν καὶ τῶν ἑταίρων, Σερτωρίῳ δὲ πολλαὶ μυριάδες ἀνθρώπων κατεσπεικότων ἑαυτοὺς ἠκολούθουν. λέγεται δὲ πρός τινι πόλει τροπῆς γενομένης, καὶ τῶν πολεμίων ἐπικειμένων, τοὺς Ἴβηρας ἀμελήσαντας αὑτῶν, τὸν Σερτώριον σώζειν, καὶ τοῖς ὤμοις ἐπαραμένους, ἄλλους πρὸ ἄλλων, ἀνακουφίσαι πρὸς τὰ τείχη· γενομένου δ' ἐν ἀσφαλεῖ τοῦ ἄρχοντος, οὕτω τρέπεσθαι πρὸς φυγὴν ἕκαστον αὐτῶν.

Οὐ μόνον δὲ τοῖς Ἴβηρσιν ἦν ποθεινὸς, ἀλλὰ καὶ τοῖς ἐξ Ἰταλίας στρατευομένοις. Περπέννα γοῦν Οὐέντωνος, ἀπὸ τῆς αὐτῆς Σερτωρίῳ στάσεως, εἰς Ἰβηρίαν παραγενομένου μετὰ χρημάτων πολλῶν καὶ μεγάλης δυνάμεως, ἰδίᾳ δὲ καθ' ἑαυτὸν ἐγνωκότος πολεμεῖν πρὸς τὸν Μέτελλον, ἐδυσχέραινον οἱ στρατιῶται, καὶ πολὺς ἦν τοῦ Σερτωρίου λόγος ἐν τῷ στρατοπέδῳ, τὸν Περπένναν ἀνιῶν εὐγενείᾳ καὶ πλούτῳ τετυφωμένον. οὐ μὴν ἀλλ' ἐπεὶ Πομπήϊος ἠγγέλλετο τὴν Πυρήνην ὑπερβάλλων, ἀναλαβόντες οἱ στρατιῶται τὰ ὅπλα, καὶ τὰ σημεῖα τῶν τάξεων ἀναρπάσαντες, κατεβόησαν τοῦ Περπέννα, κελεύοντες ὡς τὸν Σερτώριον ἄγειν αὐτούς· εἰ δὲ μὴ, καταλιπόντες ἐκεῖνον ἠπείλουν αὐτοὶ βαδιεῖσθαι πρὸς ἄνδρα σώζεσθαι καὶ σώζειν δυνάμενον. συγχωρήσας δὲ ὁ Περπέννας ἤγαγεν αὐτοὺς, καὶ συνέμιξε τῷ Σερτωρίῳ, πεντήκοντα καὶ τρεῖς ἔχων σπείρας.

Σερ-

ctibus facientem, præmiaque meritis tribuentem, & aureas bullas donantem. Erat autem in Hispania mos, ut cohors prætoria una cum cadente imperatore mortem obiret, quod vocabant illius regionis barbari devotionem. Cæteros imperatores pauci stipatores & amici, Sertorium multa millia mortalium, qui sese devoverant cum eo morituros, sequebantur. Fama est, quum prope oppidum quoddam essent fusi, instantibus hostibus, sui immemores Hispanos, ut Sertorium servarent, elaborasse, humerisque eum sustollentes alios præ aliis extulisse in murum. Collocato jam in tuto imperatore, tum denique fugæ quemque consuluisse.

Neque Hispanis tantum acceptus fuit, verum etiam militibus Italicis. Quippe quum Perpenna Vento, qui partium Sertorii erat, in Hispaniam cum vi magna pecuniæ atque ingenti manu advenisset, ac bellum statuisset cum Metello per se gerere, frendebant milites, multusque erat in ore militum Sertorius, quod quidem Perpennam nobilitate inflatum & opibus mordebat. Ubi vero Pompeium tandem allatum est saltum Pyrenæum transcendere, milites captis armis & signis legionum sublatis, obstrepuerunt Perpennæ, jubentes ut ad Sertorium duceret: sin minus, relicturos ipsum, atque ad Sertorium, qui & se & alios servare nosset, denuntiarunt se profecturos. Quorum postulatis cedens, castra Perpenna movit, & Sertorio se cum quinquaginta tribus cohortibus conjunxit.

Ser-

Σερτώριος δὲ, τῶν ἐντὸς Ἴβηρος αὐτῷ ποταμοῦ πάντων ὁμοῦ τι προστιθεμένων, πλήθει μὲν ἦν μέγας· ἐπέρρεον γὰρ ἀεὶ καὶ συνεφέροντο πανταχόθεν πρὸς αὐτόν· ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος, ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων, καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. ὡς δὲ ἑώρα χαλεπαίνοντας καὶ βιαζομένους ἀκαίρως, προήκατο καὶ περιεῖδε συμπλεκομένους τοῖς πολεμίοις· ἐν οἷς οὐ παντελῶς συντριβέντας, ἀλλὰ πληγὰς λαβόντας, ἤλπιζε πρὸς τὰ λοιπὰ κατηκόους μᾶλλον ἕξειν. ὧν δὲ εἴκαζε γινομένων, ἐπιβοηθήσας, ἀνέλαβέν τε φεύγοντας αὐτοὺς, καὶ κατέστησεν ἀσφαλῶς εἰς τὸ στρατόπεδον. βουλόμενος δὲ καὶ τὴν ἀθυμίαν ἀφελεῖν, μεθ' ἡμέρας ὀλίγας πάνδημον ἐκκλησίαν ἀθροίσας, ἵππους εἰσήγαγεν δύο, τὸν μὲν, ἀσθενῆ τελέως, καὶ πρεσβύτερον ἤδη, τὸν δὲ ἕτερον, εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρὸν, θαυμαστὴν δὲ πυκνότητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. παρειστήκει δὲ τῷ μὲν ἀσθενεῖ μέγας ἀνὴρ καὶ ῥωμαλέος, τῷ δὲ ἰσχυρῷ μικρὸς ἕτερος, καὶ τὴν ὄψιν εὐκαταφρόνητος. σημείου δὲ δοθέντος αὐτοῖς, ὁ μὲν ἰσχυρὸς, ἀμφοτέραις ταῖς χερσὶν τοῦ ἵππου τὴν κέρκον, ὡς ἀπορρήξων, εἷλκε βίᾳ πρὸς αὐτόν· ὁ δὲ ἀσθενὴς, τοῦ ἰσχυροῦ κατὰ μίαν τῶν τριχῶν ἐξέτιλλεν. ἐπεὶ δὲ ὁ μὲν, οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλωτα τοῖς θεωμένοις παρασχὼν, ἀπεῖπεν, ὁ δὲ ἀσθενὴς, ἀκαρεῖ καὶ σὺν οὐδενὶ πόνῳ ψιλὴν τριχῶν ἀπέδειξε τὴν οὐρὰν, ἀναστὰς ὁ Σερτώριος, Ὁρᾶτε, εἶπεν, ἄνδρες σύμμαχοι, τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν, καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων, ἐνδιδόντα τῷ κατὰ μικρόν. ἄμαχον

Sertorius autem, quum cuncti prope citra Iberum fluvium Hispani transirent ad partes ejus, numero quidem ingens erat: siquidem confluebant coacervabanturque ad eum undique; verum confusione barbarica & ferocia clamantium, adoriretur hostes, & moram non ferentium commotus, studebat eos verbis placare. Ut vero frementes vidit & importune instantes, connivit permisitque signa ut conferrent cum hostibus: ubi non semel oppressos, sed castigatos speravit in posterum magis dicto sibi audientes fore. Quum res, ut conjecerat, cecidisset, subvenit eis, effusosque collegit, ac reduxit salvos in castra. Quibus ut detraheret animi mæstitiam, concione advocata totius exercitus, duos equos introduxit, infirmum prorsus alterum & annis jam confectum, alterum ingentem & validum, caudæque densitate & pulchritudine setarum insignem. Assistebat infirmo vir ingens & robustus, valenti alter pusillus & nulla specie roboris. Signo his dato, fortis ille caudam pariter ambabus manibus quasi evulsurus eam ad se magna traxit vi, imbecillus singulatim pilos carpsit. Quum igitur ille ingenti labore nequicquam confecisset se, excitatoque magno spectatorum risu fatigatus esset, imbecillus vero brevi spatio citra negotium denudasset caudam fortis equi setis, exsurgens Sertorius, Cernitisne, inquit, socii, perseverantia plus effici quam violentia, multaque quæ simul opprimi nequeunt, atteri paulatim? Est enim

χον γὰρ τὸ ἐνδελεχές, ᾧ πᾶσαν ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δὲ ἀκαίρως ἐπειγομένοις πολεμιώτατος. τοιαῦτα μὲν ὁ Σερτώριος ἑκάστοτε πλέκων παραμύθια τοῖς βαρβάροις, διεπαιδαγώγει τὸν καιρόν.

Οὐδενὸς δὲ ἧττον αὐτοῦ τῶν πολεμικῶν ἔργων ἐθαυμάσθη τὸ περὶ τοὺς λεγομένους Χαρακιτανούς. εἰσὶ δὲ δῆμος ὑπὲρ τὸν Ταγώνιον ποταμόν, οὐκ ἄστεσιν οὐδὲ κώμαις ἐνοικοῦντες, ἀλλὰ λόφος ἐστὶν εὐμεγέθης καὶ ὑψηλός, ἄντρα καὶ κοιλώματα πετρῶν βλέποντα πρὸς βορέαν περιέχων. ἡ δ' ὑποκειμένη πᾶσα χώρα πηλὸν ἀργιλώδη καὶ γῆν ὑπὸ χαυνότητος εὔθρυπτον ἀναδίδωσιν, οὔτε τοὺς ἐπιβαίνοντας ἀνέχεσθαι καρτερὰν, καὶ μικρὸν ἁψαμένων, ὥσπερ ἄσβεστον ἢ τέφραν ἐπὶ πολὺ διαχεομένην. τῶν οὖν βαρβάρων, ὁσάκις φόβῳ πολέμου καταδύντες εἰς τὰ σπήλαια, καὶ τὴν λείαν εἴσω συναγαγόντες ἀτρεμοῖεν, ὄντων ἀλήπτων ὑπὸ βίας· τὸν δὲ Σερτώριον, τότε διακεκριμένον ἀπὸ τοῦ Μετέλλου, καὶ καταστρατοπεδεύσαντα παρὰ τὸν λόφον ὑπερφρονούντων, ὡς κεκρατημένον, εἴτε ὑπ' ὀργῆς ἐκεῖνος, εἴτε τὸ μὴ δοκεῖν φεύγειν βουλόμενος, ἅμ' ἡμέρᾳ προσελάσας, κατεσκέπτετο τὸν τόπον. οὐδαμόθεν δὲ προσβολὴν ἔχοντος, ἄλλως δ' ἀλύων, καὶ κεναῖς χρώμενος ἀπειλαῖς, ὁρᾷ τῆς γῆς ἐκείνης κονιορτὸν ἄνω πολὺν ὑπὸ τοῦ πνεύματος ἐπ' αὐτοὺς φερόμενον. τέτραπται μὲν γὰρ, ὡς ἔφην, τὰ σπήλαια πρὸς βορέαν· ὁ δὲ ἀπὸ τῆς ἄρκτου ῥέων ἄνεμος, ὃν καικίαν ἔνιοι καλοῦσιν, ἐπέχει μάλιστα, καὶ πλεῖστός ἐστι τῶν ἐκεῖ πνευμάτων, ἐξ ὑγρῶν πεδίων καὶ νιφοβόλων συμφυσώ-

enim assiduitatis vis invicta, qua omnes invadens tempus evertit & conficit vires, placideque assistit iis qui consilio ejus operiuntur opportunitatem: at intempestive urgentibus est inimicissimum. Talia contexens Sertorius in dies barbaris solamina, accommodabat se temporum articulis.

Quod vero adversus Characitanos gessit, nulli concessit bellico ejus facto. Populus est flumini Tago impositus. Non oppida incolunt nec vicos, sed ingens est collis & excelsus, antra speculsque in petris aquiloni objecta obtinens. Subjectus ager omnis limum argillosum & solum habet ob fungositatem friabile, quod nec ingredientes sustinere valeat, & si paululum contrectetur, calcis vivæ vel cineris modo late dispergatur. Igitur, quia barbari, quoties belli metu in illas speluncas se abdentes, præda eo congesta, conquiescerent, ab omni erant vi tuti, & Sertorium tunc a Metello semotum & confidentem circa eum collem, ut victum despiciebant; sive ira exarsit, sive ne fugere videretur, primo diluculo advectus eo & contemplatus est locum. Qui quum nulla parte præberet accessum, nequicquam huc illuc se ferens, animo languido atque inanibus utens minis, vim pulveris videt a vento in illos ex terra sustolli. Speluncæ enim in septentrionem (ut dixi) sunt obversæ. Qui vero ex septentrionibus spirat ventus, quem Cæciam aliqui nominant, dominatur ibi maxime, & frequentissimus inter ventos illic est, qui ex uliginosis campis & nivosis collectus monti-bus

σώματος ὁρῶν. τότε δὲ καὶ θέρους ἀκμάζοντος ἰσχύων καὶ τρεφόμενος τῇ τῶν ὑπαρκτίων ἀνέσει πάγων, ἥδιστος ἐπέπνει, καὶ κατεῖχεν αὐτούς τε καὶ βοτὰ δι' ἡμέρας ἀναψύχων. ταῦτα δὴ συλλογιζόμενος ὁ Σερτώριος, καὶ παρὰ τῶν ἐγχωρίων ἀκούων, ἐκέλευσε τοὺς στρατιώτας, τῆς ἀραιᾶς καὶ τεφρώδους γῆς ἐκείνης ἀποσπῶντας καὶ παραφέροντας κατ' ἀντικρὺ τοῦ λόφου θῖνα ποιεῖν· ἣν οἱ βάρβαροι χῶματος ἐπ' αὐτοὺς εἶναι κατασκευὴν ὑπονοοῦντες, ἐχλεύαζον. τότε μὲν οὖν ἐργασαμένους τοὺς στρατιώτας ἄχρι νυκτὸς ἀπήγαγεν, ἅμα δὲ ἡμέρᾳ, πρῶτον μὲν αὔρα μαλακὴ προσανέπνει, διακινοῦσα τῆς συμπεφορημένης γῆς τὸ λεπτότατον, ὥσπερ ἄχνην, σκιδνάμενον· ἔπειτα σοβαροῦ τοῦ καικίου πρὸς τὸν ἥλιον ἐκχεομένου, καὶ τῶν λόφων κονιωμένων, ἐπιστάντες οἱ στρατιῶται τόν τε χοῦν ἀνέτρεπον διὰ βάθους, καὶ τὸν πηλὸν ἔκοπτον. ἔνιοι δὲ καὶ τοὺς ἵππους ἄνω καὶ κάτω διεξήλασαν, ἀνιστάντες τὸ χαύνωμα, καὶ τῇ πνοῇ μετέωρον παραδιδόντες. ὁ δὲ ὑπολαμβάνουσα πᾶν τὸ θρυπτόμενον καὶ κινούμενον ἄνω, προσέβαλλε τοῖς οἰκήμασι τῶν βαρβάρων, κατὰ θύρας δεχομένοις τὸν καικίαν. οἱ δὲ, ἅτε δὴ τῶν σπηλαίων μίαν ἐκείνην ἀναπνοὴν ἐχόντων, ᾗ τὸ πνεῦμα προσέπιπτεν, ταχὺ μὲν ἀπεσκοτοῦντο τὰς ὄψεις, ταχὺ δ' ἀνεπίμπλαντο πνιγώδους ἄσθματος, τραχὺν ἀέρα καὶ πολλῇ κόνει συμπεφυρμένον ἕλκοντες. ὅθεν ἡμέρας δύο μόλις ἀνασχόμενοι, τῇ τρίτῃ παρέδωκαν ἑαυτοὺς, οὐ τοσοῦτον Σερτωρίῳ δυνάμεως, ὅσον δόξης προσθέντες, ὡς τὰ δι' ὅπλων ἀνάλωτα, σοφίᾳ κατεργασαμένῳ.

Μέχρι

bus afflat. At tunc adulta æstate invalescens, septentrionalique colliquescente coalescens glacie, gratissimus adspirabat, illosque & armenta eorum interdiu refocillabat. Id Sertorius animo revolvens atque ab incolis doctus, militibus imperat ut spongiosæ illius & cineritiæ telluris avellant fragmenta, comportataque ex opposito colli in tumulum excitent; quem aggeris barbari esse in se molitionem rati, irridebant eum. Ac tunc quidem, quum ad noctem usque in opere perseverassent milites, reduxit eos in castra. Ubi diluxit, primum mollis aspiravit aura, congestæ terræ levissimum velut scobem movens diffundensque. Mox acri cum sole increbescente vento, quum colles pulvere implerentur, intenti milites cumulum ab imo subruerunt, conciderunque limum. Aliqui equos sursum deorsum egerunt ad excitandam raram tellurem, atque in sublime vento dandam. Qui excipiens quicquid comminutum esset & ferretur in aera, in barbarorum conjiciebat ædificia in Cæciam foribus obversa. Ita barbarorum oculis (nempe speluncæ unum illum spiritus ductum habebant, qua accidebat ventus) cito offusa caligo est, cito suffocante anhelatione correpti sunt, asperam multoque commistam pulvere haurientes auram. Itaque quum ægre duos dies sustinuissent, tertio deditionem fecere, non tantum viribus Sertorium, quantum gloria cumulantes; quod armis inexpugnabilia confecisset consilio.

Μέχρι μὲν οὖν τοῖς περὶ Μέτελλον ἐπολέμει, τὰ πλεῖστα κατευτυχεῖν ἐδόκει, γήρᾳ καὶ φυσικῇ βραδυτῆτι τοῦ Μετέλλου πρὸς ἄνδρα τολμητὴν, καὶ λῃστρικῆς μᾶλλον ἢ στρατιωτικῆς ἡγούμενον δυνάμεως οὐκ ἀναφερομένου· ἐπεὶ δὲ καὶ Πομπηΐῳ τὴν Πυρήνην ὑπερβάλλοντι παραστρατοπεδεύσας, καὶ πᾶσαν ἅμα μὲν διδοὺς, ἅμα δὲ λαμβάνων στρατηγικῶν παλαισμάτων πεῖραν, ἀντιτεχνώμενός τε καὶ φυλαττόμενος πλέον εἶχε, κομιδῇ διεβοήθη μέχρι Ῥώμης, ὡς δεινότατος ὢν πόλεμον μεταχειρίσασθαι τῶν τότε στρατηγῶν. οὐ γάρ τι μικρὸν ἦν τὸ Πομπηΐου κλέος, ἀλλ' ἤνθει τότε μάλιστα πρὸς δόξαν ἐκ τῶν περὶ Σύλλαν ἀνδραγαθημάτων, ἐφ' οἷς καὶ Μάγνος ὑπ' αὐτοῦ, τουτέστι μέγας, ἐπωνομάσθη· τιμῶν τε θριαμβικῶν οὔπω γενειῶν ἔτυχεν. ὅθεν καὶ πολλαὶ τῶν ὑπὸ Σερτωρίῳ πόλεων ἀποβλέψασαι πρὸς αὐτὸν, ὁρμὴν μεταβολῆς ἔσχον, εἶτα ἐπαύσαντο, τοῦ περὶ Λαύρωνα πάθους παρὰ πᾶσαν ἐλπίδα συμβάντος. Σερτωρίου γὰρ πολιορκοῦντος αὐτοὺς, ἧκε Πομπήϊος πανστρατιᾷ βοηθήσων, εἶτα ὁ μὲν λόφον εὖ δοκοῦντα πεφυκέναι κατὰ τῆς πόλεως προληψόμενος, ὁ δὲ τοῦτο κωλύσων ἠπείγετο. τοῦ δὲ Σερτωρίου φθάσαντος, ἐπιστήσας τὸν στρατὸν ὁ Πομπήϊος, ἔχαιρε τῇ συντυχίᾳ, νομίζων ἐν μέσῳ τῆς πόλεως καὶ τῆς αὐτοῦ στρατιᾶς ἀπειλῆφθαι τὸν Σερτώριον· καὶ πρὸς τοὺς Λαυρωνίτας εἰσέπεμψε, θαῤῥεῖν κελεύων, καὶ καθῆσθαι περὶ τὰ τείχη θεωμένους πολιορκούμενον Σερτώριον. ἐκεῖνος δ' ἀκούσας ἐγέλασεν, καὶ τὸν Σύλλα μαθητὴν (οὕτω γὰρ τὸν Πομπήϊον ἐπισκώπτων προσηγόρευεν) αὐτὸς ἔφη δι-

Porro quantisper gessit cum Metello bellum, succedere ei plerumque res videbantur, cum ob senium Metellus & insitam tarditatem adversus virum ferocem, qui latronum potius quam militum exercitum duceret, non valeret assurgere. At postquam trajicienti saltum Pyrenæum Pompeio castra contulit, simulque luctarum bellicarum factum utrinque periculum est, technisque in hostem moliendis & cavendis tulit palmam, fama nominis ejus late est Romam usque dispersa, inter omnes ejus ætatis imperatores cum scientia militari esse præstantissimum. Neque enim laus erat exigua Pompeii, verum tunc ex partis bello Syllano victoriis maxime florebat ad gloriam: quamobrem cognomen a Sylla accepit Magni, honoresque assequutus etiamnum imberbis est triumphales. Unde multæ, quæ parebant Sertorio, urbes Pompeium respicientes, transitionem ad illum moliebantur, mox ex insperato ad Lauronem casu mutaverunt sententiam. Nam quum eam urbem obsideret Sertorius, movit eo omnibus copiis Pompeius ad ferendam ei opem. Inde Sertorius ad occupandum tumulum, qui erat adversus urbem opportunus, alter ad id prohibendum properabat. Quum prævenisset Sertorius, Pompeius admoto exercitu gavisus est ita cecidisse, inter urbem & copias suas Sertorium ratus deprehensum, missisque ad Lauronitas nuntiis, bono animo eos esse jussit, atque in muris considere spectantes Sertorium obsideri. Sertorius eo nuntiato risit, & se discipulum Syllæ (ita enim Pompeium per ludibrium appellabat) ait do-

διδάξειν, ὅτι δεῖ τὸν στρατηγὸν κατόπιν μᾶλλον ἢ κατὰ πρόσωπον βλέπειν. ταῦτα δὲ λέγων, ἅμα τοῖς πολιορκουμένοις ἐπεδείκνυεν ἑξακισχιλίους ὁπλίτας ὑπ' αὐτοῦ καταλελειμμένους ἐπὶ τοῦ προτέρου χάρακος, ὅθεν ὁρμηθεὶς κατειλήφει τὸν λόφον· ὅπως ἐπὶ σφᾶς τρεπομένῳ τῷ Πομπηΐῳ κατὰ νώτου προσπέσοιεν. ὃ δὴ καὶ Πομπήϊος ὀψὲ μάλα συμφρονήσας, ἐπιχειρεῖν μὲν οὐκ ἐθάρρει, κύκλωσιν δεδοικὼς, ἀπολιπεῖν δὲ ᾐσχύνετο κινδυνεύοντας ἀνθρώπους· παρὼν δὲ καὶ καθήμενος ἠναγκάζετο ὁρᾶν ἀπολλυμένους. ἀπέγνωσαν γὰρ αὐτοὺς οἱ βάρβαροι, καὶ τῷ Σερτωρίῳ παρέδωκαν. ὁ δὲ τῶν μὲν σωμάτων ἐφείσατο, καὶ πάντας ἀφῆκεν, τὴν δὲ πόλιν κατέπρησεν, οὐχ ὑπ' ὀργῆς οὐδ' ὠμότητος (ἐλάχιστα γὰρ δοκεῖ θυμῷ χαρίσασθαι τῶν στρατηγῶν οὗτος ἀνὴρ) ἀλλ' ἐπ' αἰσχύνῃ καὶ κατηφείᾳ τῶν τεθαυμακότων Πομπήϊον· ἵνα ᾖ λόγος ἐν τοῖς βαρβάροις, ὅτι παρὼν ἐγγὺς καὶ μονονοὺ θερμαινόμενος τῷ πυρὶ τῶν συμμάχων οὐ προσήμυνεν.

Ἧτται μὲν οὖν τῷ Σερτωρίῳ πλείονες συνέβαινον, αὐτὸν μὲν ἀήττητον ἀεὶ φυλάττοντι, καὶ τοὺς καθ' αὐτὸν, θραυομένῳ δὲ περὶ τοὺς ἄλλους ἡγεμόνας. ἐκ δὲ ὧν ἐπηνωρθοῦτο τὰς ἥττας, μᾶλλον ἐθαυμάζετο νικώντων τῶν ἀντιστρατήγων, οἷον ἐν τῇ περὶ Σούκρωνι μάχῃ πρὸς Πομπήϊον, καὶ πάλιν ἐν τῇ περὶ Τουττίαν, πρός τε τοῦτον ὁμοῦ καὶ Μέτελλον. ἡ μὲν οὖν περὶ Σούκρωνι μάχη λέγεται γενέσθαι τοῦ Πομπηΐου κατεπείξαντος, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. ὁ δὲ Σερτώριος ἐβούλετο μὲν τῷ Πομπηΐῳ, πρὶν ἐπελθεῖν τὸν Μέτελ-

doctum, debere imperatorem plus respicere quam prospicere. Simul ut hæc dixit, ostendit obsessis sex millia peditum ab se relicta in prioribus castris, ex quibus egressus tumulum illum occupaverat, quo versum in se a tergo aggrederentur Pompeium. Quod admodum sero Pompeius animadvertens, quum adoriri Sertorium non auderet, quod metueret ne circumveniretur, relinquere autem periclitantes socios verecundia deterreretur, præsens & desidens spectator esse cogebatur pereuntium. Deplorata enim re sua, barbari in deditionem se Sertorii permisere: quorum vitæ pepercit, dimisitque cunctos. Urbem vero incendit, nulla quidem ira aut crudelitate, (quippe inter imperatores minime indulsit hic vir iræ) sed ad pudorem & opprobrium eorum qui Pompeium in admiratione habebant; ut increbresceret inter barbaros fama, assidentem & tantum non calefactum sociorum incendio non succurrisse illum.

Clades quidem Sertorius complures accepit, quum tamen ubique invictum se eosque quos secum habebat conservaret, verum per alios duces imminutus fuit. Atqui ex reparandis cladibus plus gloriæ obtinuit, quam ex victoriis adversariorum duces; velut in acie Suceronensi contra Pompeium, iterumque adversus hunc & Metellum simul, in Tuttiensi. Pugna ad Sucronem commissa fertur præfestinante Pompeio, ne consors Metellus palmæ esset. Sertorius vero quærebat cum Pompeio ante Metelli adventum con-

τέλλον, διαγωνίσασθαι. παραγαγὼν δὲ, ἑσπέρας ἤδη συνέβαλεν, οἰόμενος ξένοις οὖσι καὶ ἀπείροις τῶν χωρίων τοῖς πολεμίοις τὸ σκότος ἔσεσθαι καὶ φεύγουσιν ἐμπόδιον καὶ διώκουσι. γενομένης δὲ τῆς μάχης ἐν χερσὶν, ἔτυχε μὲν οὐ πρὸς Πομπήϊον αὐτὸς, ἀλλὰ πρὸς Ἀφράνιον ἐν ἀρχῇ συνεστηκὼς, ἔχοντα τὸ ἀριστερὸν, αὐτὸς ἐπὶ τοῦ δεξιοῦ τεταγμένος. ἀκούσας δὲ τῷ Πομπηΐῳ τοὺς συνεστῶτας ὑποχωρεῖν ἐγκειμένῳ καὶ κρατεῖσθαι, τὸ μὲν δεξιὸν ἐπ᾽ ἄλλοις ἐποιήσατο στρατηγοῖς, πρὸς δὲ ἐκεῖνο τὸ νικώμενον αὐτὸς ἐβοηδρόμει. καὶ τοὺς μὲν, ἤδη τρεπομένους, τοὺς δὲ, ἔτι μένοντας ἐν τάξει, συναγαγὼν καὶ ἀναθαῤῥύνας, ἐξ ὑπαρχῆς ἐνέβαλεν τῷ Πομπηΐῳ διώκοντι· καὶ φυγὴν ἐποιήσατο πολλὴν, ὅτε καὶ Πομπήϊος ἐγγὺς ἐλθὼν ἀποθανεῖν, καὶ τραυματισθεὶς, παραλόγως διέφυγεν. οἱ γὰρ μετὰ Σερτωρίου Λίβυες, ὡς ἔλαβον αὐτοῦ τὸν ἵππον χρυσῷ κεκοσμημένον, καὶ φαλάρων ἀνάπλεων πολυτελῶν, ἐν τῷ διανέμεσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλους, προήκαντο τὴν δίωξιν. Ἀφράνιος δὲ τοὺς ἀνθεστῶτας πρὸς αὐτὸν, ἅμα τῷ Σερτώριον ἀπελθεῖν ἐπὶ θάτερα βοηθοῦντα, τρεψάμενος εἰς τὸ στρατόπεδον κατήῤῥαξεν· καὶ συνεισπεσὼν, ἐπόρθει σκότους ἤδη ὄντος, μήτε τὴν Πομπηΐου φυγὴν εἰδὼς, μήτε τοὺς στρατιώτας τῆς ἁρπαγῆς ἐπισχεῖν δυνάμενος. ἐν τούτῳ δὲ Σερτώριος ἀνέστρεφεν, τὰ καθ᾽ αὐτὸν νενικηκώς· καὶ τοῖς Ἀφρανίου δι᾽ ἀταξίαν ταραττομένοις ἐπιπεσὼν, πολλοὺς διέφθειρεν. πρωῒ δὲ αὖθις ἐξοπλισθεὶς ἐπὶ μάχην κατέβαινεν· εἶτα Μέτελλον αἰσθόμενος ἐγγὺς εἶναι, λύσας τὴν τάξιν, ἀνέζευξεν, εἰπὼν,

ἀλλ᾽

conferre arma. Protelans autem præcipiti jam in veſperam die conſeruit certamen, peregrinis & locorum imperitis hoſtibus ratus tam fugientibus quam inſectantibus obſtaculo fore tenebras. Prœlio commiſſo, accidit ut in acie non Pompeio, ſed Afranio eſſet initio oppoſitus, ſiniſtrum cornu obtinenti, ipſe in dextro conſiſtens. Ut vero accepit cum Pompeio congreſſos urgente illo referre gradum, atque eſſe inclinatam aciem, cornu dextro aliis ducibus permiſſo, illi quod laborabat ſuccurrit; atque alios terga dantes, alios adhuc in acie ſtantes conglobat confirmatque, redintegrataque cum inſtante fugientibus Pompeio pugna, effuſam fugam dedit: ubi pene oppreſſus Pompeius & ſaucius præter ſpem tamen eſt elapſus. Siquidem qui in præſidiis Sertorii erant Afri, ut equum illius auro adornatum & pretioſis excultum phaleris ſunt adepti, dum prædam partiuntur & altercantur inter ſe, omiſerunt eum inſequi. Afranius autem adverſum ſibi cornu, ſimul atque alteri parti ſuppetias Sertorius tulit, pepulit atque ad caſtra ruit, unaque cum hoſtibus agmine irrumpens, diripuit ea, quum jam nox eſſet. Erat Pompeii fugæ neſcius, nec revocare milites valebat a præda. Interea revertitur cornu Pompeii fugato Sertorius, qui in Afranii manum incompoſitam turbatamque incidens, ingentem edit ſtragem. Mane denuo armatus educit copias in aciem. Inde ubi prope eſſe ſenſit Metellum, cecinit receptui, ac caſtra movit dicens, Puerum hunc

ego

Digitized by Google

ἀλλ' ἔγωγε τὸν παῖδα τοῦτον, εἰ μὴ παρῆν ἡ γραῦς ἐκείνη, πληγαῖς ἂν νουθετήσας εἰς Ῥώμην ἀπεστάλκειν.

Ἠθύμει δὲ δεινῶς διὰ τὸ μηδαμοῦ φανερὰν τὴν ἔλαφον ἐκείνην εἶναι. μηχανῆς γὰρ ἐπὶ τοὺς βαρβάρους ἐστέρητο θαυμαστῆς, τότε δὴ μάλιστα παραμυθίας δεομένους. εἶτα μέντοι νυκτὸς ἄλλως πλανώμενοί τινες ἐπιτυγχάνουσιν αὐτῇ, καὶ γνωρίσαντες ἀπὸ τῆς χρόας λαμβάνουσιν. ἀκούσας δὲ ὁ Σερτώριος, ἐκείνοις μὲν ὡμολόγησεν, ἂν μηδενὶ φράσωσι, χρήματα πολλὰ δώσειν· ἀποκρύψας δὲ τὴν ἔλαφον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, προῄει μάλα φαιδρὸς ἀπ' ὄψεως ἐπὶ τὸ βῆμα, διηγούμενος τοῖς ἡγεμόσι τῶν βαρβάρων, ὡς ἀγαθόν τι μέγα τοῦ Θεοῦ προμηνύοντος αὐτῷ κατὰ τοὺς ὕπνους· εἶτα ἀναβὰς ἐπὶ τὸ βῆμα, τοῖς ἐντυγχάνουσιν ἐχρημάτιζεν. ἡ δὲ ἔλαφος ὑπὸ τῶν φυλαττόντων αὐτὴν ἐγγὺς ἀφεθεῖσα, καὶ κατιδοῦσα τὸν Σερτώριον, ἐχώρει δρόμῳ περιχαρὴς πρὸς τὸ βῆμα, καὶ παραστᾶσα τὴν κεφαλὴν ἐπέθηκε τοῖς γόνασιν αὐτοῦ, καὶ τῷ στόματι τῆς δεξιᾶς ἔψαυεν, εἰθισμένη καὶ πρότερον τοῦτο ποιεῖν. ἀντιφιλοφρονουμένου δὲ τοῦ Σερτωρίου πιθανῶς, καί τι καὶ δακρύσαντος, ἔκπληξις εἶχε τοὺς παρόντας τὸ πρῶτον· εἶτα κρότῳ καὶ βοῇ τὸν Σερτώριον, ὡς δαιμόνιον ἄνδρα καὶ Θεοῖς φίλον, οἴκαδε προπέμψαντες, ἐν εὐθυμίαις καὶ χρησταῖς ἐλπίσιν ἦσαν.

Ἐν δὲ τοῖς τῶν Σεγουντίνων πεδίοις εἰς τὰς ἐσχάτας ἀπορίας κατακεκλεικὼς πολεμίους, ἠναγκάσθη συμβαλεῖν αὐτοῖς καταβαίνουσιν ἐφ' ἁρπαγὴν καὶ σιτολογίαν. ἠγωνίσθη δὲ λαμπρῶς παρ' ἀμφοτέρων. καὶ Μέμμιος μὲν, ὁ τῶν ὑπὸ

ego, nisi anus illa supervenisset, verberibus castigatum Romam dimisissem.

At erat majorem in modum perculsus, quod nusquam compareret cerva. Mira enim adversus barbaros orbatus erat machina, qui tunc vel maxime confirmandi erant. Mox tamen nocte quidam forte errantes offendunt eam, & a colore agnitam capiunt. Quibus Sertorius, ut ad eum delatum est, grandem summam, si id non vulgassent, ostendit se daturum. Cervam autem quum paucis diebus occultasset, processit in concionem vultu admodum ad lætitiam composito, barbarorum præfectis rem lætissimam in somnis sibi a Deo exponens prænuntiatam. Hinc tribunal conscendit. Dum adeuntibus vacat, cerva a custodientibus eam in propinquo dimissa est. Quæ cernens Sertorium, cursu hilaris ad tribunal fertur, assistensque caput genibus ejus imponit, dextramque ore (quod facere etiam ante solebat) attrectat. Quam demulcente vicissim in speciem Sertorio, manantibus quoque nonnihil lacrymis, stupor primum defixit spectatores, deinde plausu & acclamatione ut sanctum virum Sertorium & Diis charum ad tabernaculum ejus prosequuti sunt, lætique omnia bona sperabant.

In campis Saguntinis quum ad extremas angustias redegisset hostes, signa conferre cum iis prædatum & frumentatum proficiscentibus coactus est. Certatum est utrinque fortiter. Ibi Memmius Pompeii lega-

ὑπὸ Πομπηΐῳ στρατηγῶν ἡγεμονικώτατος, ἐν τῷ καρτερωτάτῳ τῆς μάχης ἔπεσεν· ἐκράτει δὲ Σερτώριος, καὶ φόνῳ πολλῷ τῶν ἔτι συνεστώτων ἐωθεῖτο πρὸς αὐτὸν τὸν Μέτελλον. ὁ δὲ παρ' ἡλικίαν ὑποστὰς καὶ περιφανῶς ἀγωνιζόμενος, παίεται δόρατι. τοῦτο τοὺς μὲν ἰδόντας τῶν Ῥωμαίων, τοὺς δὲ ἀκούσαντας αἰδὼς ἔσχεν ἐγκαταλιπεῖν τὸν ἡγεμόνα, καὶ θυμὸς ἅμα πρὸς τοὺς πολεμίους παρέστη. προθέμενοι δὲ τοὺς θυρεοὺς, καὶ συνεξενεγκόντες αὐτὸν ἐῤῥωμένως, ἐξωθοῦσι τοὺς Ἴβηρας· καὶ γενομένης οὕτω παλιντρόπου τῆς νίκης, ὁ Σερτώριος ἐκείνοις τε φυγὰς ἀδεεῖς μηχανώμενος, καὶ τεχνάζων ἑτέραν αὐτῷ δύναμιν συνελθεῖν ἐφ' ἡσυχίας, εἰς πόλιν ὀρεινὴν καὶ καρτερὰν ἀναφυγὼν, ἐφράγνυτο τὰ τείχη, καὶ τὰς πύλας ὠχυροῦτο, πάντα μᾶλλον ἢ πολιορκίαν ὑπομένειν διανοούμενος. ἀλλ' ἐξηπάτα τοὺς πολεμίους. ἐκείνῳ γὰρ προσκαθεζόμενοι, καὶ τὸ χωρίον οὐ χαλεπῶς λήψεσθαι προσδοκῶντες, τούς τε φεύγοντας τῶν βαρβάρων προΐεντο, καὶ τῆς ἀθροιζομένης αὖθις τῷ Σερτωρίῳ δυνάμεως ἠμέλησαν. ἠθροίζετο δὲ, πέμψαντος ἡγεμόνας ἐπὶ τὰς πόλεις αὐτοῦ, καὶ κελεύοντος, ὅταν ἤδη πολλοὺς ἔχωσιν, ἄγγελον ἀποστεῖλαι πρὸς αὐτόν. ἐπεὶ δὲ ἀπέστειλαν, σὺν οὐδενὶ πόνῳ διεκπαισάμενος τοὺς πολεμίους, συνέμιξε τοῖς ἑαυτοῦ· καὶ πάλιν ἐπῄει πολὺς γεγονὼς, καὶ περιέκοπτεν αὐτῶν τὴν μὲν ἀπὸ τῆς γῆς εὐπορίαν, ἐνέδραις καὶ κυκλώσεσιν, καὶ τῷ πανταχόσε φοιτᾶν, ὀξὺς ἐπιών· τὰ δ' ἐκ θαλάττης, λῃστρικοῖς σκάφεσιν κατέχων τὴν παραλίαν. ὥστε ἠναγκάσθησαν οἱ στρατηγοὶ διαλυθέντες, ὁ μὲν εἰς Γαλατίαν ἀπελθεῖν, Πομπήϊος δὲ περὶ Βακκαίους διαχειμάσαι μοχθηρῶς ὑπὸ ἀχρηματίας, γράφων

legatorum peritissimus rei militaris, ubi constitit acerrimum prœlium, cecidit. Vicit autem Sertorius, & magna stantium adhuc in acie strage, in ipsum illatus Metellum est. Hic præter ætatem subsistens, dum egregie dimicat, lancea vulneratur. Id partim conspicientes, partim audientes Romanos incessit pudor, ne imperatorem desererent, simulque exarserunt in hostem, objectisque scutis atque illo vi exportato, repulerunt Hispanos. Quum ita conversio facta esset victoriæ, Sertorius, quo facilem atque innoxiam suis fugam machinaretur, & moliretur sibi novum delectum, in oppidum refugit montanum & munitum, ejusque muros obsepsit, & portas firmavit; quidvis potius tamen quam obsidionem meditans ferre, eludebat hoc modo hostes. Dum enim assident ei, urbemque parvo negotio sperant se capturos, cum fugientes barbaros elabi passi sunt, tum conscribi permiserunt Sertorio alias copias, quæ conficiebantur a legatis illius, quos per oppida miserat, præceperatque, ubi jam magnum numerum contraxissent, ut se facerent certiorem. Quod postquam ei significavere, ex facili per medios elapsus hostes conjunxit se cum suis, rediitque in illos viribus auctus. Commeatum præcidit iis, terra ex insidiis & circumventionibus, & circumcursitando in omnes partes subito premens; pelago, littora navigiis prædatoriis obsidendo. Unde necessitate subacti duces sunt diversi, alter in Galliam recedere, Pompeius ob pecuniæ difficultatem hybernare incommode in Vacceis; scripsitque

φων πρὸς τὴν σύγκλητον, ὡς ἀπάξει τὸν στρατὸν εἰ μὴ πέμποιεν ἀργύριον αὐτῷ· καταναλωκέναι γὰρ ἤδη τὰ αὐτοῦ, προπολεμῶν τῆς Ἰταλίας. καὶ πολὺς ἦν οὗτος ἐν Ῥώμῃ λόγος, ὡς Πομπηΐου πρότερος εἰς Ἰταλίαν ἀφίξοιτο Σερτώριος. εἰς τοσοῦτον τοὺς πρώτους καὶ δυνατωτάτους τῶν τότε στρατηγῶν ἡ Σερτωρίου δεινότης κατέστησεν.

Ἐδήλωσε δὲ καὶ Μέτελλος, ἐκπεπληγμένος τὸν ἄνδρα καὶ μέγαν ἡγούμενος. ἐπεκήρυξε γὰρ, εἴτις αὐτὸν ἀνέλοι Ῥωμαῖος, ἑκατὸν ἀργυρίου τάλαντα δώσειν, καὶ πλέθρα δισμύρια γῆς· εἰ δὲ φυγάς, κάθοδον εἰς Ῥώμην· ὡς ἀπογνώσει φανερᾶς ἀμύνης, ὠνούμενος τὸν ἄνδρα διὰ προδοσίας. ἔτι δὲ νικήσας ποτὲ μάχῃ τὸν Σερτώριον, οὕτως ἐπήρθη, καὶ τὴν εὐτυχίαν ἠγάπησεν, ὥστε αὐτοκράτωρ ἀναγορευθῆναι· θυσίαις δ' αὐτὸν αἱ πόλεις ἐπιφοιτῶντα καὶ βωμοῖς ἐδέχοντο. λέγεται δὲ καὶ στεφάνων ἀναδέσεις προσίεσθαι, καὶ δείπνων σοβαρωτέρων ὑποδοχάς, ἐν οἷς ἐσθῆτα θριαμβικὴν ἔχων ἔπινε, καὶ νῖκαι πεποιημέναι δι' ὀργάνων ἐπιδρόμων χρύσεα τρόπαια καὶ στεφάνους διαφέρουσαι κατήγοντο, καὶ χοροὶ παίδων καὶ γυναικῶν ἐπινικίους ὕμνους ᾖδον εἰς αὐτόν. ἐφ' οἷς εἰκότως ἦν καταγέλαστος, εἰ δραπέτην Σύλλα, καὶ λείψανον τῆς Κάρβωνος φυγῆς ἀποκαλῶν τὸν Σερτώριον, οὕτω κεχαύνωται καὶ περιχαρὴς γέγονεν, ὑποχωρήσαντος αὐτοῦ περιγενόμενος. μεγαλοφροσύνη δὲ τοῦ Σερτωρίου, πρῶτον μὲν, τὸ τοὺς φεύγοντας ἀπὸ Ῥώμης βουλευτὰς καὶ παρ' αὐτοῦ διατρίβοντας, σύγκλητον ἀναγορεῦσαι, ταμίας τε καὶ στρατηγοὺς ἐξ

ἐκείνων

sitque senatui se, ni sibi mitterent stipendium, exercitum deportaturum. Jam enim propugnando pro Italia patrimonium suum expendisse. Romæ autem magnus erat rumor, priorem Pompeio in Italiam Sertorium venturum. Eo primarios & potentissimos duces solertia Sertorii redegerat.

Quantum vero hunc virum exhorruerit Metellus, & quanti fecerit, declaravit hac re; siquidem pronuntiavit in caput ejus, si civis Romanus illum interfecisset, præmium centum argenti talenta, & agrum viginti millium jugerum: si exul, reditum in patriam. Ita apertæ desperatione victoriæ licitabatur illum per proditionem. Adhæc quum aliquando Sertorium acie fudisset, usque adeo extulit se & prospero casu exultavit, ut imperatorem se sit salutari passus, sacrificiis autem eum oppida ingredientem atque aris ei dicatis exciperent. Memorant eum coronas quoque imponi capiti suo permisisse, cœnisque indulsisse fastuosioribus, in quibus veste triumphali amictus potabat. Victoriæ fictæ per artificiosa instrumenta descendebant, quæ aurea trophæa & coronas transferebant. Chori puerorum & virginum cantilenas triumphales in laudem ejus canebant. Qua in re ridiculus merito erat, quod quum Syllæ fugitivum & reliquias Carbonianorum exulum appellaret Sertorium, ita jactabundus evaserit exultaveritque, quod eum ultro cedentem superasset. At Sertorium magno fuisse animo hæc indicia fuere: Primum, quod senatores Romanos patria extorres, qui in præsidiis erant suis, senatum appellaret, quæstores legatosque ex illis crearet, legibus-

ἐκείνων ἀποδεικνύναι, καὶ πάντα τοῖς πατρίοις νόμοις τὰ τοιαῦτα κοσμεῖν· ἔπειτα, τὸ χρώμενον ὅπλοις καὶ χρήμασι καὶ πόλεσι ταῖς Ἰβήρων, μηδ᾽ ἄχρι λόγου τῆς ἄκρας ἐξουσίας ὑφίεσθαι πρὸς αὐτοὺς, Ῥωμαίους δὲ καθιστάναι στρατηγοὺς καὶ ἄρχοντας αὐτῶν, ὡς Ῥωμαίοις ἀνακτώμενον τὴν ἐλευθερίαν, οὐκ ἐκείνους αὔξοντα κατὰ Ῥωμαίων. καὶ γὰρ ἦν ἀνὴρ φιλόπατρις, καὶ πολὺν ἔχων ἵμερον τοῦ κατελθεῖν· ἀλλὰ δυσπραγῶν μὲν, ἀνδραγάθει, καὶ ταπεινὸν μὲν οὐδὲν ἔπραττε πρὸς τοὺς πολεμίους· ἐν δὲ ταῖς νίκαις, διεπέμπετο πρὸς Μέτελλον καὶ πρὸς Πομπήιον, ἕτοιμος ὢν τὰ ὅπλα καταθέσθαι, καὶ βιοῦν ἰδιώτης καθόδου τυχών· μᾶλλον γὰρ ἐθέλειν ἀσημότατος ἐν Ῥώμῃ πολίτης, ἢ φεύγων τὴν ἑαυτοῦ, πάντων ὁμοῦ τῶν ἄλλων αὐτοκράτωρ ἀναγορεύεσθαι. λέγεται δὲ οὐχ ἥκιστα τῆς πατρίδος ἐπιθυμεῖν διὰ τὴν μητέρα, τραφεὶς ὀρφανὸς ὑπ᾽ αὐτῇ, καὶ τὸ σύμπαν ἀνακείμενος ἐκείνῃ. καλούντων δὲ τῶν περὶ τὴν Ἰβηρίαν φίλων αὐτὸν ἐφ᾽ ἡγεμονίᾳ, πυθόμενος τὴν τελευτὴν τῆς μητρὸς, ὀλίγον ἐδέησεν ὑπὸ λύπης προέσθαι τὸν βίον. ἑπτὰ γὰρ ἡμέρας οὔτε σύνθημα δοὺς, οὔτε ὀφθείς τινι τῶν φίλων ἔκειτο· καὶ μόλις οἱ συστράτηγοι καὶ ὁμότιμοι τὴν σκηνὴν περιστάντες ἠνάγκασαν αὐτὸν προελθόντα, τοῖς στρατιώταις ἐντυχεῖν, καὶ τῶν πραγμάτων εὖ φερομένων ἀντιλαμβάνεσθαι. διὸ καὶ πολλοῖς ἔδοξεν, ἥμερος ἀνὴρ φύσει γεγονὼς, καὶ πρὸς ἡσυχίαν ἔχων ἐπιεικῶς, δι᾽ αἰτίας παρὰ γνώμην ταῖς στρατηγικαῖς ἀρχαῖς χρῆσθαι, καὶ μὴ τυγχάνων ἀδείας, ἀλλὰ συνελαυνόμενος ὑπὸ τῶν ἐχθρῶν εἰς τὰ ὅπλα, φρουρὰν ἀναγκαίαν τοῦ σώματος περιβάλλεσθαι τὸν πόλεμον.

Ἠ

buſque omnia illa adornaret patriis. Deinde, quod qui armis, pecunia, oppidis uteretur Hiſpanorum, ne verbis quidem ſummam poteſtatem apud illos ſummitteret; verum daret eis duces & præfectos Romanos, tanquam Romanis libertatem recuperans, non illos augens adverſus Romanos. Etenim vir ille erat amans patriæ, magnoque tenebatur in patriam redeundi deſiderio. Cæterum in adverſis caſibus fortis erat, neque abjectum præbebat ſe hoſtibus. In victoriis autem legatos ad Metellum & Pompeium mittebat, paratum ſe oſtendens arma ponere, &, reditu conceſſo, privatam vitam agere. Malle enim civem ſe Romæ eſſe obſcuriſſimum, quam exulem cunctorum aliorum declarari imperatorem. Dicitur autem patriæ cupiditate flagraſſe maxime cauſa matris, a qua eductus orbus fuerat, totoque animo erat illi addictus. Quum igitur neceſſarii Sertorii in Hiſpania ad imperium ſuſcipiendum eum vocarent, nuntiatis matris fatis, profudit pene ex mœrore vitam. Quippe diebus ſeptem neque ſignum militibus dedit, neque in ullius conſpectum amici prodiens, jacebat humi. Vix tandem reliqui imperatores atque in pari dignitatis gradu poſiti, circumſiſtentes tabernaculum ejus, coegerunt eum in publicum progredi & milites appellare, atque res proſpere fluentes capeſſere. Quare placidi vir ingenii habitus apud multos eſt, & quietis cupidus, invituſque ob cauſas quaſdam munera imperatoria uſurpaſſe; quum vero obtinere non valeret ſecuritatem, ſed ab inimicis in arma cogeretur, ſtatione neceſſaria corpus ſepſiſſe bello.

Cel-

Digitized by Google

Ἦν δὲ καὶ τὰ πρὸς Μιθριδάτην αὐτοῦ πολιτεύματα, μεγαλοφροσύνης. ἐπεὶ γὰρ ἐκ τοῦ κατὰ Σύλλαν σφάλματος ὁ Μιθριδάτης, ὥσπερ εἰς πάλαισμα δεύτερον ἀνιστάμενος, αὖθις ἐπεχείρησε τῇ Ἀσίᾳ· μέγα δὲ ἤδη τὸ Σερτωρίου κλέος ἐφοίτα πανταχόσε, καὶ τῶν περὶ αὐτοῦ λόγων, ὥσπερ φορτίων ξενικῶν, οἱ πλέοντες ἀπὸ τῆς ἑσπέρας ἀναπεπλήκεσαν τὸν Πόντον· ὥρμητο διαπρεσβεύεσθαι πρὸς αὐτὸν, ἐπηρμένος μάλιστα ταῖς τῶν κολάκων ἀλαζονείαις, οἳ τὸν μὲν Σερτώριον Ἀννίβᾳ, τὸν δὲ Μιθριδάτην Πύρρῳ παρεικάζοντες, οὐκ ἂν ἔφασαν Ῥωμαίους πρὸς τηλικαύτας ὁμοῦ φύσεις τε καὶ δυνάμεις, ἐπιχειρουμένους διχόθεν, ἀντισχεῖν, τοῦ δεινοτάτου στρατηγοῦ τῷ μεγίστῳ τῶν βασιλέων προσγενομένου. πέμπει δὴ πρέσβεις ὁ Μιθριδάτης εἰς Ἰβηρίαν, γράμματα Σερτωρίῳ καὶ λόγους κομίζοντας, δι' ὧν αὐτὸς μὲν ἐπηγγέλλετο χρήματα καὶ ναῦς παρέξειν εἰς τὸν πόλεμον, ὑπ' ἐκείνου δὲ ἠξίου τὴν Ἀσίαν αὐτῷ βεβαιοῦσθαι πᾶσαν, ἧς ὑπεχώρησε Ῥωμαίοις κατὰ τὰς πρὸς Σύλλαν γενομένας συνθήκας. ἀθροίσαντος δὲ Σερτωρίου βουλὴν, ἣν σύγκλητον ὠνόμαζεν, καὶ τῶν ἄλλων δέχεσθαι τὰς προκλήσεις καὶ ἀγαπᾶν κελευόντων, (ὄνομα γὰρ καὶ γράμμα κενὸν αἰτουμένους περὶ τῶν οὐκ ὄντων ἐπ' αὐτοῖς, ἀντὶ τούτων λαμβάνειν ὧν μάλιστα δεόμενοι τυγχάνουσιν) οὐκ ἠνέσχετο ὁ Σερτώριος, ἀλλὰ Βιθυνίαν μὲν ἔφη καὶ Καππαδοκίαν λαμβάνοντι Μιθριδάτῃ μὴ φθονεῖν, ἔθνη βασιλευόμενα καὶ μηδὲν προσήκοντα Ῥωμαίοις· ἣν δὲ τῷ δικαιοτάτῳ τρόπῳ Ῥωμαίων κεκτημένων ἐπαρχίαν, ἀφελόμενος καὶ κατασχὼν, πολεμῶν μὲν ἐξέπεσεν ὑπὸ Φιμβρίου, σπενδόμενος δὲ πρὸς Σύλ-

Celsitudinis animi fuerunt etiam ejus cum Mithridate acta. Quum enim ex casu, quo Sylla eum prostraverat, Mithridates quasi ad alteram assurgens luctam, iterum adoriretur Asiam; nomen autem jam inclytum ubique celebraretur Sertorii, rumoribusque de eo, velut peregrinis mercibus, illi qui ex occidente advehebantur, Pontum implessent; paravit legatos ad eum mittere, excitatus potissimum adulatorum jactationibus, qui Sertorium Annibali, Pyrrho Mithridatem æquiparantes, negabant populum Romanum ingeniis & viribus resistere simul tantis ancipiti circumventos insultu posse, ubi cum acerrimo imperatore rex conjunctus maximus esset. Mittit igitur in Hispaniam Mithridates legatos ad Sertorium cum literis & mandatis, per quos pecuniam & naves illi ad bellum præbiturum offert se, ab illo postulat vicissim, confirmari sibi omnem Asiam, qua populo Romano fœdere cum Sylla icto cesserat. Coacto concilio, quod senatum vocabat, Sertorius, cæteris accipiendas has conditiones approbandasque censentibus, (quum enim nomen ab ipsis & decretum inane illis de rebus, quæ non erant in arbitrio suo, postularentur, pro his demonstrabant se, quibus maxime opus haberent, accipere) improbavit, verum Bithyniam & Cappadociam si occuparet Mithridates, provincias regi parere assuetas, nec quicquam populo Romano attinentes, eas se illi ait non invidere. Enimvero qua provincia justissimo possidentem titulo spoliaverat populum Romanum invaseratque, eam a Fimbria illi bello extortam & foedere

Σύλλαν ἀφῆκε, ταύτην οὐκ ἔφη περιόψεσθαι πάλιν ὑπ' ἐκείνῳ γενομένην· δεῖν γὰρ αὔξεσθαι τὴν πόλιν ὑπ' αὐτοῦ κρατοῦντος, οὐκ ἐλαττώσει τῶν ἐκείνης κρατεῖν αὐτόν. γενναίῳ γὰρ ἀνδρὶ, μετὰ τοῦ καλοῦ νικᾶν αἱρετόν· αἰσχρῶς δὲ, οὐδὲ σώζεσθαι.

Ταῦτα ἀπαγγελθέντα Μιθριδάτης διὰ θάμβους ἐποιεῖτο· καὶ λέγεται μὲν εἰπεῖν πρὸς τοὺς φίλους, τί δῆτα προστάξει Σερτώριος ἐν παλατίῳ καθεζόμενος, εἰ νῦν εἰς τὴν Ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν, ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι, καὶ πειρωμένοις Ἀσίας ἀπειλεῖ πόλεμον; οὐ μὴν ἀλλὰ γίνονταί γε συνθῆκαι καὶ ὅρκοι, Καππαδοκίαν καὶ Βιθυνίαν ἔχειν Μιθριδάτην, Σερτωρίου στρατηγὸν αὐτῷ καὶ στρατιώτας πέμποντος· Σερτώριον δὲ παρὰ Μιθριδάτου λαβεῖν τρισχίλια τάλαντα καὶ τεσσαράκοντα ναῦς. πέμπεται δὲ καὶ στρατηγὸς εἰς Ἀσίαν ὑπὸ Σερτωρίου τῶν ἀπὸ βουλῆς πεφυγότων πρὸς αὐτὸν, Μάρκος Μάριος· ᾧ συνεξελὼν τινὰς πόλεις τῶν Ἀσιάδων ὁ Μιθριδάτης, εἰσελαύνοντι μετὰ ῥάβδων καὶ πελέκεων αὐτὸς εἵπετο, δευτέραν τάξιν καὶ σχῆμα θεραπεύοντος ἑκουσίως ἀνειληφώς. ὁ δὲ τὰς μὲν ἠλευθέρου, ταῖς δὲ ἀτέλειαν γράφων χάριτι Σερτωρίου κατήγγελλεν· ὥστε τὴν Ἀσίαν αὖθις ἐνοχλουμένην μὲν ὑπὸ τῶν τελωνῶν, βαρυνομένην δὲ ταῖς πλεονεξίαις καὶ ὑπερηφανίαις τῶν ἐπισκηνώων, ἀναπτερωθῆναι πρὸς τὴν ἐλπίδα, καὶ ποθεῖν τὴν προσδοκωμένην μεταβολὴν τῆς ἡγεμονίας.

Ἐν δ' Ἰβηρίᾳ τῶν περὶ Σερτώριον συγκλητικῶν καὶ ἰσοτίμων, ὡς πρῶτον εἰς ἀντίπαλον ἐλπίδα κατέστησαν, ἐπανέντος τοῦ φόβου, φθόνος ἥπτετο καὶ

ζῆλος

dere cum Sylla sancito dimissam negavit permissurum se, in ditionem ut iterum recideret ejus. Amplificandam enim suis victoriis rempublicam, non cum ejus provinciarum diminutione sibi vincendum. Nam viro forti optandam cum honore victoriam, cum turpitudine vero ne salutem quidem.

His renuntiatis obstupuit Mithridates: ac ferunt eum ad amicos dixisse, Quid tandem in senatu sedens imperabit Sertorius, qui nunc ad Oceanum summotus Atlanticum fines regno nostro præscribit, & tentantibus Asiam denuntiat bellum? Veruntamen fœdus fit, & jurejurando sancitur, Cappadociam & Bithyniam cessuram Mithridati, Sertorium autem ducem ei militesque missurum: Sertorio invicem Mithridatem tria millia talentorum cum quadraginta navibus præbiturum. Dux quoque in Asiam mittitur ad eum ex senatoriis exulibus M. Marius, cujus auxilio cum cepit Mithridates aliquot oppida in Asia, invectum in urbes cum virgis & securibus ipse illum tanquam majorem potestatem & ministri specie ultro sequebatur. Ille aliis libertatem dabat: aliis, quum immunitatem concederet, beneficio se facere id Sertorii dicebat. Itaque Asia, quæ a publicanis vexabatur, avaritiaque & contumeliis premebatur militum præsidiariorum, denuo ad spem erigebatur, exoptabatque exspectatam imperii conversionem.

At in Hispania senatores & pares Sertorio, ut primum in æquali cum hostibus spe constiterunt, remisso metu, livor & stolida

2 in-

ζῆλος ἀνόητος τῆς ἐκείνου δυνάμεως. ἐνῆγε δὲ Περπέννας, δι' εὐγένειαν ἐπαιρόμενος φρονήματι κενῷ πρὸς τὴν ἡγεμονίαν, καὶ λόγους μοχθηροὺς διεδίδου κρύφα τοῖς ἐπιτηδείοις, Τίς ἄρα πονηρὸς ἡμᾶς ὑπολαβὼν ἐκ κακῶν εἰς χείρονα φέρει δαίμων, οἳ Σύλλᾳ μὲν ὁμοῦ τι συμπάσης ἄρχοντι γῆς καὶ θαλάττης, ποιεῖν τὸ προσταττόμενον οὐκ ἠξιοῦμεν, οἴκοι μένοντες; δεῦρο δὲ φθαρέντες, ὡς ἐλεύθεροι βιωσόμενοι, δουλεύομεν ἑκουσίως, τὴν Σερτωρίου δορυφοροῦντες φυγὴν, ὄνομα χλευαζόμενον ὑπὸ τῶν ἀκουόντων, σύγκλητος ὄντες, ὕβρεις δὲ καὶ προστάγματα καὶ πόνους οὐκ ἐλάττονας Ἰβήρων καὶ Λυσιτανῶν ὑπομένοντες. τοιούτων ἀναπιμπλάμενοι λόγων οἱ πολλοὶ, φανερῶς μὲν οὐκ ἀφίσταντο, δεδοικότες αὐτοῦ τὴν δύναμιν· κρύφα δὲ τάς τε πράξεις ἐλυμαίνοντο, καὶ τοὺς βαρβάρους ἐκάκουν, κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἀποπραΰνειν, ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους, καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας· ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πρᾳότητος μεταβαλόντα, περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δὲ ἀποδόμενον.

Ὁ δ' οὖν Περπέννας πλείονας συνωμότους ἔχων πρὸς τὴν ἐπίθεσιν, προσάγεται καὶ Μάλλιον, ἕνα τῶν ἐφ' ἡγεμονίας. οὗτος ἐρῶν τινος τῶν ἐν ὥρᾳ μειρακίου, καὶ φιλοφρονούμενος πρὸς αὐτὸ φράζει τὴν ἐπιβουλὴν, κελεύων ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν, αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλί-

invasit æmulatio illius potentiæ. Perpenna autem autor fuit, qui spiritibus vanis ob natalium splendorem animum adjecit imperio. Is perniciosos sermones clam apud idoneos seminavit. Quisnam malus nos genius ex malis in pejora detrudit, qui Syllæ totius pene terræ & maris tenentis imperium imperata, fruentes patria, facere dedignamur? Huc vero malis avibus profecti, quo in libertate viveremus, sponte servimus, Sertorii stipantes exilium, & ridiculo audientibus nomine senatus dicimur, quum contumelias, imperia & labores non secus ac Hispani & Lusitani feramus. Hujuscemodi sermonibus complures imbuti, metu illius autoritatis non rebellabant aperte, verum res ejus in secreto corrumpebant, barbarosque acerbe puniendo & tributo exigendo, quasi Sertorii jussu, affligebant. Hinc defectiones natæ per oppida, & seditiones. Qui vero ad hæc mittebantur lenienda & medenda, redibant pluribus inflammatis tumultibus & rebellionibus prioribus intensis. Unde degenerans ex humanitate & lenitate Sertorius pristina, Hispanorum filios, qui Oscæ educabantur, violavit, ac partem eorum occidit, alios sub corona vendidit.

Porro Perpenna, qui complures conjuratos habebat ad Sertorium adoriendum, adjunxit insuper sibi unum ex Sertorianis ducibus Manlium. Hic deperibat amore formosi adolescentuli: cui blandiens effutit conspirationem, hortaturque ut alios amatores mittat, & sibi uni, qui paucis

ὀλίγων μεγάλῳ γενησομένῳ. τὸ δὲ μειράκιον ἑτέρῳ τινὶ τῶν ἐραστῶν Αὐφιδίῳ μᾶλλον προσπεπονθὼς, ἐκφέρει τὸν λόγον. ἀκούσας δὲ ὁ Αὐφίδιος ἐξεπλάγη· καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ Σερτώριον συνωμοσίας, οὐ μέντοι τὸν Μάλλιον ἐγίνωσκε μετέχοντα. Περπένναν δὲ καὶ Γρακῖνον καί τινας ἄλλους ὧν αὐτὸς ᾔδει συνωμοτῶν, ὀνομάζοντος τοῦ μειρακίου, διαταραχθεὶς, πρὸς ἐκεῖνον μὲν ἐξεφλαύριζε τὸν λόγον, καὶ παρεκάλει τοῦ Μαλλίου καταφρονεῖν, ὡς κενοῦ καὶ ἀλαζόνος· αὐτὸς δὲ πρὸς τὸν Περπένναν πορευθεὶς, καὶ φράσας τὴν ὀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον, ἐκέλευσεν ἐπιχειρεῖν. οἱ δὲ ἐπείθοντο, καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα κομίζοντα τῷ Σερτωρίῳ προσήγαγον. ἐδήλου δὲ τὰ γράμματα νίκην τινὸς τῶν ὑπ' αὐτῷ στρατηγῶν, καὶ φόνον πολὺν τῶν πολεμίων. ἐφ' οἷς τοῦ Σερτωρίου περιχαροῦς ὄντος, καὶ θύοντος εὐαγγέλια, Περπέννας ἑστίασιν αὐτῷ καὶ τοῖς παροῦσι φίλοις (οὗτοι δὲ ἦσαν ἐκ τῆς συνωμοσίας) ἐπηγγέλλετο, καὶ πολλὰ λιπαρήσας, ἔπεισεν ἐλθεῖν. ἀεὶ μὲν οὖν τὰ μετὰ Σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾶν τι τῶν αἰσχρῶν οὔτε ἀκούειν ὑπομένοντος, ἀλλὰ καὶ τοὺς συνόντας εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύναις ἐθίζοντος. τότε δὲ τοῦ πότου μεσοῦντος, ἀρχὴν ἀψιμαχίας ζητοῦντες, ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι· καὶ πολλὰ προσποιούμενοι μεθύειν ἠσέλγαινον, ὡς παροξυνοῦντες ἐκεῖνον. ὁ δὲ, εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν, εἴτε τὴν διάνοιαν αὐτῶν τῇ βραδυτῆτι τῆς λαλιᾶς, καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλισίας, ὕπτιον ἀνεὶς ἑαυτὸν, ὡς οὐδὲ προσέ-

χων

paucis diebus sit magnus evasurus, adhæreat. Adolescentulus alteri amatori, in quem erat propensior, sermonem Aufidio enuntiat. Qui ut audivit, obstupuit. Quippe conjurationis in Sertorium erat consors, non cognoverat tamen participem ejus Manlium esse. At ubi Perpennam & Gracinum, & alios quosdam conjuratos, quos ipse sciebat, nominavit adolescens, perculsus elevavit apud illum ea dicta, monuitque Manlium ut vanum & jactabundum contemneret. Profectus autem ad Perpennam, demonstrato temporis momento & periculo, consuluit ut rem aggrederetur. Assensi conjurati hominem subornatum adduxerunt, qui epistolam redderet Sertorio. Epistola victoriam cujuspiam ejus legatorum & hostium magnam stragem significabat. Qua re ovantem Sertorium & læti nuntii causa sacrificantem cum præsentibus amicis (hi in conjuratione erant) invitavit Perpenna ad cœnam, multisque precibus obtinuit ut sibi condiceret. Cœnæ quidem semper præsente Sertorio magna erant verecundia & honestate conditæ, quod nihil vel videre vel audire sustineret turpe, sed convivas pudicis & sobriis jocis oblectamentisque assuefecisset uti. Ibi autem in medio convivio exordium quærentes jurgii, propalam incesta verba jecerunt, fingentesque se vino mersos, quo irritarent illum, multa designaverunt insolenter. Ille vero, vel quod licentia ista offenderetur, vel quod mentem eorum loquendi tarditate & insolita dissolutione adverteret, figura mutata accubitus supinum se collocavit, quasi non attenderet

ne-

χων οὔτε κατακούων. ἐπεὶ δ' ὁ Περπέννας φιάλην τινὰ λαβὼν ἀκράτου, καὶ μεταξὺ πίνων ἀφῆκεν ἐκ τῶν χειρῶν καὶ ψόφον ἐποίησεν, ὅπερ ἦν αὐτοῖς σύμβολον, Ἀντώνιος ὑπερκατακείμενος παίει τῷ ξίφει τὸν Σερτώριον. ἀναστρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνου καὶ συνεξανισταμένου, περιπεσὼν εἰς τὸ στῆθος, κατέλαβε τὰς χεῖρας ἀμφοτέρας, ὥστε μηδὲ ἀμυνόμενον πολλῶν παιόντων ἀποθανεῖν.

Οἱ μὲν οὖν πλεῖστοι τῶν Ἰβήρων εὐθὺς ᾤχοντο, καὶ παρέδωκαν ἑαυτοὺς ἐπιπρεσβευσάμενοι τοῖς περὶ Πομπήιον καὶ Μέτελλον· τοὺς δὲ συμμείναντας ὁ Περπέννας ἀναλαβὼν ἐπεχείρει τι πράττειν. χρησάμενος δὲ ταῖς Σερτωρίου παρασκευαῖς, ὅσον ἐνασχημονῆσαι καὶ φανερὸς γενέσθαι μήτε ἄρχειν μήτε ἄρχεσθαι πεφυκώς, Πομπηίῳ προσέβαλεν· καὶ ταχὺ συντριβεὶς ὑπ' αὐτοῦ, καὶ γενόμενος αἰχμάλωτος, οὐδὲ τὴν ἐσχάτην ὑπέμεινεν συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν Σερτωρίου γραμμάτων κύριος γεγονώς, ὑπισχνεῖτο Πομπηίῳ δείξειν ὑπατικῶν ἀνδρῶν καὶ μέγιστον ἐν Ῥώμῃ δυναμένων αὐτογράφους ἐπιστολάς, καλούντων Σερτώριον εἰς Ἰταλίαν, ὡς πολλῶν ποθούντων τὰ παρόντα κινῆσαι, καὶ μεταβαλεῖν τὴν πολιτείαν. ἔργον οὖν ὁ Πομπήιος οὐ νέας φρενός, ἀλλ' εὖ μάλα βεβηκυίας καὶ κατηρτυμένης ἐργασάμενος, μεγάλων ἀπήλλαξε τὴν Ῥώμην φόβων καὶ νεωτερισμῶν. τὰς μὲν γὰρ ἐπιστολὰς ἐκείνας, καὶ τὰ γράμματα τοῦ Σερτωρίου συναγαγὼν ἅπαντα κατέκαυσεν, οὔτε ἀναγνούς, οὔτε ἐάσας ἕτερον· αὐτὸν δὲ τὸν Περπένναν κατὰ τάχος ἀνεῖλεν, φοβηθεὶς μὴ τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας, ἀπο-

neque exaudiret ea. Ut vero phialam Perpenna accepit meri plenam, eamque inter bibendum e manibus dimisit, unde editus est strepitus, quod erat illis pro signo; Antonius, qui supra Sertorium recumbebat, ferit eum pugione. Ad ictum circumagente se illo & parante exsurgere, conjiciens se in pectus ejus, ambas occupat manus. Ita quum non valeret ulla ratione se defendere, multis cum cædentibus est trucidatus.

At Hispani plerique actutum ab his defecere, missisque legatis in fidem se permisere Pompeii & Metelli. Perpenna autem cum reliquis qui apud eum hæserunt aggressus est aliquid rei gerere. Usus apparatu Sertorii hactenus, ut in eo turpitudinem suam & qui vir foret proderet, se nempe nec ad imperandum nec ad parendum aptum esse, in Pompeium incurrit. A quo brevi obtritus & captus, ne novissimam quidem fortunam, ut erat imperatore dignum, tulit: sed, quum haberet in potestate chartas Sertorii, pollicebatur Pompeio literas ostensurum se virorum consularium & principum urbis Romæ manu exaratas, quibus Sertorium acciverant in Italiam, multos significantes esse qui præsentem statum movere, & res novas averent moliri. Verum Pompeius haud juvenilis mentis, sed solidæ & compositæ fecit actum, quo urbem ingenti metu novationibusque liberavit. Nam epistolas illas & codicillos Sertorii collectos omnes concremavit, eosque neque ipse legit, neque permisit alium: Perpennam vero propere interfecit, quod timeret, si nomina eorum edidisset apud aliquos, seditiones

ἀποστάσεις καὶ ταραχαὶ γένωνται. τῶν δὲ περὶ Περπένναν συνομοσαμένων, οἱ μὲν ἐπὶ Πομπήιον ἀναχθέντες διεφθάρησαν, οἱ δὲ φεύγοντες εἰς Λιβύην, ὑπὸ Μαυρουσίων κατηκοντίσθησαν. διέφυγε δ' οὐδεὶς, πλὴν Αὐφίδιος ὁ τοῦ Μαλλίου ἀντεραστής. οὗτος δὲ ἢ λαθὼν, ἢ παραμεληθεὶς, ἔν τινι βαρβάρῳ κώμῃ πενόμενος καὶ μισούμενος κατεγήρασεν.

ditiones & motus exiſterent. Ex Perpennæ conjuratione alii ad Pompeium retracti & necati, pars in Africam fugerunt, qui a Mauris ſunt jaculis confoſſi. Nemo evolavit præter rivalem Manlii Aufidium. Hic, vel quod non cognoſceretur vel contemneretur, in vico quopiam barbarico inops inviſuſque conſenuit.

ΕΥΜΕΝΗΣ.



Ε Υ Μ Ε Ν Η Σ.

ΕΥΜΕΝΗ δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χερρονήσῳ διὰ πενίαν χρείας, τραφῆναι δὲ ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ, Φίλιππον παρεπιδημοῦντα, καὶ σχολὴν ἄγοντα, τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων, καὶ παλαίσματα παίδων· ἐν οἷς εὐημερήσαντα τὸν Εὐμενῆ, καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον, ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. δοκοῦσι δὲ εἰκότα λέγειν μᾶλλον, οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμενῆ λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, οὔτε συνέσει τινὸς οὔτε πίστει λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον, ἐκαλεῖτο μὲν ἀρχιγραμματεὺς, τιμῆς δὲ, ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις, ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ᾽ ἑαυτοῦ μετὰ δυνάμεως,

μεως,

EUMENI Cardiano tradit Duris patrem fuiſſe, qui ob inopiam in Cherſoneſo victum vectura exercenda quæritavit: verum liberale eum in literis & palæſtra ſortitum tyrocinium. Quo etiamnum puero, quum obiter illuc appuliſſet Philippus, per otium eum ferunt adoleſcentium Cardianorum ſpectaſſe pancratia & puerorum exercitationes: inter quos excellentem Eumenem, quum ſolertem eum & ſtrenuum vidiſſet, placuiſſe Philippo, & in familiam ejus adſcitum fuiſſe. Verum propius fidem videtur quod illi dicunt, qui propter hoſpitii neceſſitudinem & amicitiam paternam Eumenem aſſerunt a Philippo provectum. Ab hujus exceſſu, quod nec prudentia nec fide ulli eſſet ex Alexandri amicis ſecundus, ſcribarum princeps quidem appellabatur, ſed in pari erat dignatione ac præcipui ejus amici vel familiares, ut etiam dux in India ſolus cum exercitu mitte-

μεως, καὶ τὴν Περδίκκου παραλαβεῖν ἐπαρχίαν, ὅτε Περδίκκας, ἀποθανόντος Ἡφαιστίωνος, εἰς τὴν ἐκείνου προῆλθε τάξιν. διὸ καὶ Νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν λέγοντος, ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην, Εὐμενὴς δὲ γραφεῖον ἔχων καὶ πινακίδιον ἠκολούθει, κατεγέλων οἱ Μακεδόνες, μετὰ τῶν ἄλλων καλῶν τὸν Εὐμενῆ καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. Βαρσίνην γὰρ τὴν Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν, Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμενεῖ δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκιζε τοῖς ἑταίροις.

Οὐ μὴν ἀλλὰ καὶ προσέκρουσε πολλάκις Ἀλεξάνδρῳ, καὶ παρεκινδύνευσεν δι' Ἡφαιστίωνα. πρῶτον μὲν γὰρ Εὐίῳ τῷ αὐλητῇ τοῦ Ἡφαιστίωνος οἰκίαν κατανείμαντος, ἣν οἱ παῖδες ἔτυχον τῷ Εὐμενεῖ προκατειληφότες, ἐλθὼν ὑπὸ ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμενὴς, ἐβόα μετὰ Μέντορος ὡς αὐλεῖν εἴη κράτιστον, ἢ τραγῳδεῖν, τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν· ὥστε Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. ταχὺ μέντοι μεταπεσὼν, αὖθις εἶχε τὸν Εὐμενῆ δι' ὀργῆς, ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτὸν ἢ παῤῥησίᾳ πρὸς Ἡφαιστίωνα χρησάμενον. ἔπειτα Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. τοῦ δ' Εὐμενοῦς αἰτηθέντος μὲν τριακόσια τάλαντα, δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέχθαι διὰ τῶν ἐπιτρό-

πων

retur, & in provinciam Perdiccæ succederet, quum defuncto Hephæstione Perdiccas esset ad illius provinciam provectus. Unde quum secundum fata Alexandri armigerorum princeps Neoptolemus cum clypeo se & hasta, Eumenem cum stylo & tabellis jactaret Alexandrum sequutum, deriserunt eum Macedones, quod præter honores hunc affinitatis quoque necessitudine fuisse a rege cultum nossent. Siquidem Barsines Artabazi filiæ, quam in Asia Alexander primam cognovit, ex qua filium suscepit Herculem, alteram sororem Apamam Ptolemæo, Eumeni Barsinem collocavit: quo tempore cæteras quoque Persidas distribuit, & amicis in matrimonium collocavit.

Offendit subinde tamen Alexandrum, ac periculum Hephæstionis causa subiit: primum, quum Evio tibicini attribuisset Hephæstion ædes, quas pueri Eumenis ei priores ceperant, adiit Eumenes ad Alexandrum, ac cum Mentore vociferatus est præstare projectis de manibus armis tibia canere vel tragœdias agere. Tulit autem injuriam ejus Alexander moleste, laceravitque probris Hephæstionem. Mox tamen mutatus, flagravit ira in Eumenem, quasi contumelia potius adversus se, quam libera lingua esset adversus Hephæstionem usus. Deinde quo tempore Nearchum classe ad oceanum parabat mittere, poposcit ab amicis argentum, quod non esset in ærario. Ubi ab Eumene postulavit trecenta talenta, nec illi nisi centum dumtaxat dedit, eaque ægre & difficulter ostendit se per procu-

ratores

πων φάσκοντος, οὐδὲν εἰσκαλέσας οὐδὲ δεξάμενος, ἐκέλευσεν τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ Εὐμενοῦς πῦρ ἐνεῖναι, βουλόμενος, ἐκκομιζομένων τῶν χρημάτων, λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησεν τῶν γραμμάτων διαφθαρέντων ὁ Ἀλέξανδρος. τὸ δὲ συγχυθὲν χρυσίον ἢ ἀργύριον ὑπὸ τοῦ πυρὸς, ἀνευρέθη πλεῖον ἢ χιλίων ταλάντων. ἔλαβεν δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων ἀποστέλλειν, πάντα παραλαμβάνειν ἐκέλευσεν τὸν Εὐμενῆ. πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς πρὸς τὸν Ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δὲ εἰπὼν, τότε μὲν οὐκ ἔλαττον ἔσχεν· μετ' ὀλίγον δὲ τελευτήσαντος Ἡφαιστίωνος, περιπαθῶν ὁ βασιλεὺς, καὶ πᾶσιν οὓς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὢν, μάλιστα τὸν Εὐμενῆ δι' ὑποψίας εἶχεν, καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. ὁ δὲ, πανοῦργος ὢν καὶ πιθανὸς, ἐπεχείρησεν οἷς ἀπώλλυτο σώζειν ἑαυτόν. κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν Ἀλεξάνδρου καὶ χάριν, ὑφηγούμενός τε τιμὰς αἳ μάλιστα κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν ἀφειδῶς καὶ προθύμως.

Ἀποθανόντος δὲ Ἀλεξάνδρου, καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους, τῇ μὲν γνώμῃ τούτοις προσένειμεν ἑαυτὸν ὁ Εὐμενὴς, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον ξένῳ ὄντι πολυ-

ratores suos coegisse, non incusavit eum neque accepit pecuniam, verum certis ministris occulte imperavit, ignem ut Eumenis tabernaculo subjicerent, quo in exportanda pecunia manifeste mendacem compeńret. At celerius quam potuit exportari, tabernaculum incendio haustum fuit, pœnituitque ejus Alexandrum, quod monumenta sua fuissent consumpta. Auri vero vel argenti, quod fuerat per flammam conflatum, erutum fuit plus mille talentis; ex quibus ille nihil abstulit, sed & satrapis præfectisque mandavit per literas omnibus, ut exempla corruptorum libellorum mitterent: eaque deferri omnia jussit ad Eumenem. Concertatione iterum de dono quopiam cum Hephæstione exorta, ac multis ultro citroque jactis convitiis, in præsentia quidem nihilominus erat in gratia: cæterum defuncto mox Hephæstione, graviter mœrens rex, omnibusque quos vivo illi invidisse arbitrabatur, atque ejus lætari morte, infestus & asper, præ cæteris Eumenem in suspicione habebat, exprobravitque crebro rixas illas & convitia. Verum versutus ille doctusque accommodare se tempori, instituit ex eo quo vulnerabatur, mutuari remedium. Confugit enim ad Alexandri in decoranda memoria Hephæstionis prolixitatem & studium, suggessitque ei honores quibus maxime ornare valeret defunctum, atque argentum ad excitandum Hephæstioni tumulum large & benigne præbuit.

Postquam decessit Alexander, & legiones ab amicis Alexandri secessere, animo Eumenes ab his stetit, verbo medium se inter utrosque & privatum gessit, quasi sibi non conveniret extraneo

λυπραγμονεῖν ταῖς Μακεδόνων διαφοραῖς. καὶ τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων, αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν, καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. ἐπεὶ δὲ ἀναμιχθέντες ἀλλήλοις οἱ στρατηγοί, καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν, διενέμοντο σατραπείας καὶ στρατηγίας, Εὐμένης λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν τὴν ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ, μέχρι Τραπεζοῦντος, οὔπω τότε Μακεδόνων οὖσαν· Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν. ἀλλ᾽ ἔδει Λεοννάτον καὶ Ἀντίγονον χειρὶ μεγάλῃ τὸν Εὐμενῆ καταγόντας ἀποδεῖξαι τῆς χώρας σατράπην. Ἀντίγονος μὲν οὖν οὐ προσεῖχε τοῖς γραφεῖσιν ὑπὸ Περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων· Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς Φρυγίαν, ἀναδεξάμενος Εὐμενεῖ τὴν στρατείαν· Ἑκαταίου δὲ τοῦ Καρδιανῶν τυράννου συμμίξαντος αὐτῷ, καὶ δεομένου βοηθεῖν μᾶλλον Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκουμένοις, ὥρμητο διαβαίνειν, καὶ τὸν Εὐμενῆ παρεκάλει, καὶ διήλλαττε πρὸς Ἑκαταῖον. ἦν γὰρ αὐτοῖς πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους· καὶ πολλάκις ὁ Εὐμενὴς ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ Ἑκαταίου τυραννοῦντος, καὶ παρακαλῶν Ἀλέξανδρον ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. διὸ καὶ τότε τοῦ Εὐμενοῦς παραιτουμένου τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως Ἑκαταίῳ χαριζόμενος καὶ πάλαι μισῶν αὐτὸν ἀνέλῃ, πιστεύσας ὁ Λεοννάτος, οὐδὲν ὧν ἐφρόνει πρὸς αὐτὸν ἀπεκρύψατο. λό-

nec nimium ſe implicare Macedonum controverſiis. Quum autem amici Alexandri cæteri Babylone exceſſiſſent, remanens hic in urbe peditatum magna ex parte placavit, atque ad concordiam reddidit promptiorem. Ut vero convenerunt duces, & priore compreſſo tumultu, partiti ſunt ſatrapias & provincias, Eumeni ceſſit Cappadocia & Paphlagonia mari Pontico ſubjecta Trapezunte tenus, quæ tunc in Macedonum ditione nondum erat, ſiquidem regnum obtinebat ibi Ariarathes. Habebant autem in mandatis Leonatus & Antigonus, ut magna manu Eumenem eo deducerent, ſatrapamque illi oræ imponerent. Cæterum non obtemperavit Antigonus Perdiccæ literis, elatus jam animo atque deſpiciens omnes: Leonatus vero ex ſuperioribus provinciis deſcendit in Phrygiam, ac recepit Eumeni ſe illam expeditionem ſuſcepturum. Sed quum Cardianorum Hecatæus tyrannus, cum illo congreſſus, oraret ut Antipatro potius & obſeſſis Lamiæ Macedonibus iret ſuppetias, inſtituit trajicere: quo etiam invitavit Eumenem, eumque reconciliare eniſus eſt cum Hecatæo. Intercedebat enim paterna inter eos ex civilibus diſſenſionibus ſimultas. Eumenes autem frequenter Hecatæum tyrannidem parare aperte inſimulaverat, atque Alexandrum, ut Cardianis redderet libertatem, precatus fuerat. Quapropter detrectante tunc expeditionem in Græcos Eumene, & timere Antipatrum ſe dicente, ne qua in Hecatæi gratiam jam pridem alienus interficeret ſe, fidem habens ei Leonatus, nihil eorum conſiliorum ſuorum celavit. Nam verbo

λόγῳ μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποιεῖσθαι Μακεδονίας. καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας μεταπεμπομένης αὐτὸν εἰς Πέλλαν ὡς γαμησομένης. ὁ δὲ Εὐμενής, εἴτε τὸν Ἀντίπατρον δεδοικώς, εἴτε τὸν Λεοννάτον ἔμπληκτον ὄντα καὶ φορᾶς μεστὸν ἀβεβαίου καὶ ὀξείας ἀπογνούς, νύκτωρ ἀνέζευξεν τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν. εἶχεν δὲ τριακοσίους μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους· ἐν δὲ χρυσοῖς εἰς ἀργυρίου λόγον, τάλαντα πεντακισχίλια. φυγὼν δὲ οὕτω πρὸς Περδίκκαν, καὶ τὰ Λεοννάτου βουλεύματα κατειπών, εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ, καὶ τοῦ συνεδρίου μετεῖχεν. ὀλίγον δὲ ὕστερον εἰς Καππαδοκίαν κατήχθη μετὰ δυνάμεως, αὐτοῦ Περδίκκου παρόντος καὶ στρατηγοῦντος. Ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου, καὶ τῆς χώρας ὑποχειρίου γενομένης, ἀποδείκνυται σατράπης. καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτοῦ φίλοις παρέδωκε, καὶ φρουράρχους ἐγκατέστησεν, καὶ δικαστὰς ἀπέλιπεν, καὶ διοικητὰς οὓς ἐβούλετο, τοῦ Περδίκκου μηδὲν ἐν τούτοις πολυπραγμονοῦντος. αὐτὸς δὲ συνανέζευξεν, ἐκεῖνόν τε θεραπεύων, καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βουλόμενος.

Οὐ μὴν ἀλλ' ὁ Περδίκκας, ἐφ' ἃ μὲν ὥρμητο, πιστεύων δι' αὐτοῦ προσάξασθαι, τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμενῆ, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτοῦ σατραπείαν, ἔργῳ δέ, τὴν ὅμορον Ἀρμενίαν τεταραγμένην ὑπὸ Νεοπτολέμου διὰ χειρὸς ἕξοντα. τοῦτον μὲν οὖν ὁ Εὐμενής, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν· αὐτὸς δὲ τὴν φάλαγ-

γα

bo dicebat & prætexebat subsidium se laturum Antipatro, verum deliberaverat, traducto exercitu, illico Macedoniam asserere, & epistolas monstravit ei Cleopatræ Pellam se velut ad connubium accersentis. At Eumenes, seu quod Antipatrum formidaret, seu quod vecordem Leonatum & impetu motum instabili præcipitique haberet pro deplorato, nocte cum impedimentis suis discessit. Habebat autem secum equites trecentos, & ex famulis suis stipatores ducentos, auri ad argenti rationem quinque millia talentorum. Ita ad Perdiccam confugit, consiliisque proditis Leonati, statim multum apud eum potuit, atque adhibitus est in concilio. Post aliquanto in Cappadociam cum exercitu ipso præsente & ductore Perdicca est deductus. Capto Ariarathe, & provincia subacta, declaratur satrapa. Urbes commisit amicis suis, iisque præfectos cum præsidiis imposuit. Judices ibidem & procuratores, quos sibi visum fuit, reliquit, nihil in his se ingerente Perdicca. Inde una cum Perdicca remeavit: quod tribuit ejus observantiæ, & ne abesset ab aula.

At vero confidens Perdiccas, quas ad res pergebat, ipsum eas per se confecturum, sed ad ea quæ relinquebat a tergo, impigro & fido custode se opus habere; ablegavit ex Cilicia Eumenem, verbo ad suam provinciam, revera quo confinem Armeniam a Neoptolemo commotam in potestate retineret. Quem Eumenes, quamvis animi tumore & inanibus spiritibus perversum, blandis verbis elaboravit in officio retinere. Quia vero phalan-

gem

γα τῶν Μακεδόνων ἐπηρμένην καὶ θρασεῖαν εὑρών, ὥσπερ ἀντίταγμα παρεσκεύαζεν αὐτῇ δύναμιν ἱππικήν, τῶν μὲν ἐγχωρείων τοῖς ἱππεύειν δυναμένοις ἀνεισφορίας διδοὺς καὶ ἀτελείας, τῶν δὲ περὶ αὐτὸν οἷς μάλιστα ἐπίστευεν, ὠνητοὺς διανέμων ἵππους, φιλοτιμίαις τε καὶ δωρεαῖς τά τε φρονήματα παροξύνων, καὶ τὰ σώματα κινήσεσιν καὶ μελέταις διαπονῶν· ὥστε τοὺς μὲν ἐκπλαγῆναι, τοὺς δὲ θαρρῆσαι τῶν Μακεδόνων, ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν ἠθροισμένους ἱππεῖς οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.

Ἐπεὶ δὲ Κρατερὸς καὶ Ἀντίπατρος τῶν Ἑλλήνων περιγενόμενοι διέβαινον εἰς Ἀσίαν, τὴν Περδίκκου καταλύσοντες ἀρχήν, καὶ προσηγγέλλοντο μέλλοντες ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας αὐτὸς ἐπὶ Πτολεμαῖον στρατεύων ἀπέδειξε τὸν Εὐμενῆ τῶν ἐν Ἀρμενίᾳ καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν. καὶ περὶ τούτων ἐπιστολὰς ἔπεμψεν, Ἀλκέταν μὲν καὶ Νεοπτόλεμον Εὐμενεῖ προσέχειν κελεύσας, Εὐμενῆ δὲ χρῆσθαι τοῖς πράγμασιν ὅπως αὐτὸς ἔγνωκεν. Ἀλκέτας μὲν οὖν ἄντικρυς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ' αὐτῷ Μακεδόνων Ἀντιπάτρῳ μὲν αἰδουμένων μάχεσθαι, Κρατερὸν δὲ καὶ δέχεσθαι δι' εὔνοιαν ἑτοίμων ὄντων. Νεοπτόλεμος δὲ βουλεύων μὲν ἐπ' Εὐμενεῖ προδοσίαν οὐκ ἔλαθε, καλούμενος δὲ οὐχ ὑπήκουσεν, ἀλλὰ παρέταττε τὴν δύναμιν. ἔνθα πρῶτον ὁ Εὐμενὴς ἀπέλαυσε τῆς ἑαυτοῦ προνοίας καὶ παρασκευῆς. ἡττώμενος γὰρ ἤδη κατὰ τὸ πεζόν, ἐτρέψατο τοῖς ἱππεῦσι τὸν Νεοπτόλεμον, καὶ τὴν ἀποσκευὴν ἔλαβεν αὐτοῦ, καὶ τῇ φάλαγγι διε-

σπαρ-

gem Macedonum inflatam & ferocientem offendit, confecit quam ei opponeret, manum equestrem, provincialibus, qui equis erant assueti, vectigalia remittens & immunitatem dans. Equos etiam emit, quos distribuit iis quibus ex comitatu suo maxime fidebat, largitionibus muneribusque animos eorum inflammans, corporaque exercitationibus & disciplina formans. Unde illi Macedones obstupuerunt, hi redditi sunt alacres, ubi exiguo spatio viderunt apud eum coactos equites non minus sex millia trecentos.

Postquam Craterus & Antipater devictis Græcis in Asiam ad Perdiccæ opprimendum imperium transierunt, quos impressionem facturos nuntiabatur in Cappadociam: Perdiccas, qui ipse movebat in Ptolemæum, Eumenem legionum quæ in Armenia & Cappadocia erant ducem cum summo imperio creavit. Hac de re literas misit, atque Alcetam cum Neoptolemo Eumeni præcepit dicto audientes esse, Eumenem vero pro suo agere arbitrio. Eam expeditionem Alcetas aperte abnuit, quod Macedones, quibus præerat, conferre cum Antipatro erubescerent arma, Crateri autem adeo essent studiosi, ut etiam recipere essent eum parati. Neoptolemus vero proditionem Eumeni moliebatur, verum non fuit clam: qui quum accerseretur, non paruit, sed aciem direxit copiarum suarum. Ibi primum fructum cepit Eumenes providentiæ & apparatus sui: quippe inclinata jam acie peditum suorum, profligavit Neoptolemum equitatu, cepitque impedimenta ejus. Inde in dissipatam consectando

παρεμβαλὼν περὶ τὴν δίωξιν ἄθρους ἐπελάσας, ἠνάγκασε τὰ ὅπλα θέσθαι, καὶ λαβόντας ὅρκους αὐτῷ συστρατεύειν. ὁ μὲν οὖν Νεοπτόλεμος ὀλίγους τινὰς συναγαγὼν ἐκ τῆς τροπῆς, ἔφυγε πρὸς Κρατερὸν καὶ Ἀντίπατρον. παρ᾽ ἐκείνων δὲ ἀπεστάλη πρεσβεία πρὸς Εὐμενῆ, παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτοὺς, καρπούμενον μὲν ἃς εἶχε σατραπείας, προσλαβόντα δὲ στρατιὰν καὶ χώραν παρ᾽ αὐτῶν, Ἀντιπάτρῳ μὲν ἀντ᾽ ἐχθροῦ φίλον γενόμενον, Κρατερῷ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον. ταῦτα ὁ Εὐμενὴς ἀκούσας, Ἀντιπάτρῳ μὲν, οὐκ ἂν ἔφη παλαιὸς ὢν ἐχθρὸς, νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον· Κρατερὸν δὲ Περδίκκᾳ διαλλάττειν ἕτοιμος εἶναι, καὶ συνάγειν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις· ἄρχοντος δὲ πλεονεξίας, τῷ ἀδικουμένῳ βοηθήσειν, μέχρις ἂν ἐμπνέῃ, καὶ μᾶλλον τὸ σῶμα καὶ τὸν βίον ἢ τὴν πίστιν προήσεσθαι.

Οἱ μὲν οὖν περὶ τὸν Ἀντίπατρον πυθόμενοι ταῦτα, κατὰ σχολὴν ἐβουλεύοντο περὶ τῶν ὅλων· ὁ Νεοπτόλεμος δὲ μετὰ τὴν φυγὴν ἀφικόμενος πρὸς αὐτοὺς, τήν τε μάχην ἀπήγγελλεν καὶ παρεκάλει βοηθεῖν, μάλιστα μὲν ἀμφοτέρους, πάντως δὲ Κρατερόν· ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον ὑπὸ τῶν Μακεδόνων, κἂν μόνον ἴδωσι τὴν καυσίαν αὐτοῦ καὶ τὴν φωνὴν ἀκούσωσι, μετὰ τῶν ὅπλων ἥξειν φερομένους. καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ Κρατεροῦ μέγα, καὶ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοὶ, μνημονεύοντες ὅτι καὶ πρὸς Ἀλέξανδρον ὑπὲρ αὐτῶν ἀνεδέξατο πολλάκις ἀπεχθείας πολλὰς ὑποφερομένου πρὸς τὸν Περσικὸν ζῆλον ἀντιλαμβανόμενος, καὶ τοῖς πατρίοις ἀμύ-

sectando phalangem conglobato equitatu suo invectus, arma coegit eos ponere, adegitque sacramento ipsum sequuturos. Neoptolemus, paucis ex fuga collectis, recurrit ad Craterum & Antipatrum. Ab illis ad Eumenem legati missi, qui inducerent eum ut transiret ad ipsos retentis provinciis suis, acceptisque insuper ab ipsis aliis copiis & provinciis, rediretque cum Antipatro in gratiam, nec Cratero fieret ex amico hostis. Quibus expositis, negavit se Eumenes Antipatro, quicum vetus sibi inimicitia intercederet, nunc amicum fore, quando eum amicos videat inimicorum more tractantem: ad Craterum vero cum Perdicca reconciliandum atque æquis conditionibus in gratiam reducendum omnem suam offerre operam. Quod si incurrere affectet in eum, non defuturum se, quoad spiraret, læso: priusque & corpus & animam quam fidem amissurum.

His renuntiatis Antipatro, de summa rerum per otium deliberaverunt. Neoptolemus autem, quum ex fuga se contulisset ad illos, fecit eos de prœlio commisso certiores, instititque ut suppetias ferrent sibi, maxime ambo, Craterus certe. Illum enim desiderari dicebat a Macedonibus mirifice, cujus si causiam modo conspexissent & audivissent vocem, cum armis illos ad eum concursuros. Nempe erat profecto nomen ingens Crateri, ejusque desiderio post Alexandri obitum flagrabat vulgus militum, memores multas eum crebro indignationes pro ipsis apud Alexandrum excepisse, quum ad fastum Persicum retineret sensim delabentem, moresque patrios,

ἀμοιβῶν, διὰ τρυφὴν καὶ ὄγκον ἤδη περιυβριζομένοις. τότε δ' οὖν ὁ Κρατερὸς τὸν μὲν Ἀντίπατρον εἰς Κιλικίαν ἀπέστελλεν, αὐτὸς δὲ τῆς δυνάμεως ἀναλαβὼν πολὺ μέρος, ἐπὶ τὸν Εὐμενῆ μετὰ τοῦ Νεοπτολέμου προσῆγεν· οἰόμενος οὐ προσδεχομένῳ, καὶ μετὰ πρόσφατον νίκην ἐν ἀταξίᾳ καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν ἐπιπεσεῖσθαι. τὸ μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν Εὐμενῆ, καὶ προπαρασκευάσασθαι, νηφούσης ἄν τις ἡγεμονίας, οὐ μὴν ἄκρας θείη δεινότητος· τὸ δὲ, μὴ μόνον τοὺς πολεμίους, ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι, διαφυγεῖν, ἀλλὰ καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους ἀγνοοῦντας ᾧ μαχοῦνται, προενστῆσαι τῷ Κρατερῷ, καὶ ἀποκρύψαι τὸν ἀντιστράτηγον, ἴδιον δοκεῖ τοῦτο τοῦ ἡγεμόνος ἔργον γενέσθαι. διέδωκεν μὲν οὖν λόγον ὡς Νεοπτόλεμος αὖθις ἐπίοι, καὶ Πίγρης, ἔχοντες ἱππεῖς καὶ Καππαδοκῶν καὶ Παφλαγόνων. νυκτὸς δὲ ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν, ὄψιν εἶδεν ἀλλόκοτον. ἐδόκει γὰρ ὁρᾶν Ἀλεξάνδρους δύο παρασκευαζομένους ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον ἡγούμενον φάλαγγος· εἶτα, τῷ μὲν τὴν Ἀθηνᾶν, τῷ δὲ τὴν Δήμητρα βοηθοῦσαν ἐλθεῖν. γενομένου δὲ ἀγῶνος ἰσχυροῦ, κρατηθῆναι τὸν μετὰ τῆς Ἀθηνᾶς· τῷ δὲ νικῶντι, σταχύων δρεπομένην τὴν Δήμητρα συμπλέκειν στέφανον. αὐτόθεν μὲν οὖν τὴν ὄψιν εἴκαζεν εἶναι πρὸς αὐτοῦ, μαχομένου περὶ τῆς ἀρίστης καὶ τότε πολὺν καὶ καλὸν ἐχούσης ἐν κάλυκι στάχυν. ἅπασα γὰρ κατέσπαρτο, καὶ παρεῖχεν εἰρήνῃ πρέπουσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων κομώντων. μᾶλλον δὲ ἐπερρώσθη, πυθόμενος σύνθημα τοῖς πολεμίοις Ἀθηνᾶν καὶ Ἀλέξανδρον εἶναι. Δήμητρα δὲ δὴ καὶ αὐτὸς ἐδί-

δου

trios, quos luxu & supercilio conculcabat, vindicaret. Igitur in præsentia Antipatrum Craterus in Ciliciam misit: ipse cum magna parte exercitus socio Neoptolemo movit in Eumenem, nec exspectantem ratus se, & sub recentem victoriam cum incondito exercitu & poculis implicato oppressurum. Quod autem adventum ejus Eumenes præsensit & se præparavit, vigilantiæ quidem duci, non eximiæ tamen solertiæ ascribas. Quod vero non solum caverit ne hostes, quæ ipsi nocitura erant, sentirent, verum etiam ut milites suos ignaros quicum conferrent signa occupaverit immittere in Craterum, & ducem occultaverit adversarium, ea singularis videtur ars fuisse imperatoris. Divulgavit igitur rumorem, Neoptolemum iterum ingruere & Pigrem cum Cappadocum & Paphlagonum equitatu. Quum pararet de nocte movere, mox prodigiosa sopore oppresso oblata visio est. Alexandros duos visus est videre ad prœlium inter se committendum instruentes aciem, ac singulas utrumque ducere phalanges: hinc uni Minervam, alteri Cererem auxilio venire. Commisso acri certamine fusum a quo stabat Minerva, victori Cererem desectis spicis coronam contexere. Hoc visum protinus conjecit secundum esse sibi, qui pro optimo agro & id temporis præclaram habente in folliculis spicam dimicaret. Plenus enim totus sementis erat, & speciem præbebat pax splendidam, magna comantibus ubertate campis. Jam magis erectus est, postquam accepit signum pugnæ hostibus Minervam & Alexandrum esse. Itaque signum ipse quoque

4 suis

δε σύνθημα καὶ Ἀλέξανδρον, ἀναδεῖσθαί τε πάντας ἐκέλευεν, καὶ καταςέφειν τὰ ὅπλα τῶν ςαχύων λαμβάνοντας. ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσιν καὶ ςρατηγοῖς, πρὸς ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὑτῷ θέμενος ἀποκρύψαι καὶ καταχέειν ἀπόρρητον οὕτως ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς, καὶ διεπίςευσε τῇ γνώμῃ τὸν κίνδυνον.

Ἀντέταξε δὲ Κρατερῷ Μακεδόνων μὲν οὐδένα, δύο δὲ ἱππαρχίας ξενικάς, ὧν Φαρνάβαζος ὁ Ἀρταβάζου καὶ Φοῖνιξ ὁ Τενέδιος ἡγοῦντο, διακελευσάμενος, ὀφθέντων τῶν πολεμίων, ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι, μὴ διδόντας ἀναςροφὴν, μηδὲ φωνὴν μηδὲ κήρυκα πεμπόμενον προσιεμένους. ἐδεδίει γὰρ ἰσχυρῶς τοὺς Μακεδόνας, μὴ γνωρίσαντες τὸν Κρατερὸν, οἴχωνται μεταβαλόμενοι πρὸς ἐκεῖνον. αὐτὸς δὲ τοὺς ἐῤῥωμενεςάτους ἱππεῖς τριακοσίους εἰς ἄγημα συντάξας, καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν, ἔμελλε τοῖς περὶ Νεοπτόλεμον ἐπιχειρεῖν. ὡς δὲ τὸν ἐν μέσῳ λόφον ὑπερβαλόντες ὤφθησαν, ὀξεῖαν καὶ μεθ' ὁρμῆς σφοδροτέρας ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ Κρατερὸς, καὶ πολλὰ λοιδορήσας τὸν Νεοπτόλεμον, ὡς ἐξηπατημένος ὑπ' αὐτοῦ περὶ τῆς τῶν Μακεδόνων μεταβολῆς, ἐγκελευσάμενος ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν, ἀντεξήλασε. γενομένης δὲ τῆς πρώτης συῤῥάξεως βαρείας, καὶ τῶν δοράτων ταχὺ συντριβέντων, τοῦ δὲ ἀγῶνος ἐν τοῖς ξίφεσιν ὄντος, οὐ καταισχύνας ὁ Κρατερὸς τὸν Ἀλέξανδρον, ἀλλὰ πολλοὺς μὲν καταβαλὼν, πολλάκις δὲ τρεψάμενος τοὺς ἀντιτεταγμένους, τέλος δὲ πληγεὶς

suis Cererem & Alexandrum dedit, præcepitque omnibus ut corona caput & arma spicea redimirent. Quamvis autem conatum ceperat sæpe præfectis & ducibus suis, quicum decertandum esset, enuntiare & aperire, neque apud unum se tegere & supprimere arcanum tam necessarium, perstitit tamen in consilio suo, & menti suæ concredidit periculum.

Cratero ex adverso neminem locavit Macedonum, sed duas externorum equitum alas, quas Pharnabazus Artabazi filius & Tenedius Phœnix ducebat. His imperavit, ut in hostes, simul atque in conspectu forent, inveherent extemplo, manusque consererent, nec darent iis receptum, neu verba caduceatoremve missum admitterent. Timebat enim majorem in modum, ne agnito Cratero Macedones ad eum transirent. Ipse equitibus trecentis fortissimis in agema centuriatis, provectus in dextrum cornu erat, Neoptolemum adoriturus. Ubi tumulo qui intermedius erat, superato conspecti sunt, impetumque dederunt acriorem & concitatiorem, obstupefactus Craterus, multis convitiis Neoptolemum, quod ab eo esset Macedonum defectione elusus, laceravit: adhortatusque duces suos ad pugnam strenue capessendam, infestus invexit se in hostem. Fuit durus primus concursus, lanceisque cito defractis, ubi res gladiis geri cœpit, non dehonestavit Craterus Alexandrum, verum multis confossis, sæpiusque aversis illis quos contra stabat, vulneratus demum a Thrace ex

γεὶς ὑπὸ Θρᾳκὸς ἐκ πλαγίων προσελάσαντος, ἀπερρύη τοῦ ἵππου. πεσόντα δὲ αὐτὸν οἱ μὲν ἄλλοι παρήλασαν ἀγνοοῦντες· Γοργίας δὲ, τῶν Εὐμένους στρατηγῶν, ἔγνω τε, καὶ καταβὰς περιέστησεν φρουρὰν τῷ σώματι, κακῶς ἤδη διακειμένου καὶ δυσθανατοῦντος. ἐν τούτῳ δὲ καὶ Νεοπτόλεμος Εὐμενεῖ συνήρχετο. μισοῦντες γὰρ ἀλλήλους πάλαι καὶ δι' ὀργῆς ἔχοντες, ἐν μὲν δυσὶν ἀναστροφαῖς οὐ κατεῖδον, ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες εὐθὺς ἤλαυνον, σπασάμενοι τὰ ἐγχειρίδια καὶ βοῶντες. τῶν δ' ἵππων ἐξ ἐναντίας βίᾳ συμπεσόντων, ὥσπερ τριηρῶν, τὰς ἡνίας ἀφέντες, ἀλλήλων ἐπελάβοντο ταῖς χερσὶν, τά τε κράνη περισπῶντες, καὶ περιρρηγνύντες ἐκ τῶν ἐπωμίδων τοὺς θώρακας. πρὸς δὲ τὸν σπαραγμὸν ὑπεκδραμόντων ἅμα τῶν ἵππων, ἀπορρυέντες εἰς γῆν, καὶ περιπεσόντες ἀλλήλοις, ἐν λαβαῖς ἦσαν καὶ διεπάλαιον. εἶτα ὁ μὲν Εὐμένης τοῦ Νεοπτολέμου προεξανισταμένου τὴν ἰγνύαν ὑπέκοψεν, αὐτὸς εἰς ὀρθὸν φθάσας καταστῆναι· ὁ δὲ Νεοπτόλεμος εἰς θάτερον ἐρεισάμενος γόνυ, θάτερον δὲ πεπηρωμένος ἠμύνετο μὲν εὐρώστως κάτωθεν, οὐ θανασίμους δὲ πληγὰς ὑποφέρων· πληγεὶς δὲ περὶ τὸν τράχηλον, ἔπεσεν καὶ παρείθη. τοῦ δὲ Εὐμένους δι' ὀργὴν καὶ μῖσος παλαιὸν τά τε ὅπλα περισπῶντος αὐτοῦ καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων, ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας, ᾗ παρέψαυσε τοῦ βουβῶνος ἀποβάς. ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν ἢ ἔβλαψε τὸν Εὐμένη, δι' ἀσθένειαν ἀμυδρὰ γενομένη. σκυλεύσας δὲ τὸν νεκρὸν, εἶχε μὲν χαλεπῶς ὑπὸ τραυμάτων, μηροὺς καὶ βραχίονας διακεκομμένος· ὅμως δὲ ἀναβληθεὶς ἐπὶ τὸν ἵππον, ἐδίωκε πρὸς θάτε-

ex latere invecto defluxit ex equo. Jacentem quum alii incognitum essent prælati, unus ex Eumenis ducibus Gorgias cognovit eum, desiliensque ex equo custodiam corpori graviter jam affecti animamque agentis adhibuit. Congreditur interea cum Eumene Neoptolemus. Inveterato enim inter se odio & simultate inflammati, duobus concursibus non percepit alter alterum. In tertio ubi inter se cognoverunt, protinus strictis gladiis cum clamore admiserunt equos. Ut infesti equi triremium modo acriter concurrerunt, remissis habenis injiciunt sibi mutuo manus, detrahunt cassides, & divellunt ex humeris loricas. Dum ita se invicem lacerant, equis simul subterfugientibus, in terram delapsi & connexi prehendunt alter alterum, colluctanturque. Inde Eumenes priori assurgenti Neoptolemo poplitem succidit, maturavitque attollere se in pedes. Neoptolemus altero innixus genu, altero afflictus, strenue ex inferiore loco dimicabat, sed vulnera non inferebat lethalia: percussus autem secundum collum, concidit elanguitque. Quem dum Eumenes ex ira & vetere odio spoliat atque increpat dictis, gladio, quem adhuc tenebat, imprudentem subter loricam, qua attingit inguina, vulnerat. Ictus debiliter adactus terruit quam læsit magis Eumenem. Detractis exanimi spoliis, graviter cruciatus femorum & brachiorum trajectorum vulneribus, equo impositus tamen, ad alterum cor-

θάτερον κέρας, ὡς ἔτι συνεστώτων τῶν πολεμίων. πυθόμενος δὲ τὴν Κρατεροῦ τελευτήν, καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα καὶ συνιέντα, καταβὰς ἀπεδάκρυσεν, καὶ τὴν δεξιὰν ἐνέβαλεν, καὶ πολλὰ μὲν ἐλοιδόρησε τὸν Νεοπτόλεμον, πολλὰ δὲ ἐκεῖνον μὲν ᾠκτίσατο τῆς τύχης, αὐτὸν δὲ τῆς ἀνάγκης, δι' ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει ταῦτα πεισόμενος ἢ δράσων συνηνέχθη.

Ταύτην τὴν μάχην Εὐμενὴς ἡμέραις δέκα σχεδὸν τῇ μετὰ τὴν προτέραν ἐνίκησεν· καὶ δόξῃ μὲν ἤρθη μέγας ἀπ' αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ, τὰ δὲ ἀνδρείᾳ κατειργασμένος. φθόνον δὲ πολὺν ἔσχεν καὶ μῖσος ὁμαλῶς παρά τε τοῖς συμμάχοις καὶ τοῖς πολεμίοις, ὡς ἔπηλυς ἀνὴρ καὶ ξένος ὅπλοις καὶ χερσὶν τῶν Μακεδόνων τὸν πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. ἀλλ' εἰ μὲν ἔφθη Περδίκκας πυθόμενος τὴν Κρατεροῦ τελευτήν, οὐκ ἂν ἄλλος ἐπρώτευσε Μακεδόνων· νυνὶ δὲ ἀνῃρημένου Περδίκκου κατὰ στάσιν ἐν Αἰγύπτῳ δυσὶν ἡμέραις πρότερον, ἧκεν οὗτος ὁ περὶ τῆς μάχης λόγος εἰς τὸ στρατόπεδον· καὶ πρὸς ὀργὴν εὐθὺς οἱ Μακεδόνες θάνατον τοῦ Εὐμενοῦς κατέγνωσαν. ἀπεδείχθη δὲ τοῦ πολέμου τοῦ πρὸς αὐτὸν Ἀντίγονος μετὰ Ἀντιπάτρου στρατηγός. ἐπεὶ δὲ Εὐμενὴς τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν Ἴδην νεμομένοις ἐπιτυχών, καὶ λαβὼν ἵππους ὅσων ἔχρῃζεν τοῖς ἐπιμεληταῖς τὴν γραφὴν ἔπεμψεν, λέγεται γελάσαι τὸν Ἀντίπατρον, καὶ εἰπεῖν, ὅτι θαυμάζει τὸν Εὐμενῆ τῆς προνοίας, ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν τῶν βασιλικῶν, ἢ λήψεσθαι παρ' αὐτῶν. περὶ δὲ τὰς Σάρδεις ἐβού-

cornu, ratus id adhuc ſtare in acie, advolat. Cæde autem Crateri nuntiata, advectus ad eum, atque ubi ſpirantem & mentis compotem vidit, equo delapſus illacrymavit, dextramque ei injecit, atque hinc Neoptolemum acerbe probris proſcidit, hinc illius caſum, & neceſſitatem miſeratus eſt ſuam, per quam cum amico & familiari commiſſus, aut accipere hanc calamitatem aut inferre fuiſſet adactus.

Hujus prœlii Eumenes diebus decem circiter a priori palmam tulit, ac gloriam ea conciliavit illi ingentem, quod partim ſapientia, partim virtute eam peperiſſet: e diverſo grandem conflavit ei invidiam juxta & odium tam apud ſocios quam hoſtes, quod peregrinus & hoſpes Macedonum armis ac viribus virum inter eos primarium & clariſſimum ſuſtuliſſet. Quod ſi maturius allatus ad Perdiccam exceſſus eſſet Crateri, nullus inter eos principatum tuliſſet alius. Nunc diebus duobus ante interempto per ſeditionem in Ægypto Perdicca, allata in caſtra eſt hujus conflictus fama, atque extemplo Eumenem infenſi Macedones capitis damnaverunt. Dux contra eum Antigonus cum Antipatro deligitur. Quum Eumenes in regia equitia, quæ ad Idam paſcebant, incidiſſet, atque ex his ſumpſiſſet quot haberet opus, rationemque procuratoribus ſcriptam miſiſſet, dicitur riſiſſe Antipater, ac dixiſſe, mirari ſe cautionem Eumenis, qui exſpectet ipſis ſe de rebus regiis relaturum rationem, aut repetiturum ab ipſis. At circa Sardes viſum

ἐβέλετο μὲν ἱπποκρατῶν ὁ Εὐμένης τοῖς Λυδοῖς ἐναγωνίσαϑαι πεδίοις, ἅμα καὶ τῇ Κλεοπάτρᾳ τὴν δύναμιν ἐπιδεῖξαι φιλοτιμέμενος. αὐτῆς δὲ ἐκείνης δεηθείσης (ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον) ἐξήλασεν εἰς τὴν ἄνω Φρυγίαν, καὶ διεχείμαζεν ἐν Κελαιναῖς· ὅπε τῶν μὲν περὶ τὸν Ἀλκέταν καὶ Πολέμωνα καὶ Δόκιμον ὑπὲρ ἡγεμονίας διαφιλοτιμεμένων πρὸς αὐτὸν, Τῦτο ἦν, ἔφη, τὸ λεγόμενον, ὀλέθρε δὲ ὐθεὶς λόγος. τοῖς δὲ στρατιώταις ὑποσχόμενος ἐν τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν, ἐπίπρασκεν αὐτοῖς τὰς κατὰ τὴν χώραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ βοσκημάτων γεμέσας. ὁ δὲ πριάμενος ἡγεμὼν τάγματος ἢ ξεναγὸς, ὄργανα καὶ μηχανὰς λαβὼν, τῦ Εὐμένες παρέχοντος, ἐξεπολιόρκει, καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. ἐκ δὲ τέτε πάλιν ὁ Εὐμένης ἠγαπᾶτο, καί ποτε γραμμάτων ἐν τῷ στρατοπέδῳ φανέντων, ἃ διέῤῥιψαν οἱ τῶν πολεμίων ἡγεμόνες, ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ κτείναντι τὸν Εὐμένη, σφόδρα παρωξύνθησαν οἱ Μακεδόνες· καὶ δόγμα ποιῦνται χιλίες τῶν ἡγεμονικῶν περὶ αὐτὸν ἀεὶ δορυφορῦντας εἶναι, καὶ φυλάττειν ἐν περιόδῳ καὶ παρανυκτερεύειν. οἱ δὲ ἐπείθοντο, καὶ τιμὰς ἠγάπων παρ' αὐτῦ λαμβάνοντες, ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων. ἐξῆν γὰρ Εὐμενεῖ καὶ καυσίας ἁλυργεῖς καὶ χλαμύδας διανέμειν, ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ Μακεδόσιν.

Τὸ μὲν ὖν εὐτυχεῖν καὶ τὺς φύσει μικρὺς συνεπικυφίζει τοῖς φρονήμασιν,

visum erat Eumeni in campis decertare Lydiis, quod ab equitatu firmus esset, simul quod etiam Cleopatræ vires suas ostentare gestiret. Verum illius ipsius adductus precibus, verentis ne calumniæ sibi apud Antipatrum foret, superiorem Phrygiam petivit, Ehybernavitque Celænis. Ubi Alceta, Polemone, & Docimo cum eo ambigentibus de summo imperio, Hoc illud, inquit, est quod dici solet, Exitii nulla habetur ratio. Militibus intra triduum solvere stipendium pollicitus, fecit iis villarum illius regionis castellorumque hominibus & pecore refertorum auctionem. Qui mercatus aliqua fuerat ordinum ductor vel mercenariorum militum præfectus, tormentis & machinis Eumene præbente acceptis, expugnabat ea, prædamque in debitum stipendium milites partiebantur. Hinc cœpit Eumenes iterum esse charus. Atque adeo quum aliquando reperti in castris fuissent libelli, quos duces hostium abjiciendos passim curaverant, centum talenta & honestum ordinem proponentes ei qui Eumenem interfecisset, exarsere graviter Macedones, decreveruntque ut ex præstantissimis mille essent assidue corporis ejus custodes, stationesque & excubias vicissim agerent. Obtemperabant illi, lætique præmia accipiebant ab eo, quæ a regibus solent amici; siquidem jus Eumeni erat causias purpureas & chlamydes conferendi: quod habebatur apud Macedonas inter dona regia præcipuum.

Porro secundus quidem fortunæ cursus elevat vel natura pusillanimorum spiritus, ut

σιν, ὥστε φαίνεσθαί τε μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον, ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. ὁ δὲ ἀληθῶς μεγαλόφρων καὶ βέβαιος, ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων γίνεται κατάδηλος, ὥσπερ Εὐμενής. πρῶτον μὲν γὰρ ἐν Ὀρκυνίοις τῆς Καππαδοκίας ἡττηθεὶς ὑπὸ Ἀντιγόνου διὰ προδοσίαν, καὶ διωκόμενος, οὐ παρῆκε τὸν προδότην ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τοὺς πολεμίους, ἀλλὰ συλλαβὼν ἐκρέμασεν. φεύγων δὲ τὴν ἐναντίαν ὁδὸν τοῖς διώκουσιν, μετέβαλε λαθὼν, καὶ παραλλάξας, ὡς ἦλθεν ἐπὶ τὸν τόπον οὗ τὴν μάχην συνέβη γενέσθαι, κατεστρατοπέδευσεν· συναγαγὼν τοὺς νεκροὺς, καὶ τῶν ἐν κύκλῳ κωμῶν τὰ θυρώματα κατασχίσας ἔκαυσεν ἰδίᾳ μὲν ἡγεμόνας, ἰδίᾳ δὲ τοὺς πολλοὺς, καὶ πολυάνδρεια χώσας ἀπῆλθεν· ὥστε καὶ τὸν Ἀντίγονον ὕστερον ἐπελθόντα θαυμάζειν τὸ θάρσος αὐτοῦ καὶ τὴν εὐστάθειαν. ἔπειτα ταῖς ἀποσκευαῖς τοῦ Ἀντιγόνου περιπεσὼν, καὶ λαβεῖν ῥᾳδίως δυνάμενος πολλὰ μὲν ἐλεύθερα σώματα, πολλὴν δὲ θεραπείαν, καὶ πλοῦτον ἐκ πολέμων τοσούτων καὶ λεηλασιῶν ἠθροισμένον, ἔδεισε μὴ καταπλησθέντες ὠφελείας καὶ λαφύρων οἱ σὺν αὐτῷ, βαρεῖς γένωνται πρὸς τὴν φυγὴν καὶ μαλακώτεροι τὰς πλάνας ὑπομένειν, καὶ τὸν χρόνον, ἐν ᾧ μάλιστα τοῦ πολέμου τὰς ἐλπίδας εἶχεν, ὡς ἀποστρέψων τὸν Ἀντίγονον. ἐπεὶ δὲ ἄντικρυς χαλεπὸν ἦν ἀποτρέπειν Μακεδόνας, χρημάτων ἐν ἐφικτῷ παρόντων, ἐκέλευσεν θεραπεύσαντας αὐτοὺς, καὶ τοῖς ἵπποις χιλὸν ἐμβαλόντας, οὕτω βαδίζειν ἐπὶ τοὺς πολεμίους. αὐτὸς δὲ πέμπει κρύφα πρὸς τὸν ἐπὶ τῆς ἀποσκευῆς τῶν πολεμίων Μένανδρον, ὡς κηδό-

ut magnificentiam & fastum circa se ex rebus despicientes excelsis repræsentent: at vere magnanimus & constans, quum titubavit & aspera premitur fortuna, excitans sese magis elucescit, velut Eumenes. Primum enim in Orcyniis Cappadociæ ab Antigono per proditionem fusus, dum consectantur fugientem, non dedit facultatem proditori, ut ex fuga elaberetur ad hostes, sed arreptum suspendit. Fugiens autem contraria ac illi tenebant via, qui eum insequebantur, insciis illis convertit iter, atque præteritis hostibus, ut ad locum venit ubi fuerat pugnatum, castra metatus mortuos coacervatos circumjectorum vicorum diruptis foribus cremavit, seorsum duces, seorsum gregarios milites, excitatisque tumulis recepit se: adeo ut Antigonus, qui post eo pervenit, stuperet audaciam atque immotum ejus animum. Hinc incidens in Antigoni impedimenta, quum capere ex facili valeret multa libera capita & magnam vim servitiorum opumque ex tot collectorum bellis & populationibus; veritus est ne repleti compendio & præda sui evaderent ad fugam ignavi, mollioresque ad sustinendum errores tempusque vagando terendum, in quo potissimum spem collocaverat belli, ut alio aversurus Antigonum. Sed quia prorsus molestum videbatur opibus illis sub manu positis retinere Macedonas, jussit ut corpora curarent & pabulum darent equis, inde hostes adorirentur. Mox in occulto ad Menandrum super hostium impedimenta positum mit-

κηδόμενος αὐτοῦ φίλου γεγονότος καὶ συνήθους, φράξασθαι παραινῶν, καὶ ἀναχωρῆσαι τὴν ταχίστην ἐκ τῶν ἐπιδρόμων καὶ ταπεινῶν πρὸς τὴν ἐγγὺς ὑπώρειαν, ἄφιππον οὖσαν καὶ κυκλώσεις οὐκ ἔχουσαν. τοῦ δὲ Μενάνδρου ταχὺ συμφρονήσαντος τὸν κίνδυνον καὶ ἀνασκευασαμένου, κατασκόπους ἔπεμπεν ὁ Εὐμενὴς φανερῶς, καὶ παρήγγειλεν τοῖς στρατιώταις ὁπλίζεσθαι, καὶ τοὺς ἵππους ἐγχαλινοῦν, ὡς προσάξων τοῖς πολεμίοις. τῶν δὲ κατασκόπων ἀπαγγειλάντων ὅτι παντάπασιν ὁ Μένανδρος ἄληπτος εἴη, καταπεφευγὼς εἰς τόπους χαλεπούς, ἄχθεσθαι προσποιούμενος ὁ Εὐμενὴς ἀπῆγε τὴν στρατιάν. λέγεται δέ, τοῦ Μενάνδρου ταῦτα μαρτυρήσαντος πρὸς τὸν Ἀντίγονον, καὶ τῶν Μακεδόνων ἐπαινούντων τὸν Εὐμενῆ, καὶ φιλανθρωπότερον διατεθέντων, ὅτι καὶ παῖδας αὐτῶν ἀνδραποδίσασθαι καὶ γυναῖκας αἰσχῦναι παρὸν, ἐφείσατο καὶ παρῆκεν, ἀλλ' ἐκεῖνο φάναι τὸν Ἀντίγονον οὐχ ὑμῶν, ὦ μακάριοι, κηδόμενος παρῆκεν, ἀλλ' αὐτῷ φεύγοντι δεδιὼς περιθεῖναι πέδας τοσαύτας.

Ἐκ τούτου πλανώμενος ὁ Εὐμενὴς καὶ ὑποφεύγων, ἔπεισε τοὺς πολλοὺς τῶν στρατιωτῶν ἀπελθεῖν, εἴτε κηδόμενος αὐτῶν, εἴτε ἐφέλκεσθαι μὴ βουλόμενος ἐλάττονας μὲν τοῦ μάχεσθαι, πλείονας δὲ τοῦ λανθάνειν ὄντας. καταφυγὼν δὲ εἰς Νῶρα, χωρίον ἐν μεθορίῳ Λυκαονίας καὶ Καππαδοκίας, μετὰ πεντακοσίων ἱππέων καὶ διακοσίων ὁπλιτῶν κἀντεῦθεν αὖθις, ὅσοι τῶν φίλων ἐδεήθησαν ἀφεθῆναι, τοῦ χωρίου τὴν χαλεπότητα καὶ τῆς διαίτης τὴν ἀνάγκην οὐ φέροντες, πάντας ἀσπασάμενος καὶ φιλοφρονηθεὶς ἀπέπεμψεν. ὡς δὲ ἐπελθὼν ὁ Ἀντίγονος

mittit, quasi de eo pro veteri amicitia & consuetudine esset solicitus, ut muniret se monens, maturaretque quam primum ex locis equitabilibus & planis se ad proximi montis latus recipere inequitabile, ut cingi non posset. Ut periculum Menander advertit, & vasis collectis itineri se accinxit, misit Eumenes propalam speculatores, militibusque tanquam signa moturus in hostem edixit, ut arma caperent, & equos haberent frænatos. Ubi vero renuntiaverunt exploratores Menandrum ad loca aspera refugisse, neque posse opprimi, fingens id moleste ferre, abduxit copias. Fama est, quum hæc testaretur apud Antigonum Menander, atque Eumenem collaudarent Macedones in partemque humaniorem verterent, quod liberos suos in servitutem redigere & constuprare uxores quum posset, abstinuisset & prætermisisset; atqui ille, dixisse Antigonum, non vestri causa, boni viri, abstinuit istis, verum ne tot se pedicis fugientem intricaret.

Hinc vagabundus Eumenes & fugitans, magnam partem militum induxit ut facesserent: vel quod eorum gereret solicitudinem, vel quod trahere eos secum nollet pauciores quam ad signa conferenda, & plures quam ad tegendam fugam suam. Postquam autem in Nora arcem ad Lycaoniæ & Cappadociæ positam confinium cum quingentis equitibus & ducentis peditibus refugit, quotquot amici ejus missionem postulaverunt, quod non ferrent asperitatem loci vel victus angustias, omnes complexus atque omni comitate eos prosequutus, missos fecit. Ut vero admoto exercitu Antigonus,

τίγονος εἰς λόγους αὐτὸν ἐκάλει πρὸ τῆς πολιορκίας, ἀπεκρίνατο πολλοὺς εἶναι τοὺς Ἀντιγόνου φίλους, καὶ μετ' Ἀντίγονον ἡγεμόνας· ὧν δ' αὐτὸς προπολεμεῖ, μηδένα λείπεσθαι μετ' αὐτόν. ὁμήρους δὲ πέμπειν ἐκέλευσεν, εἰ χρήζει διὰ λόγων αὐτῷ γενέσθαι. τοῦ δ' Ἀντιγόνου κελεύοντος ὡς κρείττονι λαλεῖν, οὐδένα, εἶπεν, ἐμαυτοῦ κρείττονα νομίζω, μέχρις ἂν ὦ τοῦ ξίφους κύριος. ὅμως δὲ πέμψαντος τοῦ Ἀντιγόνου τὸν ἀδελφιδοῦν Πτολεμαῖον εἰς τὸ χωρίον, ὥσπερ ἠξίωσεν ὁ Εὐμένης, κατέβη, καὶ περιβαλόντες ἀλλήλους ἠσπάσαντο φιλικῶς καὶ οἰκείως, ἅτε δὴ ἀλλήλοις κεχρημένοι πολλά, καὶ συνήθεις γεγονότες. λόγων δὲ γενομένων πολλῶν, καὶ τοῦ Εὐμένους οὐχ ὑπὲρ ἀσφαλείας μεμνημένου καὶ διαλύσεως, ἀλλὰ καὶ τὰς σατραπείας ἀξιοῦντος αὐτῷ βεβαιοῦσθαι, καὶ τὰς δωρεὰς ἀποδίδοσθαι, θαῦμα τοὺς παρόντας εἶχε, τὸ φρόνημα καὶ τὴν εὐτολμίαν ἀγαμένους. ἅμα δὲ πολλοὶ συνέτρεχον τῶν Μακεδόνων ἰδεῖν ὅστις ἐστὶν τὸν Εὐμενῆ ποθοῦντες. οὐ γὰρ ἑτέρου λόγος ἦν τοσοῦτος ἐν τῷ στρατῷ μετὰ τὴν τοῦ Κρατεροῦ τελευτήν. δείσας δὲ ὁ Ἀντίγονος ὑπὲρ αὐτοῦ, μή τι πάθῃ βίαιον, πρῶτον μὲν ἀπηγόρευε μὴ προσιέναι βοῶν, καὶ τοῖς λίθοις ἔβαλλε τοὺς ἐπιφερομένους· τέλος δὲ, ταῖς χερσὶ τὸν Εὐμενῆ περιβαλὼν, καὶ τὸν ὄχλον ἀπερύκων τοῖς δορυφόροις μόλις εἰς τὸ ἀσφαλὲς ἀποκατέστησεν.

Τοὐντεῦθεν ὁ μὲν περιτειχίσας τὰ Νῶρα, καὶ φρουρὰν καταλιπὼν, ἀνέζευξεν· Εὐμένης δὲ πολιορκούμενος, ἐγκρατὴς τοῦ χωρίου γέγονε, σῖτον καὶ ὕδωρ ἄφθονον καὶ ἅλας, καὶ ἄλλο μηδὲν ἔχοντος ἐδώδιμον, μηδὲ ἥδυσμα πρὸς τὸν σῖτον.

tigonus, antequam obsidere Eumenem cœpisset, evocavit eum ad colloquium, respondit multos Antigono amicos esse, & secundum Antigonum duces, illis, quos ipse defenderet, post se reliquum esse neminem. Mitteret igitur, si colloqui secum cuperet, obsides. Mandante Antigono, ad se sicut superiorem ut veniret, Neminem, inquit, quousque gladii compos ero, me censeo superiorem. Ubi tamen fratris filium Antigonus Ptolemæum, ut postulaverat Eumenes, misit in arcem, descendit, ac complexi inter se consalutavere amice & familiariter, quippe magnus inter eos usus & consuetudo intercesserat. Multa quum essent disputata, neque mentionem Eumenes salutis suæ & pacificationis ullam faceret, verum satrapias quoque posceret sibi firmari & prœmia reddi, obstupuerunt assistentes, admiratique sunt & laudaverunt animum ejus & fortitudinem: simul concursus frequentium Macedonum fiebat, videre qui esset, Eumenem cupientium. De nullo enim post Crateri fata tantus erat in exercitu sermo. Verum timens illi Antigonus, ne qua vis ei inferretur, primum voce, ne quis accederet, vetuit, & lapidibus incessit ingerentes se. Postremo brachiis Eumenem complexus, turbamque satellitibus summovens ægre reduxit eum in tutum.

Hinc Antigonus circumvallatis Noris, & statione relicta, inde movit. Eumenes circumsidebatur & tenebat præsidium. Ubi frumentum quidem & aquæ copia & sal, verum quod esui esset, vel condimenti aliud nihil sup-

σῖτον. ἐκ τῶν παρόντων ὅμως κατεσκεύαζε τοῖς συνοῦσιν ἱλαρὰν τὴν δίαιταν, ἐν μέρει τε παραλαμβάνων πάντας ἐπὶ τὴν αὐτοῦ τράπεζαν, καὶ τὸ συσσίτιον ὁμιλίᾳ χάριν ἐχούσῃ καὶ φιλοφροσύνῃ ἐφηδύνων. ἦν δὲ καὶ τὸ εἶδος ἡδύς, οὐ πολεμικῷ καὶ τετριμμένῳ δι' ὅπλων ἐοικώς, ἀλλὰ γλαφυρὸς καὶ νεοπρεπής, καὶ πᾶν τὸ σῶμα διηρθρωμένος, ὡς ὑπὸ τέχνης ἀκριβῶς τοῖς μέλεσι θαυμαστὴν συμμετρείαν ἔχουσιν. εἰπεῖν δὲ οὐ δεινός, αἱμύλος δὲ καὶ πιθανός, ὡς ἐκ τῶν ἐπιστολῶν συμβάλλειν ἐστίν. ἐπεὶ δὲ τοὺς σὺν αὐτῷ πολιορκουμένους ἡ στενοχωρία μάλιστα ἁπάντων ἔβλαπτεν, ἐν οἰκήμασι μικροῖς καὶ τόπῳ δυοῖν σταδίοιν ἔχοντι τὴν περίμετρον ἀναστρεφομένους, τροφὴν δὲ ἀγυμνάστους μὲν αὐτοὺς λαμβάνοντας, ἀργοῖς δὲ τοῖς ἵπποις προσφέροντας· οὐ μόνον τὴν ἄλυν αὐτῶν ὑπὸ τῆς ἀπραξίας μαραινομένων ἀπαλλάξαι βουλόμενος, ἀλλὰ καὶ πρὸς φυγήν, εἰ παραπέσοι καιρός, ἀμωσγέπως ἠσκημένοις χρήσασθαι, τοῖς μὲν ἀνθρώποις οἶκον, ὃς ἦν μέγιστος ἐν τῷ χωρίῳ, δεκατεσσάρων πηχῶν τὸ μῆκος, ἀπέδειξεν περίπατον, κατὰ μικρὸν ἐπιτείνειν τὴν κίνησιν κελεύων· τῶν δ' ἵππων ἕκαστον ῥυτῆρσι μεγάλοις εἰς τὴν ὀροφὴν ἀναδεδεμένοις ὑποζώσας, ἐκ τῶν περὶ τὸν αὐχένα μερῶν ἐμετεώριζε, καὶ παρήγειρεν διὰ τροχιλίας, ὥστε τοῖς μὲν ὀπισθίοις σκέλεσιν ἐπὶ τῆς γῆς ἐρείδεσθαι, τοῖς δὲ ἐμπροσθίοις ποσὶν ἀκρωνύχους ἐπιψαύειν. οὕτω δὴ ἀνηρτημένους οἱ ἱπποκόμοι παρεστῶτες, ἅμα ταῖς τε κραυγαῖς καὶ ταῖς μάστιξιν ἐπηρέθιζον· οἱ δέ, πιμπλάμενοι θυμοῦ καὶ ὀργῆς, τοῖς μὲν ὀπισθίοις ἐνήλλοντο καὶ διεσκίρτων σκέλεσιν, τοῖς δὲ μετεώροις ἐφιέμενοι στηρίσασθαι, καὶ κροτοῦντες τὸ ἔδαφος κατ-

suppetebat; ex his tamen quæ suppeditabant, victum paravit sociis lætum, omnes vicissim ad mensam suam invitans, conviviumque lepidis sermonibus & comitate condiens. Erat vultu quoque hilari, non bellatorem & in armis volutatum referens, sed eleganti facie & florida, totoque corpore ita compactus, ut mirabilem eam concinnitatem omnium partium ab arte aliqua effici judicares. Acris quidem non erat in dicendo, blandus tamen & alliciens, ut ex epistolis ejus conjicias. Quia vero militibus ejus per obsidionem præcipue erat loci angustia infesta, exiguis in tectis & loco in ambitu duo stadia patenti versantibus, qui nulla subacti exercitatione cibum capiebant, pabulumque objiciebant equis otiosis; quo non solum languorem illis abstergeret otio marcescentibus, verum etiam, si ad fugam offerretur opportunitas, plane expeditis uteretur, tectum hominibus, quod in castello erat amplissimum, cubitos longum quatuordecim, attribuit ad ambulationem, præscribens gradum ut sensim intenderent. Equos singulos magnis loris ad fastigium tecti religatis succinctos ex partibus anterioribus quæ circa collum erant, evehebat, & leniter per trochleam sustollebat, ut posterioribus pedibus insisterent solo, anteriorum summis ungulis id tantum attingerent. Ita suspensos assistentes equisones stimulabant clamoribus pariter & flagellis. Illi ardore & ira repleti, posterioribus subsiliebant & tripudiabant pedibus, sublimioribus vero prioribus affectantes insistere, ac solum pulsantes, totum

κατετείνοντο πᾶν τὸ σῶμα, καὶ πολὺν ἠφίεσαν ἱδρῶτα καὶ στεναγμὸν, οὔτε πρὸς τάχος, οὔτε πρὸς ῥώμην γυμναζόμενοι κακῶς. τὰς δὲ κριθὰς ἐνέβαλλον αὐτοῖς ἐπτισμένας, ἵνα κατεργάζωνται θᾶττον καὶ πέττωσι βέλτιον.

Ἤδη δὲ τῆς πολιορκίας χρόνον λαμβανούσης, Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, Κασάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμενῆ φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. διὸ πέμψας Ἱερώνυμον, ἐσπένδετο τῷ Εὐμενεῖ, προτείνας ὅρκον, ὃν ὁ Εὐμενὴς διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσιν, πότερος εἴη δικαιότερος. Ἀντίγονος μὲν γὰρ ἀφοσιώσεως ἕνεκεν ἐν ἀρχῇ τῶν βασιλέων ἐπιμνησθεὶς, τὸν λοιπὸν ὅρκον εἰς ἑαυτὸν ὥρκιζεν· Εὐμενὴς δὲ πρώτην μὲν ἐνέγραψε τοῖς ὅρκοις Ὀλυμπιάδα μετὰ τῶν βασιλέων· ἔπειτα ὤμνυεν οὐκ Ἀντιγόνῳ μόνον εὐνοήσειν, οὐδ' ἐκείνῳ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον, ἀλλὰ καὶ Ὀλυμπιάδι καὶ τοῖς βασιλεῦσιν. ὧν δικαιοτέρων φανέντων, οἱ Μακεδόνες ταῦτα ὁρκίσαντες τὸν Εὐμενῆ, τὴν πολιορκίαν ἔλυσαν, καὶ πρὸς τὸν Ἀντίγονον ἀπέστελλον, ὅπως καὶ αὐτὸς ἀποδῷ τῷ Εὐμενεῖ τὸν ὅρκον. ἐν τούτῳ δὲ Εὐμενὴς ὅσους εἶχεν ἐν Νώροις τῶν Καππαδοκῶν ὁμήρους ἀπεδίδου, λαμβάνων ἵππους καὶ ὑποζύγια καὶ σκηνὰς παρὰ τῶν κομιζομένων, καὶ συνῆγε τῶν στρατιωτῶν ὅσοι διασπαρέντες ἀπὸ τῆς φυγῆς ἐπλανῶντο κατὰ τὴν χώραν· ὥστε περὶ αὐτὸν ἱππεῖς ὀλίγῳ τῶν χιλίων

tum contendebant corpus, sudoresque manabant & suspiria mittebant. Ita non male vel ad agilitatem vel ad robur exercitabantur. Hordeum objiciebat his pistum, ut & perficerent id citius & concoquerent melius.

Dum trahitur in longum tempus obsidio, Antigonus allato nuntio decessisse in Macedonia Antipatrum, ac res conquassatas ibi esse Cassandri & Polyperchontis dissensionibus, nihil jam sperans mediocre, sed totum imperium animo complectens Macedonicum, volebat Eumenem conciliare sibi & adjutorem habere ad res gerendas. Qua de causa misit Hieronymum cum eo pacificatum sub certo juramento, cujus formula emendata Eumenes arbitrio permisit circumsidentium ipsum Macedonum, utrum æquius foret. Antigonus enim defunctorie in exordio regum facta mentione, reliquum jurisjurandi in verba sua conceperat. Eumenes vero sacramento principem adscripsit Olympiadem cum regibus: inde juravit non Antigono tantum, neque eundem quem illum, habiturum se hostem & amicum, sed etiam quem Olympiadem & reges. Quibus pro justioribus probatis, Macedones in id adacto Eumene, obsidionem solverunt, miseruntque ad Antigonum, ut ab eo vicissim Eumenis nomine juramentum exigerent. Interea Eumenes quoscunque in Noris habuerat Cappadocum obsides, reddidit iis. A recipientibus accepit equos, jumenta, tentoria, conquisivitque milites, qui effusi ex fuga per eam regionem palabantur. Ita equites contraxit paulo minus milles

λίων ἀποδέοντας χιλιάδος. μεθ' ὧν ἐξελάσας ἔφυγεν, ὀρθῶς φοβηθεὶς τὸν Ἀντίγονον. οὐ γὰρ μόνον ἐκεῖνον ἐκέλευσεν πολιορκεῖν αὖθις περιτειχίσαντας, ἀλλὰ καὶ τοῖς Μακεδόσι πικρῶς ἀντέγραψεν, δεξαμένοις τοῦ ὅρκου τὴν διόρθωσιν.

Φεύγοντι δὲ Εὐμενεῖ γράμματα κομίζεται παρὰ τῶν ἐν Μακεδονίᾳ τὴν Ἀντιγόνου δεδοικότων αὔξησιν, Ὀλυμπιάδος μὲν, παρακαλούσης ἐλθόντα τὸ Ἀλεξάνδρου παιδίον παραλαβεῖν καὶ τρέφειν, ὡς ἐπιβουλευόμενον· Πολυπέρχοντος δὲ καὶ Φιλίππου τοῦ βασιλέως, κελευόντων Ἀντιγόνῳ πολεμεῖν, τῆς ἐν Καππαδοκίᾳ δυνάμεως ἄρχοντα, καὶ τῶν ἐν Κυίνδοις χρημάτων πεντακόσια μὲν τάλαντα λαβεῖν εἰς τὴν τῶν ἰδίων ἐπανόρθωσιν, εἰς δὲ τὸν πόλεμον ὁπόσοις βούλεται χρῆσθαι. περὶ δὲ τούτων καὶ Ἀντιγένει καὶ Τευτάμῳ, τοῖς τῶν ἀργυρασπίδων ἡγεμόσιν ἐγεγράφεισαν. ἐπεὶ δὲ λαβόντες ἐκεῖνοι τὰ γράμματα, τῷ μὲν λόγῳ φιλανθρώπως ἐδέξαντο τὸν Εὐμενῆ, φθόνου δὲ καὶ φιλονεικίας ἐφαίνοντο μεστοὶ, δευτερεύειν ἀπαξιοῦντες ἐκείνῳ· τὸν μὲν φθόνον ὁ Εὐμενὴς ἐθεράπευεν τῷ τὰ χρήματα μὴ λαβεῖν, ὡς οὐδὲν δεόμενος, ταῖς δὲ φιλονεικίαις καὶ φιλαρχίαις αὐτῶν, μήτε ἡγεῖσθαι δυναμένων, μήτε ἕπεσθαι βουλομένων, ἐπῆγε δεισιδαιμονίαν. ἔφη γὰρ Ἀλέξανδρον αὐτῷ κατὰ τοὺς ὕπνους φανῆναι, καὶ δεῖξαί τινα σκηνὴν κατεσκευασμένην βασιλικῶς, καὶ θρόνον ἐν αὐτῇ κείμενον· εἶτα εἰπεῖν, ὡς ἐνταῦθα συνεδρεύουσιν αὐτοῖς καὶ χρηματίζουσιν αὐτὸς παρέσται, καὶ συνεφάψεται βουλῆς τε πάσης καὶ πράξεως ἀρχομένοις ἀπ' αὐτοῦ. ταῦτα ῥᾳδίως ἔπεισε τὸν Ἀντιγένη καὶ τὸν Τεύταμον,

mille: cum quibus haud abs re timens ab Antigono profugit. Quippe non tantum mandavit ille ut cum obsiderent & circumvallarent rursus, verum etiam Macedonibus rescripsit amare, quod jurisjurandi admisissent correctionem.

Fugienti Eumeni literæ redduntur ab illis qui in Macedonia Antigoni incrementum metuebant: Olympiade orante veniret, & parvum filium Alexandri susciperet educeretque insidiis petitum: Polyperchonte autem & Philippo rege imperantibus, ut præesset exercitui qui in Cappadocia erat, ac bellum cum Antigono gereret, utque ex pecunia quæ erat Quindis, quingenta talenta ad res suas reparandas, ad bellum vero, quanta pecunia uti liberet, eam acciperet. De his Antigeni quoque & Teutamo Argyraspidum præfectis scripserant. Qui acceptis literis, Eumenem verbis benigne quidem exceperunt, sed invidia atque æmulatione prodiderunt se rumpi, dedignantes illi se posthabitos. Invidiam Eumenes pecunia, quasi ea non indigeret, non accepta lenivit. At pervicaciæ eorum & ambitioni, qui neque imperare scirent, neque vellent sequi, incussit superstitionem. Alexandrum sibi ait per somnium oblatum fuisse, ac tabernaculum monstrasse regaliter instructum, collocatumque in eo solium; inde fatum, si illuc convenirent & res tractarent, præsto fore se & secundaturum omnia consilia cœptaque auspiciis suscepta suis. Facile hæc persuasit Antigeni & Teutamo

ταμον, οὔτε ἐκείνων βαδίζειν βουλομένων πρὸς αὐτόν, οὔτε αὐτὸς ἀξιῶν ἐπὶ θύραις ἑτέρων ὁρᾶσθαι. καὶ τιθέντες οὕτω σκηνὴν βασιλικὴν καὶ θρόνον Ἀλεξάνδρῳ καταπεφημισμένον, ἐκεῖ συνεπορεύοντο βουλευόμενοι περὶ τῶν μεγίστων. ἐπεὶ δὲ προϊοῦσιν αὐτοῖς εἰς τὴν ἄνω χώραν ὁ Πευκέστας μετὰ τῶν ἄλλων σατραπῶν ἀπήντησε, φίλος ὤν, καὶ συνεμίξαντο τὰς δυνάμεις, πλήθει μὲν ὅπλων καὶ λαμπρότητι παρασκευῆς ἐπέρρωσαν τοὺς Μακεδόνας, αὐτοὶ δὲ ἀναγωγοὶ ταῖς ἐξουσίαις, καὶ μαλακοὶ ταῖς διαίταις γεγονότες μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, καὶ φρονήματα τυραννικὰ καὶ τεθραμμένα βαρβαρικαῖς ἀλαζονείαις ἐπὶ ταυτὸ συνενεγκάμενοι, πρὸς μὲν ἀλλήλους βαρεῖς ἦσαν καὶ δυσάρμοστοι, τοὺς δὲ Μακεδόνας κολακεύοντες ἐκκεχυμένως, καὶ καταχορηγοῦντες εἰς δεῖπνα καὶ θυσίας, ὀλίγου χρόνου τὸ στρατόπεδον ἀσωτίας πανηγυριζούσης καταγώγιον ἐποίησαν, καὶ δημαγωγούμενον ἐπὶ αἱρέσει στρατηγῶν ὄχλον, ὥσπερ ἐν ταῖς δημοκρατίαις. αἰσθόμενος δὲ ὁ Εὐμενὴς αὐτοὺς ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρός, ἐσκήψατο χρημάτων δεῖσθαι καὶ συνεδανείσατο τάλαντα πολλὰ παρὰ τῶν μάλιστα μισούντων αὐτόν, ἵνα καὶ πιστεύωσι, καὶ ἀπέχωνται περὶ τῶν δανείων ἀγωνιῶντες. ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον αὐτῷ φύλακα τοῦ σώματος ἔχειν, καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων, μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν.

Οὐ μὴν ἀλλ' οἱ Μακεδόνες, ἀδείας μὲν οὔσης, ἐφθείροντο πρὸς τοὺς διδόντας, καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον, δορυφορουμένων καὶ στρατηγιώντων·

Teutamo, qui nec adire illum sustinebant, & ille dedignabatur assistere aliorum foribus videri. Ita posito regio tabernaculo & solio, quod Alexandro nuncupaverunt, eo conveniebant de summis rerum consultantes. Postquam in superiorem regionem progressis Peucestas, qui amicus erat, cum aliis occurrit satrapis, ac conjunxerunt copias suas, armatorum numero & apparatus splendore confirmaverunt Macedonas. Verum quia licentia ipsi dissoluti & vita molles evaserant post Alexandri excessum, spiritusque tyrannicos & barbarica innutritos arrogantia in unum contulerunt, erant inter se mutuo superciliosi & discordes. Macedonibus autem effuse adulando, in cœnasque ac sacrificia profundendo, reddiderunt brevi comessabundæ popinationis castra diversorium, atque milites sicut in populari repub. turbam, quæ allicitur ad legendos duces blandimentis. Ut advertit Eumenes ipsos inter se despicere, se vero timere & captare tempus ad necandum, simulavit sibi argento opus esse, atque ab illis, qui erant sibi infestissimi, sumpsit mutuo grandem pecuniam; quo & crederent sibi, & manus abstinerent, de credita pecunia soliciti. Ita factum est ut corporis custodes opes haberet alienas. Et quum alii ad salutem consequendam dent, securitatem comparavit sibi accipiendo.

At Macedones tantisper dum metus abfuit, dantibus venditabant se, atque illorum januas celebrabant, eosque stipabant imperare affectantes.

των· ἐπεὶ δ' Ἀντίγονος αὐτοῖς παρεστρατοπέδευσεν μετὰ πολλῆς δυνάμεως, καὶ τὰ πράγματα φωνὴν ἀφιέντα τὸν ἀληθινὸν ἐκάλει στρατηγὸν, οὐ μόνον οἱ στρατευόμενοι τῷ Εὐμενεῖ προσεῖχον, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ καὶ τρυφῇ μεγάλων ἐκείνων ἕκαστος ἐνέδωκεν, καὶ παρεῖχεν ἑαυτὸν σιωπῇ τὴν δοθεῖσαν φυλάττοντα τάξιν. καὶ γάρ τοι περὶ τὸν Πασιτίγρην ποταμὸν ἐπιχειρήσαντα διαβαίνειν τὸν Ἀντίγονον, οἱ μὲν ἄλλοι παραφυλάττοντες οὐδὲ ᾔσθοντο, μόνος δ' Εὐμενὴς ὑπέστη, καὶ συνάψας μάχην, πολλοὺς μὲν κατέβαλεν, καὶ νεκρῶν ἐνέπλησε τὸ ῥεῖθρον, ἔλαβε δὲ τετρακισχιλίους αἰχμαλώτους. μάλιστα δ' οἱ Μακεδόνες περὶ τὴν συμβᾶσαν ἀῤῥωσίαν αὐτῷ καταφανεῖς ἐγίνοντο, τοὺς μὲν ἄλλους ἑστιᾶν λαμπρῶς καὶ πανηγυρίζειν, ἄρχειν δὲ καὶ πολεμεῖν δυνατὸν ἡγούμενοι μόνον ἐκεῖνον. ὁ μὲν γὰρ Πευκέστας ἐν τῇ Περσικῇ λαμπρῶς αὐτοὺς ἑστιάσας, καὶ κατ' ἄνδρα διαδοὺς ἱερεῖον εἰς θυσίαν, ἤλπιζεν εἶναι μέγιστος· ὀλίγαις δ' ὕστερον ἡμέραις τῶν στρατιωτῶν ἐπὶ τοὺς πολεμίους βαδιζόντων, ἐτύγχανεν ὁ Εὐμενὴς, ἐκ νόσου τινὸς ἐπισφαλοῦς, ἐν φορείῳ κομιζόμενος ἔξω τοῦ στρατεύματος ἐν ἡσυχίᾳ διὰ τὰς ἀγρυπνίας. μικρὸν δὲ προελθοῦσιν αὐτοῖς ἄφνω λόφους τινὰς ὑπερβαλόντες ἐξεφάνησαν οἱ πολέμιοι, καταβαίνοντες εἰς τὸ πεδίον. ὡς οὖν αἵ τε τῶν χρυσῶν ὅπλων αὐγαὶ πρὸς τὸν ἥλιον ἐξέλαμψαν ἀπὸ τῶν ἄκρων τοῦ ἀγήματος ἐν τάξει πορευομένων, καὶ τῶν θηρίων τοὺς πύργους ἄνω καὶ τὰς πορφύρας εἶδον, ὅσπερ ἦν αὐτοῖς κόσμος εἰς μάχην ἀγομένοις, ἐπιστήσαντες οἱ πρῶτοι τὴν πορείαν, ἐβόων Εὐμενῆ καλεῖν αὐτούς· οὐ γὰρ ἂν προελθεῖν ἐκείνου μὴ στρατηγοῦντος. καὶ τὰ

ὅπλα

tantes. At ubi Antigonus magno cum exercitu prope eos conſedit, atque res ipſa vocem emittens verum poſtulavit ducem, Eumenem non modo turba militaris reſpexit, ſed & quiſque illorum qui in pace & luxu magni eſſe videbantur, manus dans præbuit ſe illi obſequentem in eo quem cuique aſſignaret ordine. Etenim Paſitigrim amnem aggreſſum tranſmittere Antigonum cæteri qui in ſtationibus erant ne ſenſerunt quidem: ſolus excepit eum Eumenes, ſigniſque collatis multos occidit de militibus ejus, & flumen cadaveribus complevit, captis quatuor millibus. Præcipue vero oſtenderunt Macedones, quum eſſet valetudinis infirmitate correptus, ita ſe exiſtimare, comeſſationes & tempeſtiva convivia reliquos apparare ſplendide, imperare & belligerare unum illum noſſe. Quippe Peuceſtas, qui in Perſide illis magnificum epulum præbuerat, & viritim diviſerat victimam ad ſacra facienda, promittebat ſibi præcipuam poteſtatem. Mox motis in hoſtem ſignis, Eumenes forte ex ancipiti morbo extra agmen quiete in lectica ob vigilias ferebatur. Ubi aliquantulum ſunt progreſſi, repente conſpexerunt hoſtes, qui ſuperatis quibuſdam collibus in campum ſe dimittebant. Ut igitur aureorum fulgor armorum ex tumulis agmine incedente inſtructo adverſus ſolem micuit, editaſque belluarum turres & purpuras ſunt contemplati, qui ornatus in prœlium euntibus ſolennis erat, reſiſtentes anteſignani vociferabantur, Eumenes vocaretur, gradum ſe niſi illius ductu non promoturos; defixiſque

humi

ὅπλα πρὸς τὴν γῆν ἐρείσαντες, ἀλλήλοις μένειν διεκελεύοντο, καὶ τοῖς ἡγεμόσιν ἡσυχίαν ἔχειν, καὶ χωρὶς Εὐμένους μὴ μάχεσθαι μηδὲ κινδυνεύειν πρὸς τοὺς πολεμίους. ἀκούσας δ' ὁ Εὐμένης, ἧκεν πρὸς αὐτοὺς δρόμῳ, τοὺς κομίζοντας ἐπιταχύνας, καὶ τοῦ φορείου τὰς ἑκατέρωθεν αὐλαίας ἀνακαλύψας, προύτεινε τὴν δεξιὰν γεγηθώς. οἱ δ' ὡς εἶδον, εὐθὺς ἀσπασάμενοι Μακεδονιστὶ τῇ φωνῇ, τάς τε ἀσπίδας ἀνείλοντο, καὶ ταῖς σαρίσσαις ἐπιδουπήσαντες, ἠλάλαξαν, προκαλούμενοι τοὺς πολεμίους, ὡς τοῦ ἡγεμόνος αὐτοῖς παρόντος.

Ἀντίγονος δὲ, παρὰ τῶν ἁλισκομένων ἀκούων τὸν Εὐμενῆ νοσεῖν καὶ κομίζεσθαι κακῶς διακείμενον, οὐ μέγα ἔργον ἡγεῖτο συντρίψαι τοὺς ἄλλους ἐκείνου νοσοῦντος. διὸ καὶ σπεύδων ἐπὶ τὴν μάχην προσῆγεν. ὡς δὲ τῶν πολεμίων εἰς τάξιν καθισταμένων παρελάσας κατεῖδε τὸ σχῆμα καὶ τὴν διακόσμησιν, ἐκπλαγεὶς ἐπέστη πλείω χρόνον· εἶτα ὤφθη τὸ φορεῖον ἀπὸ θατέρου κέρως ἐπὶ θάτερον διαφερόμενον. γελάσας οὖν ὁ Ἀντίγονος, ὥσπερ εἰώθει, μέγα, καὶ πρὸς τοὺς φίλους εἰπὼν, τοῦτο ἦν τὸ φορεῖον, ὡς ἔοικε, τὸ ἀντιπαρατατόμενον ἡμῖν, εὐθὺς ἀπῆγε τὴν δύναμιν ὀπίσω, καὶ κατεστρατοπέδευσεν. οἱ δὲ μικρὸν ἀναπνεύσαντες, αὖθις ἐδημαγωγοῦντο, καὶ τοῖς ἡγεμόσιν ἐντρυφῶντες, σχεδὸν ὅλην εἰς τὰ χειμάδια κατενείμαντο τὴν Γαβηνῶν· ὥστε τοὺς ἐσχάτους τῶν πρώτων ἀποσκηνοῦν ὁμοῦ τι χιλίους σταδίους. ταῦτα γνοὺς ὁ Ἀντίγονος, ὥρμησεν ἐξαίφνης ἐπ' αὐτοὺς ὑποστρέψας, χαλεπὴν ὁδὸν καὶ ἄνυδρον, σύντομον δὲ καὶ τραχεῖαν· ἐλπίζων, εἰ διεσπαρμένοις ἐπιπέσοι περὶ τὰ χειμάδια, μηδ' ἂν συνελθεῖν ἔτι τὸ πλῆθος ῥᾳδίως εἰς τὸ αὐτὸ τοῖς στρατηγοῖς. ἐμβαλόντι

δὲ

humi ſcutis cohortabantur inter ſe, ne inde ſe moverent, & duces ut conſiſterent, neque ſine Eumene committerent pugnam, neu cum hoſtibus ſigna conferrent. Eo nuntiato Eumenes incitavit lecticarios, curreníque ad eos venit, ac rejectis utrinque lecticæ aulæis, hilari excelſus vultu protendit dexteram. Quem ut videre, conſalutaverunt illico lingua Macedonica, ſimulque clypeos ſuſtulerunt, & ſariſſis concrepantes lætum tulerunt clamorem, provocantes hoſtem tanquam præſentem habentes ducem.

Antigonus autem ex captivis audiens implicitum morbo Eumenem, & lectica geſtari graviter affectum, haud magni negotii duxit laborante illo alios obterere: quapropter maturavit acie dimicare. Ut vero hoſtium inſtructorum prævectus figuram & ordinem eſt contemplatus, diu attonitus ſubſtitit. Mox lectica conſpecta, quæ ab uno cornu ad alterum circumferebatur, cachinnatus ſuo more Antigonus, ait ad amicos, Hæc nimirum eſt lectica, quæ infeſta nobis ſtat. Inde agmen illico retro reduxit, ac caſtrametatus eſt. At hi, quum pauliſper reſpiraſſent, ex integro impulſi factionibus ſunt, & ducibus inſultantes regionem Gabenorum ferme univerſam hybernis occuparunt, ut poſtremorum tabernacula prope mille ſtadia eſſent a primis dirempta. Quo cognito movit repente in illos Antigonus. Iter fecit via laborioſa & ſitienti, compendioſa tamen & confragoſa; ſperans, ſi ſuperveniſſet per hyberna disjectis, non facile jam contracturos copias duces. Ingreſſo regionem vaſtam & ha-

δὲ εἰς γῆν ἀοίκητον αὐτῷ, πνεύματά τε δεινὰ, καὶ κρύη μεγάλα διελυμαίνετο τὴν πορείαν, ἐνοχλουμένου τοῦ στρατεύματος. ἦν οὖν ἀναγκαία βοήθεια, πυρὰ πολλὰ καίειν. ὅθεν οὐκ ἔλαθε τοὺς πολεμίους, ἀλλὰ τῶν βαρβάρων οἱ τὰ βλέποντα πρὸς τὴν ἀοίκητον ὄρη νεμόμενοι, θαυμάσαντες τὸ τῶν πυρῶν πλῆθος, ἔπεμψαν ἱππασείαις καμήλοις ἀγγέλους πρὸς Πευκέσταν. ὁ δὲ ὡς ἤκουσεν, αὐτός τε παντάπασιν ἔκφρων ὑπὸ δέους γενόμενος, καὶ τοὺς ἄλλους ὁρῶν ὁμοίως ἔχοντας, ὥρμητο φεύγειν, ἀναστήσας τοὺς καθ' ὁδὸν ὄντας αὐτοῖς μάλιστα τῶν στρατιωτῶν. Εὐμένης δὲ τὴν ταραχὴν ἀφῄρει καὶ τὸν φόβον, ὑπισχνούμενος ἐπιστήσειν τῶν πολεμίων τὸ τάχος, ὥστε τρισὶν ὕστερον ἡμέραις ἢ προσδοκῶνται παραγενέσθαι. πεισθέντων δὲ αὐτῶν, ἅμα μὲν ἀγγέλους περιέπεμπεν, τὰς δυνάμεις ἐκ τῶν χειμαδίων καὶ τοὺς ἄλλους ἀθροίζεσθαι κατὰ τάχος κελεύων· ἅμα δὲ αὐτὸς ἐξιππασάμενος μετὰ τῶν ἄλλων ἡγεμόνων, καὶ τόπον ἐξ ἀπόπτου καταφανῆ τοῖς ὁδεύουσι τὴν ἔρημον περιβαλλόμενος, καὶ διαμετρήσας, ἐκέλευε πυρὰ πολλὰ καίειν ἐν διαστήμασιν, ὥσπερ οἱ στρατοπεδεύοντες. γινομένου δὲ τούτου, καὶ τῶν πυρῶν τοῖς περὶ Ἀντίγονον ἐκ τῆς ὀρεινῆς καταφανέντων, ἄχος ἔσχεν καὶ δυσθυμία τὸν Ἀντίγονον, οἰόμενον ᾐσθημένους ἔκπαλαι τοὺς πολεμίους ἀπαντᾶν. ἵν' οὖν μὴ κατάκοπος καὶ τετρυμμένος ἐκ πορείας ἀναγκάζηται μάχεσθαι πρὸς ἀνθρώπους ἑτοίμους καὶ καλῶς κεχειμακότας, προέμενος τὴν σύντομον, ἦγε διὰ κωμῶν καὶ πόλεων, καθ' ἡσυχίαν ἀναλαμβάνων τὸ στράτευμα. μηδενὸς δὲ ἐμποδὼν ὄντος, ὥσπερ εἴωθεν ἀντικαθημένων πολεμίων, τῶν δὲ περιχώρων λεγόντων στράτευμα μηδὲν

habitationibus nudam venti procelloſi cum ingenti gelu, qui fatigaverunt exercitum, iter interpellarunt. Itaque ad neceſſarium remedium crebri ignes excitandi fuere: quod effecit, ne falleret hoſtes. Sed qui in ſpectantibus deſertum montibus habitabant barbari, pyrarum mirati frequentiam, nuntios miſerunt dromedis ad Peuceſtam. Hic nuntii metu prorſus obſtupeſcens, quum haud ſecus reliquos videret affectos, fugæ conſilium cepit, excitaturus milites, præſertim qua iter facturi erant. Quibus tumultum Eumenes & timorem abſterſit, oſtendens inhibiturum ſe hoſtium celeritatem, ut diebus tribus, quam exſpectarentur, tardius eſſent adfuturi. Sedatis his, circummiſit nuntios, imperans ut copiæ ex hybernis & cæteri propere convenirent, ſimulque cum aliis ducibus excurrens, & locum facientibus iter per deſertum ex edito conſpicuum amplexus & dimenſus, crebras pyras per intervalla, ut in caſtris fieri ſolet, præcepit exſtrui. Quæ ubi adminiſtrata ſunt, ignibus ex regione montoſa Antigoni exercitui apparentibus, dolor Antigonum & mœror invaſit, quod jamdudum exiſtimabat hoſtes explorato adventu ſuo ſibi occurrere. Ne igitur fatigatus & confectus ex itinere cum militibus cogeretur alacribus, qui commode hybernaverant, dimicare, via relicta compendiaria, per vicos duxit & oppida reficiens per otium exercitum. Poſtquam vero eum (ut fieri ſolet) collata caſtra habentibus hoſtibus, nemo fatigavit, & nuntiaverunt finitimi nul-

δὲν ὦφθαι, πυρῶν δὲ κεκαυμένων μεστὸν εἶναι τὸν τόπον, ᾔσθετο κατεστρατηγημένος ὑπὸ Εὐμενοῦς, καὶ βαρέως φέρων προσῆγεν, ὡς φανερᾷ μάχῃ κριθησόμενος.

Ἐν τούτῳ δὲ τῆς δυνάμεως περὶ τὸν Εὐμενῆ τὸ πλεῖστον ἠθροισμένον ἐθαύμαζε τὴν σύνεσιν αὐτοῦ, καὶ μόνον ἐκέλευεν ἄρχειν. ἐφ᾽ ᾧ λυπούμενοι καὶ φθονοῦντες οἱ τῶν ἀργυρασπίδων ἡγεμόνες, Ἀντιγένης καὶ Τεύταμος, ἐπεβούλευον αὐτῷ· καὶ τοὺς πλείστους τῶν τε σατραπῶν καὶ τῶν στρατηγῶν συναγαγόντες, ἐβουλεύοντο πότε χρὴ καὶ πῶς τὸν Εὐμενῆ διαφθεῖραι. συνδόξαν δὲ πᾶσιν ἀποχρήσασθαι πρὸς τὴν μάχην αὐτῷ, μετὰ δὲ τὴν μάχην εὐθὺς ἀνελεῖν, Εὔδαμος ὁ τῶν ἐλεφάντων ἡγεμὼν καὶ Φαίδιμος ἐξαγγέλλουσι κρύφα τῷ Εὐμενεῖ τὰ δεδογμένα, δι᾽ εὔνοιαν μὲν οὐδεμίαν ἢ χάριν, εὐλαβούμενοι δὲ μὴ τῶν χρημάτων ἃ δεδανείκεσαν αὐτῷ στερηθῶσιν. Εὐμενὴς δὲ τούτους μὲν ἐπῄνεσεν, εἰς δὲ τὴν σκηνὴν ἀπελθὼν, καὶ πρὸς τοὺς φίλους εἰπὼν, ὡς ἐν πανηγύρει θηρίων ἀναστρέφοιτο, διαθήκας ἔγραψε· καὶ τὰ γραμματεῖα κατέσχισεν καὶ διέφθειρεν, οὐ βουλόμενος αὐτοῦ τελευτήσαντος ἐκ τῶν ἀπορρήτων αἰτίας καὶ συκοφαντήματα τοῖς γράψασι γενέσθαι. ταῦτα διοικησάμενος, ἐβουλεύετο τὴν νίκην παρεῖναι τοῖς ἐναντίοις, ἢ φυγὼν διὰ Μηδίας καὶ Ἀρμενίας ἐμβαλεῖν εἰς Καππαδοκίαν. οὐδὲν δὲ κυρώσας τῶν φίλων παρόντων, ἀλλ᾽ ἐπὶ πολλὰ τῇ γνώμῃ πολυτρόπῳ παρὰ τὰς τύχας οὔσῃ κινήσας αὐτὸν, ἐξέταττε τὴν δύναμιν, τοὺς μὲν Ἕλληνας καὶ τοὺς βαρβάρους παρορμῶν, ὑπὸ δὲ τῆς φάλαγγος καὶ τῶν ἀργυρασπίδων αὐτὸς παρακαλούμενος θαρρεῖν, ὡς οὐ δεξομένων τῶν πολεμίων.

nullum visum exercitum, tantum crebris ignibus locum collucere, ab Eumene perspexit impositum sibi. Quod graviter ferens, progressus est, constituitque signis collatis confligere.

Interea maxima pars exercitus apud Eumenem coacta prudentiam ejus est admirata, ac solius ipsius jussit imperium esse. Qua re discruciati & invidia affecti Argyraspidum præfecti, Antigenes & Teutamus, tetenderunt ei insidias, contractisque plerisque satrapis & ducibus, quando & qua ratione tollendus Eumenes esset deliberaverunt. Ubi omnibus visum illius opera abuti ad prœlium, secundum id mox eum absumere, Eudamus elephantis præpositus & Phædimus clam detegunt Eumeni consilium; nulla illi quidem adducti benevolentia vel officio, verum ut prævenirent, ne fraudarentur eo, quod huic crediderant, argento. Quibus collaudatis recepit se in tabernaculum suum, & ad amicos in conventu se præfatus ferarum versari, testamentum condidit, literas conscidit, & corrupit, ne ipso defuncto ex arcanis his crearentur illis qui scripserant eas pericula & calumniæ. His administratis consilium iniit, victoriam an hostibus permitteret, vel per Mediam & Armeniam fugam intenderet & invaderet Cappadociam. Cæterum nihil præsentibus amicis definivit. Sed quum multa animo in rebus adversis tortuoso versasset, instruxit aciem, Græcosque & barbaros acuit, a phalange & Argyraspidibus ipse excitabatur, non fore jactantibus, ut hostes ipsos sustinerent. Quip-

πολεμίων. καὶ γὰρ ἦσαν οἱ πρεσβύτατοι τῶν περὶ Φίλιππον καὶ Ἀλέξανδρον, ὥσπερ ἀθληταὶ πολέμων ἀήττητοι καὶ ἀπτῶτες εἰς ἐκεῖνο χρόνου, πολλοὶ μὲν ἑβδομήκοντα ἔτη γεγονότες, νεώτερος δὲ οὐδεὶς ἑξηκονταετοῦς. διὸ καὶ τοῖς περὶ τὸν Ἀντίγονον ἐπιόντες ἐβόων, ἐπὶ τοὺς πατέρας ἁμαρτάνετε, ὦ κακαὶ κεφαλαί. καὶ μετ᾽ ὀργῆς ἐμπεσόντες ὅλην ὁμοῦ τὴν φάλαγγα συνέτριψαν, οὐδενὸς ὑποστάντος αὐτούς, τῶν δὲ πλείστων ἐν χερσὶ διαφθαρέντων. ταύτῃ μὲν οὖν ὁ Ἀντίγονος ἡττᾶτο κατὰ κράτος, τοῖς δ᾽ ἱππεῦσιν ἐπεκράτει. τοῦ δὲ Πευκέστου παντάπασιν ἐκλελυμένως καὶ ἀγεννῶς ἀγωνισαμένου, καὶ τὴν ἀποσκευὴν ἔλαβε πᾶσαν· αὐτῷ τε νήφοντι χρησάμενος παρὰ τὰ δεινά, καὶ τοῦ τόπου συνεργοῦντος. ἀχανὲς γὰρ ἦν τὸ πεδίον, οὔτε βαθύτερον, οὔτε ἀπόκροτον καὶ στερεόν, ἀλλὰ θινῶδες, καὶ μεστὸν ἁλμυρίδος αὐχμηρᾶς, ἣ τοσούτων μὲν ἵππων, τοσούτων δὲ ἀνθρώπων ξαινομένη δρόμοις ὑπὸ τὸν τῆς μάχης καιρὸν ἐξήνθει κόνιν, ὥσπερ ἄσβεστον, ἀπολευκαίνουσαν τὸν ἀέρα καὶ τὰς ὄψεις διαθολοῦσαν. ᾗ καὶ ῥᾴδιον λαθὼν ὁ Ἀντίγονος τῆς ἀποσκευῆς τῶν πολεμίων ἐκράτησεν.

Παυσαμένης δὲ τῆς μάχης, εὐθὺς οἱ περὶ τὸν Τεύταμον ἐπρεσβεύοντο περὶ τῆς ἀποσκευῆς. Ἀντιγόνου δὲ καὶ ταύτην ἀντιδώσειν ὑπισχνουμένου τοῖς ἀργυρασπίσιν, καὶ τἄλλα χρήσεσθαι φιλανθρώπως, εἰ παραλάβοι τὸν Εὐμενῆ, βούλευμα δεινὸν οἱ ἀργυράσπιδες ἐβουλεύσαντο, ἐγχειρίσαι ζῶντα τοῖς πολεμίοις τὸν ἄνδρα. καὶ πρῶτον μὲν ἀνυπόπτως προσεπέλαζον αὐτῷ, καὶ παρεφύλαττον, οἱ μὲν ἀποδυρόμενοι περὶ τῆς ἀποσκευῆς, οἱ δὲ θαρρεῖν ὡς

νε-

Quippe veteranorum auſpicia Philippi & Alexandri ſecutorum provectiſſimi ætate erant, ſicut bellorum invicti athletæ: qui ad id temporis nuſquam titubaverant, multi annos nati ſeptuaginta, nemo ſexaginta minor. Unde in incurſu acclamaverunt ad milites Antigoni, In parentes ſceleſti peccatis. Atque ardentes, impreſſione facta, phalangem profligaverunt totam: quod nemo ſubſtiterit, ſed maxima pars fuerit conciſa. Ea parte quidem Antigonus fuſus fugatuſque eſt. Equitatu autem fuit ſuperior, Peuceſtaque ſegniter & ignaviter certante, omnibus impedimentis eſt potitus: quum in diſcrimine præberet ſe vigilantem, atque ab ipſo loco adjuvaretur. Siquidem vaſtus erat campus, non profundior, neque rigidus & durus, ſed ſabuloſus & tenuis plenus arenæ, ut in littore. Hic tempore pugnæ a tam multorum equorum, tam multorum hominum calcatus curſibus pulverem album inſtar calcis edidit, iſque denſavit aera, & proſpectum turbavit. Unde occupavit facile imprudentibus hoſtibus Antigonus ſarcinas.

Perpetrato prœlio miſit actutum legatos Teutamus ad impedimenta repetenda. Quum Antigonus & illa oſtenderet ſe Argyraſpidibus reſtituturum, & cætera habiturum eos benigne, ſi traderetur ſibi Eumenes; conſilium Argyraſpides abominandum inierunt, vivi ejus hoſtibus dedendi. Ac primum nihil ſuſpicantem ex propinquo aſſervaverunt, partim amiſſa lamentantes impedimenta, alii hortantes ut tanquam victor bono animo

eſſet,

νενικηκότα κελεύοντες, οἱ δὲ, τῶν ἄλλων ἡγεμόνων κατηγοροῦντες. ἔπειτα προσπεσόντες ἐξήρπασαν τὸ ἐγχειρίδιον αὐτοῦ, καὶ τῇ ζώνῃ τὰς χεῖρας ἀποστρέψαντες ἔδησαν. ἐπεὶ δὲ ὑπὸ Ἀντιγόνου Νικάνωρ ἐπέμφθη παραληψόμενος αὐτὸν, ἐδεῖτο λόγου τυχεῖν ἀγόμενος διὰ τῶν Μακεδόνων, οὐκ εἰς δέησιν ἢ παραίτησιν, ἀλλ' ὡς περὶ τῶν ἐκείνοις συμφερόντων διαλεξόμενος. γενομένης δὲ σιωπῆς, ἐν ὑψηλῷ τινι καταστὰς, καὶ τὰς χεῖρας δεδεμένας προτείνας, Ποῖον, εἶπεν, ὦ κάκιστοι Μακεδόνων, τρόπαιον Ἀντίγονος ἐθελήσας ἀνέστησε καθ' ἡμῶν, οἷον ὑμεῖς καθ' αὐτῶν ἀνίστατε, τὸν στρατηγὸν αἰχμάλωτον ἐκδιδόντες; οὐκ ἄρα δεινὸν ἦν κρατοῦντας ὑμᾶς ἧτταν ἐξομολογεῖσθαι διὰ τὰς ἀποσκευὰς, ὡς ἐν τοῖς χρήμασιν, οὐκ ἐν τοῖς ὅπλοις τοῦ κρατεῖν ὄντος· ἀλλὰ καὶ τὸν ἡγεμόνα πέμπετε λύτρον τῆς ἀποσκευῆς. ἐγὼ μὲν οὖν ἀήττητος ἄγομαι, νικῶν τοὺς πολεμίους, ὑπὸ τῶν συμμάχων ἀπολλύμενος· ὑμεῖς δὲ, πρὸς Διὸς στρατίου καὶ Θεῶν ὁρκίων, ἐνταῦθά με δι' αὐτῶν κτείνατε. πάντως κἀκεῖ κτεινόμενος, ὑμέτερον ἔργον εἰμί. μέμψεται δὲ οὐδὲν Ἀντίγονος· νεκροῦ γὰρ Εὐμενοῦς δεῖται, καὶ οὐ ζῶντος. εἰ δὲ φείδεσθε τῶν χειρῶν, ἀρκέσει τῶν ἐμῶν ἡ ἑτέρα λυθεῖσα πρᾶξαι τὸ ἔργον. εἰ δὲ οὐ πιστεύετέ μοι ξίφος, ὑπορρίψατε τοῖς θηρίοις δεδεμένον. καὶ ταῦτα πράξαντας ὑμᾶς ἀφίημι τῆς ἐπ' ἐμοὶ δίκης, ὡς ἄνδρας ὁσιωτάτους καὶ δικαιοτάτους περὶ τὸν αὐτῶν στρατηγὸν γενομένους.

Ταῦτα τοῦ Εὐμενοῦς λέγοντος, τὸ μὲν ἄλλο πλῆθος ἄχθει κατείχετο, καὶ κλαυθμὸς ἦν, οἱ δὲ ἀργυράσπιδες ἄγειν ἐβόων, καὶ μὴ φλυ-

αροῦντι

esset, alii cæteros duces incusantes: mox impetu in illum facto eripuerunt ei ensem, & zona manus post tergum illigaverunt. Postquam Nicanor est ab Antigono ad eum accipiendum missus, petiit ut per medios Macedonas ducerent se, copiamque darent eos alloquendi: non ad supplicandum vel deprecandum, sed quasi de commodis eorum esset dicturus. Facto silentio, stans loco edito & manus vinctas protendens, Num tale (inquit) Macedonum teterrimi, optasset trophæum Antigonus de vobis erigere, quale vos de vobis ipsi excitavistis, ducem vestrum dedentes captivum? Quid vero, annon turpe erat victoribus vobis fateri sarcinarum causa vos victos? quasi vero in pecunia, non in armis posita victoria sit: nisi ducem vestrum insuper redimendorum mercedem impedimentorum mitteretis? Ego igitur invictus ducor, hostium victor, proditus a sociis. Vos verò per Jovem imperatorem & Deos sacramenti arbitros me hic ipsi interficite. Omnino enim, quum illic interficiar, vestrum id erit factum. Nec quicquam queretur Antigonus, qui mortuum quærit non vivum Eumenem. Sin manibus parcitis vestris, una manus soluta mea rem perpetraverit. Quod si mihi gladium non creditis, objicite vinctum belluis. Id ubi feceritis, ego vos, quasi viri sanctissimi & rectissimi in ducem vestrum fueritis, omni de me solvo ultione.

Dum ita fatur Eumenes, cætera multitudo angore premebatur collacrymabaturque. At Argyraspides vociferabantur, ducerent eum,

nec

ροῦντι προσέχειν· οὐ γὰρ εἶναι δεινὸν, εἰ Χερρονησίτης ὄλεθρος οἰμώξεται μυρίοις γυμνάσας πολέμοις Μακεδόνας, ἀλλ᾽ εἰ τῶν Ἀλεξάνδρου καὶ Φιλίππου στρατιωτῶν οἱ κράτιστοι τοσαῦτα καμόντες ἐν γήρᾳ στέρονται τῶν ἐπάθλων, καὶ τροφὴν παρ᾽ ἑτέρων λαμβάνουσιν, αἱ δὲ γυναῖκες αὐτῶν ἤδη τρίτην νύκτα τοῖς πολεμίοις συγκαθεύδουσιν. ἅμα δὲ ἦγον αὐτὸν ἐπιταχύνοντες. Ἀντίγονος δὲ δείσας τὸν ὄχλον (ἀπελείφθη γὰρ οὐδεὶς ἐν στρατοπέδῳ) δέκα τοὺς κρατιστεύοντας ἐλέφαντας ἐξέπεμψεν, καὶ λογχοφόρους συχνοὺς, Μήδους καὶ Παρθυαίους, διακρουσομένους τὸ πλῆθος. εἶτ᾽ αὐτὸς μὲν ἰδεῖν οὐχ ὑπέμεινε τὸν Εὐμενῆ διὰ τὴν προγεγενημένην φιλίαν καὶ συνήθειαν· πυνθανομένων δὲ τῶν παρειληφότων τὸ σῶμα, πῶς φυλάξουσιν, Οὕτως, εἶπεν, ὡς ἐλέφαντα ἢ ὡς λέοντα. μετὰ μικρὸν δὲ συμπαθὴς γενόμενος, τῶν τε δεσμῶν τοὺς βαρεῖς ἐκέλευσεν ἀφελεῖν, καὶ παῖδα προσδέξασθαι τῶν συνήθων, ὅπως ἀλείψαιτο· καὶ τῶν φίλων ἐφῆκε τῷ βουλομένῳ συνδιημερεύειν, καὶ κομίζειν τὰ ἐπιτήδεια. βουλευόμενος δὲ περὶ αὐτοῦ πλείονας ἡμέρας, προσήγετο καὶ λόγους καὶ ὑποσχέσεις Νεάρχου τε τοῦ Κρητὸς καὶ Δημητρίου τοῦ υἱοῦ φιλοτιμουμένων τὸν Εὐμενῆ σῶσαι, τῶν δὲ ἄλλων ὁμοῦ τι πάντων ἐνισταμένων καὶ κελευόντων ἀναιρεῖν. λέγεται δὲ τὸν Εὐμενῆ τοῦ φυλάσσοντος αὐτὸν Ὀνομάρχου πυθέσθαι, τί δήποτε Ἀντίγονος ἐχθρὸν ἄνδρα καὶ πολέμιον λαβὼν ὑποχείριον, οὔτε ἀποκτίννυσι ταχέως, οὔτε εὐγενῶς ἀφίησι; τοῦ δὲ Ὀνομάρχου πρὸς ὕβριν εἰπόντος, ὡς οὐ νῦν ἀλλ᾽ ἐπὶ τῆς μάχης ἔδει πρὸς θάνατον ἔχειν εὐθαρσῶς, Καὶ μὰ τὸν Δία, φάναι τὸν Εὐμενῆ, καὶ τότε εἶχον. ἐροῦ δὲ τοὺς εἰς χεῖρας ἐλθόντας·

nec aures præberent nuganti: neque eſſe indignum, ſi Cherſoneſia peſtis, qui infinitis bellis attriverat Macedonas, lugeat; ſed ſi Philippi & Alexandri militum fortiſſimi tot exantlatis laboribus in ſenio defraudarentur præmiis, cibumque petituri ab aliis eſſent, quorum conjuges tertiam jam noctem cum hoſtibus concubuiſſent. Simul properantius eum rapuerunt. At Antigonus turbam metuens (nemo enim remanſerat in caſtris) elephantos decem valentiſſimos caſtris educi juſſit, frequenteſque lancearios Medos & Parthyæos ad ſummovendum multitudinem. Inde ob ſuperiorem neceſſitudinem & familiaritatem non ſuſtinuit ut in conſpectum ſuum veniret Eumenes. Quum quærerent autem quibus traditus fuerat, quemadmodum eum cuſtodirent, Ita, inquit, ut elephantum, aut leonem. Paulatim vero ad miſericordiam flexus, catenas graviores ei præcepit detrahi, & puerum ex familia ejus ad eum admitti, ut ungeretur, permiſitque amicis, qui vellent, ut eum adirent & ferrent neceſſaria. Dum de eo per plures dies conſulit, admittebat orationes & ſponſiones Nearchi Cretenſis & filii Demetrii, qui conſervare ſtudebant Eumenem: verum cæteri fere omnes intercedebant ſuadebantque de medio tollendum. Fertur Eumenes ex Onomarcho, qui cuſtodiebat eum, rogaſſe, quid tandem Antigonus non inimicum & hoſtem, quem in poteſtate haberet, aut cito interficeret, aut generoſe dimitteret. Cui Onomarchus quum reſpondiſſet contumelioſe, Non in præſentia, ſed in prœlio debuiſſe ipſum ad mortem eſſe imperterritum: Etiam hercle, dixiſſe Eumenes, tunc fui. Percunctare illos qui

-τόντας· ἀλλ᾽ οὐδενὶ κρείττονι προστυχὼν οἶδα· καὶ τὸν Ὀνόμαρχον, οὐκοῦν ἐπεὶ νῦν, φάναι, τὸν κρείττονα εὕρηκας, τί οὐκ ἀναμένεις τὸν ἐκείνου καιρόν;

Ὡς δ᾽ οὖν ἔδοξε τῷ Ἀντιγόνῳ τὸν Εὐμενῆ κτείνειν, ἐκέλευσεν αὐτοῦ τὴν τροφὴν ἀφελεῖν. καὶ δύο μὲν ἡμέρας ἢ τρεῖς ἄσιτος οὕτω προσήγετο πρὸς τὴν τελευτήν. αἰφνίδιον δὲ ἀναζυγῆς γενομένης, εἰσπέμψαντες ἄνθρωπον, ἀποσφάττουσιν αὐτόν. τὸ δὲ σῶμα τοῖς φίλοις παραδοὺς ὁ Ἀντίγονος, ἐπέτρεψεν καῦσαι, καὶ τὰ λείψανα συνθέντας, εἰς ἀργυρᾶν ὑδρείαν κομίζειν, ἀποδοθησόμενα τῇ γυναικὶ καὶ τοῖς παισίν. οὕτω δὲ ἀποθανόντος Εὐμενοῦς, οὐκ ἐπ᾽ ἄλλῳ τινὶ τὴν τιμωρίαν ἐποιήσατο τῶν προδόντων αὐτὸν ἡγεμόνων καὶ στρατιωτῶν τὸ δαιμόνιον, ἀλλ᾽ αὐτὸς Ἀντίγονος προβαλλόμενος ὡς ἀσεβεῖς καὶ θηριώδεις τοὺς ἀργυράσπιδας, παρέδωκεν Ἰβυρτίῳ τῷ διοικοῦντι τὴν Ἀραχωσίαν, πάντα τρόπον ἐκτρῖψαι καὶ καταφθεῖραι κελεύσας, ὅπως μηδεὶς αὐτῶν εἰς Μακεδονίαν ἄπεισι, μηδὲ ὄψεται τὴν Ἑλληνικὴν θάλατταν.

qui mecum sunt congressi. Verum in neminem incidi me qui esset fortior. Cui Onomarchus, Ergo quandoquidem nunc reperisti fortiorem, quin tempora ejus exspectas?

Ut igitur statuit Eumenem Antigonus tollere, imperavit cibum ei detrahi: atque ita duos vel tres dies inedia morti admovebatur. Quum essent autem repente castra movenda, missus intro quidam trucidavit eum. Corpus concessit amicis ejus Antigonus, & cremare permisit, reliquiasque in urnam conditas argenteam referre ad uxorem & liberos ejus. Ad hunc modum sublato Eumene, nemini alteri Deus pœnas de illis qui eum prodiderant, ducibus & militibus, delegavit sumendam, sed ipse ut impios & immanes abominatus Antigonus Argyraspidas, tradidit eos Ibyrtio Arachosiæ procuratori omnibus modis atterendos conficiendosque; ne quis eorum in Macedoniam rediret, vel mare Græcum aspiceret.

Ταῦτα

ΤΑΥΤΑ ἐστιν ἃ περὶ Εὐμενοῦς καὶ Σερτωρίου μνήμης ἄξια παρειλήφαμεν. ἐν δὲ τῇ συγκρίσει, κοινὸν μὲν ἀμφοτέροις ὑπάρχει τὸ ξένους καὶ ἀλλοδαποὺς καὶ φυγάδας ὄντας, ἐθνῶν τε παντοδαπῶν, καὶ στρατευμάτων μαχίμων τε καὶ μεγάλων δυνάμεων ἡγουμένους διατελεῖν. ἴδιον δὲ, Σερτωρίῳ μὲν, τὸ παρὰ πάντων τῶν συμμάχων δεδομένην ἔχειν διὰ τὸ ἀξίωμα τὴν ἀρχήν· Εὐμενεῖ δὲ, τὸ πολλῶν διαφερομένων περὶ τῆς ἡγεμονίας πρὸς αὐτὸν, ἐκ τῶν πράξεων λαμβάνειν τὸ πρωτεῖον· καὶ τῷ μὲν ἄρχεσθαι βουλόμενοι δικαίως εἵποντο, τῷ δὲ, ἄρχειν μὴ δυνάμενοι, πρὸς τὸ συμφέρον ὑπήκουον. καὶ γὰρ ὁ μὲν, Ἰβήρων καὶ Λυσιτανῶν, Ῥωμαῖος, ὁ δὲ, Χερρονησίτης, Μακεδόνων ἦρχεν· ὧν οἱ μὲν ἔκπαλαι Ῥωμαίοις ἐδούλευον, οἱ δὲ τότε πάντας ἀνθρώπους ἐδουλοῦντο. καὶ Σερτώριος μὲν ἀπὸ βουλῆς καὶ στρατηγίας θαυμαζόμενος, Εὐμενὴς δὲ διὰ τὴν γραμματείαν καταφρονούμενος ἐφ' ἡγεμονίαν προῆλθεν. οὐ μόνον ταῖς νῦν ἐλάττοσι πρὸς τὴν ἀρχὴν ἀφορμαῖς, ἀλλὰ καὶ μείζοσι πρὸς τὴν αὔξησιν ἐχρήσατο κωλύμασιν Εὐμενής. καὶ γὰρ ἄντικρυς τοὺς ἐπισα-

HABES quæ de Eumene & Sertorio memoratu digna accepimus. In contentione autem, commune hoc est ambobus, quod peregrini & alienigenæ, & exules, gentium variarum & fortium legionum magnorumque exercituum per vitam fuerint ductores. Proprium vero Sertorio, quod oblatum propter dignitatem suam ab omnibus sociis imperium susceperit: Eumeni, quod multis cum ipso de imperio contendentibus, acceperit ex rebus gestis primatum. Atque huic, quia erant ad imperandum inepti, utilitatis gratia parerent: illum, qui ducem quærebant justum, sequerentur. Etenim alter Hispanos & Lusitanos Romanus, Chersonesites alter duxit Macedonas: quorum hi totum orbem domabant, illi serviebant jampridem Romanis. Jam Sertorius ut senator, & qui exercitum ante duxerat, autoritatem obtinens, Eumenes ob scribæ munus obitum contemptus evasit dux. Neque vero hæc modo debiliora ad imperium adminicula, verum etiam impedimenta ad incrementum habuit Eumenes majora. Siquidem erant qui eum & pro-

σαμένους, καὶ κρύφα τοὺς ἐπιβουλεύοντας εἶχε πολλούς· οὐχ ὥσπερ τῷ ἑτέρῳ φανερῶς μὲν οὐδείς, λάθρα δὲ ὕστερον καὶ ὀλίγοι τῶν συμμάχων ἐπανέστησαν. διὸ τῷ μὲν ἦν πέρας τοῦ κινδυνεύειν, τὸ νικᾶν τοὺς πολεμίους· τῷ δέ, ἐκ τοῦ νικᾶν ὁ κίνδυνος ὑπὸ τῶν φθονούντων.

Τὰ μὲν οὖν κατὰ τὴν στρατείαν ἐφάμιλλα καὶ παράλληλα, τῷ δὲ ἄλλῳ τρόπῳ, φιλοπόλεμος μὲν ὁ Εὐμένης καὶ φιλόνεικος, ἡσυχίας δὲ καὶ πρᾳότητος οἰκεῖος ὁ Σερτώριος. ὁ μὲν γάρ, ἀσφαλῶς καὶ μετὰ τιμῆς βιοῦν ἐξόν, ἐκποδὼν γενόμενος, τοῖς πρώτοις μαχόμενος καὶ κινδυνεύων διετέλεσεν· τῷ δὲ οὐδὲν δεομένῳ πραγμάτων, ὑπὲρ αὐτῆς τῆς τοῦ σώματος ἀσφαλείας πρὸς οὐκ ἐῶντας εἰρήνην ἄγειν ἦν ὁ πόλεμος. Εὐμενεῖ μὲν γὰρ Ἀντίγονος, ἐκστάντι τῶν ὑπὲρ τοῦ πρωτεύειν ἀγώνων, ἡδέως ἂν ἐχρῆτο τὴν μετ᾽ αὐτὸν ἀγαπῶντι τάξιν· Σερτωρίῳ δὲ οἱ περὶ Πομπήιον οὐδὲ ζῆν ἀπραγμόνως ἐπέτρεπον. διὸ τῷ μὲν ἑκοντὶ συνέβαινεν πολεμεῖν ἐν ἀρχῇ, τῷ δὲ ἀκουσίως ἄρχειν διὰ τὸ πολεμεῖσθαι. φιλοπόλεμος μὲν οὖν, ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν· πολεμικὸς δέ, ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. καὶ μὴν ἀποθανεῖν γε συνέβη τῷ μέν, οὐ προαισθομένῳ· τῷ δέ, καὶ προσδεχομένῳ τὴν τελευτήν. ὧν τὸ μέν, ἐπιεικείας, φίλοις γὰρ ἐδόκει πιστεύειν· τὸ δέ, ἀσθενείας· βουλόμενος γὰρ φυγεῖν, συνελήφθη. καὶ τοῦ μὲν οὐ κατῄσχυνε τὸν βίον ὁ θάνατος, πάσχοντος ὑπὸ τῶν συμμάχων, ἃ τῶν πολεμίων αὐτὸν οὐδεὶς ἐποίησεν· ὁ δέ, φυγεῖν μὲν πρὸ αἰχμαλωσίας μὴ δυνηθείς, ζῆν δὲ μετ᾽ αἰχμαλωσίαν βουληθείς,

propalam impugnarent, & insidiarentur in occulto: non sicut alterum palam nemo, occulte demum & pauci socii oppugnavere. Quocirca finis alteri periculorum in hostium positus oppressione erat, alteri in victoria periculum ab invidis.

Res igitur bello gestæ æquæ & pares sunt. Cæteris moribus, bellorum & certaminum cupidus Eumenes, quietis & tranquillitatis Sertorius fuit sectator. Superior enim, vivere quum ei liceret secure atque honorifice, si subducere se voluisset de medio, non destitit cum principibus certare & periclitari. Sertorio negotia non quærenti, pro salute sua adversus illos qui agere ipsum non sinebant in otio, bellum fuit. Quippe Eumene Antigonus, si omisisset de primatu certamina, & in secundo post se loco acquievisset, libenter esset usus: Sertorio Pompeius ne vivere quidem concessit quiete. Unde incidit illi, ut cum dux esset sponte bellum gereret; huic quia oppugnabatur, invitus ut dux fieret. Sit igitur belli ille cupidus, qui securitati primos honores anteponit: bellicosus, qui bello quærit securitatem. Jam mors oblata est huic nihil præsentienti, illi etiam exspectanti cædem: quorum illud placidi est animi, (nempe amicis videbatur fidere) hoc imbecilli: nam dum adornat fugam, comprehensus est. Neque vero Sertorii vitam dehonestavit exitus, cui illatum est ab sociis, quod hostium inferre potuisset nullus: alter, qui captivitatem nequivit effugere, & vivere cupivit post captivitatem,

ληθεὶς, οὔτε ἐφυλάξατο καλῶς τὴν τελευτὴν, οὔθ' ὑπέμεινεν, ἀλλὰ προσλιπαρῶν καὶ δεόμενος, τοῦ σώματος μόνου κρατεῖν δοκοῦντα τὸν πολέμιον, καὶ τῆς ψυχῆς αὐτοῦ κύριον ἐποίησεν.

tatem, neque recte devitavit neque tulit fata: verum dum supplicat & deprecatur, ei qui in corpus modo jus habere videbatur, etiam animi sui arbitrium dedit hosti.

Α Γ Η-

Goltz. Tab. [illegible]

ΑΓΗΣΙΛΑΟΣ.

ΑΡΧΙΔΑΜΟΣ ὁ Ζευξιδάμου βασιλεύσας ἐπιφανῶς Λακεδαιμονίων, κατέλιπεν υἱὸν ἐκ γυναικὸς εὐδοκίμου Λαμπριδοῦς, Ἄγιν, καὶ πολὺ νεώτερον ἐξ Εὐπωλίας τῆς Μελισιππίδα θυγατρὸς, Ἀγησίλαον. ἐπεὶ δὲ τῆς βασιλείας Ἄγιδι προσηκούσης κατὰ τὸν νόμον, ἰδιώτης ἐδόκει βιοτεύειν ὁ Ἀγησίλαος, ἤχθη τὴν λεγομένην ἀγωγὴν ἐν Λακεδαίμονι, σκληρὰν μὲν οὖσαν τῇ διαίτῃ καὶ πολύπονον, παιδεύουσαν δὲ τοὺς νέους ἄρχεσθαι. διὸ καί φασιν ὑπὸ τοῦ Σιμωνίδου τὴν Σπάρτην προσηγορεῦσθαι δαμασίμβροτον, ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν, ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους. ταύτης ἀφίησιν ὁ νόμος τῆς ἀνάγκης τοὺς ἐπὶ βασιλείᾳ τρεφομένους παῖδας. Ἀγησιλάῳ δὲ καὶ τοῦτο ὑπῆρξεν ἴδιον, ἐλθεῖν ἐπὶ τὸ ἄρχειν μὴ ἀπαίδευτον τοῦ ἄρχεσθαι. διὸ καὶ πολὺ τῶν βασιλέων εὐαρμοστότατον αὐτὸν τοῖς ὑπηκόοις παρέσχε, τῷ φύ-

ARCHIDAMUS Zeuxidami filius, qui magna gloria regnavit Lacedæmone, filium ex uxore probata fœmina Lampridone Agim, & multo minorem ex Eupolia Meliſippidæ reliquit Ageſilaum. Quum regnum autem lege ad Agidem pertineret, ac privatam vitam Ageſilaus putaretur acturus, diſciplina inſtitutus fuit illa uſitata Lacedæmoniorum, rigida quidem & ærumnoſa, verum erudiente ad parendum juventutem. Unde Spartam ferunt a Simonide domatricem hominum nominatam, quod maxime per aſſuetudinem parentes legibus cives manſuetoſque, ſicut equos mox a prima ætate domitos, redderet. Hoc tamen vinculo ſolvit lex pueros qui ad regnum educantur. Ageſilao vero hoc ſuppeditavit ſingulare, quod non rudis parendi acceſſerit ad imperandum. Quapropter præbuit ſe longe præ regibus omnibus commodiſſimum popularibus ſuis, quod cum principali

φύσει ἡγεμονικῷ καὶ βασιλικῷ προσκλησάμενος ἀπὸ τῆς ἀγωγῆς τὸ δημοτικὸν καὶ φιλάνθρωπον.

Ἐν δὲ ταῖς καλουμέναις ἀγέλαις τῶν συντρεφομένων παίδων Λύσανδρον ἔσχεν ἐραστὴν, ἐκπλαγέντα μάλιστα τῷ κοσμίῳ τῆς φύσεως αὐτοῦ. φιλονεικότατος γὰρ ὢν καὶ θυμοειδέστατος ἐν τοῖς νέοις, καὶ πάντα πρωτεύειν βουλόμενος, καὶ τὸ σφοδρὸν ἔχων καὶ ῥαγδαῖον ἄμαχον καὶ δυσεκβίαστον, εὐπειθείᾳ πάλιν αὖ καὶ πρᾳότητι τοιοῦτος ἦν, οἷος φόβῳ μηδὲν, αἰσχύνῃ δὲ πάντα ποιεῖν τὰ προσταττόμενα, καὶ τοῖς ψόγοις ἀλγύνεσθαι μᾶλλον, ἢ τοὺς πόνους βαρύνεσθαι. τήν τε τοῦ σκέλους πήρωσιν ἥ τε ὥρα τοῦ σώματος ἀνθοῦντος ἀπέκρυπτε, καὶ τὸ ῥᾳδίως φέρειν καὶ ἱλαρῶς τὸ τοιοῦτο, παίζοντα καὶ σκώπτοντα πρῶτον ἑαυτὸν, οὐ μικρὸν ἦν ἐπανόρθωμα τοῦ πάθους· ἀλλὰ καὶ τὴν φιλοτιμίαν ἐκδηλοτέραν ἐποίει, πρὸς μηδένα πόνον μηδὲ πρᾶξιν ἀπαγορεύοντος αὐτοῦ διὰ τὴν χωλότητα. τῆς δὲ μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν· αὐτὸς γὰρ οὐκ ἠθέλησεν, ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε μήτε πλαστὰν μήτε μιμηλάν τινα ποιήσασθαι τοῦ σώματος εἰκόνα. λέγεται δὲ μικρός τε γενέσθαι καὶ τὴν ὄψιν εὐκαταφρόνητος· ἡ δὲ ἱλαρότης καὶ τὸ εὔθυμον ἐν ἅπαντι καιρῷ καὶ παιγνιῶδες, ἀχθεινὸν δὲ καὶ τραχὺ μηδέποτε, μήτε φωνῇ μήτε ὄψει, τῶν καλῶν καὶ ὡραίων ἐρασμιώτερον αὐτὸν ἄχρι γήρως παρεῖχεν. ὡς δὲ Θεόφραστος ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν. Οὐ γὰρ βασιλεῖς, ἔφασαν, ἅμμιν, ἀλλὰ βασιλείδια γεννάσει.

Βασι-

cipali & regia indole popularitatem & humanitatem ex institutione conjunxisset.

In gregibus (quos vocant) puerilium contuberniorum amatorem Lysandrum habuit, præcipue ingenii ejus modestiam stupentem. Quum enim maxime contentiosus existeret in juvenibus maximique animi, & ubique primas sibi posceret, æstuque ac fervore præditus esset inexsuperabili atque invicto; facilitate tamen & placiditate is fuit, qui metu nihil, pudore imperata omnia faceret: plusque probris doleret, quam gravaretur laboribus. Clauditatem ejus tegebat corporis florentis decor, & quod hanc facile hilariterque ferret, primusque jocaretur & rideret semet ipse, id haud mediocris erat illius vitii emendatio: immo vero id laudis cupiditatem ejus magis declarabat, quod nulli labori vel operi succumberet ob clauditatem. Formæ ejus imago non extat. Noluit enim id, & moriens interdixit ne quis fingeret vel pingeret corporis sui effigiem. Dicitur autem pusillus fuisse & specie aspernanda. Cæterum hilaritas ejus & alacritas omnibus horis, urbanitasque aliena ab omni vel vocis vel vultus morositate & acerbitate amabiliorem eum ad senectutem usque præbuit omnibus formosis. Archidamo vero (ut Theophrastus autor est) mulctam dixerunt ephori, quod parvam uxorem duxisset. Non enim reges (dixerunt) sed regulos nobis gignet.

Porro

Βασιλεύοντος δὲ Ἄγιδος, ἧκεν ἐκ Σικελίας Ἀλκιβιάδης φυγὰς εἰς Λακεδαίμονα· καὶ χρόνον οὔπω πολὺν ἐν τῇ πόλει διάγων, αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως Τιμαίᾳ συνεῖναι. καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδίον οὐκ ἔφη γινώσκειν ὁ Ἆγις, ἀλλ' ἐξ Ἀλκιβιάδου γεγονέναι. τοῦτο δὲ οὐ πάνυ δυσκόλως τὴν Τιμαίαν ἐνεγκεῖν φησὶ Δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἱλωτίδας, Ἀλκιβιάδην τὸ παιδίον, οὐ Λεωτυχίδην καλεῖν. καὶ μέντοι καὶ τὸν Ἀλκιβιάδην αὐτὸν οὐ πρὸς ὕβριν Τιμαίᾳ φάναι πλησιάζειν, ἀλλὰ φιλοτιμούμενον βασιλεύεσθαι Σπαρτιάτας ὑπὸ τῶν ἐξ ἑαυτοῦ γεγονότων. διὰ ταῦτα μὲν δὴ τῆς Λακεδαίμονος Ἀλκιβιάδης ὑπεξῆλθε, φοβηθεὶς τὸν Ἆγιν. ὁ δὲ παῖς τὸν μὲν ἄλλον χρόνον ὕποπτος ἦν τῷ Ἄγιδι, καὶ γνησίου τιμὴν οὐκ εἶχε παρ' αὐτῷ· νοσοῦντι δὲ προσπεσὼν καὶ δακρύων, ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον. οὐ μὴν ἀλλὰ τελευτήσαντος τοῦ Ἄγιδος, ὁ Λύσανδρος ἤδη καταναυμαχηκὼς Ἀθηναίους, καὶ μέγιστον ἐν Σπάρτῃ δυνάμενος, τὸν Ἀγησίλαον ἐπὶ τὴν βασιλείαν προῆγεν, ὡς οὐ προσήκουσαν ὄντι νόθῳ τῷ Λεωτυχίδῃ. πολλοὶ δὲ καὶ τῶν ἄλλων πολιτῶν τὴν ἀρετὴν τοῦ Ἀγησιλάου, καὶ τὸ συντετράφθαι καὶ μετεσχηκέναι τῆς ἀγωγῆς, ἐφιλοτιμοῦντο καὶ συνέπραττον αὐτῷ προθύμως. ἦν δὲ Διοπείθης, ἀνὴρ χρησμολόγος ἐν Σπάρτῃ, μαντειῶν τε παλαιῶν ὑπόπλεως, καὶ δοκῶν περὶ τὰ θεῖα σοφὸς εἶναι καὶ περιττός. οὗτος οὐκ ἔφη θεμιτὸν εἶναι χωλὸν γενέσθαι τῆς Λακεδαίμονος βασιλέα· καὶ χρησμὸν ἐν τῇ δίκῃ τοιοῦτον ἀνεγίνωσκε·

Φράζεο δὴ Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία. Δη-

Porro Agide regnante, Alcibiades exul ex Sicilia venit Lacedæmonem. Needum in urbe diu hæserat, quum ſtupri cum regis uxore Timæa fit ſuſpectus, & filiolum ab ea editum negavit Agis agnoſcere ſe, ſed eſſe ait ex Alcibiade ſuſceptum. Neque id Timæam Duris ait admodum ægre tuliſſe, verum ſuſurrantem domi cum ancillis ſuis, Alcibiadem infantem, non Leotychidem nominaviſſe. Et vero ipſum quoque Alcibiadem non libidine dixiſſe impulſum ſe conſuetudinem habuiſſe cum Timæa, ſed ambitione: ut apud Spartiatas obtineret ſtirps ſua regnum. Quare Agidis timore ſubduxit ſe Alcibiades Lacedæmone. Puer autem reliquo tempore ſuſpectus Agidi fuit, neque juſti filii apud eum habuit locum, donec ægrotum cum lacrymis precans induxit, coram multis ut appellaret ſe filium. At defuncto Agide, Lyſander, qui jam pugna navali devicerat Athenienſes, & plurimum Spartæ poterat, provexit Ageſilaum ad regnum, cauſatus non ſpectare id ad adulterinum Leotychidem. Simul frequentes alii cives Ageſilao virtutis cauſa, & quod in contubernio ſuo eductus inſtitutuſque eſſet, favebant, & cum eo ſtrenue faciebant. Sed Diopithes erat Spartæ vir fatidicus, antiquorum oraculorum copia inſtructus, qui habebatur in rebus divinis ſapiens & doctus. Hic nefas oſtendit eſſe, quenquam regnare Lacedæmone claudum, atque oraculum in judicio hujuſmodi recitavit,

Tu, quamvis animo tumeas, o Sparta, ſuperbo,
Te rectam pedibus prorſus circumſpice, claudum

Δηρὸν γὰρ νοῦσοί σε καταχήσουσιν ἄελπτοι,
Φθισίβροτόν τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

πρὸς ταῦτα Λύσανδρος ἔλεγεν, ὡς εἰ πάνυ φοβοῖντο τὸν χρησμὸν οἱ Σπαρτιᾶται, φυλακτέον αὐτοῖς εἴη τὸν Λεοτυχίδην. οὐ γὰρ εἰ προσπταίσας τις τὸν πόδα βασιλεύοι, τῷ Θεῷ διαφέρειν· ἀλλ' εἰ μὴ γνήσιος ὢν μηδὲ Ἡρακλείδης, τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν. ὁ δὲ Ἀγησίλαος ἔφη καὶ τὸν Ποσειδῶνα καταμαρτυρεῖν τοῦ Λεωτυχίδου τὴν νοθείαν, ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν Ἆγιν· ἀπ' ἐκείνου δὲ πλέον ἢ δέκα μηνῶν διελθόντων γενέσθαι τὸν Λεωτυχίδην.

Οὕτω δὲ καὶ διὰ ταῦτα βασιλεὺς ἀποδειχθεὶς ὁ Ἀγησίλαος, εὐθὺς εἶχε καὶ τὰ χρήματα τοῦ Ἄγιδος, ὡς νόθον ἀπελάσας τὸν Λεωτυχίδην. ὁρῶν δὲ τοὺς ἀπὸ μητρὸς οἰκείους, ἐπιεικεῖς μὲν ὄντας, ἰσχυρῶς δὲ πενομένους, ἀπένειμεν αὐτοῖς τὰ ἡμίσεα τῶν χρημάτων, εὔνοιαν ἑαυτῷ καὶ δόξαν ἀντὶ φθόνου καὶ δυσμενείας ἐπὶ τὴν κληρονομίαν κατασκευαζόμενος. ὡς δέ φησιν ὁ Ξενοφῶν, ὅτι τῇ πατρίδι πειθόμενος, ἴσχυε πλεῖστον, ὥστε ποιεῖν ὃ βούλοιτο· τοιοῦτο ἐκ τῶν ἐφόρων ἦν τότε καὶ τῶν γερόντων τὸ μέγιστον ἐν τῇ πολιτείᾳ κράτος, ὧν οἱ μὲν ἐνιαυτὸν ἄρχουσι μόνον, οἱ δὲ γέροντες διὰ βίου ταύτην ἔχουσι τὴν τιμήν, ἐπὶ τῷ μὴ πάντα τοῖς βασιλεῦσιν ἐξεῖναι, συνταχθέντες, ὡς ἐν τῷ περὶ Λυκούργου γέγραπται. διὸ καὶ πατρικήν τινα πρὸς αὐτοὺς ἀπὸ τοῦ παλαιοῦ διετέλουν εὐθὺς οἱ βασιλεῖς φιλονεικίαν καὶ διαφορὰν παραλαμβάνοντες. ὁ δὲ Ἀγησίλαος ἐπὶ τὴν ἐναντίαν ὁδὸν ἦλθε·

καὶ

Ne lædat regnum: longi te namque labores
Et subito cingent, Martisque agitaberis undis.

Ad ea respondit Lysander: si oraculum hoc magnopere Spartiatæ religioni haberent, vitandum iis Leotychidem. Neque enim si is qui offendisset pedem regnaret, id Deum laborare: verum si adulterinus & alienus foret ab Herculis gente, hoc claudum regnum esse. Agesilaus vero etiam Neptunum ostendit illegitimorum natalium damnasse Leotychidem, quod terræ motu Agim thalamo exegisset: inde mensibus plus decem post natum Leotychidem.

Ita & hisce de causis rex renuntiatus Agesilaus, simul hæreditatem quoque occupavit Agidis, rejecto, ut adulterino, Leotychide. Ille quum propinquos Agidis maternos honestos homines videret, sed inopes, ad benevolentiam & laudem pro invidia & malevolentia captandam, semissem his hæreditatis concessit. Ut autem Xenophon refert, quod patriæ obtemperando plurimum polleret, omnia ut ageret pro arbitrio, id hinc fuit: Ephororum & senum tunc summa in ea repub. erat autoritas, ex quibus ephororum annuus tantum magistratus est, senes perpetuo eo honore fruuntur, instituti ad licentiam refrænandam regum, ut in vita Lycurgi demonstravimus. Unde contentionem semper cum iis & dissensionem jam inde antiquitus reges cum regno hæreditariam accipiebant. Agesilaus vero alia incessit via, omisso-

καὶ τὸ πολεμεῖν καὶ προσκρούειν αὐτοῖς ἐάσας, ἐθεράπευε, πάσης μὲν ἀπ' ἐκείνων πράξεως ἀρχόμενος· εἰ δὲ κληθείη, θᾶττον ἢ βάδην ἐπειγόμενος· ὁσάκις δὲ τύχοι καθήμενος ἐν τῷ βασιλικῷ θώκῳ καὶ χρηματίζων, ἐπιοῦσι τοῖς ἐφόροις ὑπεξανίστατο. τῶν δὲ εἰς τὴν γερουσίαν ἀεὶ καταταττομένων ἑκάστῳ χλαῖναν ἔπεμπε καὶ βοῦν ἀριστεῖον. ἐκ δὲ τούτων τιμᾶν δοκῶν καὶ μεγαλύνειν τὸ ἀξίωμα τῆς ἐκείνων ἀρχῆς, ἐλάνθανεν αὔξων τὴν ἑαυτοῦ δύναμιν, καὶ τῇ βασιλείᾳ προστιθέμενος μέγεθος, ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας συγχωρούμενον.

Ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους πολίτας ὁμιλίαις, ἐχθρὸς ἦν ἀμεμπτότερος ἢ φίλος. τοὺς μὲν γὰρ ἐχθροὺς ἀδίκως οὐκ ἔβλαπτε, τοῖς δὲ φίλοις καὶ τὰ μὴ δίκαια συνέπραττε. καὶ τοὺς μὲν ἐχθροὺς ᾐσχύνετο μὴ τιμᾶν κατορθοῦντας, τοὺς δὲ φίλους οὐκ ἐδύνατο ψέγειν ἁμαρτάνοντας, ἀλλὰ καὶ βοηθῶν ἠγάλλετο καὶ συνεξαμαρτάνων αὐτοῖς. οὐδὲν γὰρ ᾤετο τῶν φιλικῶν ὑπουργημάτων αἰσχρὸν εἶναι. τοῖς δ' αὖ διαφόροις καὶ πταίσασι πρῶτος συναχθόμενος, καὶ δεηθεῖσι συμπράττων προθύμως, ἐδημαγώγει καὶ προσήγετο πάντας. ὁρῶντες οὖν οἱ ἔφοροι ταῦτα, καὶ φοβούμενοι τὴν δύναμιν, ἐζημίωσαν αὐτόν, αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς πολίτας ἰδίους κτᾶται. καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται καὶ τὴν ἔριν, εἰ τῶν ὅλων ἐξαιρεθείη, στῆναι μὲν ἂν τὰ οὐράνια, παύσεσθαι δὲ πάντων τὴν γένεσιν καὶ κίνησιν ὑπὸ τῆς πρὸς ταῦτα πάντων ἁρμονίας· οὕτως ἔοικεν ὁ Λακωνικὸς νομοθέτης ὑπέκκαυμα τῆς ἀρετῆς ἐμβαλεῖν εἰς τὴν πολιτείαν τὸ φιλότιμον καὶ φιλόνεικον, ἀεί τινα τοῖς ἀγαθοῖς δια-

omissoque cum illis certamine & offensione, observabat eos, omnem ab his actionem auspicans. Si accerseretur, ocyus quam gradu properabat. Quoties in regio solio sedebat & responsa dabat, supervenientibus assurgebat ephoris. Ut quisque lectus in senatum fuit, semper ei lænam & bovem donabat. Ex his, dum revereri & extollere majestatem videtur illorum magistratus, clam opes suas augebat, ac regno amplitudinem adjiciebat ex illorum erga se benevolentia permissam.

Cum reliquis civibus ita se gessit, ut inculpatior inimicus quam amicus esset. Inimicos enim non lædebat injuste, amicis erat præsto in rebus etiam iniquis. Atque inimicis, siquid recte gessissent, erubescebat honorem non habere: amicos corripere in peccatis non sustinebat. Immo vero gloriabatur, his quum succurreret & opitularetur in delinquendo. Obsequium enim in amicos ducebat turpe nullum. Adversariorum rursus vel offendentium primus vicem dolendo, &, si rogaretur, enixe fovendo, alliciebat & demerebatur omnes. Quod quum ephori notarent, timentes illius potentiam, mulctam ei irrogaverunt, adjecta causa, quod communes cives redderet proprios suos. Siquidem ut opinantur physici, si contentionem & litem segreges ab universitate, fore ut corpora cœlestia consistant, omnium item generatio & motio conquiescant propter mutuum mundi cum his concentum: ita Laconicus legislator videtur virtutis quasi fomitem reipub. subjecisse ambitionem & concertationem, aliquod semper inter bonos

διαφορὰν καὶ ἅμιλλαν εἶναι πρὸς ἀλλήλους βουλόμενος· τὴν δ' ἀνθυπείκουσαν τῷ ἀνελέγκτῳ χάριν, ἀργὴν καὶ ἀναγώνιστον οὖσαν, οὐκ ὀρθῶς ὁμόνοιαν λέγεσθαι. τοῦτο δ' ἀμέλει συνεωρακέναι καὶ τὸν Ὅμηρον οἴονταί τινες. οὐ γὰρ τὸν Ἀγαμέμνονα ποιῆσαι χαίροντα τοῦ Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως εἰς λοιδορίαν προαχθέντων ἐκπάγλοις ἐπέεσσιν, εἰ μὴ μέγα τοῖς κοινοῖς ἀγαθὸν ἐνόμιζεν εἶναι τὸν πρὸς ἀλλήλους ζῆλον, καὶ τὴν διαφορὰν τῶν ἀρίστων. ταῦτα μὲν οὖν οὐκ ἂν οὕτως τις ἁπλῶς συγχωρήσειεν· αἱ γὰρ ὑπερβολαὶ τῶν φιλονεικιῶν χαλεπαὶ ταῖς πόλεσι, καὶ μεγάλους κινδύνους ἔχουσι.

Τοῦ δ' Ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος, ἀπήγγειλάν τινες ἐξ Ἀσίας ἥκοντες, ὡς ὁ Περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ στόλῳ Λακεδαιμονίους ἐκβαλεῖν τῆς θαλάσσης. ὁ δὲ Λύσανδρος ἐπιθυμῶν αὖθις εἰς Ἀσίαν ἀποσταλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, οὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίους τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν, ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν Ἀγησίλαον ἐπιθέσθαι τῇ στρατείᾳ, καὶ πολεμῆσαι τῆς Ἑλλάδος ἀπωτάτω διαβάντα, καὶ φθάσαντα τὴν τοῦ βαρβάρου παρασκευήν. ἅμα δὲ τοῖς ἐν Ἀσίᾳ φίλοις ἐπέστελλε πέμπειν εἰς Λακεδαίμονα, καὶ στρατηγὸν Ἀγησίλαον αἰτεῖσθαι. παρελθὼν οὖν εἰς τὸ πλῆθος Ἀγησίλαος, ἀνεδέξατο τὸν πόλεμον, εἰ δοῖεν αὐτῷ τριάκοντα μὲν ἡγεμόνας καὶ συμβούλους Σπαρτιάτας, νεοδαμώδεις δὲ λογάδας δισχιλίους, τὴν δὲ συμμαχικὴν εἰς ἑξακισχιλίους δυνά-

bonos certamen & pugnam machinans: illam vero gratiam qua cives non exploratis prius per mutuas contentiones animis ultro alter alteri concedunt, quæ iners sit & ignava, parum recte dici concordiam censens. Nempe vidisse id Homerum quoque nonnulli arbitrantur: neque enim facturum fuisse, ut Ulysse & Achille ad convitia provectis verborum asperitate lætum finxisset Agamemnonem, nisi magnopere censuisset reipub. interesse mutuam principum æmulationem & dissensionem. Hoc tamen non ita simpliciter probes; quippe sunt noxiæ contentiones civitatibus, si sunt immodicæ, graviaque pericula secum trahunt.

Porro quum regnum Agesilaus modo iniisset, attulerunt aliqui ex Asia regem Persarum Lacedæmonios parare magna classe mari expellere. Hic avens Lysander iterum in Asiam mitti, & subvenire, quos ipse civitatum rectores & dominos reliquerat, amicis; qui, quod improbe respub. & violenter administrarent, exigebantur necabanturque a civibus: perpulit Agesilaum, eam expeditionem ut susciperet, transportatoque exercitu & apparatu occupato barbari, quam remotissime a Græcia bellum gereret. Simul amicis scripsit in Asiam, missis Lacedæmonem legatis, ducem postularent Agesilaum. Progressus igitur in concionem Agesilaus, suscepit bellum, modo triginta sibi legatos & consiliarios Spartiatas adjungerent, delectorum libertinorum ex Ilotis manumissorum duo millia, & sociorum manum ad sex mil-

δύναμιν. συμπράττοντος δὲ τοῦ Λυσάνδρου, πάντα προθύμως ἐψηφίσαντο, καὶ τὸν Ἀγησίλαον ἐξέπεμπον εὐθὺς, ἔχοντα τοὺς τριάκοντα Σπαρτιάτας, ὧν ὁ Λύσανδρος ἦν εὐθὺς πρῶτος, οὐ διὰ τὴν ἑαυτοῦ δόξαν καὶ δύναμιν μόνον, ἀλλὰ καὶ διὰ τὴν Ἀγησιλάου φιλίαν, ᾧ μεῖζον ἐδόκει τῆς βασιλείας διαπεπρᾶχθαι ἀγαθὸν, τὴν στρατηγίαν ἐκείνην. ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς Γεραιστὸν, αὐτὸς εἰς Αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας, ἔδοξε κατὰ τοὺς ὕπνους εἰπεῖν τινα πρὸς αὐτὸν, ὦ βασιλεῦ Λακεδαιμονίων, ὅτι μὲν οὐδεὶς τῆς Ἑλλάδος ὁμοῦ συμπάσης ἀπεδείχθη στρατηγὸς, ἢ πρότερον Ἀγαμέμνων, καὶ σὺ νῦν μετ᾽ ἐκεῖνον, ἐννοεῖς δήπουθεν. ἐπεὶ δὲ τῶν αὐτῶν ἄρχεις ἐκείνῳ, τοῖς δὲ αὐτοῖς πολεμεῖς, ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον, εἰκός ἐστι καὶ θῦσαι τῇ Θεῷ θυσίαν ἣν ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν. ἅμα δέ πως ὑπῆλθε τὸν Ἀγησίλαον ὁ τῆς κόρης σφαγιασμὸς, ἣν ὁ πατὴρ ἔσφαξε πεισθεὶς τοῖς μάντεσιν. οὐ μὴν δὲ ἐτάραξεν αὐτὸν, ἀλλ᾽ ἀναστὰς καὶ διηγησάμενος τοῖς φίλοις τὰ φανέντα, τὴν μὲν Θεὸν ἔφη τιμήσειν οἷς εἰκός ἐστι χαίρειν, Θεὸν οὖσαν, οὐ μιμήσεσθαι δὲ τὴν ἀμαθίαν τοῦ τότε στρατηγοῦ. καὶ καταστέψας ἔλαφον, ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὥσπερ εἰώθει τοῦτο ποιεῖν ὁ ὑπὸ τῶν Βοιωτῶν τεταγμένος. ἀκούσαντες οὖν οἱ βοιωτάρχαι, πρὸς ὀργὴν κινηθέντες, ἔπεμψαν ὑπηρέτας, ἀπαγορεύοντες τῷ Ἀγησιλάῳ μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια Βοιωτῶν. οἱ δὲ καὶ ταῦτα ἀπήγγειλαν, καὶ τὰ μηρία διέρριψαν ἀπὸ τοῦ βωμοῦ. χαλεπῶς οὖν ἔχων ὁ Ἀγησίλαος, ἀπέπλει τοῖς τε Θηβαίοις διωργισμένος, καὶ γεγονὼς δύσελ-

πις

millia. Sciverunt hæc omnia incumbente Lyſandro prompte, atque Ageſilaum confeſtim dimiſerunt additis triginta Spartiatis: inter quos illico fuit Lyſander primus, non ob ſuam autoritatem modo & opes, verum etiam ob amicitiam Ageſilai, cui regno majus exiſtimabatur decus confeciſſe illam provinciam. Dum copiæ Geræſtum conveniunt, profectus Aulidem eſt cum amicis Ageſilaus, atque ibi pernoctantem viſus eſt quidam in ſomnis compellare. Totius Græciæ, rex Lacedæmoniorum, deſignatum ducem, præter antehac Agamemnonem, & nunc poſt illum te, neminem fuiſſe haud dubie intelligis. Quando jam iiſdem præes, cum iiſdem bellum facis, atque iiſdem ex locis pergis ad bellum, debes immolare Deæ victimam, quam ille hic priuſquam ſolveret, immolavit. Simul ſubiit cogitationem Ageſilai virgo hoſtia, quam ex vatum reſponſis pater immolavit. Haud fuit conſternatus tamen: ſed poſtquam ſurrexit, expoſuit amicis viſum, ac Deam ſe oſtendit veneraturum hiſce rebus quæ gratæ Deæ forent exiſtimandæ, non imitaturum vero illius ruditatem ducis: ac cervam corona redimitam imperat victimam cædere aruſpici ſuo, non illi qui de more erat a Bœotiis delegatus. Quo nunciato Bœotarchæ excandeſcentes, per apparitores interdixerunt Ageſilao ne contra Bœotiorum leges & morem ſacra faceret. Illi cum hoc nuntiavere, tum coxas victimæ ex ara disjecere. Quod factum graviter ferens, ſolvit Ageſilaus, fuitque Thebanis infenſus, ac ſpe

clan-

πις διὰ τὸν οἰωνὸν, ὡς ἀτελῶν αὐτῷ τῶν πράξεων γενησομένων, καὶ τῆς στρατείας ἐπὶ τὸ προσῆκον οὐκ ἀφιξομένης.

Ἐπεὶ δὲ ἧκεν εἰς Ἔφεσον, εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν Λύσανδρον, ὄχλου φοιτῶντος περὶ τὰς θύρας ἑκάστοτε, καὶ πάντων παρακολουθούντων καὶ θεραπευόντων ἐκεῖνον, ὡς ὄνομα μὲν καὶ σχῆμα τῆς στρατηγίας τὸν Ἀγησίλαον ὄντα, διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων καὶ δυνάμενον καὶ πράττοντα πάντα, τὸν Λύσανδρον. οὐδεὶς γὰρ δεινότερος οὐδὲ φοβερώτερος ἐκείνου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων ἐγένετο στρατηγῶν, οὐδὲ μείζονα τοὺς φίλους ἀνὴρ ἄλλος εὐεργέτησεν, οὐδὲ κακὰ τηλικαῦτα τοὺς ἐχθροὺς ἐποίησεν. ὧν ἔτι προσφάτων ὄντων οἱ ἄνθρωποι μνημονεύοντες, ἄλλως δὲ, τὸν Ἀγησίλαον ἀφελῆ καὶ λιτὸν ἐν ταῖς ὁμιλίαις καὶ δημοτικὸν ὁρῶντες, ἐκείνῳ δὲ τὴν αὐτὴν ὁμοίως σφοδρότητα καὶ τραχύτητα καὶ βραχυλογίαν παροῦσαν, ὑπέπιπτον αὐτῷ παντάπασι καὶ μόνῳ προσεῖχον. ἐκ δὲ τούτου, πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφερον, ὑπηρέται μᾶλλον Λυσάνδρου, ἢ σύμβουλοι βασιλέως ὄντες· ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος, εἰ καὶ μὴ φθονερὸς ἦν, μηδὲ ἤχθετο τοῖς τιμωμένοις, ἀλλὰ φιλότιμος ὢν σφόδρα καὶ φιλόνεικος, ἐφοβεῖτο μὴ κἂν ἐνέγκωσί τι λαμπρὸν αἱ πράξεις, τοῦτο Λυσάνδρου γένηται διὰ τὴν δόξαν. οὕτως οὖν ἐποίει· πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ, καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα πράξεις, ἐῶν χαίρειν καὶ παραμελῶν, ἕτερα πρὸ ἐκείνων ἔπραττεν. ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων οὓς αἴσθοιτο Λυσάνδρῳ μά-

elanguit ominis causa, velut in irritum casuris cœptis suis, neque debitum exitum expeditione habitura.

Ut Ephesum appulit, mox fastigium apud Lysandrum ingens potentiaque odiosa & gravis fuit, frequentantibus assidue januam ejus cœtibus, omnibus illum assectantibus & colentibus, quasi nomen apud Agesilaum imperii & species ex lege esset, revera omnia in arbitrio essent Lysandri, atque ille omnia & posset & faceret. Nemo enim ex imperatoribus qui missi in Asiam fuerunt, potentior fuit illo vel terribilior, neque majoribus beneficiis amicos alius affecit, vel magis afflixit inimicos. Quorum adhuc recentium recordantes homines, præsertim vero simplicem & demissum in colloquiis Agesilaum popularemque videntes, in illo vero eandem acrimoniam & asperitatem, & præcisa verba manere, submittebant prorsus ei se, atque uni auscultabant. Hinc primum cæteri stomachati sunt Spartiatæ, Lysandri se potius asseclas quam consiliarios esse regis. Deinde & Agesilaus ipse, quamvis nullo esset livore aspersus, nec honoribus angeretur aliorum, quod tamen perquam gloriæ cupidus foret, neque ea cederet cuiquam, verebatur ne, siquid gestum præclare esset, Lysandro id propter nominis ipsius celsitudinem ascriberetur. Itaque sic agit: Primum consiliis illius repugnabat, & quæcumque urgeret ille cœpta maxime, his omissis & repudiatis sequebatur alia. Deinde siqui cum precibus adirent se, quos præcipue nixos sentiebat Lysandro, eos dimit-

μάλιστα πεπιθότας, ἀπράκτους ἀπέπεμπε. καὶ περὶ τὰς κρίσεις ὁμοίως οἷς ἐκεῖνος ἐπηρεάζοι, τούτους ἔδει πλέον ἔχοντας ἀπελθεῖν· καὶ τοὐναντίον οὓς φανερὸς γένοιτο προθυμούμενος ὠφελεῖν, χαλεπὸν ἦν μὴ καὶ ζημιωθῆναι. γινομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ' οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος τὴν αἰτίαν ὁ Λύσανδρος, οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους, ἀλλ' ἔλεγεν ὡς δι' αὐτὸν ἀτιμάζοιντο, καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα, καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμένους.

Ὡς οὖν ταῦτα πράττειν καὶ λέγειν ἐδόκει φθόνον ἐκείνῳ μηχανώμενος, ἔτι μᾶλλον αὐτοῦ καθάψασθαι βουλόμενος Ἀγησίλαος, ἀπέδειξε κρεωδαίτην, καὶ προσεῖπεν, ὡς λέγεται, πολλῶν ἀκουόντων, νῦν οὖν θεραπευέτωσαν οὗτοι ἀπιόντες τὸν ἐμὸν κρεωδαίτην. ἀχθόμενος οὖν ὁ Λύσανδρος, λέγει πρὸς αὐτόν, ἤδεις ἄρα σαφῶς Ἀγησίλαε φίλους ἐλαττοῦν. Ἤδειν, ἔφη, τοὺς ἐμοῦ μεῖζον δύνασθαι βουλομένους. καὶ ὁ Λύσανδρος, Ἀλλὰ ἴσως, ἔφη, ταῦτά σοι λέλεκται βέλτιον ἢ ἐμοὶ πέπρακται. δὸς δέ μοι τινὰ τάξιν καὶ χώραν, ἔνθα μὴ λυπῶν, ἔσομαί σοι χρήσιμος. ἐκ τούτου πέμπεται μὲν ἐφ' Ἑλλήσποντον, καὶ Μιθριδάτην, ἄνδρα Πέρσην, ἀπὸ τῆς Φαρναβάζου χώρας, μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων, ἤγαγε πρὸς τὸν Ἀγησίλαον. οὐκ ἔληγε δὲ τῆς ὀργῆς, ἀλλὰ βαρέως φέρων ἤδη τὸν λοιπὸν χρόνον, ἐβουλεύετο ὅπως τῶν δυεῖν οἴκων τὴν βασιλείαν ἀφελόμενος, εἰς μέσον ἅπασιν ἀποδοίη Σπαρτιάταις. καὶ ἐδόκει μεγάλην ἂν ἀπεργάσασθαι κίνησιν ἐκ ταύτης τῆς διαφορᾶς, εἰ μὴ πρότερον ἐτελεύτησεν, εἰς Βοιωτίαν στρατεύσας. οὕτως

δὲ

mittebat inanes. In judiciis perinde, quos ille insectaretur, his abeundum erat cum victoria: e diverso, quibus advertebatur studere, cum his præclare agebatur, nisi insuper mulctarentur. Hæc quum non fortuito fierent, sed ex composito, & ex æquo ubique, percepta Lysander causa, non celavit de ea amicos suos, verum demonstravit sui causa ipsos ignominia affici: monuitque eos, irent & regem observarent atque illos qui plus quam ipse possent.

Quæ facere & dicere quum videretur ad conciliandam Agesilao invidiam, quo magis ei insultaret, præfecit eum ille carnibus dividendis, projecitque multis audientibus hanc vocem, Eant nunc, & colant meum carnium divisorem. Id Lysander moleste ferens, ait ad illum, Nosti sane Agesilae bene amicos premere. Novi, inquit, eos, plus me qui volunt posse. Cui Lysander, Enimvero tu hoc, inquit, fortasse dixisti potius quam ego feci. Assigna vero mihi ordinem & locum, ubi citra invidiam operam meam tibi præstem. Inde in Hellespontum legatur, & Mithridatem Persam ex Pharnabazi provincia cum magna pecuniæ vi & equitibus ducentis ad Agesilaum adduxit. Haud deposuit tamen simultatem, verum offensus in posterum deliberavit, quemadmodum duabus familiis regnum extorqueret, atque in medium poneret omnibus Spartiatis. Ac videtur magnum motum ex hac offensione excitaturus fuisse, nisi ante per expeditionem in Bœotiam factam exspirasset. Ita ambitio-

δὲ φιλότιμοι φύσεις ἐν ταῖς πολιτείαις τὸ ἄγαν μὴ φυλαξάμεναι, τοῦ ἀγαθοῦ μεῖζον τὸ κακὸν ἔχουσι. καὶ γὰρ εἰ Λύσανδρος φορτικὸς ἦν, ὥσπερ ἦν, ὑπερβάλλων τῇ φιλοτιμίᾳ τὸν καιρὸν, οὐκ ἠγνόει δήπουθεν Ἀγησίλαος ἑτέραν ἀμεμπτοτέραν ἐπανόρθωσιν οὖσαν ἀνδρὸς ἐνδόξου καὶ φιλοτίμου πλημμελοῦντος. ἀλλ' ἔοικε ταὐτῷ πάθει μήτε ἐκεῖνος ἄρχοντος ἐξουσίαν γνῶναι, μήτε οὗτος ἄγνοιαν ἐνεγκεῖν συνήθους.

Ἐπεὶ δὲ Τισαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον, ἐποιήσατο σπονδὰς, ὡς τὰς πόλεις αὐτῷ τὰς Ἑλληνικὰς ἀφήσοντος αὐτονόμους βασιλέως, ὕστερον δὲ πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν, ἐξήνεγκε τὸν πόλεμον, ἄσμενος ὁ Ἀγησίλαος ἐδέξατο. προσδοκία γὰρ ἦν μεγάλη τῆς στρατείας· καὶ δεινὸν ἡγεῖτο, τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν, ὁσάκις ἐβουλήθησαν αὐτοὶ, τοσαυτάκις βασιλέα νενικηκότες· αὐτοῦ δὲ Λακεδαιμονίων ἄρχοντος, ἡγουμένων γῆς καὶ θαλάσσης, μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας. εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισαφέρνους ἐπιορκίαν, ἐπέδειξεν, ὡς ἐπὶ Καρίαν προάξων· ἐκεῖ δὲ τοῦ βαρβάρου τὴν δύναμιν συναθροίσαντος, ἄρας εἰς Φρυγίαν ἐνέβαλε. καὶ πόλεις μὲν εἷλε συχνὰς, καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν, ἐπιδεικνύμενος τοῖς φίλοις, ὅτι τὸ μὲν σπεισάμενον, ἀδικεῖν, τῶν Θεῶν ἐστὶ καταφρονεῖν· ἐν δὲ τῷ παραλογίζεσθαι τοὺς πολεμίους, οὐ μόνον τὸ δίκαιον, ἀλλὰ καὶ δόξα πολλὴ, καὶ τὸ μεθ' ἡδονῆς κερδαίνειν ἔνεστι. τοῖς δὲ ἱππεῦσιν ἐλαττωθεὶς, καὶ τῶν ἱερῶν ἀλόβων

tiosa ingenia in rebuspub. modum egressa, plus habent mali quam boni. Nam si fuit Lysander (ut fuit) importunus, quod ambitiosior esset quam pro tempore, non ignorabat utique tamen rationem commodiorem aliam corrigendi esse Agesilaus clari viri & gloriæ aviditate peccantis. Cæterum videtur eadem animi impotentia neque imperatoris ille potestatem novisse, neque hic inscitiam tulisse amici.

At Tisaphernes in principio Agesilai timore fœdus icit, regem ei civitates Græcas immunes suis legibus permissurum. Post existimans satis se firmas copias habere, bellum paravit: quod Agesilaus accepit haud invitus. Nam magna erat hujus exspectatio expeditionis, & turpe ducebat decem millia militum pervenisse duce Xenophonte ad mare, quum quoties ipsi voluissent, toties profligassent regem: suum vero ducentis Lacedæmonios, qui terra marique imperarent, factum extare apud Græcos memorabile nullum. Itaque confestim, quo Tisaphernis justo dolo ulcisceretur perjurium, simulavit movere se velle in Cariam. Ubi quum barbarus copias contraxisset, vasis conclamatis, incursavit in Phrygiam. Ibi complures urbes cepit, & ingentem prædam abegit: ostendens amicis, fidem in fœdere fallere nihil aliud esse quam Deos contemnere: hostium vero circumventionem non cum justitia modo, sed & cum magna laude & jucundo conjunctam esse compendio. Quum esset autem ab equitatu inferior, & jecur esset

ἀλόγων φανέντων, ἀναχωρήσας εἰς Ἔφεσον, ἱππικὸν συνῆγε, τοῖς εὐπόροις προσειπὼν, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ᾽ ἑαυτοῦ, καὶ ἄνδρα. πολλοὶ δὲ ἦσαν οὗτοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλοὺς καὶ πολεμικοὺς ἔχειν ἱππεῖς ἀντὶ ψιλῶν ὁπλιτῶν. ἐμισθοῦντο γὰρ οἱ μὴ βουλόμενοι στρατεύεσθαι τοὺς βουλομένους στρατεύεσθαι· οἱ δὲ μὴ βουλόμενοι ἱππεύειν, τοὺς βουλομένους ἱππεύειν. καὶ γὰρ τὸν Ἀγαμέμνονα ποιῆσαι καλῶς, ὅτι θήλειαν ἵππον ἀγαθὴν λαβὼν, κακὸν ἄνδρα καὶ πλούσιον ἀπήλλαξε τῆς στρατείας. ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους ἀποδύοντες ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοὶ, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατροφίας γυμνουμένων κατεγέλων, ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ Ἀγησίλαος, Οὗτοι μὲν, εἶπεν, οἷς μάχεσθε· ταῦτα δὲ ὑπὲρ ὧν μάχεσθε.

Καιροῦ δὲ ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν, προεῖπεν εἰς Λυδίαν ἀπάξειν, οὐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισαφέρνην, ἀλλ᾽ ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε, διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιστῶν τῷ Ἀγησιλάῳ, καὶ νῦν οὖν αὐτὸν ἅψασθαι τῆς Καρίας νομίζων, οὔσης δυσίππου, πολὺ τῷ ἱππικῷ λειπόμενον. ἐπεὶ δὲ, ὡς προεῖπεν, ὁ Ἀγησίλαος ἧκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπουδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισαφέρνης, καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων. ἐννοήσας οὖν ὁ Ἀγησίλαος, ὅτι τοῖς πολεμίοις οὔπω πάρεστι τὸ πεζὸν, αὐτῷ δὲ τῆς δυνά-

esset sine capite inventum, recepit se Ephesum, atque equitatum ibi conscripsit, edixitque pecuniosis, si militiam detrectarent, ut pro se quisque equum & vicarium darent. Multi id fecerunt. Ita factum brevi ut Agesilaus pro vilibus peditibus frequentes haberet & fortes equites. Conduxerunt enim ii qui abhorrebant a castris cupidos belli, & qui nolebant equites esse, eos qui desiderabant. Quippe perhibendum dicebat ille Agamemnonem esse, qui pro bona equa homini imbelli & diviti militiæ vacationem dedisset. Quum illius jussu captivi detractis vestibus sub corona venirent a sectoribus, vestium autem existerent complures emptores, corpora vero ex umbratili vita candida, & prorsus mollia deriderent, ubi nudata fuerunt, ut inutilia & vilia, assistens Agesilaus, Hi sunt, inquit, quibuscum dimicatis, illa, pro quibus dimicatis.

Postquam maturum fuit ut iterum in hosticum agrum irrumperet, prædixit in Lydiam se ducturum, non jam circumscribens Tisaphernem, sed ille semetipse Agesilao ob superiorem fallaciam non credens circumscripsit; Cariam tunc certe invasurum ratus inequitabilem, quod longe infirmior esset equitatu. Ubi, ut denuntiaverat, venit in campos subjectos Sardibus Agesilaus, coactus est Tisaphernes raptim eo subvenire, atque equitatu incurrens, multos qui incondite fines populabantur, concidit. At quum volvisset secum Agesilaus nondum conjunctum esse cum hostibus peditatum, copias autem adesse suas om-

δυνάμεως οὐδὲν ἄπεστιν, ἔσπευσε διαγωνίσασθαι. καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν, ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις, αὐτὸς δὲ εὐθὺς τοὺς ὁπλίτας ἐπῆγε. γενομένης δὲ τροπῆς τῶν βαρβάρων, ἐπακολουθήσαντες οἱ Ἕλληνες ἔλαβον τὸ στρατόπεδον, καὶ πολλοὺς ἀνεῖλον. ἐκ ταύτης τῆς μάχης οὐ μόνον ὑπῆρχεν αὐτοῖς ἄγειν καὶ φέρειν ἀδεῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν Τισαφέρνην διδόντα, μοχθηρὸν ἄνδρα καὶ τῷ γένει τῶν Ἑλλήνων ἐπαχθέστατον. ἔπεμψε γὰρ εὐθέως ὁ βασιλεὺς Τιθραύστην ἐπ' αὐτὸν, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε, τὸν δὲ Ἀγησίλαον ἠξίου διαλυσάμενον ἀποπλεῖν οἴκαδε, καὶ χρήματα διδοὺς αὐτῷ προσέπεμψεν. ὁ δὲ τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον ἢ πλουτῶν αὐτός· καὶ ἄλλως γε μέντοι νομίζειν Ἕλληνας καλὸν, οὐ δῶρα λαμβάνειν ἀλλὰ λάφυρα παρὰ τῶν πολεμίων. ὅμως δὲ τῷ Τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο Τισαφέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα, λαβὼν ἐφόδιον παρ' αὐτοῦ τριάκοντα τάλαντα. καθ' ὁδὸν δ' ὢν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν, κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ. τοῦτο μόνῳ πάντων ὑπῆρξεν Ἀγησιλάῳ. καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως, καὶ τῶν τότε ζώντων ἐπιφανέστατος, ὡς εἴρηκέ που καὶ Θεόπομπος· ἑαυτῷ γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον, ἢ διὰ τὴν ἡγεμονίαν. τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον, ἁμαρτεῖν ἔδοξεν, ὅτι πρεσβυτέρων καὶ φρονιμωτέρων παρόντων, οὐ σκεψάμενος τὸ τῆς πατρίδος,

omnes, maturavit confligere, mistisque inter equitatum cetratis, imperavit ut admitterent, quantum possent, equos, & concurrerent cum hostibus, ipse legiones propere induxit. Fugientium barbarorum Græci tergis inhærentes, castra eorum cepere, multosque trucidavere. Hoc prœlium tanti momenti fuit, ut non modo liberè depopularentur regis ditionem, verum etiam pœnas dantem Tisaphernem spectarent, improbum hominem & nationi Græcæ infestissimum. Siquidem misit confestim in eum rex Tithraustem, qui eum obtruncavit, & apud Agesilaum egit, ut pacto fœdere remearet domum, misitque eam in rem legatos, pecuniam qui ei offerrent. Verum respondit ille pacis penes civitatem suam arbitrium esse: se vero malle milites ditare, quam ipsum ditescere, & haberi alioqui præclarum apud Græcos non dona, sed manubias referre ab hostibus. Quo Tithrausti tamen indulgeret, quod Græcorum hostem punivisset Tisaphernem, in Phrygiam inde signa movit, viatico accepto ab eo triginta talentorum. In itinere accepit a magistratibus urbanis scytalam, qua delatum insuper ei classis imperium fuit. Hoc unus omnium obtinuit Agesilaus, qui quum citra controversiam maximus esset, omniumque memoriæ suæ clarissimus, (ut etiam testatus est Theopompus) voluit tamen ex virtute potius quam ex imperio gloriari. Atqui peccare est in eo visus, quod præfecerit classi Pisandrum, qui, quum seniores & prudentiores præ manu forent, non ducens publicæ utilitatis rationem, sed propinquitatem ho-

τείδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν, καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελφὸς ἦν ὁ Πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

Αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ Φαρναβάζου τεταγμένην χώραν, οὐ μόνον ἐν ἀφθόνοις διῆγε πᾶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε πολλά· καὶ προελθὼν ἄχρι Παφλαγονίας, προσηγάγετο τὸν βασιλέα τῶν Παφλαγόνων Κότυν, ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. ὁ δὲ Σπιθριδάτης, ὡς ἀποστὰς τοῦ Φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν Ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, κάλλιστον μὲν υἱὸν ἔχων Μεγαβάτην, οὗ παιδὸς ὄντος ἤρα σφοδρῶς Ἀγησίλαος· καλὴν δὲ καὶ θυγατέρα παρθένον ἐν ἡλικίᾳ γάμου. ταύτην μὲν ἔπεισε γῆμαι τὸν Κότυν ὁ Ἀγησίλαος, καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστὰς, αὖθις ἀνεχώρησεν εἰς Φρυγίαν, καὶ κακῶς ἐποίει τὴν Φαρναβάζου χώραν, οὐχ ὑπομένοντος οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν, ἀλλὰ ἔχων ἀεὶ τὰ πλεῖστα σὺν ἑαυτῷ τῶν τιμίων καὶ ἀγαπητῶν, ἐξεχώρει καὶ ὑπέφευγεν ἄλλοτε ἀλλαχόσε τῆς χώρας μεθιδρυόμενος· μέχρις οὗ παραφυλάξας αὐτὸν ὁ Σπιθριδάτης, καὶ λαβὼν Ἡριππίδαν τὸν Σπαρτιάτην, ἔλαβε τὸ στρατόπεδον, καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. ἔνθα δὴ πικρὸς ὢν ὁ Ἡριππίδας ἐξεταστὴς τῶν κλαπέντων, καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι, καὶ πάντα ἐφορῶν καὶ διερευνώμενος, παρώξυνε τὸν Σπιθριδάτην, ὥστε ἀπελθεῖν εὐθὺς εἰς Σάρδεις μετὰ τῶν Παφλαγόνων. τοῦτο λέγεται τῷ Ἀγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον. ἤχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀπο-

honorans, atque venditans se uxori, cujus erat Pisander frater, illi classis præfecturam permiserit.

At motis in Pharnabazi provinciam castris, non solum in omnium rerum affluentia egit, verum ingentem etiam pecuniam coegit: progressusque ad Paphlagoniam usque, regem Paphlagonum in se circumegit, Cotyn, qui amicitiam ejus virtutis & fidei ipsius causa appetiit. Spithridates autem, ut primum a Pharnabazo descivit ad Agesilaum, assiduus fuit profectionis & expeditionis ejus comes. Erat huic venustissimus filius Megabates, cujus pueri etiam tum Agesilaus amore flagrabat, decora etiam filia virgo nubilis. Hanc adduxit Cotyn Agesilaus, ut duceret: acceptisque ab eo equitibus mille & cetratorum duobus millibus, retro in Phrygiam recessit. Vastavit etiam provinciam Pharnabazi: qui cum non exspectavit, neque fidit præsidiis, sed trahens secum plerasque res suas preciosas & charas, vitabundus cessit, castris modo huc, modo illuc mutatis, quousque consectatus Pharnabazum Spithridates, adjuncto Herippida Spartiate, exuit eum castris, ac præda est omni potitus. Ibi acerbus interversæ prædæ Herippidas scrutator, barbaros eam cogens reddere, omniaque inspiciens & excutiens, asperavit Spithridatem, ut extemplo cum Paphlagonibus Sardes discederet. Id Agesilao omnium dicitur fuisse molestissimum. Nam cum dolebat, quod stre-

ἀποβεβληκὼς τὸν Σπιθριδάτην, καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην· ἠχύνετο δὲ τῇ διαβολῇ τῆς μικρολογίας καὶ ἀνελευθερίας, ἧς οὐ μόνον αὐτὸν ἀλλὰ καὶ τὴν πατρίδα καθαρεύουσαν ἀεὶ παρέχειν ἐφιλοτιμεῖτο. χωρὶς δὲ τῶν ἐπιφανῶν τούτων, ἔκνιζεν αὐτὸν οὐ μετρίως ὁ τοῦ παιδὸς ἔρως ἐνεσταγμένος, εἰ καὶ πάνυ, παρόντος αὐτοῦ, τῷ φιλονείκῳ χρώμενος, ἐπειρᾶτο νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν. καί ποτε τοῦ Μεγαβάτου προσιόντος ὡς ἀσπασομένου καὶ φιλήσοντος ἐξέκλινεν· ἐπεὶ δὲ ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο, καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν· ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τοῦ φιλήματος ὁ Ἀγησίλαος, προσεποιεῖτο θαυμάζειν ὅ, τι δὴ παθὼν αὐτὸν ὁ Μεγαβάτης ἀπὸ στόματος οὐ φιλοφρονοῖτο. Σὺ γὰρ αἴτιος, οἱ συνήθεις ἔφασαν, οὐχ ὑποστάς, ἀλλὰ τρέσας τὸ φίλημα τοῦ καλοῦ, καὶ φοβηθείς. ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πεισθεὶς ἐκεῖνος ἐντὸς φιλήματος, ἀλλ᾽ ὅπως αὖθις οὐκ ἀποδειλιάσεις. χρόνον οὖν τινα πρὸς ἑαυτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας, Οὐδέν, ἔφη, δεῖ πείθειν ὑμᾶς ἐκεῖνον· ἐγὼ γάρ μοι δοκῶ τήναν τὰν μάχαν τὰν περὶ τοῦ φιλήματος ἄδιον μάχεσθαι πάλιν, ἢ πάντα ὅσα τεθέαμαι χρυσία μοι γενέσθαι. τοιοῦτος μὲν ἦν τοῦ Μεγαβάτου παρόντος· ἀπελθόντος γε μήν, οὕτω περικαῶς ἔσχεν, ὡς χαλεπὸν εἰπεῖν εἰ πάλιν αὖ μεταβαλομένου καὶ φανέντος, ἐνεκαρτέρησε μὴ φιληθῆναι.

Μετὰ ταῦτα Φαρνάβαζος εἰς λόγους αὐτῷ συνελθεῖν ἠθέλησεν, καὶ συνῆγεν ἀμφοτέρους ὢν ξένος ὁ Κυζικηνὸς Ἀπολλοφάνης. πρότερος δὲ

μὲν

strenuum virum Spithridatem, & cum eo non modicam manum amisisset, tum pudebat eum notæ sordium & illiberalitatis, quibus non se solum, sed & patriam semper studuerat præstare immunem. Extra hæc, quæ in propatulo erant, pueri illius instillatus amor eum pungebat non mediocriter: quamvis illo præsente tota animi contentione admodum valide eniteretur libidinem comprimere. Ac Megabate aliquando adeunte ad ipsum salutandum & osculandum, declinavit. Quum autem erubescens ille desisteret id facere, ac procul deinceps salutaret eum, rursus indolescens & pœnitentia ductus, quod refugisset osculum, fingebat Agesilaus mirari quidnam causæ esset quamobrem non salutaret Megabates ore etiam admoto, At tu, inquiunt familiares, in causa es, qui non sustinuisti, sed fugisti & formidasti formosi illius complexum. Nam tunc quoque inducetur ille, osculum ut tibi offerat, modo ne tu deterrearis ignavia. Ibi quum Agesilaus aliquamdiu cogitabundus & tacitus constitisset, Haudquaquam est ille, inquit, a vobis inducendus. Ego enim illam de osculo pugnam iterum pugnare malim, quam omnia, quæcunque video, mihi fieri aurea. Is erat Megabate præsente. Ab ejus vero discessu adeo flagravit, ut non ausim dicere, si iterum transitione facta in conspectum ejus venisset, an complexu esset illius temperaturus.

Inde Pharnabazus colloquium ejus petivit. Congressum hospes utriusque Cyzicenus Apollophanes conciliavit. Prior in locum

5

cum

μετὰ τῶν φίλων ὁ Ἀγησίλαος ἐλθὼν εἰς τὸ χωρίον, ὑπὸ σκιᾷ τινι πόας οὔσης βαθείας καταβαλὼν ἑαυτὸν, ἐνταῦθα περιέμενε τὸν Φαρνάβαζον. ὁ δὲ ὡς ἐπῆλθεν ὑποβεβλημένων τε αὐτῷ κωδίων μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλαον οὕτω κατακείμενον, κατεκλίνη καὶ αὐτὸς ὡς ἔτυχεν ἐπὶ τῆς πόας χαμᾶζε, καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. ἀσπασάμενοι δὲ ἀλλήλους, ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ καὶ μεγάλα Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν. ὁ δὲ Ἀγησίλαος ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας, (ἀδικούμενον γὰρ ἑώρων τὸν Φαρνάβαζον) Ἡμεῖς, εἶπεν, ὦ Φαρνάβαζε, καὶ φίλοι ὄντες πρότερον βασιλέως, ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς· καὶ νῦν πολέμιοι γεγονότες, πολεμικῶς. ἐν οὖν καί σε τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον, εἰκότως διὰ σοῦ βλάπτομεν ἐκεῖνον. ἀφ' ἧς δ' ἡμέρας σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον, ἢ δοῦλον γενέσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι, καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν οὐδὲ ζηλωτόν ἐστιν. ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. Ἐγὼ γὰρ, εἶπεν, ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βασιλεὺς στρατηγὸν, ἔσομαι μεθ' ὑμῶν· ἐὰν δ' ἐμοὶ παραδιδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου. ταῦτα δ' ἀκούσας ὁ Ἀγησίλαος ἥσθη, καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστὰς, Εἴθε,

cum constitutum cum amicis venit Agesilaus, ac sub umbra in altam herbam se abjiciens præstolatus est Pharnabazum; qui, postquam venit, villosis mollibusque pellibus & versicoloribus sibi substratis tapetibus, ita recumbentem erubescens Agesilaum, etiam ipse, licet veste mira subtilitate & tinctura esset amictus, neglectim humi decubuit. Ubi inter se consalutavere, non defecit Pharnabazum justa querimonia, quod qui Lacedæmoniis bello Attico multa præstitisset & grandia beneficia, nunc ab iisdem ageretur ferretur. Hic cernens Agesilaus, quos circa se habebat, Spartiatas caput in terram ex pudore demittentes & perplexos, quod immerito violatum viderent Pharnabazum, Nos, Pharnabaze, inquit, & tunc amici regis utebamur illius rebus familiariter, & nunc facti hostes, hostiliter. Igitur te quoque quum in mancipio conspiciamus esse velle regis, jure per te illum infestamus. At quo ex die Græcorum malueris socius & amicus quam servus regis esse, hanc ducito phalangem, arma, classem, atque nos omnes tuarum esse possessionum stipatores & libertatis, sine qua nihil mortalibus honestum vel expetendum est. Inde Pharnabazus explicat ei mentem suam, Equidem, inquit, si ducem rex miserit alium, in partibus vestris ero: sin autem imperium mihi credat, nullam ad vos repellendos & vexandos pro illo prætermittam industriam. His dictis delectatus Agesilaus est, dextramque illius complexus & consurgens,

Εἴθε, εἶπεν, ὦ Φαρνάβαζε, τοιοῦτος ὤν, φίλος ἡμῖν γένοιο μᾶλλον ἢ πολέμιος.

Ἀπιόντος δὲ τοῦ Φαρναβάζου μετὰ τῶν φίλων, ὁ υἱὸς ὑπολειφθεὶς προσέδραμε τῷ Ἀγησιλάῳ, καὶ μειδιῶν εἶπεν, ἐγώ σε ξένον ὦ Ἀγησίλαε ποιοῦμαι· καὶ παλτὸν ἔχων ἐν τῇ χειρὶ δίδωσιν αὐτῷ. δεξάμενος οὖν ὁ Ἀγησίλαος, καὶ ἡσθεὶς τῇ τε ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς, ἐπεσκόπει τοὺς παρόντας, εἴ τις ἔχοι τὶ τοιοῦτον οἷον ἀντιδοῦναι καλῷ καὶ γενναίῳ δῶρον. ἰδὼν δὲ ἵππον Ἀδαίου τοῦ γραφέως κεκοσμημένον φαλάροις, ταχὺ ταῦτα περισπάσας τῷ μειρακίῳ δίδωσι. καὶ τὸ λοιπὸν οὐκ ἐπαύετο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ περιϊόντι τὸν οἶκον ἀποστερηθέντος αὐτοῦ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν εἰς Πελοπόννησον, ἰσχυρῶς ἐπεμελεῖτο· καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν. ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπιάσιν ἐκινδύνευσεν ἐκκριθῆναι, καταφεύγει πρὸς τὸν Ἀγησίλαον ὁ Πέρσης, δεόμενος ὑπὲρ τοῦ παιδός. ὁ δὲ καὶ τοῦτο βουλόμενος αὐτῷ χαρίζεσθαι, μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ. τἆλλα μὲν γὰρ ἦν ἀκριβὴς καὶ νόμιμος, ἐν δὲ τοῖς φιλικοῖς πρόφασιν ἐνόμιζεν εἶναι τὸ λίαν δίκαιον. ἀναφέρεται γοῦν ἐπιστόλιον αὐτοῦ πρὸς Ἱδριέα τὸν Κᾶρα τοιοῦτο, Νικίας, εἰ μὲν μὴ ἀδικεῖ, ἄφες· εἰ δὲ ἀδικεῖ, ἡμῖν ἄφες· πάντως δὲ ἄφες. ἦν μὲν οὖν τοῖς πλείστοις τοιοῦτος ὑπὲρ τῶν φίλων ὁ Ἀγησίλαος. ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ καὶ μᾶλλον· ὡς ἐδήλωσεν ἀναζυγῆς αὐτῷ θορυβωδεστέρας γενομένης, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώ-

gens, Quam velim, Pharnabaze, infit, is quum sis, amicus noster potius esses quam hostis.

Digresso cum amicis Pharnabazo, filius ejus a tergo relictus ad Agesilaum accurrit, arridensque, Hospitem ego te, inquit, Agesilae facio. Simul jaculum, quod manu tenebat, ei donat. Accepit illud Agesilaus, oblectatusque adolescentis specie & comitate, circumspexit adstantes, ecquis haberet quicquam, quo decorum & egregium adolescentem remuneraret. Ut equum advertit Adæi scribæ phaleris exornatum, eas repente detractas adolescenti donat, neque destitit in posterum ejus meminisse. Immo postmodum quoque domo pulsum fratrum injuria, atque in Peloponnesum profugum, magna cura fovit, & vero etiam in amore præstitit aliquando ei studium suum. Amabat ille athletam adolescentem Athenis oriundum. Quum is vastus esset horridusque, atque ideo in periculo foret ne Olympiis rejiceretur, confugit ad Agesilaum Perses, commendans ei adolescentem. Ille nolens vel hic ei deesse, vix id magno negotio obtinuit. Cætera enim integer erat & rectus: pro amicis vero prætextum existimabat esse nimiam argutæ justitiæ allegationem. Adscribitur ei epistola ad Hidricum Carem hujuscemodi, Niciam, si nihil admisit, absolve, sin quid admisit, nobis absolve: omnino vero absolve. Atque in amicorum causis Agesilaus fere is fuit. Nonnunquam tamen, si ex usu esset, tempori se potius accommodabat, ut declaravit cum tumultuosius castra moveret infirmum relinquens amicum,

ἐρώμενον. ἐκείνου γὰρ δεομένου καὶ καλοῦντος αὐτὸν ἀπιόντα, ἀποστραφεὶς εἶπεν, ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν. τοῦτο μὲν Ἱερώνυμος ὁ φιλόσοφος ἱστόρηκεν.

Ἤδη δὲ περιιόντος ἐνιαυτοῦ δευτέρου τῇ στρατηγίᾳ, πολὺς ἄνω λόγος ἐχώρει τοῦ Ἀγησιλάου, καὶ δόξα θαυμαστὴ κατεῖχε τῆς τε σωφροσύνης αὐτοῦ καὶ ἀτελείας καὶ μετριότητος. ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων Θεοὺς ποιούμενος ἐπόπτας καὶ μάρτυρας. ἐν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις, οὐ ῥᾳδίως ἄν τις εἶδε φαυλοτέραν καὶ εὐτελεστέραν στιβάδα τῆς Ἀγησιλάου. πρός τε θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥσπερ μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ Θεοῦ κεκραμέναις ὥραις πεφυκώς. ἥδιστον δὲ θέαμα τοῖς κατοικοῦσι τὴν Ἀσίαν Ἕλλησιν ἦσαν, οἱ πάλαι βαρεῖς καὶ ἀφόρητοι καὶ διαρρέοντες ὑπὸ πλούτου καὶ τρυφῆς, ὕπαρχοι καὶ στρατηγοὶ, δεδιότες καὶ θεραπεύοντες ἄνθρωπον ἐν τρίβωνι περιϊόντα λιτῷ, καὶ πρὸς ἓν ῥῆμα βραχὺ καὶ Λακωνικὸν ἁρμόζοντες ἑαυτοὺς καὶ μετασχηματίζοντες. ὥστε πολλοῖς ἐπῄει τὰ τοῦ Τιμοθέου λέγειν,

Ἄρης τύραννος· χρυσὸν δὲ Ἑλλὰς οὐ δέδοικε.

Κινουμένης δὲ τῆς Ἀσίας, καὶ πολλαχοῦ πρὸς ἀπόστασιν ὑπεικούσης, ἁρμοσάμενος τὰς αὐτόθι πόλεις, καὶ ταῖς πολιτείαις δίχα φόνου καὶ φυγῆς ἀνθρώπων ἀποδοὺς τὸν προσήκοντα κόσμον, ἐγνώκει πρόσω χωρεῖν, καὶ τὸν πόλεμον διάρας ἀπὸ τῆς Ἑλληνικῆς θαλάττης, περὶ τοῦ σώματος βασιλεῖ καὶ

cum. Nam quum precibus ille abeuntis imploraret opem, aversa facie, Ut arduum est, inquit, simul miserari & sapere! Id Hieronymus philosophus scriptum reliquit.

Circumacto jam altero imperii anno, ingens de Agesilao ad regem perlata fama est, ac mirifica existimatio ejus continentiæ, candoris, & moderationis apud omnes erat. Tendebat enim, quum iter faceret, solus in sanctissimis delubris, ac quibus rebus paucos adhibemus arbitros, earum Deos faciebat inspectores & testes. In tot militum millibus non temere torum videres quam Agesilai obsoletiorem aut viliorem. Ita erat æstus & algoris patiens, tanquam solus ad varietates anni a Deo temperatas comparatus ferendas. Gratissimum Asiam incolentibus Græcis spectaculum erat, quum superbi, intolerabiles, divitiisque & deliciis diffluentes præfecti ducesque timerent & venerarentur hominem in obsoleta inambulantem læna, atque ad unum se concisum & Laconicum componerent converterentque dictum: ut multis in mentem venirent Timothei versum usurpare.

Mars tyrannus, aurum Græcia non timet.

Mota Asia & passim ad defectionem spectante, quum civitates ibi ordinasset, resque publicas sine cæde & exterminatione hominum recte composuisset, statuit progredi, ac reducto a mari Græco marte, de vita cum rege &

καὶ τῆς ἐν Ἐκβατάνοις καὶ Σούσοις εὐδαιμονίας διαμάχεσθαι, καὶ περισπάσαι πρῶτον αὐτοῦ τὴν σχολήν, ὡς μὴ καθέζοιτο τοὺς πολέμους βραβεύων τοῖς Ἕλλησι, καὶ διαφθείρων τοὺς δημαγωγούς. ἐν τούτῳ δὲ ἀφικνεῖται πρὸς αὐτὸν Ἐπικυδίδας ὁ Σπαρτιάτης, ἀπαγγέλλων ὅτι πολὺς περιέστηκε τὴν Σπάρτην πόλεμος Ἑλληνικός, καὶ καλοῦσιν ἐκεῖνον ἔφοροι, καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν.

Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακά.

τί γὰρ ἄν τις ἄλλο τὸν φθόνον ἐκεῖνον προσείποι, καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν ἐφ' ἑαυτοὺς τῶν Ἑλλήνων, οἳ τῆς τύχης ἄνω φερομένης ἐπελάβοντο, καὶ τὰ ὅπλα πρὸς τοὺς βαρβάρους βλέποντα, καὶ τὸν πόλεμον τῆς Ἑλλάδος ἤδη ἐξῳκισμένον αὖθις εἰς ἑαυτοὺς ἔτρεψαν. οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ Κορινθίῳ Δημαράτῳ, μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους Ἕλληνας Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον· ἀλλ' εἰκότως ἂν οἶμαι δακρῦσαι συννοήσαντας, ὅτι ταῦτα Ἀλεξάνδρῳ καὶ Μακεδόσιν ἀπέλιπον οἱ τότε τοὺς τῶν Ἑλλήνων στρατηγοὺς περὶ Λεῦκτρα, καὶ Κορώνειαν, καὶ Κόρινθον, καὶ Ἀρκαδίαν κατηνάλωσαν. Ἀγησιλάῳ μέντοι οὐδὲν κρεῖσσον ἢ μεῖζόν ἐστι τῆς ἀναχωρήσεως ἐκείνης διαπεπραγμένον, οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον. ὅπου γὰρ Ἀννίβας ἤδη κακῶς πράττων καὶ περιωθούμενος ἐκ τῆς Ἰταλίας, μάλα μόλις ὑπήκουσε τοῖς μὲν ἐπὶ τὸν οἴκοι πόλεμον καλοῦσιν· Ἀλέξανδρος δὲ καὶ προσεπέσκωψε, πυθόμενος τὴν πρὸς Ἆγιν Ἀντιπάτρου μάχην, εἰπών, ἔοικεν, ὦ ἄνδρες, ὅτε Δαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα, ἐκεῖ τις ἐν Ἀρκαδίᾳ γεγονέναι

γονεναι

& de Ecbatanorum Suſorumque fœlicitate decertare, ac detrahere primum otium ei, ne ſedens bella diſpenſaret Græcis, & factioſis oratoribus corrumpendis vacaret. Interea venit ad eum Epicydidas Lacon, qui Spartam bello implicatam gravi annuntiavit, accerſere ephoros ipſum, jubereque patriæ ut ferret opem.

Hui, barbara inveniſſe vos, Græci, mala?

Qui enim invidiam iſtam conjurationemque & conſpirationem Græcorum civilem appelles aliter, qui fortunam ſuam in ſublime evolantem retraxerunt, armaque in barbaros infeſta, & extorrem jam Græcia martem iterum in viſcera vertere ſua? Neque enim equidem Corinthio ſuffragabor Demarato, qui magna voluptate fraudatos ait Græcos, qui ſedentem in Darii ſolio non conſpexerant Alexandrum. Immo profundere eos merito lacrymas exiſtimo debuiſſe, quum animo revolverent Alexandro ſe & Macedonibus hæc reliquiſſe, qui duces in Leuctris, ad Coroneam, ad Corinthum, in Arcadia abſumpſere. Ab Ageſilao tamen nihil eſt illo receptu geſtum vel rectius vel excellentius, neque exemplum erat obtemperantiæ & juſtitiæ clarius. Ubi enim Annibal, quum attritus jam Italia pelleretur, ægre obſecundavit ad bellum domeſticum civibus revocantibus, Alexander vero etiam deriſit nuntiatum Antipatri cum Agide conflictum, jactans, Apparet amici, quum Darium nos hic vinceremus, quandam illic in Arcadia commiſ-

ſam

γονέναι μυομαχία· πῶς οὐκ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην, καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας; ὃς, ἅμα τῷ τὴν σκυτάλην ἐλθεῖν, εὐτυχίαν τοσαύτην καὶ δύναμιν παροῦσαν καὶ τηλικαύτας ἐλπίδας ὑφηγουμένας ἀφεὶς καὶ προέμενος, εὐθὺς ἀπέπλευσεν ἀτελευτήτῳ ἐπὶ ἔργῳ, πολὺν ἑαυτοῦ πόθον τοῖς συμμάχοις ἀπολιπὼν, καὶ μάλιστα Δημοστράτου τοῦ Φαίακος ἐλέγξας λόγον, εἰπόντος ὡς εἰσὶ δημοσίᾳ μὲν Λακεδαιμόνιοι βελτίονες, ἰδίᾳ δὲ Ἀθηναῖοι. βασιλέα γὰρ αὐτὸν καὶ στρατηγὸν ἄριστον ἀποδειξάμενος, ἔτι βελτίονα καὶ ἡδίονα τοῖς χρωμένοις ἰδίᾳ φίλον καὶ συνήθη παρέσχε. τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας. τοσούτων γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ τῆς Θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων· πέμπων δὲ πρὸς ἑκάστους, ἐπυνθάνετο πότερον ὡς φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται τὴν χώραν. οἱ μὲν οὖν ἄλλοι πάντες φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον, ὡς ἕκαστος δυνάμεως εἶχεν· οἱ δὲ καλούμενοι Τράλλεις, οἷς καὶ Ξέρξης ἔδωκεν, ὡς λέγεται, δῶρα τῆς διόδου, μισθὸν ᾔτουν τὸν Ἀγησίλαον, ἑκατὸν ἀργυρίου τάλαντα καὶ τοσαύτας γυναῖκας. ὁ δὲ κατειρωνευσάμενος αὐτοὺς, καὶ φήσας, τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι; προῆγε, καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις, ἐτρέψατο, καὶ διέφθειρε πολλούς. τὸ δ' αὐτὸ καὶ τῷ βασιλεῖ τῶν Μακεδόνων ἐρώτημα προσέπεμψε· φή-

ſam murium pugnam: num Spartamne merito beatam dicas, cui tantum Ageſilaus honorem & verecundiam legibus tribuerit? Qui ſimul atque allata ſcytala eſt, tanta fortuna & opibus propoſitis, tantaque ſpe quæ ad ſumma ducebat, dimiſſa atque effuſa, illico deceſſit opere relicto imperfecto, apud amicos ſui deſiderium relinquens, & egregie Demoſtrati Phæacis filii dictum refellens, publice Lacedæmonios, privatim meliores eſſe Athenienſes: quandoquidem cum regem & imperatorem ſe optimum præſtitit, tum meliorem etiam & jucundiorem familiaribus præbuit amicum & familiarem. Quia vero nummi Perſici ſagittario erant ſignati, deportans exercitum, mille ſagittariis ait Aſia ſe ab rege ſummoveri. Tot enim delatis Athenas & Thebas, diviſiſque inter concionatores populi, illi ad movendum Spartiatis bellum incenſi ſunt.

Helleſponto tranſmiſſo, dum permeat Thraciam, nemini fuit barbarorum ſupplex. Miſſis autem ad ſingulos legatis quæſivit, pacatam an hoſtilem terram tranſiturus eſſet. Cæteri eum omnes receperunt & proſequuti ſunt pro viribus ſuis amice. Illi qui Tralles dicuntur, quos Xerxes quoque redemerat (uti fama eſt) donis, tranſitus mercedem ab Ageſilao popoſcerunt centum argenti talenta totidemque fœminas. Quos ludens ait, Quin ergo ſtatim adfuerunt accepturi ea? Ita proceſſit, illoſque ſignis collatis fudit, & multos occidit. Iiſdem cum mandatis miſit ad regem Macedonum legatos, qui quum re-

φήσαντος δὲ βουλεύσεσθαι, Βουλευέσθω τοίνυν ἐκεῖνος, εἶπεν, ἡμεῖς δ' ἤδη πορευόμεθα. θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς, ἐκέλευσεν ὡς φίλον προσάγειν. τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχούντων ἐπόρθει τὴν χώραν. εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας· συλληφθέντων δὲ τούτων καὶ παραφυλαττομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες, ᾤοντο δεῖν τὸν Ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν. ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι Θετταλίαν ὅλην λαβεῖν, ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε. καὶ τοῦτο ἴσως ἐπ' Ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος μάχην μεγάλην γεγονέναι περὶ Κόρινθον, καὶ ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα αἰφνίδιον ἀπολωλέναι, καὶ Σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ὤφθη περιχαρὴς οὐδὲ ἐπηρμένος· ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας, Φεῦ τῆς Ἑλλάδος, ἔφη, τοιούτους ἄνδρας ἀπολωλεκυίας ὑφ' αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμπαντας τοὺς βαρβάρους μαχόμενοι. τῶν δὲ Φαρσαλίων προσκειμένων αὐτῷ, καὶ κακούντων τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ, καὶ τρεψάμενος, ἔστησε τρόπαιον ὑπὸ τῷ Ναρθακίῳ. καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησεν.

Ἐνταῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀπήντησεν αὐτῷ, κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν. ὁ δὲ, καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι

reſponderet deliberare ſe velle, Deliberet ergo, inquit, nos interim tranſgredimur. Hujus admiratus & pavens rex audaciam, ut amicum petivit ut tranſiret. Theſſalorum, quod hoſtium ſocii eſſent, depopulatus eſt fines. Lariſſam Xenoclem & Scythem ad jungendam amicitiam legavit: quibus comprehenſis & in cuſtodiam datis, cæteri infenſi cenſebant debere Ageſilaum eo convertere agmen, & Lariſſam obſidere. At ille, quum tanti facere negaſſet ſe univerſam Theſſaliam, ut alterutrum eorum amitteret, pactis induciis recepit eos. Neque fuit id fortaſſis mirum in Ageſilao, qui allato nuntio illuſtriſſimos viros prœlio circa Corinthum commiſſo quam ſubito occubuiſſe in acie, Spartiatas autem cecidiſſe perquam paucos, multos vero ex hoſtibus, nullam lætitiam vel exultationem præ ſe tulit, ſed ingenti edito gemitu, Heu Græciam, inquit, quæ tot viros ipſa perdidiſti: quot ſi incolumes ſint, profligare acie cunctos queant barbaros. Prementibus autem eum & fatigantibus agmen Pharſaliis, quingentis equitibus ſecum impreſſionem dare juſſit in eos. Fuſis fugatiſque illis, trophæum ſub Narthacio excitavit. Eam victoriam fecit maximi, quod equitatum ipſe per ſe conſcripſiſſet, atque hoc ſolo plurimum gloria equeſtri elatos ſuperaſſet.

Hic Diphridas ephorus, qui Sparta miſſus occurrit ei, præcepit ut confeſtim Bœotiam incurſaret. Quod etſi facere majore apparatu poſt inſtituerat, non putavit tamen

σαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ' ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν, ἐφ' ἣν ἐξ Ἀσίας ἥκουσι, καὶ δύο μοίρας μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων. οἱ δὲ ἐν τῇ πόλει Λακεδαιμόνιοι τιμῶντες αὐτὸν, ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον τῷ βασιλεῖ βοηθεῖν. ἀπογραψαμένων δὲ πάντων προθύμως, οἱ ἄρχοντες πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ ῥωμαλεωτάτους ἐκλεξάμενοι ἀπέστειλαν. ὁ δὲ Ἀγησίλαος εἴσω Πυλῶν παρελθὼν, καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη, καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γενόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δὲ ἤκουσε τεθνάναι Πείσανδρον, ἡττημένον ναυμαχίᾳ περὶ Κνίδον ὑπὸ Φαρναβάζου καὶ Κόνωνος. ἤχθεσθη μὲν, ὡς εἰκὸς, ἐπὶ τούτοις, καὶ διὰ τὸν ἄνδρα καὶ διὰ τὴν πόλιν· ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῶσι τὴν ναυμαχίαν. καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια, καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώφθη, παρετάξατο, δοὺς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας, αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγε. οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοὶ, τὸ δὲ εὐώνυμον Ἀργεῖοι. λέγει δὲ τὴν μάχην ὁ Ξενοφῶν ἐκείνην, οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι· καὶ παρῆν αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος, ἐξ Ἀσίας

δια-

men obluctandum magiſtratibus; verum ſignificavit ſuis eam adeſſe diem, ob quam ex Aſia veniſſent; ac duas cohortes de exercitu, qui circa Corinthum bellum gerebat, evocavit. Lacedæmonii, qui domi erant, pronuntiaverunt honoris ejus cauſa per præconem, ut juvenes, qui regi ferre vellent opem, nomina darent. Quum alacres nomina omnes edidiſſent, magiſtratus delectos quorum ætatem & robur maxime probabant, quinquaginta miſere. Ageſilaus Thermopylis ſuperatis & peragrata Phocide, amica regione, ut primum Bœotiam attigit, ac circa Chæroneam eſt caſtra metatus, ſimul ſolem deficere lunatamque formam conſpexit reddere, & Piſandri fatum accepit a Pharnabazo & Conone apud Cnidum navali prœlio victi; tulit ſane id cum illius, tum reipublicæ cauſa acerbe: ſed ne progredientibus ad pugnam militibus torpor & formido inceſſeret, illis qui a mari venerant diverſa juſſit nuntiare, victoriam nempe fuiſſe illo prœlio navali a Lacedæmoniis. Ipſe procedens coronatus læti nuntii cauſa ſacrificavit, portionesque ſacrificii miſit amicis.

Poſtquam pervenit Coroneam, atque ibi ſimul hoſtes conſpexit & ipſe conſpectus eſt, inſtruxit aciem, ac lævo cornu permiſſo Orchomeniis, ipſe dextrum invexit. Thebani dextrum ipſi tenuerunt, ſiniſtrum Argivi. Illa acie autor eſt Xenophon, qui ex Aſia regreſſus interfuit conflictui & ab Ageſilao ſtetit, ut nunquam alia, pugnatum acri-

ter

φήσαντος δὲ βουλεύσεσθαι, Βουλευέσθω τοίνυν ἐκεῖνος, εἶπεν, ἡμεῖς δὲ ἤδη πορευόμεθα. θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς, ἐκέλευσεν ὡς φίλον προάγειν. τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχούντων ἐπόρθει τὴν χώραν. εἰς δὲ Λάρισαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας· συλληφθέντων δὲ τούτων καὶ παραφυλαττομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες, ᾤοντο δεῖν τὸν Ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισαν. ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν, ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε. καὶ τοῦτο ἴσως ἐπ᾽ Ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος μάχην μεγάλην γεγονέναι περὶ Κόρινθον, καὶ ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα αἰφνίδιον ἀπολωλέναι, καὶ Σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ὤφθη περιχαρὴς οὐδὲ ἐπηρμένος· ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας, Φεῦ τῆς Ἑλλάδος, ἔφη, τοιούτους ἄνδρας ἀπολωλεκυίας ὑφ᾽ αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμπαντας τοὺς βαρβάρους μαχόμενοι. τῶν δὲ Φαρσαλίων προσκειμένων αὐτῷ, καὶ κακούντων τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ, καὶ τρεψάμενος, ἔστησε τρόπαιον ὑπὸ τῷ Ναρθακίῳ. καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι᾽ ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ᾽ ἱππικῇ φρονοῦντας ἐκράτησεν.

Ἐνταῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀπήντησεν αὐτῷ, κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν. ὁ δὲ, καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι

σαι

reſponderet deliberare ſe velle, Deliberet ergo, inquit, nos interim transgredimur. Hujus admiratus & pavens rex audaciam, ut amicum petivit ut tranſiret. Theſſalorum, quod hoſtium ſocii eſſent, depopulatus eſt fines. Lariſſam Xenoclem & Scythem ad jungendam amicitiam legavit: quibus comprehenſis & in cuſtodiam datis, cæteri infenſi cenſebant debere Ageſilaum eo convertere agmen, & Lariſſam obſidere. At ille, quum tanti facere negaſſet ſe univerſam Theſſaliam, ut alterutrum eorum amitteret, pactis induciis recepit eos. Neque fuit id fortaſſis mirum in Ageſilao, qui allato nuntio illuſtriſſimos viros prœlio circa Corinthum commiſſo quam ſubito occubuiſſe in acie, Spartiatas autem cecidiſſe perquam paucos, multos vero ex hoſtibus, nullam lætitiam vel exultationem præ ſe tulit, ſed ingenti edito gemitu, Heu Græciam, inquit, quæ tot viros ipſa perdidiſti: quot ſi incolumes ſint, profligare acie cunctos queant barbaros. Prementibus autem eum & fatigantibus agmen Pharſaliis, quingentis equitibus ſecum impreſſionem dare juſſit in eos. Fuſis fugatiſque illis, trophæum ſub Narthacio excitavit. Eam victoriam fecit maximi, quod equitatum ipſe per ſe conſcripſiſſet, atque hoc ſolo plurimum gloria equeſtri elatos ſuperaſſet.

Hic Diphridas ephorus, qui Sparta miſſus occurrit ei, præcepit ut confeſtim Bœotiam incurſaret. Quod etſi facere majore apparatu poſt inſtituerat, non putavit tamen

tamen

σαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ' ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν, ἐφ' ἣν ἐκ τῆς Ἀσίας ἥκουσι, καὶ δύο μοίρας μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων. οἱ δὲ ἐν τῇ πόλει Λακεδαιμόνιοι τιμῶντες αὐτὸν, ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον τῷ βασιλεῖ βοηθεῖν. ἀπογραψαμένων δὲ πάντων προθύμως, οἱ ἄρχοντες πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ ῥωμαλεωτάτους ἐκλεξάμενοι ἀπέστειλαν. ὁ δὲ Ἀγησίλαος εἴσω Πυλῶν παρελθὼν, καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη, καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γινόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δὲ ἤκουσε τεθνάναι Πείσανδρον, ἡττημένον ναυμαχίᾳ περὶ Κνίδον ὑπὸ Φαρναβάζου καὶ Κόνωνος. ἠχθέσθη μὲν, ὡς εἰκὸς, ἐπὶ τούτοις, καὶ διὰ τὸν ἄνδρα καὶ διὰ τὴν πόλιν· ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῶσι τὴν ναυμαχίαν. καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια, καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώφθη, παρετάξατο, δοὺς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας, αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγε. οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοὶ, τὸ δὲ εὐώνυμον Ἀργεῖοι. λέγει δὲ τὴν μάχην ὁ Ξενοφῶν ἐκείνην, οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι· καὶ παρῆν αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος, ἐκ τῆς Ἀσίας δια-

men obluctandum magistratibus; verum significavit suis eam adesse diem, ob quam ex Asia venissent; ac duas cohortes de exercitu, qui circa Corinthum bellum gerebat, evocavit. Lacedæmonii, qui domi erant, pronuntiaverunt honoris ejus causa per præconem, ut juvenes, qui regi ferre vellent opem, nomina darent. Quum alacres nomina omnes edidissent, magistratus delectos quorum ætatem & robur maxime probabant, quinquaginta misere. Agesilaus Thermopylis superatis & peragrata Phocide, amica regione, ut primum Bœotiam attigit, ac circa Chæroneam est castra metatus, simul solem deficere lunatamque formam conspexit reddere, & Pisandri fatum accepit a Pharnabazo & Conone apud Cnidum navali prœlio victi; tulit sane id cum illius, tum reipublicæ causa acerbe: sed ne progredientibus ad pugnam militibus torpor & formido incesseret, illis qui a mari venerant diversa jussit nuntiare, victoriam nempe fuisse illo prœlio navali a Lacedæmoniis. Ipse procedens coronatus læti nuntii causa sacrificavit, portionesque sacrificii misit amicis.

Postquam pervenit Coroneam, atque ibi simul hostes conspexit & ipse conspectus est, instruxit aciem, ac lævo cornu permisso Orchomeniis, ipse dextrum invexit. Thebani dextrum ipsi tenuerunt, sinistrum Argivi. Illa acie autor est Xenophon, qui ex Asia regressus interfuit conflictui & ab Agesilao stetit, ut nunquam alia, pugnatum acri-

διαβεβηκώς. ἡ μὲν οὖν πρώτη σύρραξις οὐκ ἔσχεν ὠθισμὸν οὐδὲ ἀγῶνα πολὺν, ἀλλὰ οἵ τε Θηβαῖοι ταχὺ τοὺς Ὀρχομενίους ἐτρέψαντο, καὶ τοὺς Ἀργείους ὁ Ἀγησίλαος. ἐπεὶ δὲ ἀκούσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι καὶ φεύγειν, ἀνέστρεψαν, ἐνταῦθα τῆς νίκης ἀκινδύνου παρούσης, εἰ τοῦ κατὰ στόμα μάχης ὑφέσθαι τοῖς Θηβαίοις ἠθέλησε, καὶ παίειν ἑπόμενος παραλλάξαντας, ὑπὸ θυμοῦ καὶ φιλονεικίας ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν, ὥσπερ κατὰ κράτος βουλόμενος. οἱ δὲ οὐχ ἧττον ἐρρωμένως ἐδέξαντο, καὶ μάχη γίνεται δι' ὅλου μὲν ἰσχυρὰ τοῦ στρατεύματος, ἰσχυροτάτη δὲ κατ' ἐκεῖνον αὐτὸν, ἐν τοῖς πεντήκοντα τεταγμένον· ὧν εἰς καιρὸν ἔοικεν ἡ φιλοτιμία τῷ βασιλεῖ γενέσθαι καὶ σωτήριος. ἀγωνιζόμενοι γὰρ ἐκθύμως, καὶ προκινδυνεύοντες, ἄτρωτον μὲν οὐκ ἐδυνήθησαν αὐτὸν φυλάξαι, πολλὰς δὲ διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφεσι, μόλις ἀνήρπασαν ζῶντα· καὶ συμφράξαντες πρὸ αὐτοῦ, πολλοὺς μὲν ἀνῄρουν, πολλοὶ δὲ ἔπιπτον. ὡς δὲ μέγα ἔργον ἦν ὥσπερ προτροπάδην τοὺς Θηβαίους, ἠναγκάσθησαν ὅπερ ἐξ ἀρχῆς οὐκ ἐβούλοντο ποιῆσαι. διέστησαν γὰρ αὐτοῖς τὴν φάλαγγα καὶ διέσχον, εἶτα ἀτακτότερον ἤδη πορευομένους, ὡς διεξέπεσον, ἀκολουθοῦντες καὶ παραθέοντες ἐκ πλαγίων ἔπαιον. οὐ μὴν ἔτρεψαν, ἀλλ' ἀπεχώρησαν οἱ Θηβαῖοι πρὸς τὸν Ἑλικῶνα, μέγα τῇ μάχῃ φρονοῦντες, ὡς ἀήττητοι καθ' αὐτοὺς γεγονότες.

Ἀγησίλαος δὲ, καίπερ ὑπὸ τραυμάτων πολλῶν κακῶς τὸ σῶμα διακείμενος, οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν, ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν

ter fuisse. Nec habuit primus concursus magnam conflictationem vel certamen, verum Thebani Orchomenios extemplo avertere, & Argivos Agesilaus. Utrique vero, ut nuntiatum est sinistra cornua laborare & dare terga, converterunt eo se. Hic quum vincere extra aleam liceret ei, si concurrere fronte cum Thebanis supersedere, & prætereuntium cædere terga libuisset, ob nimios animos & pervicaciam infestus in illos perrexit, quo eos funderet fugaretque. Illi hunc non minus fortiter excipiunt, pugnaturque tota acie acriter, sed multo acerrime circa ipsum Agesilaum manipulo illo quinquagenario stipatum: cujus alacritas regi in loco fuisse videtur salutaris. Hi enim, quantumvis pugnarent strenue, atque pro eo se objicerent, illæsum quidem non valuerunt servare, sed saucium, armis ejus crebris lancearum & gladiorum ictibus trajectis, ægre vivum sustulerunt, globoque pro eo facto, multos obtruncarunt, multi ceciderunt vicissim ex hoc manipulo. Quia vero arduum erat Thebanos ordinibus constantibus pugnantes profligare, eo decurrere necesse habuerunt, quo noluerant initio: quippe panderunt illis aciem, ac se dimoverunt. Inde ut transiere, minus compositum jam insequuti sunt illorum agmen, atque id adorti ex latere carpserunt, non tamen in fugam dedere. Verum Thebani ovantes victoria, velut, quod ad se pertineret, invicti, ad Helicona se receperunt.

Agesilaus, quantumvis multitudine vulnerum corpore affecto, non prius in tabernaculum contulit se, quam ad aciem lectica de-

τὴν φάλαγγα, καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεθῆναι. πλησίον γὰρ ὁ νεώς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς· καὶ πρὸ αὐτοῦ τρόπαιον ἕστηκεν, ὃ πάλαι Βοιωτοί, Σπάρτωνος στρατηγοῦντος, ἐνταῦθα νικήσαντες Ἀθηναίους, καὶ Τολμίδην ἀποκτείναντες ἔστησαν. ἅμα δ' ἡμέρᾳ βουλόμενος ἐξελέγξαι τοὺς Θηβαίους ὁ Ἀγησίλαος εἰ διαμαχοῦνται, στεφανοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας, αὐλεῖν δὲ τοὺς αὐλητάς, ἱστάναι δὲ καὶ κοσμεῖν τρόπαιον, ὡς νενικηκότας. ὡς δὲ ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτοῦντες, ἐσπείσατο, καὶ τὴν νίκην οὕτως ἐκβεβαιωσάμενος, εἰς Δελφοὺς ἀπεκομίσθη, Πυθίων ἀγομένων· καὶ τήν τε πομπὴν ἐπετέλει τῷ Θεῷ, καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς Ἀσίας λαφύρων, ἑκατὸν ταλάντων γενομένην. ἐπεὶ δὲ ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης. οὐ γάρ, ὥσπερ οἱ πλεῖστοι τῶν στρατηγῶν, καινὸς ἐπανῆλθεν ἀπὸ τῆς ξένης, καὶ κεκινημένος ὑπ' ἀλλοτρίων ἐθῶν, καὶ δυσκολαίνων πρὸς τὰ οἴκοι καὶ ζυγομαχῶν, ἀλλ' ὁμοίως τοῖς μηδεπώποτε τὸν Εὐρώταν διαβεβηκόσι τὰ παρόντα τιμῶν καὶ στέργων, οὐ δεῖπνον ἤλλαξεν, οὐ λουτρόν, οὐ θεραπείαν γυναικός, οὐχ ὅπλων κόσμον, οὐκ οἰκίας κατασκευήν, ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν, οὕτως οὔσας σφόδρα παλαιάς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας ἃς ἐπέθηκεν Ἀριστόδημος. καὶ τὸ κάναθρον φησὶν ὁ Ξενοφῶν οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρὸς ἢ τῶν ἄλλων. κάναθρα δὲ καλοῦσιν εἴδωλα γρυπῶν ξύλινα καὶ τραγελάφων, ἐν οἷς κομίζουσι τὰς παῖδας

ἐν

delatus mortuos vidisset in armis deportatos. Quotquot vero hostes ad fanum confugerunt, imperavit ut omnibus parceretur. Nam prope est Minervæ Itoniæ fanum, & pro eo trophæum, quod Bœotii quondam Spartone ductore quum fudissent ibidem Athenienses, interfeceerantque Tolmidem, erexerant. Prima luce Agesilaus, ad tentandum an certare Thebani haberent in animo, præcepit militibus ut tanquam victores coronas sumerent, tibia canerent, excitarent & adornarent trophæum. Cæterum ubi petierunt hostes ut tollere mortuos liceret, dedit iis inducias, constitutaque eo modo victoria, Delphos deportatus ad ludos Pythios, festum Apollini celebravit, ac decimam partem de manubiis Asianis, quæ centum talentorum erat, sacravit. Redux in patriam mox in oculis fuit civium, ex vitaque & victu suspiciendus. Neque enim (ut plerique omnes imperatores) alius quam profectus erat peregre rediit, vel alienis motus ritibus fastidivit & rejecit domesticos, sed perinde ac illi nunquam qui transmeaverunt Eurotam, patrios colens & amplectens, non cœnam variavit, non balneum, non uxoris cultum, non ornatum armorum, non supellectilem, verum fores quoque reliquit adeo vetustas, ut has easdem diceres, quas adjecerat Aristodemus. Ac canathrum ait Xenophon nihilo fuisse illius filiæ quam aliarum magnificentius. Canathra appellant gryphorum & hircocervorum lignea simulacra, quibus puellas in pompa

trans-

ἐν ταῖς πομπαῖς. ὁ μὲν οὖν Ξενοφῶν ὄνομα τῆς Ἀγησιλάου θυγατρὸς οὐ γέγραφε· καὶ ὁ Δικαίαρχος ἐπηγανάκτησεν, ὡς μήτε τὴν Ἀγησιλάου θυγατέρα, μήτε τὴν Ἐπαμεινώνδου μητέρα ἐπιγινωσκόντων ἡμῶν. ἡμεῖς δὲ εὕρομεν ἐν ταῖς Λακωνικαῖς ἀναγραφαῖς ὀνομαζομένην γυναῖκα μὲν Ἀγησιλάου, Κλεόραν· θυγατέρας δὲ, Ἀπωλίαν καὶ Προλύταν. ἔστι δὲ καὶ λόγχην ἰδεῖν αὐτοῦ κειμένην ἄχρι νῦν ἐν Λακεδαίμονι, μηδὲν τῶν ἄλλων διαφέρουσαν.

Οὐ μὴν ἀλλὰ ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναι τινὰς, καὶ μεγάλα φρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν εἰς ἅρμα καθίσασαν Ὀλυμπιάσιν ἀγωνίσασθαι, βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν ὡς οὐδεμιᾶς ἐστὶν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη. Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον, ἐκέλευσε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν μεταπεμψάμενον, ὡς μαθησομένους τῶν μαθημάτων τὸ κάλλιστον, ἄρχεσθαι καὶ ἄρχειν. τοῦ δὲ Λυσάνδρου τετελευτηκότος, εὑρὼν ἑταιρείαν πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν, οἷος ἦν ζῶν πολίτης· καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασσεὺς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν. ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἀναγνοὺς, καὶ φοβηθεὶς τὴν δεινότητα, συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον

transferunt. Xenophon vero nomen Ageſilai filiæ non reliquit ſcriptum. Stomachatur autem Dicæarchus, quod neque Ageſilai filiam, neque Epaminondæ cognoſcamus genitricem. Nos vero in actis Laconicis Ageſilai uxorem dictam Cleoram comperimus, filias Apoliam & Prolytam. Ad hæc, haſtam ejus in hanc diem ſervatam Lacedæmone videas, quæ nihil ab aliis diſcedit.

At vero quum cerneret nonnullos cives, quod equos ad ſacra certamina alerent, in pretio haberi & ſibi placere, quo ſubjiceret Græcorum oculis nullius virtutis eſſe, ſed opum, ſed ſumptus illam victoriam, ſororem ſuam impulit Cyniſcam, ut currum conſcenderet & Olympiis certaret. Xenophonti illi ſapienti, quem ſecum magno in honore habebat, liberos ſuos ſuaſit ut acciret & Lacedæmone educeret, quo pulcherrima diſciplina imbuerentur parendi & imperandi. Defuncto Lyſandro, quum factionem deprehendiſſet frequentem, quam ille, ſimul atque ex Aſia regreſſus fuerat, conflaverat in Ageſilaum, ſtuduit omnibus palam facere qualis ille in vita civis fuiſſet. Ac quum orationem legiſſet in volumine relictam, quam a Cleone Halicarnaſſeo ſcriptam, habere memoriter ſtatuerat Lyſander in concione de rebus novandis & reipublicæ mutatione, inſtituit eam in publicum proferre. Quam ubi legit quidam ex ſenibus, & veritus orationis nervos, ſuaſit ne Lyſandrum refoderet, ſed potius una cum illo ora-

γον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείϑη καὶ καϑησύχασε. τοὺς δὲ ὑπεναντιουμένους αὐτῷ, φανερῶς μὲν οὐκ ἔβλαπτε, διαπραττόμενος δὲ πέμπεσθαι τινὰς ἀεὶ στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν, ἐπεδείκνυε γινομένους ἐν ταῖς ἐξουσίαις πονηροὺς καὶ πλεονέκτας, εἶτα κρινομένοις πάλιν αὖ βοηϑῶν, καὶ συναγωνιζόμενος, οἰκείους ἐκ διαφόρων ἐποιεῖτο, καὶ μεϑίστη πρὸς αὐτὸν ὥστε μηδένα ἀντίπαλον εἶναι. ὁ γὰρ ἕτερος βασιλεὺς Ἀγησίπολις, ἅτε δὴ πατρὸς μὲν ὢν φυγάδος, ἡλικίᾳ δὲ παντάπασι μειράκιον, φύσει δὲ πρᾷος καὶ κόσμιος, οὐ πολλὰ τῶν πολιτικῶν ἔπραττεν. οὐ μὴν ἀλλὰ καὶ τοῦτον ἐποιεῖτο χειροήϑη. συσσιτοῦσι γὰρ οἱ βασιλεῖς εἰς τὸ αὐτὸ φοιτῶντες φιδίτιον, ὅταν ἐπιδημῶσιν. εἰδὼς οὖν ἔνοχον ὄντα τοῖς ἐρωτικοῖς τὸν Ἀγησίπολιν, ὥσπερ ἦν αὐτὸς, ἀεί τινος ὑπῆρχε λόγου περὶ τῶν ἐν ὥρᾳ· καὶ προῆγε τὸν νεανίσκον εἰς ταυτὸ, καὶ συνήρα καὶ συνέπραττε, τῶν Λακωνικῶν ἐρώτων οὐδὲν αἰσχρὸν, αἰδῶ δὲ πολλὴν καὶ φιλοτιμίαν καὶ ζῆλον ἀρετῆς ἐχόντων, ὡς ἐν τοῖς περὶ Λυκούργου γέγραπται.

Μέγιστον οὖν δυνάμενος ἐν τῇ πόλει, διαπράττεται Τελευτίαν τὸν ὁμομήτριον ἀδελφὸν ἐπὶ τοῦ ναυτικοῦ γενέσθαι. καὶ στρατευσάμενος εἰς Κόρινϑον, αὐτὸς μὲν ᾕρει κατὰ γῆν τὰ μακρὰ τείχη, ταῖς δὲ ναυσὶν ὁ Τελευτίας. Ἀργείων δὲ τὴν Κόρινϑον ἐχόντων τότε, καὶ τὰ Ἴσϑμια συντελούντων, ἐπιφανεὶς ἐκείνους μὲν ἐξήλασεν ἄρτι τῷ Θεῷ τεϑυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας· ἐπεὶ δὲ τῶν Κορινϑίων ὅσοι φυγάδες ἔτυχον παρόντες, ἐδεήϑησαν αὐτοῦ τὸν ἀγῶνα διαϑεῖναι, τοῦτο μὲν οὐκ ἐποίησεν, αὐτῶν δὲ ἐκεί-

rationem defoderet, paruit acquievitque. Adversarios suos in aperto quidem non lædebat, sed efficiebat ut semper illorum aliqui duces & rectores mitterentur peregre. Quorum detegendo in potestate nequitiam & avaritiam, mox in judicium vocatis rursus opem ferendo & patrocinando, ex inimicis necessarios sibi reddidit, atque ad se traxit, adeo ut infestum haberet neminem. Nam rex alter Agesipolis, ut cujus exul parens esset, & ætate ipse adhuc immatura, ingenio quoque leni modestoque præditus, non admodum se in republica jactabat. Quem tamen etiam sibi reddidit obnoxium. Epulantur reges, quum ad urbem sunt, eodem in triclinio. Qui autem teneri sciret Agesipolim, sicut se, amoribus, sermonem assidue de formosis adolescentibus inferebat, eodem illum impellebat, sociusque erat ei in amore & adjutor. Sunt vero amores Laconici nulla cum turpitudine conjuncti, verum magno cum pudore, honoris studio & æmulatione virtutis, ut in Lycurgi historia exposuimus.

Quare, quum plurimum in civitate posset, perfecit ut præficeretur frater suus uterinus Teleutias classi, motaque in Corinthios expeditione, terra cœpit longos muros, & Teleutias ex mari. Quum Argivis, qui Corinthum id temporis tenebant, & Isthmia agebant, supervenisset, illos modo a sacris Deo factis egit, omni relicto apparatu. Corinthiorum autem exulibus, qui aderant, orantibus eum ut ludis ipse præesset, id abnuit, sed illis facientibus eos & celebrantibus

ἐκείνων διατιθέντων καὶ συντελούντων, παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. ὕστερον δὲ ἀπελθόντος αὐτοῦ, πάλιν ὑπ' Ἀργείων ἤχθη τὰ Ἴσθμια. καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δὲ οἱ νενικηκότες πρότερον, ὕστερον δὲ ἡττημένοι ἀνεγράφησαν. ἐπὶ τούτῳ δὲ πολλὴν ἀπέφηνε δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς Ἀργείους ὁ Ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι, μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. αὐτὸς δὲ πρὸς ταῦτα πάντα μετρίως ᾤετο δεῖν ἔχειν, καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει καὶ συμπαρῆν ἀεὶ, φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὤν, καὶ οὔτε παίδων, οὔτε παρθένων ἁμίλλης ἀπολειπόμενος· ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μηδὲ γινώσκειν. καί ποτε Καλλιππίδης ὁ τῶν τραγῳδιῶν ὑποκριτὴς, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς περιπατοῦντας ἐμβαλὼν ἑαυτὸν ἐπεδείκνυτο, νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφροσύνης· τέλος δὲ εἶπεν, οὐκ ἐπιγινώσκεις με, βασιλεῦ; κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν, εἶπεν, ἀλλὰ οὐ σύγε ἐσσὶ Καλλιππίδας ὁ δικηλίκτας; οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου, παρῃτήσατο, φήσας, αὐτᾶς ἄκουκα. τοῦ δὲ ἰατροῦ Μενεκράτους, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις, Ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ, καὶ δῆτα πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος οὕτως, Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν· ἀντέγραψε, Βασιλεὺς Ἀγησίλαος Μενεκράτῃ ὑγιαίνειν.

Δια-

bus remanſit ſecuritatis præſtandæ gratia. Poſt, ubi recepit ſe, inſtaurata ab Argivis Iſthmia ſunt. In quibus nonnulli denuo victores fuere, pars, qui ante victores fuerant, poſt inter victos relati. Unde timiditatem ſuam manifeſte prodere ait Ageſilaus Argivos, qui quum rem tam auguſtam & præclaram cenſerent illorum ludorum arbitrium, dimicare de eo non ſuſtinuiſſent. Ipſe moderatum ſtudium ducebat in iis ponendum, choroſque & ludos patrios aſſiduitate ſua, contentione, ſtudio ornabat, neque a puerorum vel virginum certamine ſe abducebat: quorum vero teneri alios ſtupore cernebat, ea ſimulabat nec noſſe. Atque tragœdiarum hiſtrio Callipides, cujus inter Græcos celebre nomen & fama apud omnes ingens erat, aliquando occurrens, primum ſalutavit eum, deinde faſtuoſe inferens ſe ambulantibus oſtentavit ſe, exorſurum ratus eum aliquam in ſe comitatem: poſtremo ait, Non me rex noſcis? Ille eum reſpiciens, reſpondit, Tune Callipides es dicelictas ille? Ita mimos vocant Lacedæmonii. Quum invitaretur ad audiendum quendam qui luſciniam imitabatur, detrectavit, ac, Ipſam, infit, audivi. Menecrates medicus, qui, quod in deploratis quibuſdam morbis curandis habuiſſet ſucceſſum, Jupiter appellabatur, odioſe uſurpavit eam appellationem, & vero ad illum ſuſtinuit ad hunc modum ſcribere, Menecrates Jupiter regi Ageſilao ſalutem. Huic reſcripſit, Rex Ageſilaus Menecrati ſanam mentem.

ſ

Dum

Διατρίβοντος δὲ περὶ τὴν Κορινθίαν αὐτοῦ, καὶ τὸ Ἡραῖον εἰληφότος, καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ Θηβῶν περὶ φιλίας. ὁ δὲ, μισῶν μὲν ἀεὶ τὴν πόλιν, οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο μήτε ὁρᾶν αὐτοὺς, μήτε ἀκούειν ἐντυγχανόντων. ἔπαθε δὲ πρᾶγμα νεμεσητόν· οὔπω γὰρ ἀπηλλαγμένων τῶν Θηβαίων, ἧκον τινὲς ἀγγέλλοντες αὐτῷ τὴν μόραν ὑπὸ Ἰφικράτους κατακεκόφθαι. καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου συνέπεσεν αὐτοῖς. πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας ὑπό τε πελταστῶν ὁπλίτας, καὶ μισθοφόρων Λακεδαιμονίους. ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ Ἀγησίλαος ὡς βοηθήσων· ἐπεὶ δὲ ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ Ἡραῖον ἧκε, καὶ τοὺς Βοιωτοὺς τότε προσελθεῖν κελεύσας ἐχρημάτιζεν· ὡς δὲ ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο, παρελθεῖν δὲ ἠξίουν εἰς Κόρινθον· ὀργισθεὶς ὁ Ἀγησίλαος εἶπεν, εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ' οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει. καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ, τήν τε χώραν τῶν Κορινθίων ἔκοπτε, καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας, ἀφῆκε τὴν πρεσβείαν. αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς μόρας ἀναλαβὼν, ἀπῆγεν εἰς Λακεδαίμονα, πρὸ ἡμέρας ποιούμενος τὰς ἀναζεύξεις, καὶ πάλιν σκότους τὰς καταλύσεις· ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν Ἀρκάδων μὴ ἐπιχαίρωσιν. ἐκ τούτου χαριζόμενος τοῖς Ἀχαιοῖς, διέβαινεν εἰς Ἀκαρνανίαν στρατείᾳ μετ' αὐτῶν, καὶ πολλὴν

μὲν

Dum ſedet in agro Corinthiaco, & fano Junonis expugnato prædam aſpicit milites egerentes, aderant ex Thebis legati ad agendum de pace. Hic, qui illam civitatem ſemper odiſſet, tunc vero etiam e re eſſe cenſeret ei inſultare, diſſimulavit eos videre vel audire alloquentes ſe. Nec defuit ei divina ira. Nam nondum digreſſi erant Thebani, quum nunciatum ei eſt cohortem ab Iphicrate cæſam, quanta clade non fuerant longo intervallo icti. Multos enim fortes milites amiſerunt fuſos a levibus armatos, atque a mercenariis Lacedæmonios. Exiliit ergo propere ad opem his ferendam Ageſilaus. Ubi vero cognovit rem tranſactam, ad fanum Junonis regreſſus accerſivit tunc Thebanos, eiſque dicendi poteſtatem fecit. Qui quum repoſita contumelia mentionem pacis nullam facerent, ſed copiam peterent fieri ſibi Corinthum ingrediendi, indignatus Ageſilaus reſpondit, Si utique amicos veſtros avetis ex ipſorum rebus ſecundis elatos aſpicere, id vobis cras tuto licebit. Itaque aſſumptis his poſtero die ſecum, fines Corinthiorum evaſtavit, exercitumque ipſi admovit urbi. Ita legatis quum oſtendiſſet animum non eſſe ſua tuendi Corinthiis, dimiſit eos. Inde receptis ſuperſtitibus ex illa cohorte, Lacedæmonem exercitum reduxit. Caſtra ante lucem movit, rurſuſque poſt tenebras metatus eſt, ne invidi & obtrectatores Arcades inſultarent ipſis. Hinc in Achæorum gratiam exercitum cum iis in Acarnaniam tra-

 du-

μὲν ἠλάσατο λείαν, μάχῃ δὲ τοὺς Ἀκαρνᾶνας ἐνίκησε. δεομένων δὲ τῶν Ἀχαιῶν, ὅπως τὸν χειμῶνα παραμείνας, ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν· μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτοὺς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν. ὃ καὶ συνέβη· παραγγελομένης γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας, διηλλάγησαν τοῖς Ἀχαιοῖς.

Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες, ἐπολιόρκουν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν Ἀθηναίων, Φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς Λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα· καὶ πέμπουσιν Ἀνταλκίδαν πρὸς Τηρίβαζον, αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν. ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν Ἀγησίλαον αὔξοντος, καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς Λακεδαιμονίους μηδίζειν, ὁ Ἀγησίλαος ἀπεκρίνατο, μᾶλλον τοὺς Μήδους λακωνίζειν. τοὺς δὲ μὴ βουλομένους δέχεσθαι τὴν εἰρήνην, ἀπειλῶν καὶ καταγγέλλων πόλεμον, ἠνάγκασεν ἐμμεῖναι πάντας οἷς ὁ Πέρσης ἐδικαίωσε, μάλιστα διὰ τοὺς Θηβαίους, ὅπως αὐτόνομον τὴν Βοιωτίαν ἀφέντες, ἀσθενέστεροι γένωνται. δῆλον δὲ τοῦτο τοῖς ὕστερον ἐποίησεν. ἐπεὶ γὰρ Φοιβίδας ἔργον εἰργάσατο δεινὸν, ἐν σπονδαῖς καὶ εἰρήνῃ τὴν Καδμείαν καταλαβὼν, καὶ πάντες μὲν ἠγανάκτουν οἱ Ἕλληνες, χαλεπῶς δὲ ἔφερον οἱ Σπαρτιᾶται, καὶ μάλιστα

duxit, unde grandem prædam fecit, & Acarnanas acie fedit. Inftantibus Achæis, ut illic hybernans impediret ne facere hoftes valerent fementem, contra ait fe facturum. Impenfius enim formidaturos illos bellum, fi confitum agrum in æftatem haberent: quod etiam evenit. Nam mota iterum in eos expeditione fecerunt cum Achæis pacem.

Ut Conon & Pharnabazus claffe regia mare obtinentes vaftavere maritimam Laconiam, atque urbs Athenienfis muro fepta eft, fumptum præbente Pharnabazo, vifum Lacedæmoniis eft pacificari cum rege, legarùntque ad Teribazum Antalcidam, fœdiffime & teterrime Afiaticos Græcos, pro quibus bellum gefferat Agefilaus, regi prodentes. Unde contigit Agefilao, ut haudquaquam illius infamiæ ad eum contagio perveniret: fiquidem erat ejus Antalcidas inimicus, qui pacem hanc vel maxime urfit, quod bellum Agefilaum amplificaret, illuftraret, & fupra omnes extolleret. Veruntamen ei qui dixit fentire cum Medis Lacedæmonios, refpondit Agefilaus, immo Medos fentire cum Lacedæmoniis. Abnuentibus pacem approbare minitans & denuntians arma, omnes compulit affentiri iis quæ rex poftulavit, potiffimum Thebanorum caufa, ut Bœotia immuni fuis legibus permiffa, efficerentur debiliores, quod poftea magis declaravit. Nam quum rem perpetraffet indignam Phœbidas, qui Cadmiam tempore pacis & amicitiæ occupavit, omnes autem Græci ftomacharentur, & inique id ferrent Spartiatæ, præcipue vero alieni qui erant

τα οἱ διαφερόμενοι τῷ Ἀγησιλάῳ, μετ' ὀργῆς ἐπυνθάνοντο τοῦ Φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν, εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες· οὐκ ὤκνησε τῷ Φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν, ὅτι δεῖ τὴν πρᾶξιν αὐτὴν, εἴτι χρήσιμον ἔχει σκοπεῖν· τὰ γὰρ συμφέροντα τῇ Λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν ἀρετῶν· ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. πρὸς δὲ τοὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ, τί δὲ ἐκεῖνος ἐμοῦ, εἶπε, μείζων, εἰ μὴ δικαιότερος; ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ, καθάπερ μέτρῳ βασιλικῷ, μετρεῖσθαι τὴν ὑπεροχὴν τοῦ μείζονος. ἣν δὲ τῆς εἰρήνης γενομένης ἔπεμψεν αὐτῷ περὶ ξενίας καὶ φιλίας ἐπιστολὴν ὁ βασιλεὺς, οὐκ ἔλαβεν, εἰπὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν, καὶ μηδὲν ἰδίας δεήσεσθαι, μενούσης ἐκείνης. ἐν δὲ τοῖς ἔργοις οὐκέτι ταύτην διαφυλάττων τὴν δόξαν, ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ πολλαχοῦ συνεκφερόμενος, καὶ μάλιστα τῇ πρὸς Θηβαίους, οὐ μόνον ἔσωσε τὸν Φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὑτὴν ἀναδέξασθαι τὸ ἀδίκημα, καὶ κατέχειν τὴν Καδμείαν δι' ἑαυτῆς, τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας Ἀρχίδαν καὶ Λεοντίδαν ἀποδεῖξαι κυρίους, δι' ὧν ὁ Φοιβίδας εἰσῆλθε, καὶ κατέλαβε τὴν ἀκρόπολιν.

Ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, Φοιβίδου μὲν ἔργον εἶναι, βούλημα δὲ Ἀγησιλάου, τὸ πεπραγμένον. αἱ δὲ ὕστεραι πράξεις ὁμολογουμένην ἐποίησαν τὴν αἰτίαν. ὡς γὰρ ἐξέβαλον οἱ Ἀθηναῖοι τὴν φρουρὰν, καὶ τὴν πόλιν ἠλευ-

erant ab Agesilao rogarent infensi Phœbidam, cujusnam hoc jussu fecisset, in illum torquentes suspicionem: non dubitavit defendens Phœbidam propalam dicere, ipsum factum, quatenus ex usu foret, spectandum. Nam quæ essent e republica Lacedæmoniorum, ea, ut nemo mandet, debere ultro fieri. Quamvis alias justitiam in omni sermone decerneret omnium principem virtutem: siquidem fortitudinis, ubi absit justitia, nullum esse usum. Quod si omnes justi essent, nihil requiri fortitudinem. Ad illos qui ferebant id magno regi placere, Quid me ille est, inquit, major, nisi sit justior? recte atque probe censens sicut regio modo justitia excellentiam metiendam majoris. Quas ea composita pace rex de hospitio & amicitia misit literas, non accepit, satis esse ferens amicitiam publicam, qua manente nihil opus fore privata. Enimvero factis non semper tuebatur hanc opinionem, verum abreptus frequenter ambitione & contentione, præsertim illa adversus Thebanos, non modo Phœbidam servavit, verum etiam ut crimen in se reciperet, Cadmiamque retineret imposito præsidio, induxit civitatem, regiminisque ac reipub. Archidæ & Leontidæ, per quos ingressus Phœbidas fuerat & occupaverat arcem, permitteret arbitrium.

Quare fuit protinus quidem suspicio facinus illud factum esse Phœbidæ, consilium vero Agesilai. At ea quæ insequuta sunt crimen reddiderunt confessum. Ut enim præsidium Thebani expulere, civitatemque asseruere

ἐλευθέρων, ἐγκαλῶν αὐτοῖς ὅτι τὸν Ἀρχίδαν καὶ τὸν Λεοντίδαν ἀπεκτόνεσαν, ἔργῳ μὲν τυράννους, λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. καὶ Κλεόμβροτος ἤδη βασιλεύων, Ἀγησιπόλιδος τεθνηκότος, εἰς Βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως. ὁ γὰρ Ἀγησίλαος, ὡς ἔτη τεσσαράκοντα γεγονὼς ἀφ' ἥβης, καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατηγίαν ἐκείνην, αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς, αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. ἦν δέ τις Λάκων Σφοδρίας, ἐκ τῆς ὑπεναντίας στάσεως τῷ Ἀγησιλάῳ, τεταγμένος ἐν Θεσπιαῖς ἁρμοστὴς, οὐκ ἄτολμος μὲν οὐδ' ἀφιλότιμος ἀνὴρ, ἀεὶ δ' ἐλπίδων μᾶλλον ἢ φρενῶν ἀγαθῶν μεστός. οὗτος ἐπιθυμῶν ὀνόματος μεγάλου, καὶ τὸν Φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τοῦ περὶ Θήβας τολμήματος, ἐπείσθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν Πειραιᾶ καταλάβοι δι' ἑαυτοῦ, καὶ τῶν Ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν, ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. λέγουσι δὲ τοῦτο μηχάνημα γενέσθαι τῶν περὶ Πελοπίδαν καὶ Γέλωνα βοιωταρχῶν. ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους, οἳ τὸν Σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες ὡς ἔργου τηλικούτου μόνον ἄξιον, ἐπῆραν καὶ παρώρμησαν ἀνελέσθαι πρᾶξιν, ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον, τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. ἡμέρα γὰρ αὐτὸν ἐν τῷ Θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν, ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ Πειραιεῖ· καὶ φῶς ἀφ' ἱερῶν τινων Ἐλευσινόθεν ἰδόντας, λέγουσι φρίξαι καὶ περιφόβους

γενέσθαι

ere in libertatem, insimulans illos, quod Archidam & Leontidam interemissent revera tyrannos, verbo polemarchos, intulit iis bellum: & Cleombrotus, qui jam defuncto Agesipolide regnabat, in Bœotiam cum legionibus missus est. Agesilaus enim ætatis prætextu, quod a pubertate major esset annis quadraginta, & militiæ vacationem lege haberet, illam defugit expeditionem, erubescens, qui paulo ante pro exulibus in Phliasios arma tulerat, nunc Thebanis videri tyrannorum gratia vim inferre. Erat Lacon quidam Sphodrias factionis Agesilao adversæ, Thespiis præfectus, vir haud iners aut degeneris animi, sed semper spei magis quam mentis sanæ plenus. Hic ingens affectans nomen, & Phœbidam existimans ex illo in Thebanos facinore illustrem & celebrem evasisse, longe pulchrius & splendidius facinus fore persuasus est, ex inopinato si terra adortus ipse Piræum occupavisset, ac mare Atheniensibus præcidisset. Hoc ferunt commentum Pelopidæ & Gelonis Bœotarcharum fuisse. Summiserunt hi certos, qui facere se fingerent cum Lacedæmoniis. Illi Sphodriam celebrantes extollentesque, tanquam unum tanto dignum opere, incitaverunt & incenderunt eum ad rem suscipiendam pravam perinde atque illam & fœdam, verum audacia & fortuna destitutam: siquidem dies eum in campo Thriasio occupavit & illuxit: speraverat autem tenebris aggredi Piræum. Cæterum ubi lumen ex templis quibusdam ab Eleusine conspexere milites, memorant eos horrore & pa-

γενέσθαι τοὺς στρατιώτας. αὐτὸς δὲ τοῦ θράσους ἐξέπεσεν, ὡς οὐκέτι λαθεῖν ἦν· καί τινα βραχεῖαν ἁρπαγὴν θέμενος, αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς Θεσπιάς. ἐκ δὲ τούτου κατήγοροι μὲν ἐπέμφθησαν εἰς Σπάρτην ἐξ Ἀθηνῶν, εὗρον δὲ κατηγόρων μηδὲν ἐπὶ τὸν Σφοδρίαν δεομένους τοὺς ἄρχοντας, ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκότας· ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω, φοβούμενος τὴν ὀργὴν τῶν πολιτῶν, αἰσχυνομένων τοὺς Ἀθηναίους, καὶ βουλομένων συναδικεῖσθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν.

Εἶχεν οὖν ὁ Σφοδρίας υἱὸν Κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν Ἀρχίδαμος ὁ Ἀγησιλάου τοῦ βασιλέως υἱὸς ἤρα· καὶ τότε συνηγωνία μὲν, ὡς εἰκὸς ἦν, κινδυνεύοντι αὐτῷ περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν. ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ Ἀγησιλάου. τοῦ δὲ Κλεωνύμου προσελθόντος αὐτῷ, καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν Ἀγησίλαον εὔνουν παράσχῃ, μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι, τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς, σιωπῇ παρηκολούθει· τέλος δὲ, τῆς κρίσεως ἐγγὺς οὔσης, ἐτόλμησεν εἰπεῖν πρὸς τὸν Ἀγησίλαον, ὅτι Κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. ὁ δὲ Ἀγησίλαος εἰδὼς ἐρῶντα τὸν Ἀρχίδαμον, οὐκ ἔπαυεν. ἦν γὰρ ὁ Κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος, εἴτις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι δεομένῳ τῷ παιδί· σκέψασθαι δὲ φήσας ὅ, τι καλῶς ἔχει καὶ πρεπόντως, ἀπῆλθεν. αἰδούμενος οὖν ὁ

pavore obtorpuisse. Excidit & illi animus, ubi jam non poterat esse clam, raptaque modica præda, fœde & deformiter recepit se Thespias. Hinc accusatores Athenis Spartam missi. Verum magistratus offenderunt accusatoribus in Sphodriam nihil opus habere, qui occupaverunt eum rei capitalis arcessere: quod judicium non est ausus ille exspectare, quia iram formidabat civium, qui verecundia Atheniensium, ne affines viderentur illius injuriæ, non minus se violatos simulabant.

Erat Sphodriæ Cleonymus filius, cujus pueri etiamnum & forma florentis amore Agesilai filius Archidamus deperibat, ac cum illo tunc nimirum laborabat de patris periculo: sed adjuvare aperte & opem ferre, quod ex adversariis esset Agesilai Sphodrias, non habebat. Quem quum Cleonymus adiisset precibusque & lacrymis interpellasset, ut placaret Agesilaum (illum enim præter cæteros esse ipsis formidabilem) tres aut quatuor dies verecundia & timore parentem tacitus affectatus est. Tandem instante judicii die, sustinuit exponere Agesilao Cleonymum supplicem sibi pro patre fuisse. Agesilaus (licet eum amare sciret Archidamum) non prohibuit: quippe Cleonymus mox a puero spem de se, siquis alius, præbuerat magnæ virtutis. Nullam tamen bonam vel benignam spem oranti dedit filio; tantum consideraturum ostendit se quid recte ac honeste facere posset; atque ita abscessit. Itaque præ verecundia Archidamus

ὁ Ἀρχίδαμος, ἐξέλιπε τὸ προσεῖναι τῷ Κλεωνύμῳ, καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. ἐκ δὲ τούτου κἀκεῖνοι τὰ κατὰ τὸν Σφοδρείαν μᾶλλον ἀπέγνωσαν· ἄχρις οὗ τῶν Ἀγησιλάου φίλων Ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς, ἀπεγύμνωσε τὴν γνώμην τοῦ Ἀγησιλάου· τὸ μὲν γὰρ ἔργον ὡς ἔνι μάλιστα ψέγειν αὐτὸν, ἄλλως γε μὴν ἄνδρα τὸν Σφοδρείαν ἀγαθὸν ἡγεῖσθαι, καὶ τὴν πόλιν ὁρᾶν τοιούτων στρατιωτῶν δεομένην. τούτους γὰρ ὁ Ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης, τῷ παιδὶ χαρίζεσθαι βουλόμενος· ὥστε καὶ τὸν Κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ Ἀρχιδάμου, καὶ τοὺς φίλους τοὺς τοῦ Σφοδρείου θαρροῦντας ἤδη βοηθεῖν. ἦν δὲ καὶ φιλότεκνος ὁ Ἀγησίλαος διαφερόντως, καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς, ὥσπερ ἵππον, οἴκοι συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράσαι πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

Ἀπολυθέντος δὲ τοῦ Σφοδρείου, καὶ τῶν Ἀθηναίων ὡς ἐπύθοντο πρὸς πόλεμον τραπομένων, σφόδρα κακῶς ὁ Ἀγησίλαος ἤκουσε, δι' ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ, καὶ τὴν πόλιν παραίτιον ἀπειργάσθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. ἐπεὶ δὲ τὸν υἱὸν Κλεόμβροτον οὐχ ἑώρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις, οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας ᾧ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη, καὶ κακῶς ἐποίει τοὺς Θηβαίους, καὶ πάλιν ἀντέπασχεν· ὥστε καὶ τρωθέντος αὐτοῦ ποτε τὸν Ἀνταλκίδαν εἰπεῖν, ἦ καλὰ δι-

mus intermisit Cleonymum invisere, quamvis id quotidie facere creber antea soleret. Sic amici quoque Sphodriæ salutem ejus magis pro deposita habuere: quoad ex Agesilai amicis Etymocles in colloquio quodam sententiam illis aperuit Agesilai: factum enim illum quam maxime improbare, alioqui strenuum virum habere Sphodriam, ac civitatem cernere talium virorum desiderantem. Hac oratione ubique Agesilaus in gratiam filii sui de judicio utebatur. Unde mox studium Cleonymus percepit Archidami, & necessarii Sphodriæ sumpto animo ei jam præsto fuere. Fuit indulgens pater supra modum Agesilaus: de quo hunc ludum commemorant, cum parvis liberis in arundine quasi equitantem domi colludere solitum. Conspectus autem ab amico quopiam, oravit ne cui id prius enuntiaret quam ipse liberorum pater foret.

Absoluto Sphodria, Atheniensibusque, ubi rem intellexere, arma sumentibus, laceratus est majorem in modum Agesilaus probris, qui ob importunam & puerilem libidinem intercessisse justo judicio videretur, atque civitatem tantis in Græcos admissis flagitiis alligasse. Porro collegam regni Cleombrotum, quia minus propensum ad bellum cum Thebanis gerendum cernebat, mox lege, cujus nuper præsidio prætenderat vacationem, abjecta, Bœotiam ipse incurrit, Bœotiisque clades intulit & vicissim accepit. Hinc quum vulnere aliquando fuisset affectus, Antalcidas, Næ tu præ-

διδασκάλια περὶ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδὲ ἐπισταμένους μάχεσθαι διδάξας. τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασί, ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτούς, ὥσπερ ἐγγυμνασαμένους. διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις τρισὶ ῥήτραις ἀπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. ἦν δὲ καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ἐπαχθὴς ὁ Ἀγησίλαος, ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. οὐδὲν οὖν ἔλεγον δεόμενοι φθείρεσθαι, δεῦρο κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. ἔνθα δὴ λέγεται τὸν Ἀγησίλαον, ἐξελέγξαι βουλόμενον αὐτῶν τὸ πλῆθος, τάδε μηχανήσασθαι. πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν. εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρότερον· ὡς δὲ ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας, ἑξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος, Ὁρᾶτε, εἶπεν, ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς.

Ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατιὰν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν, σπάσμα καὶ πόνος ἰσχυρὸς ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τούτου διογκωθὲν, μεστὸν αἵματος ἔδοξε γεγονέναι, καὶ φλεγ-

præclaram, inquit, mercedem refers a Thebanis, qui invitos & ignaros docuiſti pugnare. Et profectò bellaciores ferunt tunc Thebanos quam unquam alias evaſiſſe, compluribus Lacedæmoniorum in ipſos expeditionibus velut diſciplina quadam edoctos. Quapropter in tribus rhetris appellatis interdixerat Lycurgus priſcus in eoſdem identidem bellum moveri, ne bellare addiſcerent illi. Flagrabat item apud Lacedæmoniorum ſocios Ageſilaus invidia, quod nulla quidem publica offenſa, ſed felle quodam atque ambitione evertere quæreret Thebanos. Fremebant autem nulla premente neceſſitate ita enecari ſe, qui huc atque illuc ſingulis annis paucos tam multi ſequerentur. Hic Ageſilaum memorant ad detegendum eorum numerum hoc machinatum: Omnes ſocios juſſit promiſcue conſidere, ſeorſum autem Lacedæmonios ſolos; inde pronuntiari ut figuli primi exſurgerent: ubi hi conſurrexere, mox excitavit fabros ærarios, hinc materiarios, poſt ædificatores, & reliquos per ſingula artificia. Ita cuncti prope ſocii ſurrexerunt, ex Lacedæmoniis nemo: quippe vetitum his fuit artem exercere & diſcere vilem. Ibi arridens Ageſilaus, Videtis, inquit, ſocii, quanto nos quam vos plures milites præbeamus.

Megaris autem, exercitum ex agro Thebano reducens, dum ad curiam in arcem ſcandit, convulſione & ingenti cruciatu ſanum crus ejus correptum eſt, mox intumuit, & ſanguine diſtenſum apparuit, immanemque

φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν. ἰατροῦ δέ τινος Συρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν, αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως, λειποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. οὐ μὴν ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε, καὶ κομισθεὶς εἰς Λακεδαίμονα, πολὺν χρόνον εἶχεν ἀρρώστως, καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὧν ἦν τὸ περὶ Λεῦκτρα μέγιστον, ὅπου πρῶτον ἐκ παρατάξεως κρατηθέντες, ὑπὸ Θηβαίων ἡττήθησαν. ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς πάντας εἰρήνην· καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα ποιησόμενοι τὰς διαλύσεις. ὧν εἷς ἦν Ἐπαμεινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατηγίας δὲ πεῖραν οὔπω δεδωκώς. οὗτος ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ, μόνος ἐχρήσατο φρονήματι παρρησίαν ἔχοντι, καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινόν· τὸν μὲν πόλεμον ἀποδεικνύων αὔξοντα τὴν Σπάρτην, ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι, τὴν δὲ εἰρήνην ἰσότητι καὶ τῷ δικαίῳ κλᾶσθαι κελεύων· οὕτω γὰρ ἂν αὐτὴν διαμένειν, ἴσων ἁπάντων γενομένων.

Ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς ἀγαμένους καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας, ἠρώτησεν εἰ νομίζοι δίκαιον εἶναι καὶ ἴσον, αὐτονομεῖσθαι τὴν Βοιωτίαν. ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμεινώνδου ταχὺ καὶ τεθαρρηκότως, εἰ κἀκεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικήν, ἀναπηδήσας ὁ Ἀγησίλαος

que excitavit inflammationem. Quum medicus quidam Syracusius venam ei aperuisset sub talo, dolores sedati sunt, cæterum copioso manante & prorumpente sanguine, qui sisti nequibat, vehemens animi defectus, & grave inde periculum circumstetit Agesilaum. Suppressit tandem tamen medicus cursum sanguinis. Delatus autem Lacedæmonem Agesilaus, perdiu imbecilla valetudine fuit, nec bello potuit interesse. Interea Spartiatæ identidem terra marique multas clades perpessi sunt, multo maxime apud Leuctra, ubi primum acie fusi fugatique a Thebanis sunt. Igitur omnibus placuit pacem in universum componere, ac legati ex Græcia Lacedæmonem convenere ad fœdus faciundum: inter quos Epaminondas fuit vir eruditione & sapientiæ studio clarus, verum armorum nondum dederat documentum. Hic omnes cernens Agesilao se venditantes, solus gravitatem cum dicendi libertate retinuit, habuitque orationem non pro solis Thebanis, sed pro tota Græcia communem, demonstrans bello increvisse Spartam, unde reliqui erant afflicti cuncti; pacem consuluit æquabilitate & jure ut componerent, ita demum fore eam constantem, si pares omnes essent.

Cui quum omnes Græcos Agesilaus adverteret mirifice assentiri & aures præbere, percunctatus eum est, verumne & æquum duceret Bœotiam immunem suis legibus esse. Ubi eum invicem Epaminondas prompte & confidenter rogavit, numne & ipse censeret æquum Laconiam immunem suis legibus esse, exiliens cum stomacho Agesilaus

λαος μετ' ὀργῆς, ἐκέλευσε λέγειν σαφῶς αὐτὸν, εἰ τὴν Βοιωτίαν ἀφίησιν αὐτόνομον. τὸ δὲ αὐτὸ τοῦτο πάλιν τοῦ Ἐπαμεινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφίησιν αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος, καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης, καὶ προειπεῖν πόλεμον αὐτοῖς· τοὺς δὲ ἄλλους Ἕλληνας διαλλαγέντας ἐκέλευσεν ἀπιέναι, τὰ μὲν ἀκεστὰ, τῆς εἰρήνης, τὰ δὲ ἀνήκεστα, τοῦ πολέμου ποιοῦντας. ἔργον γὰρ ἦν πάσας ἐκκαθᾶραι καὶ διαλῦσαι τὰς ἀμφιλογίας. ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως. εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα· καὶ τοὺς συμμάχους περιπέμποντες ἤθροιζον, ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον, οὔπω δὲ θαῤῥοῦντας ἀντιλέγειν οὐδὲ ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμεινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον, ἐλπίζων αὐτοῖς μὲν, αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον ἢ λογισμῷ γενέσθαι τὴν στρατείαν ἐκείνην ὁ καιρός. τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνὸς ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι, τῇ δὲ πέμπτῃ τοῦ Ἑκατομβαιῶνος ἡττήθησαν ἐν Λεύκτροις, ἡμερῶν εἴκοσι διαγενομένων. ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων, καὶ Κλε-

laus, jussit expromere eum diserte ecquid Bœotiam liberam relinqueret. Quum idem invicem requisisset Epaminondas, ecquid Laconiam dimitteret liberam: usque adeo est exacerbatus Agesilaus, ut hac arrepta ansa confestim Thebanorum nomen expungeret ex fœdere, indiceretque iis bellum. Cæteros Græcos icto fœdere domum jussit redire, & quæ emendari poterant, paci, incurabilia delegare bello, quando omnes exscindere & dirimere controversias operosum erat. Ad Cleombrotum autem, qui forte id temporis agebat cum exercitu in Phocide, propere mittunt Ephori cum mandatis, exercitum in Thebanos duceret: circummissisque legatis sociorum delectum habuere. Erant segnes illi quidem atque a bello abhorrebant, nondum audebant tamen recusare vel obluctari Lacedæmoniis. Quum crebro tetra prodigia essent facta, sicut in Epaminondæ historia demonstravimus, & Prothous Lacon huic expeditioni adversaretur; non remisit Agesilaus tamen, sed ut bellum decerneretur effecit, sperans, quum ipsi universam haberent immunem & liberam Græciam, ex fœdere autem exempti Thebani essent, locum expetendi ab iis pœnas esse. Bellum illud plus ira consultrice fuisse quam ratione susceptum temporum articuli indicant. Siquidem de die quartadecima mensis Scirophorionis pactum Lacedæmone fœdus est, Hecatombæonis quinta, dierum intervallo viginti, apud Leuctra cæsi sunt: ubi mille Lacedæmonii cecidere, & rex Cleombrotus, circaque eum Spar-

Κλεόμβροτος ὁ βασιλεὺς, καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν. ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου, τὸν καλὸν, τρὶς πεσόντα πρὸ τοῦ βασιλέως, καὶ τοσαυτάκις ἐξαναστάντα, καὶ μαχόμενον τοῖς Θηβαίοις, ἀποθανεῖν.

Συμβάντος δὲ τοῖς τε Λακεδαιμονίοις πταίσματος ἀπροσδοκήτου, καὶ τοῖς Θηβαίοις πρὸς δόξαν εὐτυχήματος, οἷον οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας ἀγωνισαμένοις, οὐδὲν ἄν τις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἠγάσθη τὴν ἡττημένην πόλιν ἢ τὴν νικῶσαν. ὁ μὲν γὰρ Ξενοφῶν φησι, τῶν ἀγαθῶν ἀνδρῶν ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς καὶ διατριβὰς ἀξιομνημόνευτον· ὀρθῶς λέγων. ἔστι δὲ οὐχ ἧττον ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν ἃ παρὰ τὰς τύχας πράττουσι καὶ λέγουσι διευσχημονοῦντες. ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα, καὶ ξένων οὖσα μεστή. γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δ' ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. οἱ δὲ ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα, καὶ τὴν ἀρχὴν ἀπολωλέκασι, οὔτε χορὸν ἐξελθεῖν εἴασαν, οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν· ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες, αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν, ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους· οἱ δὲ τῶν σωζομένων

ὥσπερ

Spartiatarum fortissimi quique. In quibus Cleonymum Sphodriæ aiunt illum formosum, quum ter ante regis pedes concidisset, totiesque erexisset se, cum Thebanis pugnantem occubuisse.

Hac ictis inexpectata clade Lacedæmoniis, & Thebanis secunda ad gloriam fortuna usis, qualis certantibus contra Græcos Græcis nulla obtigerat alia, nihilo minus commendares & admirareris victæ civitatis quam victricis virtutem. Quippe habere Xenophon ait bonorum virorum vel per vinum & ludum missas voces jocosque aliquid memoratu dignum; & recte dicit. Est vero non minus, immo magis operæ pretium contemplari & perpendere bonorum virorum in dictis & factis reflante fortuna decoram constantiam. Forte festum diem agitabat ea civitas, & peregrinis referta erat. Nam ludi gymnici edebantur certantibus in theatro choris, quum ex Leuctris nuntii cladis adfuerunt. Ibi Ephori, quamvis illico perspicuum foret actum de summa rerum, & amissum esse imperium, neque egredi chorum permisere, neque formam immutari a civitate festi: verum missis domum cæsorum ad propinquos nominibus, ipsi ludos & certamen chororum curaverunt. Postridie mane quum jam omnibus constaret, qui incolumes essent & qui occubuissent, defunctorum genitores affines & propinqui in forum descendere, consalutantes inter se vultu exporrecto, animoque erecto & hilari: superstitum vero necessarii, sicut

in

ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἴκοι διέτριβον. εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι, τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης, κατηφῆ καὶ σιωπηλήν· τὰς δὲ τῶν πεπτωκέναι λεγομένων, ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας, καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς Ἐπαμεινώνδας καὶ μεγαλοφρονῶν ἐμβαλεῖν εἰς Πελοπόννησον, ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε, πρὸς τὴν χωλότητα τοῦ Ἀγησιλάου, καὶ δυσθυμία πολλὴ, καὶ πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες, εἵλοντο χωλὸν καὶ πεπηρωμένον· ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν καὶ δόξαν, οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ τῶν κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀπορειῶν ἰατρῷ καὶ διαιτητῇ, τοῖς ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας προσάγειν, πολλοῖς οὖσι καὶ δυνατοῖς, φοβούμενοι νεωτερισμὸν ἀπ' αὐτῶν. οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι. παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων· οἱ δὲ καρτεροῦσι περιιόντες αὐχμηροὶ καὶ ταπεινοὶ, τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φοροῦσι, καὶ ξυροῦνται μέρος τῆς ὑπήνης, μέρος δὲ τρέφουσι. δεινὸν οὖν

ἦν

in luctu, cum fœminis domi se continuerunt. Si quem necessitas in publicum subigeret prodire, eum & habitu & voce & obtutu demissum videres contractumque. Multo magis inter mulieres cernere & audire erat hanc, quæ salvum filium ex prœlio exspectabat, mœstam & tacitam: illas vero, quarum periisse dicebantur liberi, publice in sacris ædibus versantes, hilariterque se mutuo & celso animo invisentes.

Verum enimvero plebi, ut socii descivere, victorque Epaminondas & successu sublatus invasurus exspectabatur Peloponnesum, oracula recurrerunt in mentem de Agesilai claudicate, atque ingens perculit eam mœstitia religioque, quasi respub. ideo afflicta esset, quod rectum regno dejecissent, claudum vero luxatumque legissent: quod Deus ipsos imprimis erudierat perpendere & devitare. Verum propter opes ejus alias virtutemque & nomen, non modo rege & imperatore in re bellica, verum etiam civilium difficultatum usi eo sunt medico & arbitro: quum dubitarent illis qui ex acie fugerant, quos Laconica voce trepidantes denotante appellant, quod multi & potentes forent, veriti ne quid novarent, legitimas inurere ignominias. Non tantum enim omnibus arcentur honoribus, sed & uxorem illorum alicui collocare, aut accipere probrosum est ab illo. Pulsandi eos quivis, qui in eos inciderit, jus habet. Illi vero tolerant squallidi & demissi, circummeantes in lænis pannosis colore infectis. Barbam in mento partim radunt, partim promittunt. Tales

pro-

ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλούς, οὐκ ὀλίγων δεομένους στρατιωτῶν. καὶ νομοθέτην αἱροῦνται τὸν Ἀγησίλαον. ὁ δὲ μήτε προσθείς τι, μήτε ἀφελών, μήτε μεταγράψας, εἰσῆλθεν εἰς τὸ πλῆθος τῶν Λακεδαιμονίων· καὶ φήσας ὅτι τοὺς νόμους δεῖ σήμερον ἐᾶν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίους εἶναι πρὸς τὸ λοιπόν, ἅμα τούς τε νόμους τῇ πόλει καὶ τοὺς ἄνδρας ἐπιτίμους ἐφύλαξε. βουλόμενος δὲ τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν, καὶ μάχην μὲν ἰσχυρῶς ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις, ἑλὼν δὲ πολίχνην τινὰ τῶν Μαντινέων, καὶ τὴν χώραν ἐπιδραμών, ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν, ὡς οὐ παντάπασιν ἀπεγνωσμένην.

Ἐκ δὲ τούτου παρῆν εἰς τὴν Λακωνικὴν ὁ Ἐπαμεινώνδας μετὰ τῶν συμμάχων, οὐκ ἐλάττονας ἔχων τετρακισμυρίων ὁπλιτῶν. πολλοὶ δὲ καὶ ψιλοὶ καὶ ἄοπλοι πρὸς ἁρπαγὴν συνηκολούθουν· ὥστε μυριάδας ἑπτὰ τοῦ σύμπαντος ὄχλου συνεισβαλεῖν εἰς τὴν Λακωνικήν. ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων ἀφ' οὗ κατῴκουν τὴν Λακεδαίμονα Δωριεῖς. ἐν δὲ τούτῳ ἅπαντι, τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δὲ οὐδεὶς ἐτόλμησεν· ἀλλὰ ἀδῄωτον καὶ ἄθικτον οὖσαν ἐμβαλόντες ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος. ὁ γὰρ Ἀγησίλαος οὐκ εἴα πρὸς τοσοῦτον, ὥς φησι Θεόπομπος, ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους, ἀλλὰ τὰ μέσα τῆς πόλεως καὶ κυριώτατα τοῖς ὁπλίταις περισπειράμενος, ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν Θηβαίων,

projicere multos in civitate, quæ non paucos quæreret milites, grave erat. Ita legislatorem Agesilaum creant. Ille nulla litera nec adjecta nec detracta nec correcta, in concionem Lacedæmoniorum progressus, sinendum ait leges illo die dormire, atque ex eo vim suam recipere in posterum. Itaque simul & civitati leges, & civibus illis conservavit famam. Cum autem cuperet præsentem consternationem & mœstitiam juventuti detrahere, incursavit Arcadiam. Signa quidem enixe declinavit conferre cum hostibus: sed oppidulum quoddam Mantineorum cepit, finesque depopulatus, erectiorem spe ac lætiorem reddidit civitatem, quasi non undequaque deploratam.

Sub hæc irrupit Epaminondas cum sociis in Laconiam. Habebat sub signis armatos non minus quadraginta millia, frequentes etiam levium armorum & inermes prædandi causa sequebantur castra, ut universum agmen, quod invasit in Laconiam, millia septuaginta efficeret. Spatium erat autem non minus sexcentorum annorum, quo Lacedæmonem Dorii tenuerant. Toto hoc intervallo hostis tum primum est in finibus eorum conspectus. Ante ausus id fuerat nemo, sed integros atque intactos incursantes igne populationibusque usque ad Eurotam & urbem fœdavere, neque arma contra tulit quisquam. Neque enim permisit Agesilaus cum tantis (ut Theopompus tradidit) belli fluctibus & undis Lacedæmonios luctari: verum media ac præcipua urbis loca armis stipavit, Thebanorumque minas & jactantiam

ων, προκαλουμένων ἐκεῖνον ὀνομαστὶ, καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων, ὃς τῶν κακῶν αἴτιός ἐστιν, ἐκκαύσας τὸν πόλεμον. οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν Ἀγησίλαον οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαὶ τῶν πρεσβυτέρων δυσανασχετούντων τὰ γινόμενα, καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν πρός τε τὴν κραυγὴν καὶ τὸ πῦρ τῶν πολεμίων. ἠνία δὲ καὶ τὸ τῆς δόξης αὐτὸν, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν καὶ δυνατωτάτην, ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα, καὶ τὸ καύχημα κεκολουμένον, ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις, εἰπὼν ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. λέγεται δὲ καὶ Ἀνταλκίδας, Ἀθηναίου τινὸς ἀμφισβητοῦντος ὑπὲρ ἀνδρείας πρὸς αὐτὸν, καὶ εἰπόντος, ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν, ὑποτυχεῖν, ἀλλ' ἡμεῖς γε οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα. παραπλησίως δὲ καὶ πρὸς τὸν Ἀργεῖον ἀπεκρίνατο τῶν ἀσημοτέρων τὶς Σπαρτιατῶν. ὁ μὲν γὰρ εἶπε, πολλοὶ ὑμῶν ἐν τῇ Ἀργολίδι κεῖνται· ὁ δὲ ἀπήντησεν, ὑμῶν δέ γε οὐδεὶς ἐν τῇ Λακωνικῇ.

Ἔνιοι μέντοι τὸν Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα τοὺς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι, περίφοβον γενόμενον. ὁ δὲ Ἀγησίλαος, ἐπιχειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων, καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ, παρετάξατο πρὸ τῶν μέσων καὶ ὑψηλῶν. ἐρρύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων· καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγίνετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμεινώνδαν ἐδείκνυσάν τινες

τῷ

tantiam tulit, nominatim se, sicut facem belli & horum autorem malorum, lacessentium, ac de solo jubentium decernere. Nec minus quam hæc obtundebant Agesilaum urbani tumultus, clamores & discursus, quum senes æstuarent præsenti fortuna, nec conquiescere fœminæ possent, sed prorsus amentes ad clamores & incendium hostile circumferrentur. Mordebat insuper eum gloriæ suæ macula, quod quam civitatem acceperat maximam & potentissimam, ejus aspiceret contractam dignationem, eamque magniloquentiam repressam, qua ipse quoque usus fuerat subinde, quum gloriaretur fœminam Lacænam fumum non vidisse hostilem. Fertur Antalcidas quoque Atheniensi cuidam de virtute secum ambigenti, quum dixisset ille, Atqui nos sæpe à Cephiso vos fugavimus, occurrisse, Nos vero ab Eurota vos nunquam. Argivo item respondit quidam ex obscurioribus Spartiatis, quum ille dixisset, Multi in Argolide vestrates jacent: At vestras in Laconia jacet nemo.

Tunc autem Antalcidam, qui Ephorus erat, fama est liberos præ metu clam in Cytheram deportasse. At Agesilaus, quum aggrederentur amnem transmittere hostes, atque ad urbem perrumpere, desertis cæteris partibus pro mediis & editioribus instruxit aciem. Eurotas tunc ob præcedentes nives longe copiosissimam vim aquæ vehebat, undaque Thebanis ex gelu quam ex asperitate molestior duriorque erat transitu. Incedentem in prima acie ostenderunt quidam Epaminondam

Age-

τῷ Ἀγησιλάῳ κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ, καὶ συμπαραπέμψας τὴν ὄψιν, οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν, ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου. ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας, πάλιν ἐπόρθει τὴν χώραν· ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν, ὡς διακόσιοι, συστραφέντες, κατελάβοντο τὸ Ἰσώριον, οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, ὀχυρὸν καὶ δυσεκβίαστον τόπον. ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος, ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν· αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν, ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν, οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον) τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. οἱ δὲ ἀκούσαντες ἥσθησαν, οἰόμενοι λανθάνειν· καὶ διαστάντες ἐπὶ τοὺς τόπους, οὓς ἐκεῖνος ἐκέλευσεν, ἀπεχώρουν. ὁ δὲ τὸ μὲν Ἰσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους κατέσχε· τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκα τινὰς συλλαβὼν, νυκτὸς ἀπέκτεινεν. ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν, ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων· οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ, καὶ περιορᾶν ἐπιβουλεύοντας. ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον Σπαρτιατῶν. ἐπεὶ δὲ πολλοὶ τῶν τεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπε-

Agesilao, qui (ut fama tenet) perdiu illum intuitus, aciemque ab eo nusquam deflectens, hoc unum dixit, O hominem magnificum! Quum contenderet autem in urbe Epaminondas pugnam conferere & trophæum excitare, non valuit elicere neque excitare Agesilaum. Itaque movit retro ab urbe exercitum, & agrum depopulatus est. Lacedæmone vero quidam jampridem pravos subdolosque animos gerentes ad ducentos globo facto occupant Hissorium, (Dianæ id templum est) munitum & difficilem expugnatu locum. In quos irruere quum extemplo Lacedæmonii vellent, veritus Agesilaus seditionem, imperat reliquis ut quiescant. Ipse pallio amictus & uno comitatus servo accedit clamans, secus eos edictum accepisse. Neque enim huc coire neque omnes se jussisse, sed partim illuc, ostendens alium locum, partim aliam in partem urbis. Quo audito læti isti suumque facinus latere rati, distracti ad loca quæ ille demonstraverat, discedunt. Hissorio Agesilaus illico accitos alios imposuit. Ex illis qui conspiraverant, ad quindecim corripuit & nocte necavit. Major inde detecta conjuratio, & conciliabulum civium Spartiatarum ad res novandas clam in certas ædes coeuntium, quod & judicio persequi tanto in motu, & connivere insidiantibus anceps erat. Quare deliberatione cum Ephoris habita, Agesilaus & hos quoque indicta causa occidit, quum supplicium de Spartiate ante eam diem, nisi audito, nullo sumptum fuisset. Quia vero multi accolæ & Ilotæ quos centuriaverant in ordi-

ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους, καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι, καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι, χειμώνων γενομένων, καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαρρεῖν ἀτάκτως· οἱ δὲ, τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους, καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας. Θεόπομπος δέ φησιν, ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον ἄνδρα Σπαρτιάτην, παρὰ Ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν· ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι.

Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ᾔσθετο. τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε, πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν, φιλονεικίας καὶ φιλοτιμίας ἀποστὰς, ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πτώματος· ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως, οὐκ ἀλόγως. πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι προσάγοντες ἀρχὰς καὶ δυναστείας βιαίους, ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν.

ordines militares, ex urbe transfugiebant ad hoſtes, quod quidem conſternationis magnæ erat cauſa: apparitoribus ſuis præcepit ut toros diluculo adirent, atque arma eorum qui transfugerant, auferrent, reconderentque, quo numerus in occulto eſſet. Signa moviſſe ex Laconia Thebanos, alii hyeme ſuperveniente compulſos & incipientibus incondite digredi & dilabi Arcadibus aſſerunt: pars tres ſolidos menſes fuiſſe illic moratos, fineſque pene omnes evaſtaſſe. Theopompus autor eſt, quum jam Bœotarchæ moliri inde conſtituiſſent, Phrixum Spartiatem eos aduſſe, mercedemque ab Ageſilao deportandi exercitus decem talenta attuliſſe: ita exequentibus jampridem quæ ſtatuerant ſuppeditatum inſuper ab hoſtibus viaticum.

Id ego haud ſcio qua ratione fefellerit alios, ſolus autem reſciverit Theopompus. Enimvero tunc incolumem ſtetiſſe Spartam omnes aſcribendum fatentur Ageſilao: quod ab inſitis ſibi vitiis diſcedens, pervicacia & ambitione, ſecuritati in rebus agendis ſtuduerit. Potentiam tamen atque autoritatem civitatis nequivit ex illa ruina excitare: ſed ſicut corporis ſalubris, quod victu nimium exquiſito & exacto eſt aſſidue uſum, unum peccatum & momentum felicitatem civitatis totam inclinavit: neque immerito. Siquidem reipub. ad otium, virtutem & concordiam optime inſtitutæ quia imperia & potentatus adhibuerant violentos, quorum nullo arbitratus erat opus eſſe civitati ad beatam vitam Lycurgus, collapſi

σαν. αὐτὸς οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας· Ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ, τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων, ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην. οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. πρότερον μὲν γὰρ οὕτω συνήθες ἡγοῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι, τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς Θεοῖς, πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει, μήτε μεγαληγορεῖν τοὺς ἀγωνιζομένους, μήτε ὑπερχαίρειν τοὺς πυθομένους. ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γενομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν. τότε δὲ τῆς μάχης ἀγγελθείσης, καὶ τοῦ Ἀρχιδάμου προσιόντος, οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτός τε ὁ πατὴρ ἀπήντα δακρύων ὑπὸ χαρᾶς, καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα· τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατῄει, τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης, καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης. ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας, αἰσχυνομένους ἐφ' οἷς ἔπταισαν.

Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὴν Ἐπαμεινώνδαν, καὶ τῶν ἀρχαίων πολιτῶν πανταχόθεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων, οὐδὲ κωλύειν ἐδύναντο· χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάσσονα, ἀλλὰ καὶ πρωτεύου-

σαν

sunt. Porro ipse quidem ob gravem jam ætatem Agesilaus belli munera abdicaverat. Filius ejus Archidamus, accepto ex Sicilia a tyranno auxilio, Arcadas victoria illa appellata incruenta profligavit. Nam nemine de suis desiderato magnam stragem dedit hostium. Detexit præcipue hæc victoria civitatis illius imbecillitatem. Ante enim usque adeo usitatum ducebant & competens ipsis opus, vincere hostes, ut nec immolarent victoriæ causa in urbe Diis, præterquam gallum gallinaceum, nec gloriarentur milites, nec exultarent qui audiebant. Immo vero commissa ad Mantineam pugna, quam descripsit Thucydides, primo victoriæ nuntio magistratus, quod læta attulisset, carnes ex convivio, præterea nihil misere. At hoc nuntiato conflictu, ad Archidami reditum se continuit nemo: sed primus pater manantibus gaudio lacrymis obviam ei processit, & secundum illum magistratus. Senes mulieresque frequentes ad amnem descenderunt, manus ad cœlum porrigentes, Deosque cientes, quasi indignas maculas eluisset Sparta, clarumque denuo lumen oculis hauriret: quando ante eam diem referunt nec viros sustinuisse uxores suas contueri, offensionum suarum rubore.

Quum restitueret Epaminondas Messenem, confluerentque ad eam undique veteres cives, decernere prœlio non audebant, neque valebant prohibere. Indignabantur vero, & infensi Agesilao erant, quod regionem nec amplitudine Laconica angustiorem, & vero etiam longe

σαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες, καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. μὴ βουλόμενος δὲ τῷ λόγῳ προέσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων, καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ Ἐπαμεινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς δυνάμεως καὶ προσιόντα, λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νύκτωρ ἐκ Τεγέας, ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε, παραλλάξας τὸν Ἀγησίλαον, ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησὶ, ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα, μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην. ὀλίγῳ δὲ ὕστερον οἱ Θηβαῖοι διέβαινον τὸν Εὐρώταν, καὶ προσέβαλλον τῇ πόλει, μάλα ἐρρωμένως τοῦ Ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. οὐ γὰρ, ὡς πρότερον, ἀσφαλείας ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας, οὐδὲ χρησάμενος, τότε μόνοις ἀπεώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ Ἐπαμεινώνδου τὴν πόλιν ἐξαρπάσας, καὶ στήσας τρόπαιον, καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδείξας τὰ κάλλιστα τροφεῖα τῇ πατρίδι τοὺς Λακεδαιμονίους ἀποδιδόντας. ἐν δὲ πρώτοις τὸν Ἀρχίδαμον ἀγωνιζόμενον ὑπερηφάνως, τῇ τε ῥώμῃ τῆς ψυχῆς

longe totius Græciæ felicitate primam, quam tenuerant & tanto usurpaverant spatio, sub ejus regno amisissent. Atque hinc oblatam a Thebanis pacem non accepit Agesilaus. Qui quum permittere verbo agrum illum re obtinentibus nollet, sed de eo altercaretur, cum illum non recepit, tum Lacedæmonem insuper pene amisit arte bellica circumventus. Postquam enim Mantinei iterum a Thebanis defecerunt & acciverunt Lacedæmonios, Epaminondas, ubi Agesilaum rescivit cum infesto exercitu ab urbe profectum accedere, imprudentibus Mantineis, nocte ex Tegea vasis conclamatis in ipsam movit Lacedæmonem: ac nihil propius factum est, quam ut præterlatus alia via Agesilaum vacuam caperet urbem. Verum quum Euthynus Thespiensis, ut Callisthenes tradit, ut Xenophon, Cretensis quidam Agesilao rem enuntiasset, præmisso propere equite significavit rem civibus, nec multo post ipse est urbem ingressus. Post aliquanto Thebani superato Eurota urbem oppugnavere, fortissime & supra ætatem propugnante Agesilao. Neque enim securitati, ut ante, & cautioni videbat locum esse, sed magis desperationi & audaciæ. Quibus superiori tempore nunquam fretus vel usus, his in præsentia solis propulsavit periculum, atque erepta ex Epaminondæ manibus urbe, trophæoque excitato, pueris & fœminis ostendit optima nutrimentorum præmia patriæ Lacedæmonios persolvere. Inspexerunt inter primos insigniter certantem Archidamum, qui ani-

ψυχῆς καὶ τῇ κουφότητι τοῦ σώματος ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν, καὶ πανταχοῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς πολεμίοις. Ἰσάδαν δὲ τὸν Φοιβίδου υἱὸν, οὐ τοῖς πολίταις μόνον ἀλλὰ καὶ τοῖς πολεμίοις θέαμα φανῆναι καλὸν καὶ ἀγαστόν. ἦν μὲν γὰρ ἐκπρεπὴς τὸ εἶδος, καὶ τὸ μέγεθος τοῦ σώματος, ὥραν δὲ, ἐν ᾗ τὸ ἥδιστον ἀνθοῦσιν ἄνθρωποι παριόντες εἰς ἄνδρας ἐκ παίδων, εἶχε· γυμνὸς δὲ καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων, λίπα χρισάμενος τὸ σῶμα, καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην, τῇ δὲ ξίφος, ἐξήλατο τῆς οἰκίας, καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος, ἐν τοῖς πολεμίοις ἀνεστρέφετο, παίων τὸν προστυχόντα καὶ καταβάλλων. ἐτρώθη δὲ ὑπ' οὐδενὸς, εἴτε Θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτὸν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτὸν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

Ὀλίγαις δὲ ὕστερον ἡμέραις περὶ τὴν Μαντίνειαν ἐμαχέσαντο, καὶ τὸν Ἐπαμεινώνδαν, ἤδη κρατοῦντα τῶν πρώτων, ἔτι δὲ ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν, Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε, δόρατι μὲν, ὡς Διοσκουρίδης ἱστόρηκε· Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν φόβῳ τοῦ Ἐπαμεινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, τῷ δὲ γένει ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων. μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ

animi vi & corporis agilitate citate per vias eo ubi laborabatur in pugna pervolavit, omnibusque locis hosti cum paucis se objecit. Isadam etiam Phœbidæ filium hostibus, nedum civibus, præclarum aiunt visum & admirandum spectaculum: quippe corporis erat eximia forma & proceritate; ætate, qua gratissime efflorescunt homines, quum ex pueris transeunt in viros. Nudus autem, quibus tegeret se, tum armis tum vestibus, quum unxisset corpus oleo, una manu lanceam, altera gladium tenens projecit se in publicum. Via per medios facta pugnantes, conjecit se inter hostes, obvium quemque feriens & prosternens. Vulneratus fuit a nemine, sive Deus ob virtutem tutelam ejus egit, sive amplior homine & augustior hostibus est visus. Hujus rei gratia Ephoros fama est corona eum donasse: mox, quod sine armis fuisset decertare ausus, mille drachmarum mulctam ei dixisse.

Paucis post diebus ad Mantineam dimicatum est. Ibi Epaminondam dum prima jam acie fusa instat atque urget consectationem hostium, Anticrates Lacon excipiens lancea (ut scriptum reliquit Dioscorides) ferit. Verum Lacedæmonii Machærionas etiam hac ætate Anticratis nepotes nominant, quod percussserit illum machæra. Adeo enim eum suspexere & amplexi sunt præ vivi formidine Epaminondæ, ut honores illi ac præmia decernerent, & stirpi ejus immunitatem: quam nostra quoque memoria Callicrates obtinet unus ex Anticratis sobole. Sub prœlium & lethum E-

τοῦ Ἐπαμεινώνδου, γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὐτούς, ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου τοὺς Μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. ἐπεὶ δὲ οἱ λοιποὶ πάντες ἐδέχοντο, καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν, ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν. βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς καὶ πολέμων ἄπληστος ὁ Ἀγησίλαος εἶναι, τὰς μὲν κοινὰς διαλύσεις πάντα τρόπον ὑπορύττων καὶ ἀναβάλλων, πάλιν δὲ ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις, καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τοῦτο περιήκοντι τῷ καιρῷ, καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοσαύτην γενομένην ἀφεικότα, καὶ πόλεις καὶ γῆν καὶ θάλατταν, ὑπὲρ τῶν ἐν Μεσσήνῃ κτημάτων καὶ προσόδων σφαδάζειν.

Ἔτι δὲ μᾶλλον ἠδόξησε, Τάχῳ τῷ Αἰγυπτίῳ στρατηγῷ ἐπιδοὺς ἑαυτόν. οὐ γὰρ ἠξίουν ἄνδρα τῆς Ἑλλάδος ἄριστον κεκριμένον, καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην, ἀποστάτῃ βασιλέως ἀνθρώπῳ βαρβάρῳ χρῆσαι τὸ σῶμα, καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπραττόμενον. εἰ γὰρ ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη, καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος, ἐκείνην αὖθις ἀνεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν ὑπὲρ τῆς Ἑλλήνων ἐλευθερίας, οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὥραν καὶ τὴν φιλοτιμίαν. τοῦ γὰρ καλοῦ καὶ καιρὸν δεῖ οἰκεῖον εἶναι καὶ ὥραν, μᾶλλον δὲ ὅλως τὰ καλὰ τῶν αἰσχρῶν τῷ μετρίῳ διαφέρειν. οὐ

μὴν

Epaminondæ, pace inter Græcos sancita, a jurejurando Agesilaus Messenios, quasi oppido carerent, summovit: quos ubi cæteri omnes admisere, & sacramentum ab iis accepere, discesserunt à fœdere Lacedæmonii, solique in armis spe Messenem recipiendi mansere. Quare violento ingenio & præfracto habitus est & belli insatiabili cupiditate Agesilaus, qui commune fœdus omnibus nervis interpellaret prolataretque: ex altera parte ob rei pecuniariæ difficultatem solicitare amicos urbanos, æs alienum accipere, & cogere à civibus necesse haberet pecuniam; quum oportuisset illis se malis extricare, quando eo tempus reciderant, nec quum totum imperium, quod fuerat tam grande terra marique, urbesque de manibus emisisset, de possessionibus & vectigalibus discruciari Messenicis.

Longe etiam gravius improbatus est, quod duci Ægyptio se Tacho dedidisset. Indignum enim censuerunt illum virum, qui totius Græciæ numerabatur primus, laudibusque suis orbem terræ impleverat, homini barbaro, qui defecerat à rege, corpus suum commodare, nomenque & gloriam addicere argento, munus obeuntem mercenarii, ac militum ducis conductitiorum. Quod si ille qui annis major octoginta erat, & corpore vulneribus conciso, honestam illam denuo pro Græciæ libertate & inclitam suscepisset provinciam; haud vacaret undequaque reprehensione intempestiva id ætatis ambitio ejus. Honesti enim etiam tempus congruum & ætatem decet esse. Quinimo distant solo modo a turpibus honesta. Horum

rum

μὴν ἐφρόντιζε τούτων ὁ Ἀγησίλαος, οὐδὲ ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν, ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτον ἐν τῇ πόλει, καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον. ὅθεν ἀθροίσας μισθοφόρους, ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε, καὶ πλοῖα πληρώσας ἀνήχθη, τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ Σπαρτιάτας, ὡς πρότερον. ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν, θεραπεύοντες αὐτόν. ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου· καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει· καὶ λέγειν ὅτι τοῦτο ἦν τὸ μυθολογούμενον, ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε ξενίων προσκομισθέντων καὶ προσαχθέντων, ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο· καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων, ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας. τῇ μέντοι στεφανωτρίδι βίβλῳ φησὶν αὐτὸν ἡσθέντα Θεόφραστος, διὰ τὴν λιτότητα τῶν στεφάνων, αἰτήσασθαι καὶ λαβεῖν, ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως.

Τότε δὲ συμμίξας τῷ Τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μι-

rum tamen morabatur Agesilaum nihil, neque præter dignitatem ullum munus publicum, at socordem domi vitam exigere, & residem exspectare mortem, id potius arbitrabatur se indignum. Itaque eo stipendio quod sibi miserat Tachus, mercenarium militem conscripsit, completisque navibus atque adjunctis consiliariis Spartianis, ut ante, triginta, vela fecit. Ut in Ægyptum est delatus, mox principes præfectorum & procuratorum regiorum ei honoris causa occurrerunt descendenti. Fuit item aliorum Ægyptiorum ob Agesilai nomen & claritudinem ingens studium & exspectatio, concurreruntque ad eum spectandum cuncti. Ut vero splendorem vel apparatum circa eum nullum conspexere, tantum senem in herba ad littus decumbentem, incomptum corpore & pusillum, horrido & obsoleto amictum pallio, libuit illis irridere eum & illudere, atque dicere hanc illam demum fabulam esse, Parturire montem, mox murem nasci. Multo magis etiam insulsitatem ejus sunt mirati, quum hospitalibus muneribus allatis & adductis, farinam, vitulos, & anseres accepit: bellaria, cupedias, unguenta rejecit. Quum illi instarent precarenturque ut admitteret ea, ad Ilotas ferri ea atque his jussit dari. Papyro coronaria tamen delectatum ob coronarum simplicitatem scribit Theophrastus, eamque in discessu petiisse & accepisse ab rege.

Ibi, postquam cum Tacho se in belli apparatu occupato conjunxit, non pro spe sua totius exercitus ad eum delatum imperium est, sed

μισθοφόρων μόνων· τοῦ δὲ ναυτικοῦ, Χαβρίας ὁ Ἀθηναῖος, ἡγεμὼν δὲ συμπάντων αὐτὸς ἦν ὁ Τάχως. καὶ τοῦτο πρῶτον ἠνίασε τὸν Ἀγησίλαον· ἔπειτα τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ Αἰγυπτίου βαρυνόμενος ἠναγκάζετο φέρειν· καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας αὐτῷ, παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρις οὗ καιρὸν ἔλαβε. Νεκτάναβις γὰρ ἀνεψιὸς ὢν τῷ Τάχῳ, καὶ μέρος ἔχων ὑφ᾽ ἑαυτῷ τῆς δυνάμεως, ἀπέστη· καὶ βασιλεὺς ὑπὸ τῶν Αἰγυπτίων ἀναγορευθεὶς, διεπέμπετο πρὸς τὸν Ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν. τὰ δ᾽ αὐτὰ καὶ τὸν Χαβρίαν παρεκάλει, μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. αἰσθομένου δὲ ταῦτα τοῦ Τάχω, καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν Χαβρίας ἐπειρᾶτο καὶ τὸν Ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ Τάχω πείθων καὶ παραμυθούμενος κατέχειν· ὁ δὲ Ἀγησίλαος εἶπεν, ὅτι σοὶ μὲν, ὦ Χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σεαυτοῦ λογισμοῖς ἔξεστιν· ἐγὼ δὲ ὑπὸ τῆς πατρίδος ἐδόθην Αἰγυπτίοις στρατηγός. οὔκουν ἂν ἔχοιμι καλῶς οἷς ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ. ταῦτα δ᾽ εἰπὼν ἔπεμψεν εἰς Σπάρτην ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορεῖν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. ἔπεμψαν δὲ κἀκεῖνοι, δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δὲ, ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι, τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς, Ἀγησιλάῳ περὶ τούτων μελήσειν· ἐκείνῳ δὲ ἀπέστειλαν, ὁρᾶν κελεύοντες ὅπως πράξῃ τὸ τῇ Σπάρ-

τῃ

ſed mercenariorum tantum, claſſi autem Chabrias Athenienſis eſt præfectus, ſummæ vero rerum ipſe præfuit Tachus. Id primum Ageſilaum male habuit. Deinde reliqua Ægyptii inſolentia & vanitate fatigatus, ferre tamen eam cogebatur, ac comitatus eſt navigantem in Phœniciam, præter dignitatem ſuam & ingenium obſecundans illi, atque imperans ſibi, dum eſt ei oblata occaſio. Nectanabis enim Tachi patruelis, qui partem copiarum ductabat, defecit ab eo, ac rex ab Ægyptiis renuntiatus, miſſis ad Ageſilaum legatis petiit ut ſibi veniret auxilio. Idem egit apud Chabriam, magna præmia utrique oſtendens. Ea quum Tachus odoratus præberet ſe illis ſupplicem, Chabrias Ageſilaum conſolando & leniendo retinere in amicitia Tachi ſtuduit. Cui Ageſilaus, Tibi Chabria, inquit, qui ſponte tua huc veniſti, tuo utendi conſilio facultas eſt: ego a patria datus ſum Ægyptiis dux. Quare improbe fecero, ſi ad quos miſſus ſocios ſum, hos impugnem, niſi aliud imperet patria. Ita fatus certos Spartam ablegavit, qui Tachum inſectarentur & commendarent Nectanabim. Miſerunt illi quoque oratum Lacedæmonios: hic ut jampridem ſocius & amicus; ille ut ſtudioſum ſe & promptiorem erga civitatem Lacedæmoniorum præbiturus. Lacedæmonii auditis Ægyptiis propalam reſponderunt, Ageſilao eam rem curæ fore: cæterum illi per literas mandaverunt, ageret quod e

re-

τῇ συμφέρειν. οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος, ἀπὸ τοῦ Τάχω μετέστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος. ἐπεὶ ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης, τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες, οὔτε μανθάνουσιν οὔτε ἐπίστανται δίκαιον ἄλλο, πλὴν ὃ τὴν Σπάρτην αὔξειν νομίζουσιν.

Ὁ μὲν οὖν Τάχως ἐρημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι, βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν δέκα μυριάδας, ἐπῄει. θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον, καὶ λέγοντος ὅτι πολλοὶ μέν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι, καὶ δι᾽ ἀπειρίαν εὐκαταφρόνητοι· καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν, ὁ Ἀγησίλαος εἶπεν, ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν, ὡς δυσεξαπάτητον. αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις· ὁ δὲ μὴ προσδοκῶν μηδὲ ὑπονοῶν μηδὲν, οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβὴν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν, ὁ μὴ κινούμενος. ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι, καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν, ἀπεχώρησεν εἰς πόλιν

repub. foret. Ita abductis mercede militantibus Agesilaus transiit a Tacho ad Nectanabim, absurdo & indigno facinori commodum prætexens patriæ: quando hoc quidem velamento detracto nomen istius facti verissimum erat proditio. Lacedæmonii autem primam honesti partem reipub. rationibus tribuentes, neque discunt neque sciunt quicquam justi, nisi quod amplificaturum Spartam putant.

Ita desertus a mercenario milite Tachus, fugæ se mandavit. Inde alius Mendesius rex declaratus insurrexit in Nectanabim, contractisque centum hominum millibus infestus imminebat. Agesilaus, quum Nectanabis eum confirmaret, allegaretque numerosos quidem hostes esse, sed collectitios & opifices, atque ut tyrones floccipendendos, at non horum numerum, inquit, horreo, verum ruditatem & inscitiam, ut quæ imposturis non sit opportuna: quippe doli hos, qui suspicaces & prævidentes moliuntur occurrere, præter opinionem circumveniunt: nihil qui prævidet, neque suspicatur, hic non dat captanti ansam; sicut nec luctanti momentum ille qui stat immotus. Hinc Mendesius quoque per legatos Agesilaum solicitavit. Unde cœpit Nectanabis metuere. Atque ubi ille quam primum fuit autor ut prœlio decerneret, nec diuturnitate cum hominibus bellaret, qui essent quidem belli rudes, sed multitudine circumvenire, circumvallare, prævertere multa & præoccupare valerent: multo magis eum suspectans & formidans, in urbem secessit

πόλιν εὐερκῆ καὶ μέγαν ἔχουσαν περίβολον. ὁ δὲ Ἀγησίλαος ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν· αἰσχυνόμενος δὲ καὶ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον καὶ τελέως ἀπελθεῖν ἄπρακτος, ἠκολούθησε, καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ Αἰγύπτιος ἐβούλετο μάχεσθαι, καὶ τοὺς Ἕλληνας μάλα συμπροθυμουμένους εἶχεν· οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. ὁ δὲ Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων, ἤκουε μὲν ἔτι μᾶλλον κακῶς ἢ πρότερον ὑπὸ τῶν Αἰγυπτίων, καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως. ἔφερε δὲ πραότερον ἤδη τὰς διαβολάς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. ἦν δὲ τοιόνδε. τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν, ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος, ἀπαντῶντος αὐτῷ καὶ περιιόντος ἐν κύκλῳ τὴν πόλιν, ἑσπέραν ἀναμείνας γενέσθαι, καὶ κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας, ἐλθὼν πρὸς τὸν Αἰγύπτιον, ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι μὴ βουλόμενος, οὐκ ἔφραζον πρὶν ἐλθεῖν. ἐπεὶ δὲ ὑμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι, τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδών ἐστι τοῦ πλήθους, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτούς, φέρε, νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι, καὶ μεθ' ἡμῶν ἐπισπώμενος δρόμῳ, σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν. ἡμᾶς γὰρ οἱ μὲν

κατὰ

cessit firmis & amplis loricatam mœnibus. Indignatus est Agesilaus fidem sibi non haberi, idque tulit moleste: sed quia erubescebat alteram de integro defectionem inire, & re nulla gesta discedere, sequutus illum est, & cum eo inclusit se muris.

Ingruentibus hostibus, urbemque circumvallantibus, timens denuo obsidionem Ægyptius, statuit prœlio decernere. Idem flagitantes habebat Græcos, quia difficultas annonæ in oppido erat. Quod ubi non permisit Agesilaus, sed impedivit, multo jam pejus quam nuper apud Ægyptios audivit, ac proditor regis appellatus est. Ferebat tamen jam æquiore animo calumnias, intentusque in occasionem erat doli nectendi. Is fuit hujuscemodi: Fossam hostes foris altam circumducebant muro, ut undequaque eos includerent. Ubi fossæ in se recurrentis & ambientis in orbem oppidum pene conjunctæ extremitates fuerunt, exspectavit tenebras; jussisque arma capere Græcis profectus ad Ægyptium, Tempus adolescens, inquit, salutis hoc est: quod ego, ne corrumperem id, non ante declaravi quam venisset. Quia vero ipsi nobis hostes suis manibus securitatem paraverunt tanta ducta fossa, cujus quod est absolutum, illorum est multitudini obstaculo, quod est intermissum copiam faciet pari numero & justo modo cum iis dimicandi: Age nunc, præsta te virum fortem, nosque cursu sequens serva temetipsum & exercitum. Neque enim

frons

κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομένουσιν, οἱ δὲ ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν. ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα, καὶ θεὶς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα, καὶ προσπεσὼν, ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καθάπερ πάλαισμα τοῖς πολεμίοις. τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δὲ ἀντιπεριχωρῶν, ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραρρέουσαν. ὧν τὸ μέσον ἐμφράξας, καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος, οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνῃρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διερρύησαν.

Ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος, ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν Ἀγησίλαον. ὁ δὲ ὥρμητο πρὸς τὸν οἴκοι πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. χειμῶνος δὲ ὄντος, ἤδη τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ, καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς, ὃ καλοῦσι Μενελάου λιμένα, ἀποθνήσκει· βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ τῆς Σπάρτης, ἑνὶ τῶν τεσσαράκοντα

τα

frons nos sustinebit hostium, & cæteri impediti fossa non lædent. Nectanabis igitur solertiam Agesilai admiratus est: atque inter media Græcorum arma sese collocans, in hostes ruit, pepulitque facile eos qui ipsum exciperent. Ut autem semel fidem accepit apud Nectanabim Agesilaus, eadem fallacia tanquam lucta hostes adortus est. Modo enim subterfugiens attrahensque illos, modo infestis signis huc illuc movens, colluviem eam conjecit in molem, quæ altas habebatincilles, quibus ex utraque parte præterfluebat aqua. Hujus obstructo medio & fronte aciei suæ occupato, æquavit numero hostes, qui manus erant conserturi, ademitque eis circumcurrendi & circumfundendi se facultatem. Itaque quum non diu restitissent, profligati sunt. Multi cecidere. Alii fuga dispersi & dilapsi.

Ex eo Ægyptii res in bono & stabili ad securitatem statu fuere. Contendit hic ab Agesilao, amice & ambitiose, ut subsisteret ibi, secumque hybernaret. Verum festinavit ille ad bellum domesticum, certus rempub. suam ærarii inopia laborare, & externum militem alere. Igitur honorifice & munifice illum prosequutus, præter alios honores & munera, ad bellum domesticum argenti ducenta triginta talenta ei donavit. Porro tempestate per hyemem orta, quum terram jam navibus teneret, in ora Africæ delatus ad locum desertum, quem Menelai portum nuncupant, decessit; postquam annos vixit quatuor & octogінta, Lacedæmone regnasset unum supra quadragin-

τα πλέον, καὶ τούτων ὑπὲρ τετταράκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος, καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς, ἄχρι τῆς ἐν Λεύκτροις μάχης. ἔθους δὲ ὄντος Λακωνικοῦ, τῶν μὲν ἄλλων ἐπὶ ξένης ἀποθανόντων, αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μέλιτος οὐ παρόντος, ἀπῆγον εἰς Λακεδαίμονα. τὴν δὲ βασιλείαν Ἀρχίδαμος ὁ υἱὸς αὐτοῦ παρέλαβε, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος, ὃν ἐπιχειροῦντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν, ἀπέκτεινε Λεωνίδας, πέμπτον ἀπ' Ἀγησιλάου γεγονότα.

ta: ex quibus amplius triginta maximus & potentiſſimus fuit, totiuſquè pene Græciæ imperator & rex uſque ad pugnam Leuctricam habitus. Moris erat Laconici, aliorum peregre defunctorum ibidem corpora funerare & relinquere, ſed regum domum referre. Ita comites Ageſilai Spartiatæ mellis penuria cadaver ejus cera colliquata circumfuſum Lacedæmonem reportaverunt. Filius ejus Archidamus accepit regnum, quod in eodem genere permanſit ad Agim uſque, quem parantem vetera reducere inſtituta, quintum ab Ageſilao, Leonidas interemit.

Tho: Sadler: R.

ΠΟΜΠΗΙΟΣ.

ΠΡΟΣ δὲ Πομπήϊον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα, σωθεὶς ὑπ' αὐτοῦ, καὶ λέγων,

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν Πομπηΐου πατέρα Στράβωνα, ζῶντος μὲν αὐτοῦ φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν (ἦν γὰρ ἀνὴρ πολεμικώτατος) ἐπεὶ δὲ ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες· οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν, ἢ θᾶσσον ἀρξαμένην, ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν, ἢ πταίσαντι παραμείνασαν βεβαιότερον, ἄλλος ἔσχε Ῥωμαίων ἢ Πομπήϊος. αἰτία δὲ τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία· τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθα-

Populi Romani mox ab initio eundem in Pompeium animum apparet fuiſſe, qui in Herculem apud Æſchylum fuit Promethei: cujus ab eo conſervati hæc verba ſunt,

Chariſſima infenſiſſimi proles patris.

Neque enim odium extitit populi Romani adverſus ducem alium adeo grave & ſævum, ut adverſus parentem Pompeii Strabonem. Cujus paventes in armis vim (fuit enim bellator fortiſſimus) poſtquam fulmine ictus exſpiravit, corpus ejus, dum exportatur, ex lecto detraxere, atque omni ignominia affecere. Neque ſtudium verſa vice ardentius, vel maturius ortum, vel una cum ſucceſſibus ejus magis efflореſcens, vel in rebus ejus adverſis conſtantius Romanorum quam Pompeius habuit ullus. Odii cauſa illi una, inexplebilis pecuniæ cupiditas fuit: huic, cur diligeretur, multæ; vitæ temperantia, rei militaris exerci-

θανότης λόγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπηρότερον δεηθῆναι, μηδὲ ἥδιον ὑπουργῆσαι δεομένῳ. προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος, καὶ τὸ σεμνὸν λαμβάνοντος.

Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνδημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. τὸ γὰρ ἐράσμιον, ἀξιωματικὸν ἦν φιλανθρώπως, καὶ τῷ νεαρῷ καὶ ἀνθοῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα, καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης, τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην ἢ φαινομένην ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας. ᾗ καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφυγεν ὁ Πομπήϊος· ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους ἤδη καλεῖν Ἀλέξανδρον. διὸ καὶ Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικὸς, συνηγορῶν αὐτῷ, μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ Φίλιππος ὢν, φιλαλέξανδρός ἐστι. Φλώραν δὲ τὴν ἑταίραν ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς τὸν Πομπήϊον ὁμιλίας, λέγουσαν ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην ἀδήκτως ἀπελθεῖν. πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν, ἐπιθυμῆσαι τινὰ τῶν Πομπηΐου συνήθων αὐτῆς Γεμίνιον, καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα· αὐτῆς δὲ φαμένης οὐκ ἂν ἐθελῆσαι διὰ Πομπήϊον, ἐκεῖνῳ τὸν Γεμίνιον διαλέγεσθαι· τὸν οὖν Πομπήϊον ἐπιτρέψαι μὲν τῷ Γεμινίῳ, μηκέτι δὲ αὐτὸν ἅψασθαι τὸ παράπαν, μηδὲ ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα. τοῦτο δὲ αὐτὴν οὐχ ἑταιρικῶς ἐνεγ-

citatio, facundia in dicendo, fides morum, comitas in conveniendo: cum quidem nemo eſſet, qui vel æquiori animo peti abs ſe aliquid pateretur, vel libentius petitionibus ſatisfaceret. Oſtendebat enim in dandis beneficiis ſerenitatem, & gravitatem in accipiendis.

Vultu initio præditus fuit non mediocriter gratioſo, quæ præveniebat ejus orationem. Erat enim aſpectus amabilis & blandus, ſed qui aliquid tamen haberet gravitatis; atque in vigore floreque juventutis ſenilis elucebat veneranda & regia majeſtas. Tum modice rejecta coma, oculorumque lenis modulatio reddebat faciei ejus uſurpatam magis ſermonibus quam repræſentatam cum Alexandri regis ſtatuis ſimilitudinem: ob quam nomen etiam multis ei Alexandri in principio tribuentibus non defugit id Pompeius. Unde appellabant quidam eum jam per ludibrium Alexandrum. Quapropter L. Philippus, vir conſularis, agens pro eo, nihil ait facere ſo abſurdi, quod Philippus quum eſſet, cupidus foret Alexandri. Floram meretricem aiunt natu jam grandiorem fere ſemper commemorantem ſuam cum Pompeio conſuetudinem, dicere ſolitam, non potuiſſe ſe ab illius concubitu ſine morſu diſcedere: narraſſe præterea Floram ſui deſiderio familiarem Pompeii Geminium flagraſſe, multumque ipſam attentando fatigaſſe: quum negaſſet Pompeii cauſa ſe eum admiſſuram, egiſſe cum illo Geminium; ac conceſſiſſe quidem id Geminio Pompeium, verum nunquam poſtea ipſam, quamvis amare videretur, attigiſſe vel conveniſſe. Id ſe non meretricia levitate tuliſſe, verum ex mœ-

ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. καίτοι τὴν Φλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Καικίλιον Μέτελλον ἀνδρειάσι καὶ γραφαῖς κοσμοῦντα τὸν νεὼν τῶν Διοσκούρων, κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. Πομπήϊος δὲ καὶ τῇ Δημητρίου τοῦ ἀπελευθέρου γυναικὶ πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ, καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν, ἐχρῆτο παρὰ τὸν ἑαυτοῦ τρόπον οὐκ ἐπιεικῶς οὐδ' ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς, ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. οὕτω δὲ πάνυ πόῤῥωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν τὸν ἐπὶ τούτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο, πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. τὸ δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος, ἓν ἀπομνημόνευμα λέγεται τοιοῦτο. ἰατρὸς αὐτῷ νοσοῦντι καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν. ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον (ἦν γὰρ παρ' ὥραν) ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λουκούλλῳ δι' ἔτους τρεφομένας, Εἶτα, εἶπεν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησεν; καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβέ τι τῶν εὐπορίστων. ταῦτα μὲν οὖν ὕστερον.

Ἔτι δὲ μειράκιον ὢν παντάπασι, καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν, Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν, αὐτὸς μὲν ἔμελλε Πομπήϊον ἀποκτενεῖν, ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. μηνύσεως δὲ τῷ Πομπηΐῳ περὶ δεῖπ-

τον

mœrore & desiderio perdiu ægrotasse. Quanquam Floram referunt usque adeo floruisse ac fuisse celebratam, ut Cæcilius Metellus, quum signis & tabulis pictis ædem Castoris exornaret, una illius pictam imaginem ob venustatem ibi dedicaret. Pompeius etiam liberti sui uxorem Demetrii, qui apud ipsum polluit plurimum, & ad quatuor millia talentorum in censu reliquit, præter ingenium suum nec benigne nec liberaliter habuit, metuens ne incomparabili ejus formæ & decantatæ elegantiæ haberetur obnoxius. Qui licet tam anxie & procul circumspectus fuit & cautus, non effugit tamen iniquorum hac in re insectationem, verum uxorum causa laceratus est multa de publico ambitione in illas condonare & largiri. In victu quam facilis & communis fuerit, etiam hoc refertur dicto. Medicus valetudine tentato & cibum fastidienti, turdo vesci imperavit: quem quum non invenirent venalem, quod intempestivum esset, quidam autem subjiceret inventuros apud Lucullum, ubi per totum annum alerentur, Et nisi, inquit, luxuria difflueret Lucullus, Pompeius non viveret? Ita salutem dicens medico, usus est cibo aliquo parabili. Sed hæc infra.

Quum sub patre, qui bellum gerebat contra Cinnam, adhuc admodum adolescens mereret, L. quodam Terentio utebatur familiari & contubernali. Hic pecunia à Cinna redemptus susceperat Pompeium occidendum, alii inflammandum ducis tabernaculum. Ea re Pompeio super cœnam nuntiata, nihil

per-

νον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον καὶ φιλοφρονησάμενος τὸν Τερέντιον, ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε, καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη, καὶ τῇ στιβάδι τοῦ Πομπηΐου προσελθὼν ὡς κατακειμένου, πολλὰς ἐνέφερε πληγὰς τοῖς στρώμασιν. ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ, καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν, τάς τε σκηνὰς ἀνασπώντων, καὶ τὰ ὅπλα λαμβανόντων. ὁ μὲν οὖν στρατηγὸς οὐ προῄει, δεδιὼς τὸν θόρυβον· ὁ δὲ Πομπήϊος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε· τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος, ἐμποδὼν ἔκειτο κλαίων, καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας· ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς, καὶ πάντας οὕτω πλὴν ὀκτακοσίων μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα, δίκην κλοπῆς ἔχει ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήϊος, καὶ τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευθέρων νενοσφισμένον ὁ Πομπήϊος Ἀλέξανδρον, ἀπέδειξε τοῖς ἄρχουσι. αὐτὸς δὲ λίνα θηρευτικὰ καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. ταῦτα δὲ ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ, τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς φαινόμενος, δόξαν ἔχε μεγάλην καὶ χάριν· ὥστε Ἀντίστιον στρατηγοῦντα, καὶ βραβεύοντα τὴν δί-

perculſus, ſed largiore etiam vino uſus eſt, atque in Terentium profuſus hilarius. Ubi cubitum diſceſſit, ſubduxit ſe clam tentorio, ac munito ſtatione patre, quieti ſe dedit. Terentius, ut res matura viſa, diſtricto enſe ſurrexit, accedenſque ad torum Pompeii, quaſi ſomno ſtrati, multos in ſtragula ingeſſit ictus. Hinc ingens motus ducis odio exortus, & ardor ad defectionem militum tentoria revellentium & arma capientium. Dux tumultus terrore non eſt progreſſus. Pompeius vero conjecit ſe in medium illorum, & ſupplex eos cum lacrymis eſt deprecatus. Poſtremo pro porta caſtrorum abjecit ſe in os, atque ibi jacuit obſtaculo plorans, & exeuntibus jubens ut conculcarent ſe. Ita verecundia quiſque deterritus receſſit, omneſque octingentis exceptis mutaverunt animum, atque cum duce in gratiam rediere.

Sub recentem Strabonis deceſſum Pompeius nomine ejus peculatus poſtulatus pecuniam publicam maxima ex parte deprehendit, atque ab uno libertorum ſuorum averſum Alexandro in judicio probavit. At plagas & libros eum Aſculi captos objectum fuit habere. Acceperat quidem ea expugnato Aſculo à parente, ſed amiſerat: quod ea ſatellites Cinnæ, quum in urbem ille rediret, impetu in ipſius domum facto diripuiſſent. Hujus judicii non paucas habuit cum accuſatore proluſiones, In quibus acrem ſe & ſupra ætatem conſtantem probans, tantum nomen & favorem comparavit, ut prætor Antiſtius ejus judicii quæ-

δίκην ἐκείνην ἐρασθῆναι τοῦ Πομπηΐου, καὶ γυναῖκα δοῦναι τὴν ἑαυτοῦ θυγατέρα, καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. δεξαμένου δὲ Πομπηΐου, καὶ γινομένων ἐν αὐτοῖς ἀπορρήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. τέλος δὲ, τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. τὸ δὲ ἔθος ἀρχὴν λαβεῖν φασι τοιαύτην. ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς Ῥώμην παραγινομένας οἱ πρωτεύοντες ἀρετῇ Ῥωμαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες αἰγελάται καὶ βοτῆρες αἰράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα, Ταλασίῳ. τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος· ὥστε τοὺς ἀκούσαντας τοὔνομα, κροτεῖν καὶ βοᾶν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. ἐκ τούτου φασὶν (καὶ γὰρ εὐτυχὴς ὁ γάμος ἀπέβη τῷ Ταλασίῳ) ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γίνεσθαι τοῖς γαμοῦσιν. οὗτος ὁ λόγος πιθανώτατός ἐστι τῶν περὶ τοῦ Ταλασίου λεγομένων. ὀλίγαις δ' οὖν ὕστερον ἡμέραις ὁ Πομπήϊος ἠγάγετο τὴν Ἀντιστίαν.

Ἐπεὶ δὲ πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς, ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτόν. οὐκ ὄντος δ' ἐμφανοῦς αὐτοῦ, θροῦς διῆλθεν ἐν τῷ στρατοπέδῳ καὶ λόγος, ὡς ἀνῃρήκει τὸν νεανίσκον ὁ Κίννας. ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες ὥρμησαν ἐπ'

ſitor, Pompeium in oculis ferret, filiamque ſuam ei nuptum offerret, deque ea re ageret cum amicis ejus: quam conditionem accepit Pompeius. Quamvis autem facta in arcano eſſent ſponſalia, non fefellit res tamen propter ſtudium in eum Antiſtii plebem. Tandem quum ſententiam, qua judices Pompeium abſolverant, pronuntiaſſet, populus quaſi ſigno dato acclamavit illud quod de more antiquitus in nuptiis acclamari ſolet, Talaſſio: cujus moris hanc referunt originem. Quum Sabinorum filias, quæ Romam ad ſpectaculum ludorum commeaverant, primores virtute Romani ad connubium raperent, abduxerunt ignobiles quidam caprarii & bubulci puellam elegantem & proceram. Hi, ne eam aliquis occurrens ex principibus eriperet ſibi, inter currendum Talaſſio clamaverunt. Erat autem ex probis & claris Talaſſius. Unde qui audiverunt nomen, applauſerunt conclamaveruntque, quaſi congratulantes & comprobantes. Inde aiunt (quia feliciter ceſſere Talaſſio hæ nuptiæ) plauſum hunc ducentibus uxorem dari per ludum ſolere. Hæc mihi hiſtoria ex iis quæ referuntur de Talaſſio, propior vero videtur. Paucis poſt diebus Antiſtiam ſibi Pompeius matrimonio adjunxit.

Poſtquam ad Cinnam in caſtra profectus ex crimine quodam & calumnia metuere ſibi cœpit, citoque ſe inde ſubduxit: quum nuſquam compareret, per caſtra rumor & ſermo pervaſit, interfectum à Cinna adoleſcentem eſſe. Hinc jampridem illum gravati & infenſi impreſſionem in eum fece-

re.

ἐπ' αὐτόν. ὁ δὲ φεύγων καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος, προσέπεσε τοῖς γόνασι, καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. ὁ δὲ καὶ μάλα ὑβριστικῶς εἰπὼν, ἀλλ' οὐκ ἐγγύην ἔρχομαι σφραγιούμενος, ἀλλὰ ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον, ἀπέκτεινεν αὐτόν. οὕτω δὲ τοῦ Κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα καὶ συνεῖχε Κάρβων, ἐμπληκτότερος ἐκείνου τύραννος. ἐπῄει δὲ Σύλλας τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν, οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν. εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν, ἀπογνώσει τῆς ἐλευθερίας.

Τότε οὖν ὁ Πομπήϊος ἐν τῇ Πικηνίδι τῆς Ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία, τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος, οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολιπόντας τὰ οἰκεῖα, καὶ πανταχόθεν εἰς τὸ Σύλλα στρατόπεδον, ὥσπερ εἰς λιμένα, καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδρὰς, οὐδὲ ἀσύμβολος, οὐδὲ χρῄζων βοηθείας, ἀλλὰ ὑπάρξας τινὸς χάριτος, ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. ὅθεν ἐκίνει τοὺς Πικηνοὺς ἀποπειρώμενος. οἱ δὲ ὑπήκουον αὐτῷ προθύμως, καὶ τοῖς παρὰ Κάρβωνος ἥκουσιν οὐ προσεῖχον. Οὐινδίου δέ τινος εἰπόντος ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγείου παραπεπήδηκεν ὁ Πομπήϊος, οὕτως ἠγανάκτησαν ὥστε εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν Οὐινδίον. ἐκ τούτου Πομπήϊος ἔτη μὲν τρία καὶ εἴκοσι γεγονὼς, ὑπ' οὐδενὸς δὲ ἀνθρώπων ἀποδεδειγμένος στρατηγὸς, αὐτὸς ἑαυτὸν δοὺς τὸ ἀρ-

re. Ille fugiens & occupatus a quodam manipuli ductore, qui ſtricto enſe inſequebatur eum, ſubmiſit ſe huic ad genua, eique ſigillum ſuum magni pretii obtulit. Ille quum eum increpaſſet perquam inſolenter dicens, At ego non ad ſponſionem ſignandam adium, ſed ad nefarium & ſceleratum tyrannum puniendum, eum obtruncavit. Ad hunc modum ſublato Cinna, imperium ſuſcepit & adminiſtravit longe illo tyrannus væcordior Carbo. Jam advenerat Sylla ob præſentia mala deſideratus a plerisque omnibus, qui non mediocre bonum domini mutationem ducebant. Eo reciderat miſeriarum civitas, ut libertatis deſperatione ſervitutem quærerent quam leniſſimam.

Agebat id temporis in Piceno Italiæ Pompeius. Habebat quidem illic etiam prædia, verum magis, quod municipiis duceretur, quæ familiæ ipſius ſtudioſa & cupida erant. Qui ut clariſſimos & optimos quoſque vidit relictis fortunis ſuis undique tanquam in portum in Syllæ caſtra concurrentes, noluit ipſe ſicut profugus, vel vacuus, vel auxilii indigus, ſed cum beneficio ſplendide ac cum manu ad illum proficiſci. Itaque ſollicitavit movitque Picentes, qui propenſo animo ſe ei dederunt, rejeceruntque miſſos a Carbone. Quum Vindius quidam jactaſſet Pompeium ex ludo literario inter illos ſubito concionatorem emicare, uſque eo exarſerunt, ut ſtatim impetu facto Vindium trucidaverint. Hinc Pompeius annos natus tres & viginti a nemine hominum dux creatus, ipſe ſibi capeſſens imperium, tribu-

ἄρχειν, ἐν Αὐξίμῳ πόλει μεγάλῃ βῆμα θεὶς ἐν ἀγορᾷ, καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο Οὐεντιδίους ὑπὲρ Κάρβωνος ἀντιπράττοντας, διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε, καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων ὅσοι τὰ Κάρβωνος ἐφρόνουν, τῶν δ᾽ ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτούς, οὕτω κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια, καὶ τροφὴν πορίσας καὶ σκευαγωγὰ καὶ ἁμάξας, καὶ τὴν ἄλλην πᾶσαν παρασκευήν, ἦγε πρὸς Σύλλαν, οὐκ ἐπειγόμενος, οὐδὲ τὸ λαθεῖν ἀγαπῶν, ἀλλὰ διατρίβων καθ᾽ ὁδὸν ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους, καὶ πᾶν ὅσον ἐπῄει τῆς Ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ Κάρβωνος.

Ἀνέστησαν οὖν ἐπ᾽ αὐτὸν τρεῖς ἅμα στρατηγοὶ πολέμιοι, Καρίννας, καὶ Κοίλιος, καὶ Βροῦτος, οὐκ ἐναντίοι πάντες, οὐδὲ ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες, ὡς ἀναρπασόμενοι. ὁ δ᾽ οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταυτὸ τὴν δύναμιν συναγαγών, ὥρμησεν ἐφ᾽ ἓν τὸ τοῦ Βρούτου στράτευμα, τοὺς ἱππεῖς, ἐν οἷς ἦν αὐτός, προτάξας. ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππασαν οἱ Κελτοί, τὸν πρῶτον αὐτὸν καὶ ῥωμαλεώτατον φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. οἱ δ᾽ ἄλλοι τραπόμενοι καὶ τὸ πεζὸν συνετάραξαν, ὥστε φυγὴν γενέσθαι πάντων. ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους ἀνεχώρησαν, ὡς ἕκαστος ἔτυχε. Πομπηΐῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. αὖθις δὲ Σκιπίωνος

bunali in foro Auximi magnæ urbis excitato, principibus ibi duobus fratribus Ventidiis, res ad Carbonem trahentibus, edicto excedere urbe imperavit, tum delectum habuit, manipulorum ordinumque ductores ſigillatim ordine conſtituit. Inde circumjecta oppida eodem conſilio adiit. Fugientibus & cedentibus omnibus qui a Carbone ſtabant, aliis ei ſe libenter adjungentibus, brevi ſpatio tres integras legiones conſcripſit; commeatum, jumenta & vehicula portandis impedimentis, omniaque neceſſaria expedivit. Tum ad Syllam iter intendit, non raptim, nec latibula quærens, ſed lentis itineribus hoſtes ubicunque daretur occaſio premens, & quamcunque adibat Italiæ partem, eam retrahere tentans à Carbone.

In eum tres una hoſtium duces, Carinna, Cœlius & Brutus ſunt coorti, non à fronte omnes neque eadem ex parte, ſed exercitibus tribus undique circumfuſi, tanquam ſemel obtrituri eum. Nec expavit ideo, ſed cunctis in unum contractis copiis in unum Bruti exercitum impetum convertit: equiteſque, in quibus ipſe erat, ante ſigna collocavit. Pariter ab hoſtibus infeſtus evectus eſt Gallicus equitatus: cujus primum & valentiſſimum occupavit comminus lancea ferire & proſternere. Tum terga dantes peditatum quoque conturbaverunt. Ita omnes in fugam effuſi. Hinc duces inter ſe diſtracti, & quo quemque ſors tulit, ſunt dilapſi. Pompeio oppida ſe adjunxerunt, tanquam metu divulſis hoſtibus. Mox conſule eum petente Scipione,

πίωνος ἐπιόντος αὐτῷ τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φάλαγγας, οἱ Σκιπίωνος ἀσπασάμενοι τοὺς Πομπηΐου μετεβάλλοντο· Σκιπίων δὲ ἔφυγε. τέλος δὲ Κάρβωνος αὐτοῦ περὶ τὸν Ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἀφέντος, ἐρρωμένως ὑποστὰς καὶ τρεψάμενος, εἰς χαλεπὰ καὶ ἄφιππα χωρία πάντας ἐμβάλλει διώκων. οἱ δὲ τὴν σωτηρίαν ἀνέλπιστον ὁρῶντες, ἐνεχείρισαν αὐτοὺς μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων.

Οὔπω δὲ ταῦτα Σύλλας ἐπέπυστο· πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας ὑπὲρ αὐτοῦ δεδοικὼς, ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς πολεμίοις, ἐδίωκε βοηθήσων. γνοὺς δὲ ὁ Πομπήϊος ἐγγὺς ὄντα, προσέταξε τοῖς ἡγεμόσιν ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη. μεγάλας γὰρ ἤλπιζε παρ' αὐτοῦ τιμάς· ἔτυχε δὲ μειζόνων. ὡς γὰρ εἶδεν αὐτὸν ὁ Σύλλας προσιόντα, καὶ τὴν στρατιὰν παρεστῶσαν, ἀνδρείᾳ τε θαυμαστὴν, καὶ διὰ τὰς κατορθώσεις ἐπηρμένην καὶ ἱλαρὰν, ἀποπηδήσας τοῦ ἵππου, καὶ προσαγορευθεὶς, ὡς εἰκὸς, αὐτοκράτωρ, ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν Πομπήϊον· οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοὔνομα τοῦτο Σύλλαν, περὶ οὗ Σκιπίωσι καὶ Μαρίοις ἐπολέμει. καὶ τἆλλα δὲ ἦν ὁμολογοῦντα ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου τε προσιόντι τῷ Πομπηΐῳ, καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον· ἃ πρὸς ἄλλον οὐ ῥᾳδίως ἑωρᾶτο ποιῶν, καίπερ ὄντων πολλῶν καὶ ἀγαθῶν περὶ αὐτόν. οὐ μὴν ἐκουφίσθη γε τούτοις ὁ Πομπήϊος, ἀλλὰ εὐθὺς εἰς τὴν Κελτικὴν ὑπ' αὐτοῦ πεμ-

pione, priusquam intra pilorum jactum venissent acies, Scipionis milites salutaverunt milites Pompeii, ac transitionem fecerunt: Scipio cepit fugam. Ab ipso denique Carbone ad Arsim amnem multas turmas equitum immissas fortiter excepit, profligatosque in loca iniqua & inequitabilia, terga eorum cædens omnes redegit: qui salutem nullo modo explicari videntes posse, dediderunt se ei cum armis & equis.

Nondum hæc nuntiata Syllæ fuerant. Ad primos autem nuntios & rumores illi timens a tam multis & tantis circumvento hostium ducibus, propere suppetias ivit. Eum appropinquare Pompeius certior factus, legatis imperat ut exercitum arment & instruant; quo quam pulcherrimam & splendidissimam speciem præbeat imperatori: quippe magnos exspectabat ab eo honores, assequutus est autem majores. Nam ut eum vidit Sylla accedentem, & exercitum præsto delecta insignem juventute, tantisque rebus perpetratis elatum & erectum, desiliit ex equo. Salutatus (ut par erat) imperator, Pompeium vicissim imperatorem salutavit: quod exspectaverat nemo, ut juveni & nondum in senatum allecto hoc nomen, de quo cum Scipionibus & Mariis bello certabat, esset participaturus Sylla. Primæ tamen comitati cætera consentanea fuere. Adeunti enim assurgebat Pompeio & caput adaperiebat: quæ non temere deferre eum cerneres alteri, quamvis multi cum eo & egregii viri essent. Nihil est tamen his inflatus Pompeius: verum quum ab eo mitteretur

πεμπόμενος, ἣν ἔχων ὁ Μέτελλος ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, οὐ καλῶς ἔφη ἔχειν, πρεσβύτερον καὶ προύχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι· βουλομένῳ μέντοι τῷ Μετέλλῳ καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν ἕτοιμος εἶναι. δεξαμένου δὲ τοῦ Μετέλλου, καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν Κελτικὴν, αὐτός τε καθ' αὑτὸν ἔργα θαυμαστὰ διεπράττετο, καὶ τοῦ Μετέλλου τὸ μάχιμον καὶ θαρσαλέον, ἤδη σβεννύμενον ὑπὸ γήρως, αὖθις ἐξερρίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς, λέγεται τοῦ πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συνανατήκειν. ἀλλὰ γὰρ, ὥσπερ ἀθλητοῦ πρωτεύσαντος ἐν ἀνδράσι, καὶ τοὺς πανταχοῦ καθελόντος ἐνδόξως ἀγῶνας, εἰς οὐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας, οὐδ' ἀναγράφουσιν· οὕτως ἃς ἔπραξε τότε πράξεις ὁ Πομπήϊος, αὐτὰς καθ' ἑαυτὰς ὑπερφυεῖς οὔσας, πλήθει τε καὶ μεγέθει τῶν ὑστέρων ἀγώνων καὶ πολέμων καταχεχωσμένας, ἐδεδίειν κινεῖν, μὴ περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης, τῶν μεγίστων καὶ μάλιστα δηλούντων τὸ ἦθος ἔργων καὶ παθημάτων τοῦ ἀνδρὸς ἀπολειφθῶμεν.

Ἐπεὶ τοίνυν ἐκράτησε τῆς Ἰταλίας ὁ Σύλλας, καὶ δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο, πλουσίους ποιῶν, καὶ προάγων ἐπὶ ἀρχὰς, καὶ χαριζόμενος ἀφθόνως καὶ προθύμως, ὧν ἕκαστος ἐδεῖτο· Πομπήϊον δὲ θαυμάζων δι' ἀρετὴν, καὶ μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτοῦ πράγμασιν, ἐσπούδασεν ἁμωσγέπως οἰκειότητι προσθέσθαι. συμβουλομένης δὲ

teretur in Galliam, quam obtinens Metellus nihil videbatur dignum viribus iis quæ ibi erant efficere; non recte neque ordine dixit majori natu & dignitate præcellenti extorqueri ab se provinciam. Sin peteret & vellet Metellus ut auxilium & opem ei ferret, paratum se esse. Approbante id Metello, & per literas ut veniret contendente, irruptionem in Galliam fecit. Ubi cum ipse per se edidit facta mirifica, tum bellicum Metelli vigorem ardoremque a senio jam marcescentem denuo excitavit & inflammavit: quomodo fusum & candens æs, si concreto & gelido circumfusum sit, magis quam ignis ipse dicitur id dissolvere & colliquefacere. Sed enim ut athletæ primatum inter alios tenentis, qui ex omnibus certaminibus semper claram reportavit palmam, non numerant pueriles victorias, neque eas literis mandant; ita quas tum res Pompeius gessit, quantumvis per se eximias, insequentium frequentia & magnitudine certaminum bellorumque obrutas veremur attingere, ne prioribus diu immorati, maxima & potissima, ex quibus ingenium & mores ejus elucescunt, facta casusque non assequamur.

Postquam ergo rerum in Italia Sylla potitus atque dictator est dictus, cæteros remuneravit legatos & duces suos, opibus augens eos, ad honores provehens, largiensque cumulate & liberaliter ea quæ quisque postulabat; Pompeium vero ob virtutem suspiciens, magnumque ducens rationibus suis præsidium, elaboravit quovis modo eum propinquitate sibi conglutinare. Comprobante igitur id uxo-

δὲ τῆς γυναικὸς αὐτοῦ τῆς Μετέλλης, πείθουσι τὸν Πομπήϊον ἀπαλλαγέντα τῆς Ἀντιστίας, λαβεῖν γυναῖκα τὴν Σύλλα πρόγονον Αἰμιλίαν, ἐκ Μετέλλης καὶ Σκαύρου γεγενημένην, ἀνδρὶ δὲ συνοικοῦσαν ἤδη, καὶ κύουσαν τότε. ἦν οὖν τυραννικὰ τοῦ γάμου, καὶ τοῖς Σύλλα καιροῖς μᾶλλον ἢ τῷ Πομπηΐου βίῳ πρέποντα, τῆς μὲν Αἰμιλίας ἀγομένης ἐγκύμονος παρ' ἑτέρου πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς Ἀντιστίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τοῦ πατρὸς ἔναγχος ἐστερημένης διὰ τὸν ἄνδρα. κατεσφάγη γὰρ ὁ Ἀντίστιος ἐν τῷ βουλευτηρίῳ, δοκῶν τὰ Σύλλα φρονεῖν διὰ Πομπήϊον. ἡ δὲ μήτηρ αὐτῆς ἐπιδοῦσα ταῦτα, προήκατο τὸν βίον ἑκουσίως. ὥστε καὶ τοῦτο τὸ πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι, καὶ νὴ Δία τὸ τὴν Αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ Πομπηΐῳ τίκτουσαν.

Ἐκ τούτου Σικελίαν ἠγγέλλετο Περπέννας αὐτῷ κρατυνέσθαι, καὶ τοῖς περιοῦσιν ἔτι τῆς ἐναντίας στάσεως ὁρμητήριον παρέχειν τὴν νῆσον, αἰωρουμένου καὶ Κάρβωνος αὐτόθι ναυτικῷ, καὶ Δομιτίου Λιβύῃ προσπεπλωκότος, ἄλλων τε πολλῶν ἐπέκεινα μεγάλων ὠθουμένων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες. ἐπὶ τούτους Πομπήϊος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. καὶ Περπέννας μὲν εὐθὺς αὐτῷ Σικελίας ἐξέστη, τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας, καὶ φιλανθρώπως πάσαις ἐχρῆτο, πλὴν Μαμερτίνων τῶν ἐν Μεσσήνῃ. παραιτουμένων γὰρ αὐτοῦ τὸ βῆμα καὶ τὴν δικαιοδοσίαν, ὡς νόμῳ παλαιῷ Ῥωμαίων ἀπειρημένα, Οὐ παύσεσθε, εἶπεν, ἡμῖν ὑπεζωσμένοις ξίφη νόμους ἀναγινώσκοντες; ἔδοξε δὲ καὶ ταῖς Κάρβωνος οὐκ ἀνθρωπίνως

uxore ejus Metella, induxerunt Pompeium ut dimissa Antistia, privignam Syllæ Æmiliam, Metella & Scauro genitam, duceret uxorem, quæ alteri jam nupta uterum tunc gerebat. Fuerunt vero tyrannicæ hæ atque Syllæ potius temporibus, quam Pompeii congruentes moribus nuptiæ; dum gravida Æmilia ab altero ad illum abstrahitur, & expellitur Antistia ignominiose misereque, ut quæ patre quoque nuper viri causa orbata esset. Antistius enim, quod Pompeii causa stare ab Sylla putaretur, fuit in curia interemptus. Mater ejus hoc videns mortem sibi ultro conscivit. Ita hæc quoque istarum nuptiarum tragœdiæ accessit calamitas; & vero etiam mox parientis apud Pompeium interitus Æmiliæ.

Inde nuntiatur Syllæ Perpennam Siciliam tenere, atque adversarum partium reliquiis præbere illam insulam receptaculum; suspensum ibidem cum classe Carbonem, & Domitium invasisse Africam, aliosque frequentes claros exules, qui proscriptionem fuga anteverterant, eo contendere. In hos Pompeius magnis copiis missus, Perpenna statim ei Sicilia cessit. Ubi afflictas civitates Pompeius recreavit, omnibusque præstitit se humanum, extra Mamertinos Messanenses. Detrectantibus enim tribunal suum & jurisdictionem, a qua contendebant veteri populi Romani formula se esse exemptos: Non desinetis nobis, inquit, gladio accinctis citare leges? Ad hæc visus est parum humaniter Carbonis mi-

νως ἐνυβρίσαι συμφοραῖς. εἰ γὰρ ἦν ἀναγκαῖον αὐτὸν, ὥσπερ ἦν ἴσως, ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. ὁ δὲ δέσμιον προσαγαγὼν ἄνδρα Ῥωμαίων τρεῖς ὑπατεύσαντα, καὶ πρὸ τοῦ βήματος στήσας, καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν παρόντων· εἶτα ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. ἀπαχθέντα μέντοι φασὶν αὐτὸν, ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ, παρασχεῖν. Γάϊος δὲ Ὄπιος, ὁ Καίσαρος ἑταῖρος, ἀπανθρώπως φησὶ καὶ Κοΐντῳ Οὐαλερίῳ χρήσασθαι τὸν Πομπήϊον· ἐπιστάμενον γὰρ ὡς ἐστι φιλολόγος ἀνὴρ καὶ φιλομαθὴς ἐν ὀλίγοις ὁ Οὐαλέριος, ὡς ἤχθη πρὸς αὐτὸν, ἐπισπασάμενον καὶ συμπεριπατήσαντα, καὶ πυθόμενον ὧν ἔχρῃζε καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. ἀλλ᾽ Ὀπίῳ μὲν, ὅταν περὶ τῶν Καίσαρος πολεμίων ἢ φίλων διαλέγηται, σφόδρα δεῖ πιστεύειν μετ᾽ εὐλαβείας. Πομπήιος δὲ τοὺς μὲν ἐν δόξῃ μάλιστα τῶν Σύλλα πολεμίων, καὶ φανερῶς ἁλισκομένους, ἀναγκαίως ἐκόλαζε· τῶν δ᾽ ἄλλων ὅσους ἐξῆν, περιεώρα λανθάνοντας, ἐνίους δὲ καὶ συνεξέπεμψε. τὴν δ᾽ Ἱμεραίων πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν, γενομένην μετὰ τῶν πολεμίων, Σθένις ὁ δημαγωγὸς αἰτησάμενος λόγον, οὐκ ἔφη δίκαια ποιήσειν τὸν Πομπήϊον, ἐὰν τὸ αἴτιον ἀφεὶς ἀπολέσῃ τοὺς μηδὲν ἀδικοῦντας. ἐρομένου δ᾽ ἐκείνου τίνα λέγει τὸν αἴτιον, ἑαυτὸν ὁ Σθένις ἔφη, τοὺς μὲν φίλους πείσαντα τῶν πολιτῶν, τοὺς δ᾽ ἐχθροὺς βιασάμενον. ἀγασθεὶς οὖν τὴν παῤῥησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ Πομπήϊος,

ἀφῆκε

miseriis insultasse. Si enim necessitas ei erat, ut erat fortassis, illius interficiendi imposita, statim, ubi ceperat eum, oportebat id fieri: & esset illi qui jusserat, ascriptum. At hic vinctum produxit virum, qui ter Romanus consul fuerat, ac de eo pro tribunali posito ipse sedens quæstionem habuit, indignante & graviter ferente corona. Inde abduci jussit eum & trucidari. Abductum aiunt, ut vidit gladium stringi, locum & spatium breve ad exonerandam concedi alvum flagitasse. Addit C. Oppius, Cæsaris familiaris, sævum Pompeium etiam in Q. Valerium extitisse: quum enim sciret humanitatis & literarum inter paucos studiosum & peritum Valerium, ut actus ad ipsum est, seduxisse illum & deambulasse una, ubi accepit & didicit ab eo quæ cupiebat, imperasse lictoribus ut illico auferrent eum & interficerent. Cæterum Oppio, quum de Cæsaris hostibus vel amicis agit, non temere adjungenda fides est. Pompeius vero in Syllæ hostes, quorum prima dignitas erat, & aperte capiebantur, necesse habuit animadvertere. Cæteris, quotquot licuit, connivit latentibus, nonnullorum etiam fugam adjuvit. Quum Himerenses, qui in hostium partibus steterant, deliberatum haberet punire, Sthenis multitudinis dux, postulata dicendi potestate, inique facturum Pompeium ait, si misso facto autore plecteret insontes. Quærente Pompeio quemnam autorem jactaret, semetipsum nominavit Sthenis, qui cives sui studiosos persuadendo, alienos vi induxisset. Delectatus libera illius oratione & fidentia Pompeius,

ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα τοὺς ἄλλους ἅπαντας. ἀκούων δὲ τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορείαις ἀτακτεῖν, σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο.

Ταῦτα πράττων ἐν Σικελίᾳ καὶ πολιτευόμενος, ἐδέξατο δόγμα συγκλήτου καὶ γράμματα Σύλλα, κελεύοντα εἰς Λιβύην πλεῖν, καὶ πολεμεῖν Δομιτίῳ κατὰ κράτος, ἠθροικότι πολλαπλασίαν δύναμιν, ἧς ἔχων Μάριος οὐ πάλαι διεπέρασεν ἐκ Λιβύης εἰς Σικελίαν, καὶ συνέχει τὰ Ῥωμαίων πράγματα, τύραννος ἐκ φυγάδος καταστάς. ὀξέως οὖν ἅπαντα παρασκευασάμενος ὁ Πομπήϊος, Σικελίας μὲν ἄρχοντα Μέμμιον κατέλιπε, τὸν ἄνδρα τῆς ἀδελφῆς· αὐτὸς δὲ ἀνήγετο ναυσὶ μὲν μακραῖς ἑκατὸν εἴκοσι, φορτηγοῖς δὲ σῖτον καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις ὀκτακοσίαις. καταχθέντι δὲ αὐτῷ ταῖς μὲν εἰς Ἰτύκην ναυσὶ, ταῖς δὲ εἰς Καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι προσεχώρησαν. αὐτὸς δὲ ἦγεν ἓξ ἐντελῆ τάγματα. συμβῆναι δ' αὐτῷ πρᾶγμα γελοῖον ἱστοροῦσι. στρατιῶται γάρ τινες, ὡς ἔοικε, θησαυρῷ περιπεσόντες ἔλαβον συχνὰ χρήματα. τοῦ δὲ πράγματος γενομένου φανεροῦ, ἔδοξε τοῖς ἄλλοις πᾶσι χρημάτων μεστὸν εἶναι τὸν τόπον, ἐν ταῖς ποτὲ τύχαις τῶν Καρχηδονίων ἀποτιθεμένων. οὐδὲν οὖν ὁ Πομπήϊος εἶχε χρῆσθαι τοῖς στρατιώταις ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς ζητοῦσιν, ἀλλὰ περιῄει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυσσούσας καὶ στρεφούσας τὸ πεδίον· ἕως ἀπειπόντες ἐκέλευον αὐτοὺς ἄγειν ὅπη βούλεται τὸν Πομπήϊον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτηρίας δεδωκότας.

Ἀντι-

peius, hunc primum, deinde alios omnes crimine liberavit. Milites quum acciperet in itinere flagitia committere, gladios eorum obsignavit: qui signum amovisset, in eum consuluit.

Dum hæc in Sicilia gerit & administrat, senatusconsultum & ab Sylla accepit literas, quibus præcipiebatur ei in Africam ut trajiceret, & Domitium acriter bello persequeretur. Coegerat enim ille longe majorem manum ea, quam non ita pridem ex Africa Marius in Italiam transportaverat, remque publicam Romanam miscuerat totam, ex exule factus tyrannus. Pompeius ergo omnibus gnaviter comparatis, Siciliæ Memmium, qui sororem suam in matrimonio habebat, præfecit. Ipse solvit longis navibus centum viginti; onerariis, quibus commeatus, tela, stipendium, tormenta portavit, octingentis. Ut decurrit parte classis Uticam, parte Carthaginem, septem millia ab hostibus defecere, atque ad eum transiere. Habebat ipse sub signis sex completas legiones. Ibi ei proditum est memoriæ rem accidisse ridiculam. Inciderant milites aliquot (ut fertur) in thesaurum, ac magna vi argenti erant potiti. Re vulgata, locum cum alii omnes existimaverunt argenti plenum esse, per superiores Pœnorum clades ibi reconditi. Nihil igitur uti Pompeius militibus potuit per multos dies thesauros scrutantibus, sed obambulavit ridens, quum contemplaretur tot millia in fodiendo & vertendo campum occupata: quoad deposita spe dixerunt Pompeio, duceret quo liberet, satis se pœnarum dedisse stultitiæ suæ.

Sta-

Ἀντιτεταγμένου δὲ τοῦ Δομιτίου, καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περᾶσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἕωθεν ἀρξάμενος κατεῖχεν· ὥστε ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν Δομίτιον ἀναζυγὴν παραγγεῖλαι. Πομπήϊος δὲ τοῦτον ἑαυτοῦ ποιούμενος τὸν καιρὸν, ὀξέως ἐπῄει καὶ διέβαινε τὴν χαράδραν. οἱ δὲ ἀτάκτως, καὶ θορυβούμενοι, καὶ οὐ πάντες οὐδὲ ὁμαλῶς ὑφίσταντο· καὶ τὸ πνεῦμα περιῄει, τὴν ζάλην αὐτοῖς προσβάλλον ἐναντίαν. οὐ μὴν ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὁ χειμὼν ἐτάραξεν, οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς· αὐτός τε Πομπήϊος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν, ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα βράδιον ἀποκρινάμενος. ὠσάμενοι δὲ πολλῷ φόνῳ τοὺς πολεμίους (λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν) αὐτοκράτορα τὸν Πομπήϊον ἠσπάσαντο. φήσαντος δὲ ἐκείνου μὴ δέχεσθαι τὴν τιμὴν, ἕως ὀρθὸν ἕστηκε τὸ στρατόπεδον τῶν πολεμίων, εἰ δὲ αὐτὸν ἀξιοῦσι ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα· καὶ Πομπήϊος ἄνευ κράνους ἠγωνίζετο, δεδοικὼς τὸ πρότερον πάθος. ἁλίσκεται δὲ τὸ στρατόπεδον, καὶ ἀποθνήσκει Δομίτιος. τῶν δὲ πόλεων αἱ μὲν εὐθὺς ὑπήκουον, αἱ δὲ κατὰ κράτος ἐλήφθησαν. εἷλε δὲ καὶ τῶν βασιλέων Ἰάρφαν τὸν συμμαχήσαντα Δομιτίῳ, τὴν δὲ βασιλείαν Ἱάμψᾳ παρέδωκε. χρώμενος δὲ τῇ τύχῃ, καὶ τῇ ῥώμῃ τοῦ στρατεύματος, εἰς τὴν Νομαδικὴν ἐνέβαλλε· καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας, καὶ πάντων κρατήσας οἷς ἐνέτυχε, καὶ τὸ πρὸς Ῥωμαίους δέος ἤδη τῶν βαρβάρων ἐξερρυηκὸς, αὖθις ἰσχυρὸν καὶ φοβερὸν καταστήσας, οὐδὲ τὰ θηρία

Stabat cum infesta acie Domitius, atque convallem prætentam habebat transitu arduam & asperam. Ibi largus cum vento imber diluculo exorsus occupavit eos. Ita Domitius illo die non exspectans prœlium vasa conclamari jussit. Id suum tempus Pompeius ratus, raptim agmine facto transmisit convallem. Illi incompositi & tumultuantes, neque una omnes neque pariter impressionem excepere, ventusque circumagens se procellam incussit illis adversam. Turbavit autem tempestas Romanos quoque, non satis inter se conspicientes, atque ipse non agnitus pene interiit Pompeius, quod quærenti signum militi tardius respondertit. Fusis magna strage hostibus (feruntur enim ex viginti millibus effugisse solum tria millia) Pompeium exercitus imperatorem consalutavit. Quo negante cum honorem se agnoscere, dum starent hostium erecta castra; si ea se appellatione dignarentur, prius illa convellenda: igitur ruunt ad vallum. Pompeius prioris casus metu sine galea prœliatur, castra expugnantur, cadit Domitius, urbes partim extemplo in deditionem concedunt, partim expugnantur. Capit etiam regem Iarbam Domitii socium; cujus regnum Hiempsali permittit. Utens autem secunda fortuna & exercitus virtute Numidiam iniit: multorumque dierum iter provectus, omnibus, qua transiit, subjugatis, & Romani imperii timore, qui apud barbaros jam obliteratus erat, denuo firmato & terribili reddito, nec se-

θηρία δεῖν ἔφη τὰ τὴν Λιβύην κατοικοῦντα τῆς τῶν Ῥωμαίων ἄπειρα ῥώμης καὶ τύχης ἀπολιπεῖν. ὅθεν ἐν θήραις λεόντων καὶ ἐλεφάντων ἡμέρας διέτριψεν οὐ πολλάς· ταῖς δὲ πάσαις, ὥς φασι, τεσσαράκοντα, τοὺς πολεμίους συνεῖλε, καὶ Λιβύην ἐχειρώσατο, καὶ διῄτησε τὰ τῶν βασιλέων, ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν.

Ἐπανελθόντι δὲ εἰς Ἰτύκην αὐτῷ γράμματα κομίζεται Σύλλα, προστάττοντος ἀφιέναι μὲν τὴν ἄλλην στρατιάν, αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν αὐτόθι τὸν διαδεξόμενον στρατηγόν. ἐπὶ τούτοις ἀδήλως μὲν αὐτὸς ἤχθετο, καὶ βαρέως ἔφερεν, ἐμφανῶς δὲ ὁ στρατὸς ἠγανάκτει· καὶ δεηθέντος τοῦ Πομπηίου προελθεῖν, τόν τε Σύλλαν κακῶς ἔλεγον, κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χωρὶς αὐτῶν, οὐδὲ ἐᾶν πιστεύειν τῷ τυράννῳ. τὸ μὲν οὖν πρῶτον ὁ Πομπήιος ἐπειρᾶτο πραΰνειν καὶ παρηγορεῖν αὐτούς· ὡς δ' οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος, ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. οἱ δὲ συλλαβόντες αὐτὸν, αὖθις ἐπὶ τοῦ βήματος κατέστησαν, καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν κελευόντων, τοῦ δὲ πείθεσθαι δεομένου, καὶ μὴ στασιάζειν· ἄχρις οὗ προσλιπαρούντων καὶ καταβοώντων, ὤμοσεν ἀναιρήσειν ἑαυτὸν, εἰ βιάζοιντο· καὶ μόλις ἐπαύσαντο οὕτω. τῷ δὲ Σύλλᾳ πρώτη μὲν ἦλθεν ἀγγελία, τὸν Πομπήιον ἀφεστάναι, καὶ πρὸς τοὺς φίλους εἶπεν, ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενομένῳ γέροντι παίδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ Μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν, καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους. πυθόμενος δὲ τἀ-

ληθῆ,

feras ait Africam incolentes ignaras virtutis & felicitatis Romanæ relinquendas. Itaque in leonum & elephantorum venationem paucos insumpsit dies: omnibus (ut aiunt) quadraginta, annum tunc agens quartum & vigesimum, hostes oppressit, Africam subegit, regna regumque negotia composuit.

Regresso Uticam literæ ab Sylla redduntur, imperante ut reliquum exercitum dimittat, atque una cum legione præstoletur ibi successorem. Ea res occulte torsit & graviter momordit Pompeium: exercitus verò aperte fremuit, atque orante Pompeio ut in Italiam proficiscerentur, & Syllam insectati sunt, & illum negaverunt se relicturos, monueruntque ne crederet tyranno. Hos Pompeius mollire primum & lenire enisus est. Ubi nihil profecit, digressus de tribunali, in tabernaculum se lacrymabundus recipit. Illi eum corripiunt, atque in tribunali reponunt, magnaque diei pars consumpta est his commonentibus, ut maneret & imperaret, illo rogante ut obtemperarent nec moverent seditionem: quousque instantibus his & clamore insurgentibus juravit, si pergerent urgere, seipsum interfecturum; vixque sic sedati sunt. Ad Syllam primum allatum est Pompeium defecisse. Ibi jactavit ille apud amicos, esse omnino in fatis sibi, in senectute ut colluctaretur cum pueris: propterea quod etiam Marius ei admodum adolescens plurimum negotii exhibuisset, atque in extremum adduxisset discrimen. Post allato vero nuntio,

ληθῆ, καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι καὶ παραπέμπειν τὸν Πομπήϊον ὡρμημένους μετ' εὐνοίας, ἔσπευδεν ὑπερβαλέσθαι· καὶ προελθὼν ἀπήντησεν αὐτῷ, καὶ δεξιωσάμενος ὡς ἐνῆν προθυμότατα, μεγάλῃ φωνῇ Μάγνον ἠσπάσατο, καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεῦσαι. σημαίνει δὲ μέγαν ὁ Μάγνος. ἕτεροι δέ φασιν ἐν Λιβύῃ πρῶτον ἀναφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι, κράτος δὲ λαβεῖν καὶ δύναμιν, ὑπὸ Σύλλα βεβαιωθέν. αὐτὸς μέντοι πάντως ὕστατος καὶ μετὰ πολὺν χρόνον εἰς Ἰβηρείαν ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ Σερτώριον, ἤρξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ τοῖς διατάγμασι Μάγνον Πομπήϊον. οὐκ ἔτι γὰρ ἦν ἐπίφθονον τοὔνομα, συνήθες γενόμενον. ὅθεν εἰκότως ἂν ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι Ῥωμαίους, οἳ ταῖς τοιαύταις ἐπικλήσεσι καὶ προσωνυμίαις οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκόσμουν. δύο γοῦν Μαξίμους, ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος· Οὐαλέριον μὲν, ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ τὴν σύγκλητον· Φάβιον δὲ Ῥοῦλλον, ὅτι πλουσίους τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ κατειλεγμένους εἰς τὴν σύγκλητον ἐξέβαλεν.

Ἐκ τούτου θρίαμβον ᾔτει Πομπήϊος, ἀντέλεγε δὲ Σύλλας. ὑπάτῳ γὰρ ἢ στρατηγῷ μόνῳ, ἄλλῳ δ' οὐδενὶ δίδωσιν ὁ νόμος. διὸ καὶ Σκιπίων ὁ πρῶτος, ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν Ἰβηρείᾳ Καρχηδονίων κρατήσας, οὐκ ᾔτησε θρίαμβον. ὕπατος γὰρ οὐκ ἦν, οὐδὲ στρατηγός. εἰ δὲ Πομπήϊος οὔπω πάνυ γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βουλῆς διὰ τὴν ἡλι-

κίαν

tio, quum omnes mortales animadverteret ad excipiendum benigne Pompeium & procedendum obviam effusos, tetendit eos vincere, progressusque prodiit illi obviam, ac complexus eum animo propensissimo, Magnum alta voce appellavit, adstantibusque hoc nomine eum jussit salutare. Alii in Africa primum ferunt ita ei fuisse ab universo exercitu acclamatum, sed fuisse eam ratam appellationem & confirmatam, ubi fuit ab Sylla comprobata. Omnium ipse tamen novissimus, diuque post proconsul in Hispaniam contra Sertorium missus, nominis invidia ob consuetudinem jam abolita, cœpit in epistolis & edictis se Magnum Pompeium scribere. Unde merito commendes & in admiratione habeas priscos Romanos, qui ejusceemodi appellationibus & vocabulis non bellicas modo & militares remuneraverint palmas, verum etiam actiones & artes urbanas. Sic duos populus Maximos dixit, Valerium, quod dissidentem ab se senatum in concordiam secum reduxisset: Fabium Rullum, quod locupletes nonnullos libertinæ stirpis in senatum allectos ex ordine movisset.

Inde triumphum petenti Pompeio negavit Sylla: siquidem consuli vel prætori tantum eum, nemini præterea per legem permitti. Quamobrem Scipionem superiorem, qui majoribus & nobilioribus certaminibus Pœnos vicerat in Hispania, quod nec consul esset nec prætor, non postulavisse triumphum. Quod si Pompeius pene adhuc imberbis, qui senator propter ætatem non sit, triumphans in

urbem

κίαν οὐ μέτεστι, παντάπασιν ἐπίφθονον ἔσεσθαι καὶ τὴν ἀρχὴν ἑαυτοῦ, καὶ τὴν τιμὴν ἐκείνῳ. ταῦτα πρὸς Πομπήϊον ὁ Σύλλας ἔλεγεν, ὡς οὐκ ἐάσων, ἀλλὰ ἐνστησόμενος αὐτῷ, καὶ κωλύσων τὸ φιλόνεικον ἀπειθοῦντος. ὁ δὲ Πομπήϊος οὐχ ὑπέπτηξεν, ἀλλ᾽ ἐννοεῖν ἐκέλευε τὸν Σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες ἢ δυόμενον προσκυνοῦσιν· ὡς αὐτῷ μὲν αὐξανομένης, μειουμένης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. ταῦτα ὁ Σύλλας οὐκ ἀκριβῶς ἀκούσας, ὁρῶν δὲ τοὺς ἀκούσαντας ἀπὸ τοῦ προσώπου καὶ τοῦ σχήματος ἐν θαύματι ποιουμένους, ἤρετο τί τὸ λεχθὲν εἴη. πυθόμενος δὲ, καὶ καταπλαγεὶς τοῦ Πομπηΐου τὴν τόλμαν, ἀνεβόησε δὶς ἐφεξῆς, Θριαμβευσάτω. πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων, ἔτι μᾶλλον αὐτοὺς, ὥς φασι, βουλόμενος ἀνιᾷν ὁ Πομπήϊος, ἐπεχείρησεν ἅρματι ἐλεφάντων τεττάρων ἐπιβὰς εἰσελαύνειν· ἤγαγε γὰρ ἐκ Λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους· ἀλλὰ τῆς πύλης στενωτέρας οὔσης, ἀπέστη, καὶ μετῆλθεν ἐπὶ τοὺς ἵππους. ἐπεὶ δὲ οἱ στρατιῶται μὴ τυχόντες ἡλίκων προσεδόκησαν, ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν, οὐδὲν ἔφη φροντίζειν, ἀλλὰ ἀφήσειν μᾶλλον φησὶ τὸν θρίαμβον ἢ κολακεύσειν ἐκείνους. ὅτε δὴ καὶ Σερουΐλιος, ἀνὴρ ἐπιφανὴς, καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ Πομπηΐου, νῦν ἔφη τὸν Πομπήϊον ὁρᾶν καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. δῆλον δ᾽ ἐστὶν ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν· ἀλλ᾽ οὐκ ἐσπούδασεν, ὡς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. οὐ γὰρ ἦν θαυμαστὸν εἰ πρὸ ἡλικίας ἐβούλευε Πομπήϊος, ἀλλ᾽ ὑπέρλαμπρον, ὅτι μηδέπω

urbem invehatur, invidiosum plane & sibi imperium & illi fore honorem. Hæc apud Pompeium Sylla allegavit, non permissurum se ostendens ei triumphum, sed si pergeret contendere, repugnaturum & pertinaciam ejus repressurum. Enimvero nihil trepidavit ideo Pompeius, verum reputandum prædicavit Syllæ, Plures solem orientem quam occidentem adorare: innuens suam increscere, illi decrescere & languescere potentiam. Id Sylla non satis intellexit, sed quum videret eos qui audiverant, vultu & gestu obstupefactos, rogavit quid dictum esset. Ubi accepit, Pompeii audacia defixus, bis deinceps exclamavit, Triumphet, triumphet. Multis autem indignantibus & stomachantibus, quo magis (ut dictitant) eos pungeret Pompeius, aggressus est curru elephantis quatuor juncto urbem inire. Complures enim de rege Iarba captos ex Africa adduxerat: sed quia erat angustior porta, destitit & transiit ad equos. Quum milites præmia non pro spe sua consequuti interpellare triumphum & obstrepere ei vellent, non morari dixit se, verum citius dimissurum triumphum quam ipsis assentaturum. Hic Servilius vir illustris, qui imprimis fuerat triumpho Pompeii adversatus, Nunc, inquit, Pompeium video & magnum vere & triumpho dignum. Non ambigitur, ut in amplissimum ordinem cooptaretur, facile eum obtinere, si voluisset, potuisse: cæterum non institit (ut perhibent) gloriam ex re inaudita captans. Neque enim fuisset mirum, si senator ante ætatem factus Pompeius esset, sed supra splendorem omnem,

δέπω βουλεύων ἐθριάμβευε. τοῦτο δὲ αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τὴν πολλῶν οὐ μικρόν. ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ.

Σύλλας δ' ἠνιᾶτο μὲν ὁρῶν εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως, αἰσχυνόμενος δὲ κωλύειν, ἡσυχίαν ἦγε· πλὴν ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ Λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας, καὶ τὸν δῆμον τῇ πρὸς αὐτὸν εὐνοίᾳ ἐκείνῳ σπουδάζοντα παρασχὼν, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ὁ Σύλλας, Ὁρῶ σε, εἶπεν, ὦ νεανία, χαίροντα τῇ νίκῃ. πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλὰ, Κάτλου τοῦ πάντων ἀρίστου Λέπιδον τὸν πάντων κάκιστον ἀποδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος; ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν· ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτῷ παρεσκεύασας. ἐδήλωσε δὲ μάλιστα Σύλλας, ὅτι πρὸς Πομπήιον οὐκ εὐμενῶς εἶχε, ταῖς διαθήκαις ἃς ἔγραψεν. ἑτέροις γὰρ φίλοις δωρεὰν ἀπολιπὼν, καὶ τοῦ παιδὸς ἀποδείξας ἐπιτρόπους, τὸν Πομπήιον ὅλως παρῆλθεν. ἤνεγκε μέντοι τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος· ὥστε Λεπίδου καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ, μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι, καὶ παρασχεῖν δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν.

Ἐπεὶ δὲ ταχὺ τοῦ Σύλλα τελευτήσαντος εἰς φῶς παρῆλθε τὰ μαντεύματα, καὶ Λέπιδος εἰσποιῶν ἑαυτὸν εἰς τὴν ἐκείνου δύναμιν, οὐ κύκλῳ περιιὼν οὐδὲ μετὰ σχήματος, ἀλλὰ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν, τὰ πάλαι νοσοῦντα καὶ δια-

φυ-

quod triumpharet nondum senator. Id etiam studium plebis ei majorem in modum conciliavit: siquidem gratum populo fuit quod a triumpho inter equites censeretur.

At Sylla quidem angebatur, cernens in quantum gloriæ & potentiæ insurgeret. Cæterum impedire erubescens quievit, extra quam cum vi & se invito Lepidi petitionem adjuvit, illumque provexit ad consulatum, populi ei studium sua gratia adjungens. Digredientem enim cum magna frequentia Sylla cernens per forum, Video te, adolescens, inquit, sublatum victoria. Egregium vero & præclarum factum, Catulo omnium optimo teterrimum omnium Lepidum te populum impellente consulem renuntiatum priorem fuisse. Tu tamen modo cave dormias, sed intende rebus tuis: adversarium enim constituisti teipso valentiorem. Declaravit autem non obscure Sylla alienum suum a Pompeio animum testamenti sui tabulis: quippe cæteris amicis legatum reliquit, liberisque tutores nuncupans, Pompeium prorsus præteriit: quod hic tamen perquam tulit moderate & civiliter. Atque ubi cum nonnullis aliis Lepidus obstitit, ne corpus illius in comitio funeraretur, nec publice efferretur, auxilio fuit, decusque & securitatem præstitit exequiis.

Postquam mox sub excessum Syllæ illa vaticinia in lucem prodiere, & intrudens se in illius dominationem Lepidus, nulla circuitione usus est vel simulatione, sed repente arma cepit, exulceratasque jamdudum

φυγόντα τὸν Σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος· ὁ δὲ συνάρχων αὐτοῦ Κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἐν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστος τῶν τότε Ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον ἢ στρατιωτικῆς οἰκεῖος εἶναι· τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν Πομπήϊον, οὐ διεμέλλησεν ὅπη τράπηται, προσθεὶς δὲ τοῖς ἀρίστοις ἑαυτὸν, ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν Λέπιδον, ἤδη πολλὰ τῆς Ἰταλίας κεκινηκότα, καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν κατέχοντα διὰ Βρούτου στρατεύματι. τῶν μὲν οὖν ἄλλων ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ Πομπήϊος, ἐν δὲ Μουτίνῃ τῆς Γαλατίας ἀντεκάθητο τῷ Βρούτῳ συχνὸν χρόνον. ἐν ᾧ Λέπιδος ἐπὶ τὴν Ῥώμην ῥυεὶς καὶ προσκαθήμενος ἔξωθεν, ὑπατείαν ᾔτει δευτέραν, ὄχλῳ πολλῷ δεδιττόμενος τοὺς ἔνδον. ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ Πομπηΐου κομισθεῖσα, κατωρθωκότος ἄνευ μάχης τὸν πόλεμον. ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλλομένης ἐκείνης, ἐνεχείρισε τῷ Πομπηΐῳ τὸ σῶμα, καὶ λαβὼν ἱππεῖς προπομποὺς, ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν Πάδον· ὅπου μεθ' ἡμέραν μίαν ἐπιπέμψαντος αὐτῷ τοῦ Πομπηΐου Γεμίνιον, ἀνῃρέθη· καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου Πομπήϊος αἰτίαν. γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς μεταβολῆς πρὸς τὴν σύγκλητον, ὡς ἑκὼν αὐτῷ πρόσθοιτο Βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημένου τοῦ ἀνθρώπου κατηγορούσας. τούτου Βροῦτος ἦν υἱὸς, ὁ Καίσαρα σὺν Κασσίῳ κτείνας, ἀνὴρ ὁμοίως τῷ πατρὶ μήτε πολεμήσας μήτε ἀποθανὼν, ὡς

ἐν

dudum & Syllæ elapsas partium reliquias excitavit de integro, atque his se succinxit: collega autem ejus Catulus, ad quem aggregavit se integra & sanior pars senatus populique, modestiæ ac justitiæ existimatione in civitate id temporis præcellebat, verum civilibus rebus accommodatior habebatur quam bellicis: rebus ipsis Pompeium requirentibus, non diu ille suspensus fuit quo se converteret, sed adjunxit se optimatibus, ac dux exercitus est contra Lepidum designatus. Ille jam magnam Italiæ partem subegerat, & duce Bruto obtinebat exercitu Galliam Cisalpinam. Pompeius reliqua quidem suo conspectu facile oppressit, verum Mutinæ in Gallia perdiu castra collata Bruti castris habuit. Interea Lepidus Romam ruit, & mœnibus assidens secundum consulatum postulavit, magna colluvie territans populum. Hanc formidinem allatæ a Pompeio literæ discussere, bellum sine certamine esse perpetratum. Brutus enim, quia vel exercitum ipse tradidit, vel transitionem ille quum faceret proditus fuit, vitam suam in Pompeii permisit fidem, acceptisque equitibus, qui se comitarentur, in oppidum quoddam Galliæ circumpadanæ recessit: ubi postero die immisso per Pompeium Geminio est interfectus. Qua de causa vehementer est laceratus Pompeius: qui enim mox ab initio transitionis scripserat ad senatum, Brutum ultro ad se transgressum, misit denuo alteras literas quibus insectatus est interemptum. Hujus Brutus, qui cum Cassio Cæsarem occidit, filius fuit, vir patris neque in bello gerendo neque in morte similis, ut

in

ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Λέπιδος μὲν οὖν εὐθὺς ἐκπεσὼν τῆς Ἰταλίας, ἀπέδρασεν εἰς Σαρδόνα· κἀκεῖ νοσήσας, ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πραγμάτων, ὥς φασιν, ἀλλὰ γραμματίῳ περιπεσὼν, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς κατεφώρασε.

Λεπίδῳ δ' οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων Σερτώριος, ἐπῃωρεῖτο Ῥωμαίοις φοβερὸς, ὥσπερ ἐπ' ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον τὸν ἄνδρα συνεῤῥυηκότων, πολλοὺς μὲν ἤδη τῶν ἐλαττόνων στρατηγῶν ἀνῃρηκότα, Μετέλλῳ δ' Ἀππίῳ τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ πολεμικῷ, δοκοῦντι δ' ἀργότερον ὑπὸ γήρως ἕπεσθαι τοῖς καιροῖς τοῦ πολέμου, καὶ ἀπολείπεσθαι τῶν πραγμάτων, ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ Σερτωρίου, παραβόλως καὶ λῃστρικώτερον αὐτῷ προσφερομένου, καὶ ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νόμιμον ἀθλητὴν ἀγώνων, καὶ δυνάμεως στασίμου καὶ βαρείας ἡγεμόνα. πρὸς ταῦτα Πομπήϊος ἔχων στρατιὰν ὑφ' ἑαυτῷ, διεπράττετο Μετέλλῳ πεμφθῆναι βοηθός· καὶ Κάτλου κελεύοντος οὐ διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν, ἀεί τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν, Λευκίου Φιλίππου γνώμην εἰπόντος. ὅτε καί φασιν, ἐν συγκλήτῳ πυθομένου τινὸς, καὶ θαυμάζοντος εἰ Πομπήϊον ἀνθύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος, οὐκ ἔγωγε, φάναι τὸν Φίλιππον, ἀλλ' ἀνθ' ὑπάτων· ὡς ἀμφοτέρους τοὺς τότε ὑπατεύοντας οὐδενὸς ἀξίους ὄντας.

Ἐπεὶ

in illius historia explicuimus. Porro Lepidus confestim Italia ejectus, profugit in Sardiniam, ubi morbo correptus exspiravit, fractus animo, non ob res perditas, (ut autumant) sed quum esset nactus epistolium, ex quo stuprum uxoris comperit.

Lepidi vero longe dissimilis Hispaniam tenebat Sertorius, ac Romanis terribilis impendebat: ad quem sicut extremum bellorum morbum hostes domestici confluxerant. Hic multos jam inferioris ordinis duces interemerat. Tunc vero cum Metello Pio colluctabatur, claro illo quidem & strenuo viro, sed qui segnius ob senium articulos belli urgere, lentiusque videretur instare rebus, quæ torrente pernicitate rapiebantur Sertorii. Qui projecta audacia & latrocinantis potius more cum illo agebat, insidiisque & circumcursitationibus virum perstringebat certaminum justorum peritum, atque exercitus statarii & gravis ducem. Eo Pompeius, quod exercitum haberet sibi permissum, enitebatur ut ad opem Metello ferendam mitteretur. Nec, quamvis præcepit Catulus, dimisit exercitum, sed hæsit in armis circa urbem, semper habens quid prætexeret, donec, L. Philippo referente, illam provinciam ei decrevere. Quo tempore aiunt rogante quodam in senatu & mirante, Pompeium an pro consule Philippus esset in Hispaniam missurus, Non tantum, inquit, pro consule, Philippus, sed pro consulibus: notans ambos illius anni consules nullo numero esse.

2

Ut

Ἐπεὶ δὲ τῆς Ἰβηρίας ἁψάμενος ὁ Πομπήϊος, οἷα φιλεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέρους ταῖς ἐλπίσιν ἐποίησε τοὺς ἀνθρώπους, καὶ τὰ μὴ πάνυ βεβαίως τῷ Σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετεβάλλετο, λόγους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ Πομπηΐου διέσπειρε, καὶ σκώπτων ἔλεγε νάρθηκος ἂν αὐτῷ δεῆσαι καὶ σκύτους ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν Μέτελλον. ἔργῳ μέντοι φυλαττόμενος σφόδρα καὶ δεδοικὼς τὸν Πομπήϊον, ἀσφαλέστερον ἐστρατήγει. καὶ γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο τῷ βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκώς· καὶ μεγάλη τις εἰς ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐτόν· ὥστε τῷ Πομπηΐῳ καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα τῇ δόξῃ φέρειν, ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην. φύσει γὰρ ἦν σώφρων καὶ τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος, ἠνίασε μάλιστα τὸν Πομπήϊον ἡ Λαύρωνος ἅλωσις ὑπὸ Σερτωρίου. κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς, καί τι μεγαληγορήσας, αὐτὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ· καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς, ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν αὐτοῦ παρόντος. Ἑρέννιον δὲ καὶ Περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ, νικήσας περὶ Οὐαλεντίαν, ὑπὲρ μυρίους ἀπέκτεινεν.

Ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν, ἐπ' αὐτὸν ἔσπευδε Σερτώριον, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. περὶ δὲ Σούκρωνι ποταμῷ, τῆς ἡμέρας ἤδη τελευτώσης, συνέβαλλον τὰς δυνάμεις, δεδιότες μετελθεῖν τὸν Μέτελλον;

Ut Hispaniam attigit Pompeius, & uti solet, ad novi imperatoris famam nova spe homines erexit, ac quæ non arcta fide cum Sertorio coierant gentes, motæ sunt & transiverunt, arrogantes sermones de Pompeio Sertorius dissipavit, & per ludibrium ferula jactavit se & loro puerum hunc castigaturum, nisi anum illam formidaret, Metellum significans. Revera tamen vehementer cavens & timens Pompeium, bellum gerebat circumspectius. Etenim Metellus (quod nemo exspectasset) admodum deliciis diffluens solute vivebat, magnaque extiterat apud eum & repentina ad fastum luxumque mutatio. Ita ea quoque res singularem Pompeio cum laude benevolentiam adjungebat, quod vitæ frugalitatem intenderet: in quo non magnopere tamen elaborandum habuit. Siquidem sua sponte temperans erat & in cupiditatibus moderatus. Quum autem varia belli forma esset, nihil Pompeium magis pupugit quam quum Lauronem expugnavit Sertorius. Quippe cinctum eum ratus, quum insuper esset certa magniloquentia usus, semetipsum conspexit subito undique circumventum: atque ideo non ausus se movere, oppidum illud sub oculis suis aspexit inflammari. At Herennium & Perpennam viros militares, qui ad Sertorium confugerant, hujusque legatos fudit circa Valentiam, occiditque amplius decem millia militum.

Hoc facto elatus magnasque spes concipiens in ipsum movit Sertorium, ne in societatem victoriæ veniret Metellus. Ad Sucronem amnem præcipite jam in vesperum die signis collatis concurrere, veriti ne superveniret Metellus;

τελλον, ὁ μὲν ὡς μόνος, ὁ δὲ ὡς μόνῳ διαγωνίσαιτο. τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχεν ὁ ἀγών· ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε. τῶν δὲ στρατηγῶν πλέον ἠνέγκατο Σερτώριος· ἐτρέψατο γὰρ τὸ καθ' αὐτὸν ἐκεῖνος ἀντιταχθείς. Πομπηΐῳ δὲ ἀνὴρ μέγας ἱππότης πεζὸς ἐφώρμησε· συμπεσόντων δὲ αὐτῶν εἰς τὸ αὐτὸ, καὶ γενομένων ἐν λαβαῖς, ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας ἀμφοῖν, οὐχ ὁμοίως· ἐτρώθη μὲν γὰρ ὁ Πομπήϊος μόνον, ἐκείνου δὲ ἀπέκοψε τὴν χεῖρα. πλειόνων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε, προέμενος τὸν ἵππον τοῖς πολεμίοις, φάλαρα χρυσᾶ καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. ταῦτα γὰρ διανεμόμενοι, καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους, ἀπελείφθησαν. ἅμα δὲ ἡμέρᾳ παρετάξαντο μὲν ἀμφότεροι πάλιν, ἐκβεβαιούμενοι τὸ νίκημα· Μετέλλου δὲ προσιόντος, ἀνεχώρησεν ὁ Σερτώριος σκεδασθέντι τῷ στρατῷ. τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις, καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε πολλάκις μόνον πλανᾶσθαι τὸν Σερτώριον, πολλάκις δὲ αὖθις ἐπιέναι μυριάσι πεντεκαίδεκα στρατιᾶς, ὥσπερ χειμάρρουν ἐξαίφνης πιμπλάμενον. ὁ δ' οὖν Πομπήϊος, ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ Μετέλλῳ, καὶ πλησίον ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδους, θεραπεύων ὡς προὔχοντα τιμῇ τὸν Μέτελλον. ὁ δὲ καὶ τοῦτο διεκώλυσε, καὶ τἆλλα χρηστὸς ὢν ἀνὴρ περὶ αὐτὸν, οὐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλὰ ἢ τὸ σύνθημα κοινῇ στρατοπεδευόντων εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλου· τὰ πολλὰ

tellus; hic, quo ſolus, ille, quo cum ſolo dimicaret: ſed prœlium incerta victoria diremptum eſt. Utriuſque enim alterum cornu vicit. Inter duces tamen laus penes Sertorium major fuit. Quippe hic fudit fugavitque oppoſitum ſibi cornu. In Pompeium vero vir vaſtus equitem pedes cum impetu intulit ſe. Ubi congreſſi ſunt & pedem contulere, enſium ictus in utriuſque manum defluxere, ſed impari effectu. Pompeius tantummodo vulnus accepit, at illi manum detruncavit. Quum autem in eum complures coorirentur, ſuis jam terga dantibus præter ſpem evaſit. Hoſtes equum ejus comprehenderunt aureis phaleris & ornatu pretioſo inſtructum. Dum hæc partiuntur, atque de his digladiantur inter ſe, amiſerunt e manibus Pompeium. Prima luce uterque victoriæ confirmandæ cauſa inſtruxit ex integro aciem. Verum quia ſupervenit Metellus, Sertorius diſſipato exercitu digreſſus eſt. Ita enim dilabebantur milites illius iterumque confluebant, ut crebro Sertorius palaretur ſolus, crebro rurſus inſtar torrentis repente intumeſcens, centum quinquaginta armatorum millibus ingrueret. At Pompeius, ut ſecundum prœlium Metello obviam proceſſit, atque in conſpectu utrinque fuerunt, honoris Metelli cauſa dignitate priori ſummitti faſces juſſit. Id prohibuit ille, præbuitque cætera moderatum ſe Pompeio, neque ullam ſibi ut conſulari & ætate majori ſumpſit prærogativam, niſi quod ſignum, quum unis in caſtris tenderent, toti exercitui daretur a Metello. Verum caſtra

πολλὰ δὲ χωρὶς ἐστρατοπεδεύοντο. διέκοπτε γὰρ αὐτοὺς καὶ διίστη ποικίλος ὢν ὁ πολέμιος, καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ περιφανῆναι, καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους ἀγῶνας. τέλος δὲ, περικόπτων μὲν ἀγοράς, λῃζόμενος δὲ τὴν χώραν, ἐπικρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρους τῆς ὑφ' ἑαυτὸν Ἰβηρίας, ἀναγκασθέντας εἰς ἀλλοτρίας καταφυγεῖν ἐπαρχίας, ἀπορίᾳ τῶν ἐπιτηδείων.

Πομπήιος δὲ τὰ πλεῖστα τῶν ἰδίων ἐξανηλωκὼς καὶ κατακεχρημένος εἰς τὸν πόλεμον, ᾔτει χρήματα τὴν σύγκλητον, ὡς ἀφιξόμενος εἰς Ἰταλίαν μετὰ τῆς δυνάμεως, εἰ μὴ πέμποιεν. ὑπατεύων δὲ Λεύκολλος τότε, καὶ Πομπηΐῳ μὲν ὢν διάφορος, μνώμενος δ' ἑαυτῷ τὸν Μιθριδατικὸν πόλεμον, ἐσπούδασεν ἀποσταλῆναι τὰ χρήματα· φοβούμενος αἰτίαν Πομπηΐῳ παρασχεῖν δεομένῳ Σερτώριον ἀφεῖναι, καὶ πρὸς Μιθριδάτην τραπέσθαι, λαμπρὸν μὲν εἰς δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. ἐν τούτῳ δὲ θνήσκει Σερτώριος, ὑπὸ τῶν φίλων δολοφονηθείς· ὧν Περπέννας ὁ κορυφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων λογισμόν. εὐθὺς οὖν ὁ Πομπήιος ἐπεξελθὼν, καὶ ῥεμβόμενον ἐν τοῖς πράγμασι τὸν Περπένναν καταμαθὼν, δέλεαρ αὐτῷ δέκα σπείρας ὑφῆκεν εἰς τὸ πεδίον, διασπαρῆναι κελεύσας. τραπομένου δὲ πρὸς ταύτας ἐκείνου καὶ διώκοντος, ἀθρόος ἐπιφανεὶς καὶ συνάψας μάχην, ἐκράτησε πάντων. καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ· τὸν δὲ Περπένναν ἀχθέντα πρὸς αὐ-

τὸν

caſtra fere ſeparata habebant. Dirimebat enim & diſtrahebat eos hoſtis calliditate varius, & mirus artifex in brevi momento diverſis locis ſe oſtendendi, ab aliiſque ad alia certamina traducendi. Denique commeatum intercipiendo, agros fœdando, mare infeſtum habendo, utrumque ea quam ipſe obtinebat Hiſpania expulit, coegitque neceſſariorum anguſtiis in provincias refugere alienas.

Pompeius, qui maximam facultatum ſuarum partem in bellum impenderat & erogaverat, pecuniam poſtulavit a ſenatu, addens, ni mitterent, deportaturum ſe in Italiam exercitum. Id temporis conſul Lucullus erat, a Pompeio alienus: qui ambiens bellum Mithridaticum, effecit ut ei mature ſtipendium mitteretur. Timebat nempe prætextum cupienti Pompeio dare Sertorium omittendi, & convertendi ſe in Mithridatem, illuſtrem ad gloriam facilemque (ut putabatur) ſuperatu adverſarium. Interea circumventus ab amicis Sertorius interficitur: quorum ſummus Perpenna coryphæus, illius facta exprimere aggreſſus eſt, iiſdem ſuccinctus copiis & apparatu: at, quod pariter moderaretur illis, conſilium defecit eum. Perpennam igitur confeſtim perſequens Pompeius, & in rebus gerendis nutantem intelligens, eſcam ei decem cohortes objecit, quibus juſſit ſe ſpargere per campum. Eo quum ille ſe vertiſſet, captaretque hanc prædam, repente incurrens prœlium commiſit, ac fuſo fugatoque illius exercitu plerique duces in acie occubuere: Perpennam ad ſe pertractum occidit,

τὸν ἀπέκτεινεν, οὐκ ἀχάριστος οὐδ' ἀμνήμων γενόμενος τῶν περὶ Σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ δὲ διανοίᾳ καὶ σωτηρίῳ τῶν ὅλων γνώμῃ χρησάμενος. ὁ γὰρ Περπέννας τῶν Σερτωρίου γραμμάτων γεγονὼς κύριος, ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν Ῥώμῃ δυνατωτάτων ἀνδρῶν, οἳ τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα, καὶ μεταστῆσαι τὴν πολιτείαν, ἐκάλουν τὸν Σερτώριον εἰς τὴν Ἰταλίαν. φοβηθεὶς οὖν Πομπήϊος ταῦτα, μὴ μείζονας ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε Περπένναν ἀνεῖλε, καὶ τὰς ἐπιστολὰς οὐδ' ἀναγνοὺς κατέκαυσεν.

Ἐκ δὲ τούτου παραμείνας χρόνον ὅσον τὰς μεγίστας κατασβέσαι ταραχὰς, καὶ τὰ φλεγμαίνοντα μάλιστα καταστῆσαι καὶ διαλῦσαι τῶν πραγμάτων, ἀπῆγεν εἰς Ἰταλίαν τὸν στρατὸν, ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ κατὰ τύχην φερόμενος. διὸ καὶ Κράσσος ὁ στρατηγὸς κατήπειξε παραβόλως τὴν μάχην, καὶ κατευτύχησε, δισχιλίους τριακοσίους ἐπὶ μυρίοις κτείνας. οὐ μὴν ἀλλὰ καὶ τούτῳ τὸν Πομπήϊον εἰσποιούσης ἁμωσγέπως τῷ κατορθώματι τῆς τύχης, πεντακισχίλιοι φεύγοντες ἐκ τῆς μάχης ἐνέπεσον εἰς αὐτὸν, οὓς ἅπαντας διαφθείρας, ἔγραψε πρὸς τὴν σύγκλητον ὑποφθάσας, ὡς Κράσσος μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. καὶ ταῦτα βουλομένοις ἦν δι' εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς Ῥωμαίοις. Ἰβηρίαν δὲ καὶ Σερτώριον, οὐδὲ παίζων ἄν τις εἶπεν ἑτέρου καὶ μὴ Πομπηΐου τὸ πᾶν ἔργον εἶναι. ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς, ὅμως ἐνῆν τις ὑποψία καὶ δέος, ὡς οὐ προησομένου τὸ στράτευμα, βαδιου-

dit, non ingratus nec immemor (ut quidam exprobrant) in Sicilia actorum, sed magna ratione & salubri toti reipub. consilio. Siquidem Perpenna quum literas Sertorii in potestate haberet, epistolas protulit potentissimorum in urbe virorum, qui præsentem rerum statum movere & versare rempub. cupientes, Sertorium acciebant in Italiam. Quæ timens Pompeius, ne majora quam restincta erant, excitarent bella, Perpennam necavit, & literas ne inspectas quidem concremavit.

Inde tantisper in Hispania moratus, dum gravissimos tumultus sedasset, ulceraque tractasset & composuisset maxime tumentia, exercitum in Italiam reduxit, auspicato superveniens bello servili, quod tum maxime vigebat. Quapropter dux belli illius Crassus, maturavit præceps pugnæ aleam, victorque fuit trecentis supra duodecim millia cæsis. Veruntamen fortuna etiam hoc decus ex parte ad Pompeium trahente, quinque millia quæ ex acie fugerant, in eum sunt delata. Quibus semel deletis, occupavit ad senatum scribere, Crassum quidem gladiatores acie fudisse, se vero bellum radicitus plane exstirpasse. Atque hæc favente populo Romano propter benevolentiam erga eum audiebantur & dicebantur. Hispaniam vero & Sertorium ne per jocum quidem alteri quisquam nisi Pompeii virtuti prorsus ascribat. In tanto tamen Pompeii honore & exspectatione inerat quædam suspicio & metus non dimissurum eum exercitum,

βαδιουμένου δὲ δι' ὅπλων καὶ μοναρχίας ἄντικρυς ἐπὶ τὴν Σύλλα πολιτείαν. ὅθεν οὐκ ἐλάττονες ἦσαν τῶν δι' εὔνοιαν τρεχόντων, καὶ φιλοφρονουμένων καθ' ὁδὸν, οἱ φόβῳ ταῦτα ποιοῦντες. ἐπεὶ δὲ καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν ὁ Πομπήϊος, προειπὼν ἀφήσειν τὸ στράτευμα μετὰ τὸν θρίαμβον, ἐν αἰτιᾶσθαι τοῖς βασκαίνουσι περιῆν ὑπόλοιπον, ὅτι τῷ δήμῳ προσνέμει μᾶλλον ἑαυτὸν ἢ τῇ βουλῇ, καὶ τὸ τοῦ δήμου ἀξίωμα Σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστᾶν καὶ χαρίζεσθαι τοῖς πολλοῖς. ὅπερ ἦν ἀληθές. οὐ γάρ ἐστιν οὗτινος ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος, καὶ μᾶλλον ἐπόθησεν ἢ τὴν ἀρχὴν αὖθις ἐπιδεῖν ἐκείνην. ὥστε καὶ Πομπήϊον εὐτύχημα ποιεῖσθαι μέγα, τὸν τοῦ πολιτεύματος καιρόν· ὡς οὐκ ἂν εὑρόντα χάριν ἄλλην, ᾗ τὴν εὔνοιαν ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέλαβε.

Ψηφισθέντος οὖν αὐτῷ δευτέρου θριάμβου καὶ ὑπατείας, οὐ διὰ ταῦτα θαυμαστὸς ἐδόκει καὶ μέγας· ἀλλ' ἐκεῖνο τεκμήριον ἐποιοῦντο τῆς λαμπρότητος, ὅτι Κράσσος, ἀνὴρ τῶν τότε πολιτευομένων πλουσιώτατος, καὶ δεινότατος εἰπεῖν, καὶ μέγιστος, αὐτόν τε Πομπήϊον ὑπερφρονῶν καὶ τοὺς ἄλλους ἅπαντας, οὐκ ἐθάρσησεν ὑπατείαν μετιέναι πρότερον, ἢ Πομπηΐου δεηθῆναι. καὶ μέντοι Πομπήϊος ἠγάπησε, πάλαι δεόμενος χρείας τινὸς ὑπάρξαι καὶ φιλανθρωπίας πρὸς αὐτόν· ὥστε καὶ δεξιοῦσθαι προθύμως, καὶ παρακαλεῖν τὸν δῆμον, ἐπαγγελλόμενος χάριν ἕξειν οὐκ ἔλαττον αὐτοῦ συνάρχοντος, ἢ τῆς ἀρχῆς. οὐ μὴν ἀλλ' ἀποδειχθέντες ὕπατοι διεφέροντο πάντα καὶ προσέκρουον ἀλλήλοις·

καὶ

citum, sed armis & dominatu aperte ad Syllanum perrecturum imperium. Quare non pauciores timore adducti quam benevolentia redeunti salutandi causa prodierunt obviam. Quam opinionem quum amolitus esset Pompeius, declarans à triumpho exercitum se dimissurum, unum reliquum invidis erat vellicare, quod populum magis quam senatum coleret: & quum Sylla auctoritatem plebis sustulisset, restituere eam plebi & indulgere ei in animo haberet: quod verum erat. Nihil enim populus Romanus insaniore cupiditate prosequutus est, neque ullum magistratum recuperare atque eum desideravit ardentius; ut Pompeius pro magna fœlicitate reputaret illius actionis occasionem: quod beneficium reperturum non putaret se aliud, hoc si alius præripuisset sibi, quo civium repensaret favorem.

Igitur decreto ei altero triumpho & consulatu, non tam ob hæc suspiciendus & magnus est habitus, verum illud pro insigni habuerunt ejus splendoris, quod omnium eo tempore rempub. gerentium opulentissimus, eloquentissimus, maximus, ipsiusque despiciens Pompeii atque omnium aliorum, non ante consulatum petere ausus esset Crassus, quam Pompeium rogasset. Et sane placuit id Pompeio, qui jampridem eum aliquo officio & obsequio avebat provocare: populumque enixè prensavit oravitque, ostendens haud minorem gratiam se collegæ quam sui honoris gratia ei habiturum. Verum enimvero declarati consules, ubique dissenserunt occursaruntque sibi mutuo.

καὶ ἐν μὲν τῇ βουλῇ μᾶλλον ἴσχυεν ὁ Κράσσος, ἐν δὲ τῷ δήμῳ μέγα τὸ Πομπηΐου κράτος ἦν. καὶ γὰρ ἀπέδωκε τὴν δημαρχίαν αὐτῷ, καὶ τὰς δίκας περιεῖδεν αὖθις εἰς τοὺς ἱππέας νόμῳ μεταφερομένας. ἥδιστον δὲ θέαμα τῷ δήμῳ παρέσχεν αὐτὸς ἑαυτὸν, τὴν στρατείαν παραιτούμενος. ἔθος γάρ ἐστι Ῥωμαίων τοῖς ἱππεῦσιν, ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγορὰν τὸν ἵππον ἐπὶ τοὺς δύο ἄνδρας, οὓς τιμητὰς καλοῦσι· καὶ καταριθμησαμένους τῶν στρατηγῶν καὶ αὐτοκρατόρων ἕκαστον ὑφ᾽ οἷς ἐστρατεύσαντο, καὶ διδόντας εὐθύνας τῆς στρατείας, ἀφίεσθαι. νέμεται δὲ καὶ τιμὴ καὶ ἀτιμία προσήκουσα τοῖς βίοις ἑκάστων. τότε δὴ προεκάθηντο μὲν οἱ τιμηταὶ, Γέλλιος καὶ Λέντλος ἐν κόσμῳ, καὶ πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων. ὤφθη δὲ Πομπήϊος ἄνωθεν ἐπ᾽ ἀγορὰν κατερχόμενος, τὰ μὲν ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διὰ χειρὸς ἄγων τὸν ἵππον. ὡς δ᾽ ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγόνει, κελεύσας διασχεῖν τοὺς ῥαβδοφόρους, τῷ βήματι προσήγαγε τὸν ἵππον. ἦν δὲ τῷ δήμῳ θαῦμα καὶ σιωπὴ πᾶσα, τούς τε ἄρχοντας αἰδὼς ἅμα καὶ χαρὰ πρὸς τὴν ὄψιν ἔσχε. εἶτα ὁ μὲν πρεσβύτερος ἠρώτησε, πυνθάνομαί σου, ὦ Πομπήϊε Μάγνε, εἰ πάσας ἐστράτευσαι τὰς κατὰ νόμον στρατείας; Πομπήϊος δὲ μεγάλῃ φωνῇ, Πάσας, εἶπεν, ἐστράτευμαι, καὶ πάσας ὑπ᾽ ἐμαυτῷ αὐτοκράτορι. τοῦτο ἀκούσας ὁ δῆμος ἐξέκραγε, καὶ κατασχεῖν οὐκ ἔτι τὴν βοὴν ὑπὸ χαρᾶς ἦν· ἀλλ᾽ ἀναστάντες οἱ τιμηταὶ προέπεμπον αὐτὸν οἴκαδε, χαριζόμενοι τοῖς πολίταις ἑπομένοις καὶ κροτοῦσιν.

Ἤδη

tuo. In curia plus Crassus pollebat, ad populum multum poterat Pompeius. Nam tribunos plebis ei reddidit, permisitque ut judicia iterum lege transferrentur ad equites. Gratissimum vero spectaculum populo se ipse præbuit, quum militiæ vacationem postularet. Mos est equitibus Romanis, ubi legitimum tempus stipendiorum expleverunt, ut equum in forum ad censores adducant, enumeratisque singulis ducibus & imperatoribus, sub quibus meruerunt, ac reddita militiæ ratione, petant vacationem. Ibi & honos habetur & ignominia pro cujusque vita acta. Sedebant tunc pro tribunali magna gravitate censores Gellius & Lentulus, & inspiciendos se transvehebant equites. Pompeius autem conspiciebatur superne in forum descendens. Erat aliis quidem magistratus insignibus ornatus, sed equum manu trahebat. Ut proprie accessit & cognitus est, lictoribus viam sibi facere jussis, equum admovit rostris. Stetit populus stupore & silentio defixus. Censores vero ex ea specie simul verecundia & gaudium occupaverunt. Inde major natu interrogavit eum, Quæro ex te, Magne Pompei, ecquid omnia stipendia impleveris? Cui Pompeius alta voce, Omnia implevi, inquit, & sub meipso imperatore omnia. Quod audiens populus conclamavit, neque sedari præ lætitia clamor poterat: sed consurgentes censores domum eum deduxerunt populo prosequenti & applaudenti gratificantes.

Instante

Ἤδη δὲ τῆς ἀρχῆς περαινομένης τῷ Πομπηΐῳ, τῆς δὲ πρὸς Κράσσον αὐξομένης διαφορᾶς, Γάϊός τις Αὐρήλιος ἀξίωμα μὲν ἱππικὸν ἔχων, βίῳ δὲ ἀπράγμονι κεχρημένος, ἐκκλησίας οὔσης, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ προσελθὼν, ἔφη κατὰ τοὺς ὕπνους αὐτῷ τὸν Δία φανῆναι, κελεύοντα τοῖς ὑπάτοις φράσαι, μὴ πρότερον ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλους ἀλλήλοις γενέσθαι. ῥηθέντων δὲ τούτων, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑστώς· ὁ δὲ Κράσσος ἀρξάμενος δεξιοῦσθαι καὶ προσαγορεύειν αὐτὸν, Οὐδὲν οἶμαι ποιεῖν ἀγεννὲς, εἶπεν, οὐδὲ ταπεινὸν, ὦ πολῖται, Πομπηΐῳ πρότερος ἐνδιδοὺς, ὃν ὑμεῖς, μήπω μὲν γενειῶντα, μέγαν ἠξιώσατε καλεῖν, μήπω δὲ μετέχοντι βουλῆς ἐψηφίσασθε δύο θριάμβους. ἐκ τούτου διαλλαγέντες, ἀπέθεντο τὴν ἀρχήν. καὶ Κράσσος μὲν ὅνπερ ἐξ ἀρχῆς εἵλετο τρόπον τοῦ βίου διεφύλαττε· Πομπήϊος δὲ τάς τε πολλὰς ἀνεδύετο συνηγορίας, καὶ τὴν ἀγορὰν κατὰ μικρὸν ἀπέλειπε, καὶ προήει σπανίως εἰς τὸ δημόσιον, ἀεὶ δὲ μετὰ πλήθους. οὐ γὰρ ἦν ἔτι ῥάδιον ὄχλου χωρὶς ἐντυχεῖν οὐδ' ἰδεῖν αὐτόν· ἀλλ' ἥδιστος ὁμοῦ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο, σεμνότητα περιβαλλόμενος ἐκ τούτου τῇ ὄψει καὶ ὄγκον, ταῖς δὲ τῶν πολλῶν ἐντεύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος δεῖν τὸ ἀξίωμα διατηρεῖν. ὁ γὰρ ἐν ἱματίῳ βίος ἐπισφαλής ἐστι πρὸς ἀδοξίαν τοῖς ἐκ τῶν ὅπλων μεγάλοις, καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις. αὐτοὶ μὲν γὰρ καὶ ἐνταῦθα πρωτεύειν, ὡς ἐκεῖ, δικαιοῦσι· τοῖς δὲ ἐκεῖ φερομένοις ἔλαττον, ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν, οὐκ ἀνεκτόν ἐστι. διὸ τὸν ἐν στρατοπέδοις καὶ θριάμβοις λαμπρὸν, ὅταν ἐν ἀγορᾷ λάβωσιν, ὑποχει-

ρα

Instante jam consulatus exitu, ac dissidio cum Crasso ejus invalescente, quidam C. Aurelius ex equestri ordine, qui procul a negotiis ætatem egerat, quum haberetur concio, rostra conscendit. Progressus ait Jovem sibi in somnis oblatum jussisse consulibus nuntiare, ut priusquam magistratu abirent, redirent in gratiam. His dictis stetit tacitus Pompeius. Ibi Crassus prior dextram porrigens, & eum appellans, Nihil, inquit, me indignum facere, Quirites, neque abjectum reor, qui prior concedo Pompeio, quem vos adhuc imberbem appellare Magnum, & necdum senatori duos triumphos non dubitastis decernere. Hinc reconciliati deposuerunt magistratum. Et Crassus quidem in pristino vitæ curriculo perstitit: Pompeius vero advocationes plerumque defugiebat, & forum pedetentim relinquebat, rarusque prodibat in publicum, atque id semper magno cum comitatu. Neque facile exinde erat sine frequentia eum vel convenire vel videre: sed delectabatur cum multis & magno comitatu se ostendere, quo venerationem inde & majestatem præsentiæ suæ conciliaret, ratus a colloquiis & consuetudine cum plebe servandam dignitatem suam illibatam. Quippe vita togata illis qui per arma creverunt, atque a populari abhorrent æquabilitate, ad contemptum est pronior. Volunt enim ut illic, ita hic quoque primum locum tenere. At illic qui sunt inferiores, iis hic certe non exsuperare durum videtur. Unde illum in castris & triumphis splendidum ubi in foro tenent, do-

m...

ἔργα ποιοῦνται καὶ καταβάλλουσι. τῷ δὲ ἀπολεγομένῳ καὶ ὑποχωροῦντι τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν, ἀνεπίφθονον φυλάττουσιν. ἐδήλωσε δὲ αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον.

Ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ Κιλικίας τὸ πρῶτον, ἀρχὴν παράβολον λαβοῦσα καὶ λανθάνουσαν, φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν τῷ Μιθριδατικῷ πολέμῳ, χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν. εἶτα Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις περὶ θύρας τῆς Ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς ἡ θάλασσα κατὰ μικρὸν αὐτοὺς ἐφείλκετο καὶ προῆγεν, οὐκ ἔτι τοῖς πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ νήσους καὶ πόλεις παραλίους ἐκκόπτοντας. ἤδη δὲ καὶ χρήμασι δυνατοὶ, καὶ γένεσι λαμπροὶ, καὶ τῷ φρονεῖν ἀξιούμενοι διαφέρειν ἄνδρες, ἀνέβαινον εἰς τὰ λῃστρικὰ, καὶ μετεῖχον, ὡς καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν τοῦ ἔργου φέροντος. ἦν δὲ καὶ ναύσταθμα πολλαχόθι πειρατικὰ, καὶ φρυκτώρια τετειχισμένα, καὶ στόλοι προσέπιπτον, οὐ πληρωμάτων μόνον εὐανδρείαις, οὐδὲ τέχναις κυβερνητῶν, οὐδὲ τάχεσι νεῶν καὶ κουφότησιν ἐξησκημένοι πρὸς τὸ οἰκεῖον ἔργον· ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον αὐτῶν τὸ ἐπίφθονον ἐλύπει καὶ ὑπερήφανον, στυλίσι χρυσαῖς, καὶ παραπετάσμασιν ἁλουργοῖς, καὶ πλάταις ὑπαργύροις, ὥσπερ ἐντρυφώντων τῷ κακουργεῖν καὶ καλλωπιζομένων. αὐλοὶ δὲ καὶ ψαλμοὶ καὶ μέθαι παρὰ πᾶσαν ἀκτὴν, καὶ σωμάτων ἡγεμονικῶν ἁρπαγαὶ, καὶ πόλεων αἰχμαλώτων ἀπολυτρώσεις, ὄνειδος ἦσαν τῆς Ῥωμαίων ἡγεμονίας. ἐγένοντο δ' οὖν, αἱ μὲν λῃστρίδες νῆες, ὑπὲρ χιλίας, αἱ δὲ ἁλοῦσαι πόλεις ὑπ' αὐτῶν, τετρακόσιαι. τῶν δὲ ἀσύλων καὶ

mant & premunt. Manus autem danti & cedenti castrensem honorem & potentiam ab invidia permittunt intactam. Id brevi post res ipsa comprobavit.

Siquidem piratarum potentia primum ex Cilicia erupit, originemque habuit audacem & occultam: animos vero & confidentiam ex bello Mithridatico ceperunt, ministeriis regiis accommodantes se. Deinde dum bellis civilibus Romani ante portas urbis concurrunt, vacuum custodibus mare sensim illexit illos & incitavit, ut non jam navigantibus modo essent infesti, sed & insulas & oppida maritima vastarent. Adeo ut jam pecuniosi etiam, natalibus clari, viri prudentia præcellere habiti naves prædatorias conscendebant & societati nomina dabant, quasi ea res laudem etiam adderet & gloriam. Ad hæc erant iis multis locis navalia, portus piratici, & speculæ munitæ pharique. Classes incursitabant non solum delecta militum classiariorum & sociorum navalium juventute, gubernatorum arte, navium pernicitate & agilitate ad munus suum instructæ, verum etiam supra eorum terrorem invidiosus stimulabat fastus. Auratis stylidibus, purpureis cortinis, remis inargentatis, quasi sceleribus gestiebant gloriabanturque. Tibiæ etiam, cantus, compotationes per omnia litora, principum in captivitatem raptus, urbium redemptiones captarum, opprobria erant Romani imperii. Erant navigia prædatoria supra mille, capta ab illis oppida quadringenta. Inviolata &

καὶ ἀβάτων πρότερον ἱερῶν ἐξέκοψαν ἐπιόντες τὸ Κλάριον, τὸ Διδυμαῖον, τὸ Σαμοθρᾴκιον, τὸν ἐν Ἑρμιόνῃ τῆς Χθονίας νεὼν, καὶ τὸν ἐν Ἐπιδαύρῳ τοῦ Ἀσκληπιοῦ, καὶ τὸ Ἰσθμοῖ καὶ Ταινάρῳ καὶ Καλαυρείᾳ τοῦ Ποσειδῶνος, τοῦ δὲ Ἀπόλλωνος τὸν ἐν Ἀκτίῳ, καὶ Λευκάδι, τῆς δὲ Ἥρας τὸν ἐν Σάμῳ, τὸν ἐν Ἄργει, τὸν ἐπὶ Λευκανίῳ. ξένας δὲ θυσίας ἔθυον αὐτοὶ τὰς ἐν Ὀλύμπῳ, καὶ τελετάς τινας ἀπορρήτους ἐτέλουν, ὧν ἡ τοῦ Μίθρου καὶ μέχρι δεῦρο διασώζεται, καταδειχθεῖσα πρότερον ὑπ' ἐκείνων. πλεῖστα δὲ Ῥωμαίοις ἐνυβρίσαντες, ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν ἀναβαίνοντες ἀπὸ θαλάσσης ἐλῄζοντο, καὶ τὰς ἐγγὺς ἐπαύλεις ἐξέκοπτον. ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο, Σεξτίλιον καὶ Βελλῖνον ἐν ταῖς περιπορφύροις, καὶ τοὺς ὑπηρέτας ἅμα καὶ ῥαβδοφόρους ᾤχοντο σὺν αὐτοῖς ἐκείνοις ἔχοντες. ἥλω δὲ καὶ θυγάτηρ Ἀντωνίου θριαμβικοῦ ἀνδρὸς εἰς ἀγρὸν βαδίζουσα, καὶ πολλῶν χρημάτων ἀπελυτρώθη. ἐκεῖνο δὲ ἦν ὑβριστικώτατον· ὁπότε γάρ τις ἑαλωκὼς ἀναβοήσειε Ῥωμαῖος εἶναι, καὶ τοὔνομα φράσειεν, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι, τούς τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ, συγγνώμην ἔχειν ἀντιβολοῦντες. ὁ δὲ ἐπείθετο, ταπεινοὺς ὁρῶν καὶ δεομένους. ἐκ τούτου δὲ, οἱ μὲν ὑπέδουν τοῖς καλτίοις αὐτὸν, οἱ δὲ τήβεννον περιέβαλλον, ὡς δὴ μὴ πάλιν ἀγνοηθείη. πολὺν δὲ χρόνον οὕτω κατειρωνευσάμενοι καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου, τέλος ἐν μέσῳ πελάγει κλίμακα προσβαλόντες, ἐκέλευον ἐμβαίνειν, καὶ ἀπεῖναι χαίροντα· τὸν δὲ μὴ βουλόμενον ὠθοῦντες αὐτοὶ κατέδυον.

Ἐπενείματο δὲ ἡ δύναμις αὕτη πᾶσαν ὁμοῦ τι τὴν καθ' ἡμᾶς θάλασσαν, ὥστε ἄπλουν

& intacta ante id fana adorti expilarunt Clarium, Didymæum, Samothracium, Proserpinæ quod est Hermione templum, Æsculapii Epidauri: in Isthmo, Tenaro, Calauria Neptuni: Apollinis in Actio & Leucade: Junonis Sami, Argis, in Leucadio. Peregrina sacra illa quæ peraguntur in Olympo faciebant & mysteria quædam peragebant arcana: quorum Mithris sacra etiam hac memoria mansere primum ab illis monstrata. Majorem in modum Romanis insultantes, etiam vias eorum exscensione facta infestabant, & villas maritimas exscindebant. Corripuerunt aliquando etiam duos prætores Sextilium & Bellinum prætextatos, accensosque & lictores cum illis ipsis abduxere. Capta fuit etiam Antonii viri triumphalis filia rus proficiscens, & grandi pecunia redempta. Quod autem omnium fuit contumeliosissimum: ubi quis captus civem Romanum se esse clamavit, & nomen edidit, perculsos se fingentes trepidare, femora percutere, & genibus ejus accidere, supplicesque ut veniam daret precari. Ille abjectos bona fide & supplices arbitrari. Tum alii calceos ei inducere, alii toga velare: ne ultra scilicet ignoraretur. Ubi ad eum modum diu hominem illuserant ludibrioque fuerant saturati, postremo admotis medio in salo scalis descendere & abire atque valere jubebant: qui nollet, hunc ipsi præcipitatum demergebant.

Ceterum hæc piratarum manus mare nostrum habebat infestum pene totum, prohibe-

ἄπλουν καὶ ἄβατον ἐμπορείᾳ πάσῃ γενέσθαι. τοῦτο δὴ μάλιστα Ῥωμαίους ἐπέστρεψε, θλιβομένους τῇ ἀγορᾷ, καὶ σπάνιν μεγάλην προσδοκῶντας, ἐκπέμψαι Πομπήϊον ἀφαιρησόμενον τῶν πειρατῶν τὴν θάλασσαν. ἔγραψε δὲ Γαβίνιος εἷς τῶν Πομπηΐου συνήθων νόμον, οὐ ναυαρχίαν, ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα, καὶ δύναμιν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. ἐδίδου γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς Ἡρακλείων στηλῶν θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους ἀπὸ θαλάσσης. τοῦτο δὲ οὐ πάνυ πολλὰ χωρία τῆς ὑπὸ Ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ μέγιστα τῶν ἐθνῶν καὶ τῶν βασιλέων οἱ δυνατώτατοι περιελαμβάνοντο. πρὸς δὲ τούτοις, ἑλέσθαι πεντεκαίδεκα πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας· χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμιείων καὶ παρὰ τῶν τελωνῶν ὅσα βούλοιτο, καὶ ναῦς διακοσίας, κύριον ὄντα πλήθους καὶ καταλόγου στρατείας καὶ πληρωμάτων ἐρετικῶν. ἀναγνωσθέντων δὲ τούτων, ὁ μὲν δῆμος ὑπερφυῶς ἐδέξατο, τῆς δὲ συγκλήτου τοῖς μεγίστοις καὶ δυνατωτάτοις ἔδοξε μεῖζον μὲν φθόνου, φόβου δὲ ἄξιον εἶναι τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον. ὅθεν ἐνίσταντο τῷ νόμῳ πλὴν Καίσαρος· οὗτος δὲ συνηγόρει τῷ νόμῳ, Πομπηΐου μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν δῆμον ἐξ ἀρχῆς ἑαυτῷ καὶ κτώμενος. οἱ δὲ ἄλλοι τοῦ Πομπηΐου σφοδρῶς καθήπτοντο, καὶ τῶν τε ὑπάτων ἅτερος εἰπὼν πρὸς αὐτὸν, ὅτι Ῥωμύλον ζηλῶν οὐ φεύξεται ταὐτὸν ἐκείνῳ τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι. Κάτλου δὲ κατὰ τοῦ νόμου προσελθόντος, πολλὴν μὲν αἰδούμενος ὁ δῆμος ἡσυχίαν παρεῖχεν·

ἐπεὶ

bebatque navigationem, & commercia emovebat. Id vero potissimum pressos Romanos rei frumentariæ angustiis & magnam famem timentes impulit, ut ad vindicandum à piratis mare mitterent Pompeium. Legem Gabinius Pompeii familiaris rogavit, quæ non classis, sed plane in omnes mortales imperium & arbitrium concedebat nullis obnoxium legibus. Dabat enim ei imperium ea lex omnis intra columnas Herculis maris, continentis totius ad quinquaginta a mari millia passuum. Hoc spatium Romani orbis loca sane quam pauca excludebant: verum id maximas gentes potentissimosque reges complectebatur. Præterea permisit ei lex ex senatu deligere sedecim legatos, quibus singulas provincias demandaret. Argenti ex ærario & a publicanis, quantum liberet, navesque ducentas sumere: ipsumque militum sociorumque navalium, quantum visum esset, conscribere. Eam legem, ubi recitata est, populus magno studio comprobavit; principibus vero senatus & potentissimis supra invidiam quidem visa est, sed formidolosa maxime illa immensa nullisque circumscripta limitibus potestas. Itaque impugnaverunt legem, Cæsare excepto. Hic legi suffragatus est, haudquaquam in Pompeii gratiam, verum quo populum quamprimum subiret atque in se circumageret: cæteri acerbe lacerabant Pompeium. Alter consulum, qui ad illum dixit, Romuli vestigia sectantem non declinaturum illius exitum, fere a multitudine discerptus est. Procedente ad dicendum contra legem Catulo, magnum silentium tenuit

præ

ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς ἀνεπιφθόνως ὑπὲρ τοῦ Πομπηΐου διελθὼν, συνεβούλευε φείδεσθαι, καὶ μὴ προβάλλειν τὸν τοιοῦτον ἄνδρα κινδύνοις ἐπαλλήλοις καὶ πολέμοις· Ἢ τίνα, εἶπεν, ἕξετε ἄλλον, ἂν ἀπολέσητε τοῦτον; ἐκ μιᾶς γνώμης ὑπεφώνησαν ἅπαντες, Σεαυτόν. ὁ μὲν οὖν Κάτλος, ὡς οὐκ ἔπειθεν, ἀπέστη· Ῥωσκίου δὲ προσελθόντος οὐδεὶς ἤκουσεν· ὁ δὲ τοῖς δακτύλοις διεσήμαινε, μὴ μόνον ἀλλὰ δεύτερον αἱρεῖσθαι Πομπήϊον. ἐπὶ τούτῳ λέγεται δυσχεράναντα τὸν δῆμον τηλικοῦτον ἀνακραγεῖν, ὥστε ὑπερπετόμενον κόρακα τῆς ἀγορᾶς τυφλωθῆναι καὶ καταπεσεῖν εἰς τὸν ὄχλον. ὅθεν οὐ δοκεῖ ῥήξει τοῦ ἀέρος καὶ διασπασμῷ κλόνον πολὺν λαμβάνοντος ἐνολισθαίνειν τὰ πίπτοντα τῶν ὀρνέων, ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς, ὅταν ἐν τῷ ἀέρι σάλον καὶ κῦμα ποιήσῃ πολλὴ καὶ ἰσχυρὰ φερομένη.

Τότε μὲν οὖν διελύθησαν. ᾗ δὲ ἡμέρᾳ τὴν ψῆφον ἐποίσειν ἔμελλον, ὑπεξῆλθεν ὁ Πομπήϊος εἰς ἀγρόν· ἀκούσας δὲ κεκυρῶσθαι νόμον, εἰσῆλθε νύκτωρ εἰς τὴν πόλιν, ὡς ἐπίφθονον τῆς πρὸς αὐτὸν ἀπαντήσεως καὶ συνδρομῆς ἐσομένης. ἅμα δὲ ἡμέρᾳ προελθὼν ἔθυσε, καὶ γενομένης ἐκκλησίας αὐτῷ, διεπράξατο προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις, ἤδη μικροῦ διπλασιάσας τὴν παρασκευήν. πεντακόσιαι μὲν γὰρ αὐτῷ νῆες ἐπληρώθησαν, ὁπλιτῶν δὲ μυριάδες δώδεκα, καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. ἡγεμονικοὶ δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς, ἄνδρες εἰκοσιτέσσαρες ὑπ' αὐτοῦ, δύο δὲ ταμίαι παρῆσαν. αἱ δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι λόγον ἡδομένῳ τῷ δήμῳ παρεῖχον, ὡς αὐτὸ τοὔνομα τοῦ Πομπηΐου λέλυκε τὸν πόλεμον.

præ reverentia ejus populus. Poſtquam hic, multis Pompeii laudibus candide commemoratis, ſuaſit ut parcerent ei, nec periculis & bellis aliis talem virum objicerent: quemnam enim (inquit) habituri eſtis alium, hunc ſi amiſeritis? Omnes una voce ſucclamaverunt, Teipſum. Ita Catulus, ubi nihil profecit, deſtitit. Roſcio incipienti dicere nemo præbuit aures: tum ille digitis ſignificavit, ne ſolum, ſed addito collega deſignarent Pompeium. Ibi offenſum populum tantum clamorem ferunt extuliſſe, ut ſupervolitans foro corvus caligine captus atque in turbam ſit delapſus. Unde non probo aeris ſciſſura & diviſione multum agitati labaſcere aves quæ decidunt, ſed vocis percuſſas ictu, quum effuſe & violenter miſſa motum fluctuſque excitaverit in aere.

Atque tunc dimiſſa eſt concio. Quo die ituri in ſuffragia erant, Pompeius clam rus profectus eſt. Nuntiato legem eſſe perlatam, ut frequentiæ occurrentium invidiam declinaret, nocte ingreſſus eſt urbem. Ubi diluxit, progreſſus in publicum ſacrificavit, advocataque concione præter illa quæ fuerant ei lege conceſſa, multa obtinuit, geminavitque pene apparatum. Siquidem naves quingentas complevit, peditum centum viginti millia, equitum quinque millia conſcripſit: prætorios, & qui cum imperio fuerant, ex ſenatu viginti quatuor legatos delegit: quæſtores additi ei duo. Mox pretia venalium laxata lætæ plebi ſermones præbuere, ipſo nomine Pompeii debellatum. Porro

par-

οὐ μὴν ἀλλὰ διελὼν τὰ πελάγη, καὶ τὸ διάστημα τῆς ἐντὸς θαλάσσης εἰς μέρη τρισκαίδεκα, καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάστῳ καὶ ἄρχοντα τάξας, ἅμα πανταχοῦ τῇ δυνάμει σκεδασθείσῃ τὰ μὲν ἐμπίπτοντα τῶν πειρατικῶν ἀθρόα περιλαμβάνων, εὐθὺς ἐξεθήρατο καὶ κατῆγεν· οἱ δὲ φθάσαντες διαλυθῆναι καὶ διεκπεσόντες, ὥσπερ εἰς σμῆνος ἐδύοντο πανταχόθεν καταφερόμενοι τὴν Κιλικίαν· ἐφ' οὓς αὐτὸς ἐστέλλετο ναῦς ἔχων ἑξήκοντα τὰς ἀρίστας. οὐ μὴν πρότερον ἐπ' ἐκείνους ἐξέπλευσεν, ἢ παντάπασι καθῆραι τῶν αὐτόθι λῃστηρίων τὸ Τυρρηνικὸν πέλαγος, τὸ Λιβυκὸν, τὸ περὶ Σαρδόνα καὶ Κύρνον καὶ Σικελίαν, ἡμέραις τεσσαράκοντα ταῖς πάσαις, αὐτῷ τε χρώμενος ἀτρύτῳ καὶ τοῖς στρατηγοῖς προθύμοις.

Ἐν δὲ Ῥώμῃ τοῦ ὑπάτου Πείσωνος ὀργῇ καὶ φθόνῳ λυμαινομένου τὴν παρασκευὴν, καὶ διαλύοντος τὰ πληρώματα, τὸ μὲν ναυτικὸν εἰς Βρεντέσιον περιέπεμψεν, αὐτὸς δὲ διὰ Τυρρηνίας εἰς Ῥώμην ἀνέβαινεν. αἰσθόμενοι δὲ πάντες ἐξεχύθησαν εἰς τὴν ὁδὸν, ὥσπερ οὐ πρὸ ἡμερῶν ὀλίγων ἐκπέμψαντες αὐτόν. ἐποίει δὲ τὴν χαρὰν τὸ παρ' ἐλπίδα τῆς μεταβολῆς τάχος, ὑπερβάλλουσαν ἀφθονίαν τῆς ἀγορᾶς ἐχούσης. ὅθεν ὁ Πείσων ἐκινδύνευσε τὴν ὑπατείαν ἀφαιρεθῆναι, Γαβινίου νόμον ἔχοντος ἤδη συγγεγραμμένον. ἀλλὰ καὶ τοῦτο διεκώλυσεν ὁ Πομπήϊος, καὶ τἆλλα χρηματίσας ἐπιεικῶς, καὶ διαπραξάμενος ὧν ἐδεῖτο, καταβὰς εἰς Βρεντέσιον ἐξέπλευσεν. ἐπειγόμενος δὲ τῷ καιρῷ, καὶ παραπλέων τὰς πόλεις ὑπὸ σπουδῆς, ὅμως οὐ παρῆλθε τὰς Ἀθήνας. ἀναβὰς δὲ, καὶ θύσας τοῖς Θεοῖς, καὶ προσαγορεύσας τὸν δῆμον,

partitus maria & interioris pelagi in tredecim sortes spatium, certum cuique navium numerum & ducem attribuit, dispersaque quoquo versum manu incidentes catervatim circumveniens piraticas naves, confestim tanquam indagine eas cinxit, atque in portus detraxit. Qui maturaverant distrahere se & evadere, hi in Ciliciam, sicut alvearium, undique delati abdiderunt se: in quos ipse navibus sexaginta præstantissimis contendit. Nec ante tamen intendit in illos cursum, quam latronum citerioribus globis undequaque, mare Tuscum, Africum, Sardoum, Corsicum, Siculum diebus solum quadraginta, impigro suo labore, & studio enixo legatorum expurgasset.

Romæ autem quum consul Piso ira & livore apparatum ejus labefactaret, & dimitteret classiarios, Brundusium classem circummisit, ipse per Hetruriam Romam perrexit. Quo nunciato obviam effusi omnes sunt, quasi non paulo ante eum emisissent. Faciebat inexpectata conversionis celeritas gratulationem, foro omnium rerum copia superfluente. Unde abrogatus pene est Pisoni consulatus. Habebat enim ea de re rogationem Gabinius jam conscriptam: cæterum interpellavit & id Pompeius, atque ubi reliqua cum moderatione ad populum retulit, impetravitque quæ desiderabat, Brundusium profectus solvit. Quum tempore urgeretur, urbesque properans prætervèheretur, non est prætergressus tamen Athenas. Eo profectus Diis sacrificavit, ac quum populum appel-

μον, εὐθὺς ἀπιὼν ἀνεγίνωσκεν εἰς αὑτὸν ἐπιγεγραμμένα μονόστιχα· τὸ μὲν, ἐντὸς τῆς πύλης,

Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσοῦτον εἶ Θεός.

τὸ δ' ἐκτὸς,

Προσεδοκῶμεν, προσεκυνοῦμεν· εἴδομεν, προπέμπομεν.

ἐπεὶ δὲ τῶν συνεστώτων ἔτι καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο, καὶ παραλαβὼν τὰ πλοῖα καὶ τὰ σώματα, κακὸν οὐδὲν ἐποίησεν, ἐπ' ἐλπίδος χρηστῆς οἱ λοιποὶ γενόμενοι, τοὺς μὲν ἄλλους διέφυγον ἡγεμόνας, Πομπηΐῳ δὲ φέροντες αὑτοὺς μετὰ τέκνων καὶ γυναικῶν ἐνεχείριζον. ὁ δὲ πάντων ἐφείδετο, καὶ μάλιστα διὰ τούτων τοὺς ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων ἐκόμιζεν, ὡς αὑτοῖς ἀνήκεστα συνειδότας.

Οἱ δὲ πλεῖστοι καὶ δυνατώτατοι γενεὰς μὲν αὑτῶν καὶ χρήματα, καὶ τὸν ἄχρηστον ὄχλον, ἐν φρουρίοις καὶ πολίσμασι καρτεροῖς περὶ τὸν Ταῦρον εἶχον ἀποκείμενα· τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ Κορακήσιον τῆς Κιλικίας ἐπιπλέοντα τὸν Πομπήϊον ἐδέξαντο· καὶ μάχης γενομένης νικηθέντες ἐπολιορκοῦντο. τέλος δὲ, πέμψαντες ἱκετηρίας, παρέδωκαν ἑαυτοὺς καὶ πόλεις καὶ νήσους ὧν ἐπεκράτουν ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι καὶ δυσπροσπελάστους. κατελύθη μὲν οὖν ὁ πόλεμος, καὶ τὰ πανταχοῦ λῃστήρια τῆς θαλάσσης ἐξέπεσεν οὐκ ἐν πλείονι χρόνῳ τριῶν μηνῶν. ναῦς δὲ πολλὰς μὲν ἄλλας, ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. αὐτοὺς δὲ, δισμυρίων πλείονας γενομένους, ἀνελεῖν μὲν οὐδὲ ἐβουλεύσατο, μεθεῖναι δὲ καὶ πε-

περιιδεῖν

pellasset, mox discedens singulares hosce versiculos in laudem suam scriptos legit, unum intra portam,

Quatenus te hominem putas, vere Deus sis hactenus.

Alterum extra,

Præstolati te, venerati, vidimus, prosequimur.

Quoniam vero in quosdam ex iis, quæ conglobata adhuc vagabantur in mari, prædonum examinibus supplices clementer consuluerat, acceptisque in deditionem navibus & hominibus, nulla re læserat eos; alii spe gratiæ concepta legatos refugerunt, & ipsi Pompeio se cum liberis & conjugibus deditum ivere. Ille omnibus his pepercit, & præcipue horum opera delitescentes adhuc, quod atrocissimorum scelerum sibi conscii essent, indagavit ac cepit.

Maxima pars horum & prævalentissima proles suas, opes, & inutilem turbam in arcibus & oppidulis munitis ad montem Taurum seposuerant. Ipsi navibus completis ad Coracesium Ciliciæ instantem excepere Pompeium, atque acie commissa fusi, mox obsessi sunt. Postremo missis caduceatoribus se oppidaque & insulas, quæ septa præsidiis tenebant expugnatu aspera atque inaccessa in deditionem ejus permisere. Ita debellatum est, & prædonum manus undique mari non majore quàm trium mensium spatio exactæ. Naves complures alias, rostratas nonaginta accepit. Ipsos prædones plus viginti millia neque interficere statuit, neque, ut dissiparentur, aut coirent de

integro

ριϊδεῖν σκεδασθέντας, ἢ συστάντας αὖθις, ἀπόρους καὶ πολεμικοὺς πολλοὺς ὄντας, οὐκ ᾤετο καλῶς ἔχειν. ἐννοήσας οὖν ὅτι φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν οὔτ᾽ ἔστιν ἀνήμερον ζῶον οὐδ᾽ ἄμικτον, ἀλλ᾽ ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόπων καὶ βίου μεταβολαῖς ἐξημεροῦται· καὶ θηρία διαίτης κοινωνοῦντα πραοτέρας, ἐκδύεται τὸ ἄγριον καὶ χαλεπόν· ἔγνω τοὺς ἄνδρας εἰς γῆν μεταφέρειν ἐκ τῆς θαλάσσης, καὶ βίου γεύειν ἐπιεικοῦς συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. ἐνίους μὲν οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν Κιλίκων πόλεις ἐδέξαντο, καὶ κατέμιξαν ἑαυταῖς χώραν προσλαβοῦσαι· τὴν δὲ Σολίων ἠρημωμένην ἔναγχος ὑπὸ Τιγράνου τοῦ Ἀρμενίων βασιλέως ἀναλαβὼν, ἵδρυσε πολλοὺς ἐν αὐτῇ. τοῖς δὲ πολλοῖς οἰκητήριον δέδωκε Δύμην τὴν Ἀχαΐδα, χηρεύουσαν ἀνδρῶν τότε, γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔχουσαν.

Ταῦτα μὲν οὖν οἱ βασκαίνοντες ἔψεγον· τοῖς δὲ περὶ Κρήτην πραχθεῖσι πρὸς Μέτελλον οὐδ᾽ οἱ πάνυ φιλοῦντες αὐτὸν ἔχαιρον. ὁ γὰρ Μέτελλος οἰκεῖος ὢν ἐκείνου τοῦ συνάρξαντος ἐν Ἰβηρείᾳ τῷ Πομπηΐῳ, στρατηγὸς εἰς Κρήτην ἐπέμφθη πρότερον ἢ τὸν Πομπήϊον αἱρεθῆναι. δευτέρα γάρ τις ἦν αὕτη τῶν πειρατηρίων πηγὴ, μετὰ τὴν ἐν Κιλικίᾳ· καὶ πολλοὺς ἐγκαταλαβὼν ὁ Μέτελλος ἐξῄρει καὶ διέφθειρεν. οἱ δὲ περιόντες ἔτι καὶ πολιορκούμενοι, πέμψαντες ἱκετηρίας, ἐπεκαλοῦντο τὸν Πομπήϊον εἰς τὴν νῆσον, ὡς τῆς ἐκείνου μέρος οὖσαν ἀρχῆς, καὶ πανταχόθεν ἐμπίπτουσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θαλάσσης. ὁ δὲ δεξάμενος ἔγραφε τῷ Μετέλλῳ, κωλύων τὸν πόλεμον. ἔγραψε δὲ καὶ ταῖς πόλεσι,

integro inopes & bellatores multi, finere, existimavit securum. Reputans igitur hominem natura neque nasci neque esse indomitum animal vel ferum, sed efferari, si vitiis se præter naturam dederit, consuetudine vero locorumque & vitæ commutationibus cicurari; immo & belluas victus usu mitioris feritatem & sævitiam deponere: deliberavit illos a mari in continentem transferre, & vitæ gustum humanioris, assuefaciendo urbes & agros colere. Hos ergo partim exigua & minus frequentia Ciliciæ oppida acceperunt, atque in corpus suum contribuerunt agro aucta. Soliorum urbem nuper ab Armeniorum rege desolatam Tigrane instaurans, complures ibi collocavit. Multis etiam sedes dedit Dymæ in Achaia, quæ id temporis orba civibus erat, agrumque possidebat latum & opimum.

Atque hæc quidem invidi vellicabant. Illud vero quod in Metellum perpetravit in Creta, ne summis quidem amicis volupe fuit. Metellus enim illius gentilis, qui Pompeii in Hispania collega fuerat, prætor erat in Cretam prius missus quam designata hæc provincia Pompeio. Ibi enim secundum illum in Cilicia, alter fons erat piratarum, multosque illic deprehensos cepit atque interfecit. Qui autem supererant adhuc & circumsidebantur, caduceatoribus missis Pompeium in insulam acciverunt, ut illius provinciæ partem, atque incidentem in præscriptum a mari modum. Ille precibus eorum admissis interdixit Metello per literas bello. Insuper scripsit civita-

πόλεσι, μὴ προσέχειν Μετέλλῳ, καὶ στρατηγὸν ἔπεμψε τῶν ὑφ᾽ ἑαυτὸν ἀρχόντων ἕνα, Λεύκιον Ὀκταούϊον· ὃς συνεισελθὼν εἰς τὰ τείχη τοῖς πολιορκουμένοις, καὶ μαχόμενος μετ᾽ αὐτῶν, οὐ μόνον ἐπαχθῆ καὶ βαρὺν, ἀλλὰ καὶ καταγέλαστον ἐποίει τὸν Πομπήϊον, ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τοὔνομα κιχράντα, καὶ περιάπτοντα τὴν αὐτοῦ δόξαν, ὥσπερ ἀλεξιφάρμακον, ὑπὸ φθόνου καὶ φιλοτιμίας τῆς πρὸς Μέτελλον. οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ μειρακίου παντάπασιν ἐμπλήκτου καὶ σεσοβημένου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα,

Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·

Πομπήϊον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων, ἐπὶ τῷ τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότος. οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο, καὶ τὸν Ὀκταούϊον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.

Ἀπαγγελθέντος δὲ εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον, καὶ σχολὴν ἄγοντα τὸν Πομπήϊον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων Μάλλιος, ὅσης Λεύκολλος ἄρχει χώρας καὶ δυνάμεως, Πομπήϊον παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ τοῖς βασιλεῦσιν, ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν, καὶ τὸ κράτος τῆς θαλάσσης, ἐφ᾽ οἷς ἔλαβεν ἐξ ἀρχῆς. τοῦτο δὲ ἦν ἐφ᾽ ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἀφικνεῖσθαι τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλα-

civitatibus, ne Metello dicto essent audientes, unumque ex legatis suis misit L. Octavium, qui cum obsessis includens se muris, atque cum his arma socians, non modo odiosum & invidiosum, verum ridiculum quoque Pompeium reddidit; qui invidia in Metellum & æmulatione hominibus nefariis & impiis nomen suum accommodabat, & velut amuletum, appendebat suam authoritatem. Nam neque Achillem viri functum officio dixerunt, sed adolescentuli plane stolidi & animi ad gloriam impotentis, qui abnueret aliis & vetaret telo petere Hectorem, ipsoque icto

Ipse ita posterior prærepta laude veniret :

Pompeium vero etiam conservare armis institisse hostes publicos tuerique, quo detraheret post labores exantlatos multos prætori triumphum. Haud cessit ei Metellus tamen, verum piratas expugnavit sumpsitque de iis supplicium. Octavium multis contumeliis & probris in castris affectum dimisit.

Postquam bellum piraticum patratum esse Romam est allatum, vacuumque negotiis Pompeium urbes visere, unus tribunorum plebis Manilius legem rogavit, qua legiones & provincias, quas Lucullus habebat, dabat Pompeio. Addebat Bithyniam, quam Glabrio obtinebat : ut ille bellum cum Mithridate & Tigrane regibus gereret, retineretque classem & imperium maritimum, ut ab initio acceperat. Hoc erat uni semel subjicere totum imperium Romanum. Quas enim videbatur provincias priore lege non obtinere, Phrygiam, Lycaoniam, Gala-

Γαλατίας, Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας, αὗται προσετίθεντο μετὰ στρατοπέδων καὶ δυνάμεων, αἷς Λεύκουλλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην. ἀλλὰ Λευκούλλου μὲν ἀποστερουμένου τὴν δόξαν ὧν κατειργάσατο, καὶ θριάμβου μᾶλλον ἢ πολέμου διαδοχὴν λαμβάνοντος ἧττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχάριστα πάσχειν τὸν ἄνδρα· τὴν δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες, ὡς τυραννίδα καθισταμένην, ἰδίᾳ παρεκάλουν καὶ παρεθάρρυνον αὐτοὺς ἐπιλαβέσθαι τοῦ νόμου, καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. ἐνστάντος δὲ τοῦ καιροῦ, τὸν δῆμον φοβηθέντες ἐξέλιπον καὶ κατεσιώπησαν οἱ λοιποί· Κάτλος δὲ τοῦ νόμου πολλὰ κατηγορήσας, καὶ δήμου μηδένα πείθων, ἐκέλευε τὴν βουλὴν, ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις, ὄρος ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνὸν, ὅπου καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. ἐκυρώθη δ' οὖν ὁ νόμος πάσαις, ὡς λέγεται, ταῖς φυλαῖς, καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήϊος ἁπάντων σχεδὸν ὧν ὁ Σύλλας ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. αὐτὸς δὲ δεξάμενος τὰ γράμματα, καὶ πυθόμενος τὰ δεδογμένα, τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγαγεῖν, καὶ τὸν μηρὸν πατάξαι, καὶ εἰπεῖν, ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν, Φεῦ τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος, μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς, ἐν ἀγρῷ διαιτήσομαι μετὰ γυναικός. ἐφ' οἷς λεγομένοις

Galatiam, Cappadociam, Ciliciam, ſuperiorem Colchidem, Armeniam, hæ adjiciebantur cum exercitibus & viribus, quibus Mithridatem & Tigranem devicerat Lucullus. Cæterum Luculli, qui magis rerum geſtarum gloria & triumphi honore ſpoliabatur, quam ſucceſſorem accipiebat belli, quamvis affici injuria illum atque ingrate cum eo agi putarent, minorem rationem ducebant optimates; Pompeii vero potentiam inique ferentes, conſtituique ea tyrannidem putantes, cohortabantur concitabantque ſe mutuo, ut legi manum injicerent, nec libertatem projicerent. Inſtante rogationis die, conciderunt populi metu animi eorum, obticueruntque reliqui. Catulus ſolus legem graviter diſſuaſit, atque populum increpavit; qui neminem quum permoveret, ſenatum monuit identidem ex roſtris vociferatus, montem & rupem ſicut majores quærerent, ex quo refugio libertatem tuerentur. At lex omnium tribuum (ut fama eſt) ſuffragiis eſt perrogata, abſentiſque Pompeii permiſſa arbitrio ſunt pene omnia, quæ armis & bello ſubacta civitate obtinuerat Sylla. Ille acceptis ea de re literis, nuntiatoque plebiſcito, dicitur amicis adſtantibus & congratulantibus frontem contraxiſſe, ac femur percuſſiſſe, dixiſſeque, quaſi moleſte jam ferens & pertæſus imperii ſuſcipiendi, Heu infinita certamina! quam præſtabat unum fuiſſe de plebe, ſi nunquam finis erit bellandi, neque hac depoſita invidia, ruri cum conjuge agam! Ea quum diceret,

μένοις οὐδ' οἱ πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες ὅτι τὸ ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν πρὸς Λεύκουλλον ἔχων διαφορὰν, μειζόνως ἔχαιρεν.

Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. πανταχοῦ γὰρ ἐκτιθεὶς διαγράμματα, τοὺς στρατιώτας ἀνεκαλεῖτο, καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς ἑαυτόν. ἐπιὼν τε τὴν χώραν, οὐδὲν ἀκίνητον εἴα τῶν ὑπὸ τοῦ Λουκούλλου γεγονότων· ἀλλὰ καὶ κολάσεις ἀνῆκε πολλοῖς, καὶ δωρεὰς ἀφείλετο, καὶ πάντα ὅλως ἔπραττεν, ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς ὄντα κύριον. ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων, ἔδοξε συνελθεῖν εἰς ταυτό· καὶ συνῆλθον περὶ τὴν Γαλατίαν. οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατωρθωκότων, δάφνας ἀνεσταλμένας ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων. ἀλλὰ Λούκουλλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει, Πομπήϊος δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην ἔτυχε διεληλυθώς. ἰδόντες οὖν οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι τοῦ Πομπηΐου τὰς δάφνας ἀθαλλεῖς καὶ μεμαραμμένας παντάπασιν, ἐκ τῶν ἰδίων προσφάτων οὐσῶν μεταδιδόντες, ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους. ὃ σημεῖον ἔδοξεν εἶναι, τὰ τοῦ Λουκούλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον ἔρχεσθαι Πομπήϊον. ἦν δὲ Λούκουλλος μὲν ἐν ὑπατείας τε τάξει, καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηΐου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. οὐ μὴν ἀλλὰ τὴν πρώτην ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο, μεγαλύνοντες ἀλλήλων τὰ

dicerет, ne admodum quidem familiares ferebant dissimulantiam ejus, gnari eum, cujus innatæ ambitioni atque imperandi cupiditati simultas cum Lucullo adderet igniculos, magis exultare.

Nempe eum etiam ipsa facta cito detexere. Siquidem propositis ubique edictis milites revocavit ad se, principes regesque subditos evocavit, provinciamque ingressus ex actis Luculli immotum reliquit nihil. Immo pœnas etiam multis remisit, præmia ademit, hoc denique summo egit studio, ut admiratoribus illius demonstraret, nullius rei esse ei autoritatem. Quo per amicos expostulante cum eo, visum est in colloquium venire. Congressi sunt in Galatia. Ut maximorum imperatorum & maximis rebus gestis splendidorum laureatos fasces lictores gerentes inter se occurrere. Sed veniebat ex regione Lucullus virenti & umbrosa, Pompeius diu per nudam & rigentem iter fecerat. Igitur contemplati Luculli lictores retorridas Pompeii laureas marcidasque plane, ex recentibus suis participantes exornaverunt & redimiverunt illius fasces: quod in omen vertere, portendi nempe Luculli victoriarum præmia & ornamenta Pompeium ablaturum. Erat Lucullus quidem consulatus ordine & ætate prior, verum amplitudo duobus triumphis major Pompeii. Veruntamen primus eorum congressus invicem res alterius gestas in cœlum ferentium ac de victoriis gratulantium

 quam

τὰ ἔργα, καὶ συνηδόμενοι τοῖς κατορθώμασιν. ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν εἰς φιλαργυρίαν τὸν Λεύκουλλον, ὁ δὲ εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. καὶ Λεύκουλλος μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ δωρεὰς ἄλλας οἷς ἐβούλετο· Πομπήϊος δὲ μικρὸν ἀπωτέρω στρατοπεδεύσας, ἐκώλυε προσέχειν αὐτῷ, καὶ τοὺς στρατιώτας ἅπαντας ἀφείλετο, πλὴν χιλίων ἑξακοσίων· οὓς ἐνόμιζεν ὑπ' αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ Λουκούλλῳ δὲ δυσμενεῖς εἶναι. πρὸς δὲ τούτοις, διασύρων τὰ ἔργα ἐμφανῶς, ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν Λεύκουλλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν, εἰς θυρεοὺς καὶ ξίφη καὶ ἵππους Μιθριδάτου καταφεύγοντος. ἀμυνόμενος δὲ ὁ Λεύκουλλος, εἰδώλῳ καὶ σκιᾷ πολέμου τὸν Πομπήϊον ἔφη μαχούμενον βαδίζειν, εἰθισμένον ἀλλοτρίοις νεκροῖς, ὥσπερ ὄρνιν ἀργὸν, ἐπικαταίρειν, καὶ λείψανα πολέμων σπαράσσειν. οὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερτωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακίοις, τὰ μὲν Κράσσου, τὰ δὲ Μετέλλου, τὰ δὲ Κάτλου κατωρθωκότος. ὅθεν οὐ θαυμάζειν εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέμων ὑποβάλλεται τὴν δόξαν, ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν θρίαμβον ἀμωσγέπως ἐμβαλεῖν μηχανησάμενος.

Ἐκ τούτου Λεύκουλλος μὲν ἀπῆρε, Πομπήϊος δὲ τῷ στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην ἔχοντα τρισμυρίους πεζοὺς ἐν φάλαγγι, καὶ δισχιλίους ἱππεῖς

quam maxime civilis fuit & comis. At in colloquio nulla modestia usi vel moderatione, immo inter se vicissim invecti sunt, hic in Luculli avaritiam, in ambitionem ille Pompeii; ita demum ut ab amicis ægre dirempti fuerint. Hinc Lucullus in Galatia divisit pro arbitrio captum de hostibus agrum, & dona alia dedit. Pompeius paulo longius castris positis, interdixit ne quis ei pareret, milites abstraxit ab eo omnes præter mille sexcentos, quos ob contumaciam sibi inutiles & Lucullo ducebat infensos. Ad hæc palam obtrectans rebus gestis ejus, cum tragœdiis jactabat & umbris regiis bellum a Lucullo gestum: sibi adversus germanas & castigatas vires relictum certamen, ad scuta, gladios, equos refugiente jam Mithridate. Lucullus autem convitia reponens, pergere Pompeium ait ad luctandum cum belli simulacris & umbra, alienis cadaveribus solitum ut ignavam avem involare, & reliquias laniare bellorum. Ita titulum sibi Sertorii, Lepidi, belli Spartacii adscripsisse: quum hoc Crassi decus, illud Catuli, primum esset Metelli. Unde haud mirari se quod laudis bellorum Armeniacorum Ponticorumque succidaneum se inferret, homo in triumphum de fugitivis quovis modo intrudere se machinatus.

Inde decessit Lucullus. Pompeius totius classis stationibus, quod inter Phœniciam & Bosphorum est, mare amplexus, movit ipse in Mithridatem. Habebat ille peditum triginta millia in phalangem ordinatorum, equitum millia

ἱππεῖς, μάχεσθαι δὲ μὴ θαῤῥοῦντα. καὶ πρῶτον μὲν αὐτοῦ καρτερὸν ὄρος καὶ δύσμαχον, ἐν ᾧ στρατοπεδεύων ἔτυχεν, ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ τοῦτο καταλαβὼν ὁ Πομπήϊος, καὶ τῇ φύσει τῶν βλαστανόντων, καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ἐκέλευσεν ἐκβαλεῖν πανταχοῦ φρέατα. καὶ μεστὸν ἦν εὐθὺς ὕδατος ἀφθόνου τὸ στρατόπεδον, ὥστε θαυμάζειν εἰ τῷ παντὶ χρόνῳ τοῦτο Μιθριδάτης ἠγνόησε. ἔπειτα περιστρατοπεδεύσας περιετείχιζεν αὐτόν. ὁ δὲ πέντε καὶ τετταράκοντα πολιορκηθεὶς ἡμέρας, ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐῤῥωμενεστάτης δυνάμεως, κτείνας τοὺς ἀχρήστους καὶ νοσοῦντας. εἶτα μέντοι περὶ τὸν Εὐφράτην καταλαβὼν αὐτὸν ὁ Πομπήϊος παρεστρατοπέδευσε· καὶ δεδιὼς μὴ φθάσῃ περάσας τὸν Εὐφράτην, ἐκ μέσων νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν· καθ' ὃν χρόνον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν τὰ μέλλοντα προδηλοῦσαν. ἐδόκει γὰρ οὐρίῳ πνεύματι πλέων τὸ Ποντικὸν πέλαγος, ἤδη Βόσπορον καθορᾶν, καὶ φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ σαφεῖ καὶ βεβαίῳ χαίρων· ἄφνω δὲ ἀναφανῆναι πάντων ἔρημος, ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. ἐν τοιούτοις δὲ αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιστάντες ἀνέστησαν οἱ φίλοι, φράζοντες ἐπιέναι Πομπήϊον. ἦν οὖν ἐξ ἀνάγκης μαχητέον περὶ τοῦ χάρακος, καὶ προαγαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν. αἰσθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήϊος, ὤκνει κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν, καὶ κύκλῳ μόνον ᾤετο δεῖν περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας

millia duo: verum acie congredi non audebat. Ac primum quum montem validum & munitum, in quo caſtra habuerat, quaſi aridum reliquiſſet, cum ipſum occupavit Pompeius, atque ex fruticum indole locorumque convexitate conjiciens ſubeſſe ibi fontes, imperavit puteos paſſim deprimi, fuitque in caſtris ſtatim aquæ affluentia, ut miraretur tam diu id Mithridatem fugiſſe. Deinde munitionibus cinxit & circumvallavit eum. Ille dies quinque & quadraginta obſeſſus, cum firmiſſimis copiis, quum inutiles & ægrotos occidiſſet, clam conſcivit fugam. Mox tamen eum circa Euphratem adeptus Pompeius, caſtra caſtris ejus contulit: metuenſque ne ante verteret Euphratem tranſmittere, intempeſta nocte inſtructas copias in hoſtem duxit. Quo tempore fama fert vidiſſe Mithridatem in ſomnis ſpeciem, quæ futura ei prænuntiaret. Videbatur nempe ſibi in mari Pontico ſecundo navigare vento, Boſphorumque jam proſpicere, & comiter una vectos affari, ut qui certa & indubitata incolumitate gaudeat: verum repente ab omnibus ſe reperiſſe deſertum, ac fragmento exiguo navigii jactari. His occupatum motibus & imaginibus aſſiſtentes amici excitavere, Pompeium nuntiantes adeſſe. Pugnandum igitur neceſſario pro vallo erat, eductiſque copiis ſtruxerunt duces aciem. Quos parare ſe ubi Pompeius animadvertit, dubitavit per tenebras diſcrimen prœlii ſubire: tantum circumfundendos, ne fugerent, arbitratus eſt, ac ſub lucem exercitu

μέρας δὲ κρείττους ὄντας ἐπιχειρεῖν. οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν δεόμενοι καὶ παρακαλοῦντες ἐξώρμησαν αὐτόν. οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλὰ ἡ σελήνη καταφερομένη παρεῖχεν ἔτι τῶν σωμάτων ἱκανὴν ἔποψιν. καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. ἐπήεσαν μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες. πεπιεσμένου δὲ περὶ τὰς δύσεις τοῦ φωτός, αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι, τοῖς πολεμίοις ἐπέβαλλον οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκριβῶς· ἀλλ' ὡς ἐν χερσὶν ἤδη γεγονότων, τοὺς ὑσσοὺς ἀφέντες μάτην, οὐδενὸς ἐφίκοντο. τοῦτο συνιδόντες οἱ Ῥωμαῖοι, μετὰ κραυγῆς ἐπέδραμον, καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ φεύγοντας ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν, ἁλῶναι δὲ τὸ στρατόπεδον. αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἱππεῦσι διέκοψε καὶ διεξήλασε τοὺς Ῥωμαίους· ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων, ἀπελείφθη μετὰ τριῶν. ἐν οἷς ἦν Ὑψικρατία παλλακίς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος· Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει· τότε δὲ ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον, οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν, οὔτε θεραπεύουσα τὸ σῶμα τοῦ βασιλέως καὶ τὸν ἵππον ἐξέκαμεν, ἄχρις ἧκον εἰς χωρίον Ἰνώρα χρημάτων καὶ κειμηλίων βασιλικῶν μεστόν. ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς, διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ἄκων μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. ἐνθένδε ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην·

citu suo, qui firmior erat, aggrediendos. At majores natu ordinum ductores precando & adhortando concitaverunt eum. Neque enim prorsus cæca nox erat, sed luna præcipitans satis clarum corporum aspectum adhuc præbebat: quod imprimis in errorem duxit regios. Siquidem incurrentes Romani aversam habebant lunam. Luna autem in occasum declivi, umbræ longe corpora præcurrentes incumbebant hostibus, qui non valebant intervallum exacte cognoscere: sed, ut si ad manus ventum esset, hastis incassum emissis neminem attigere. Quo animadverso Romani cum clamore invehuntur, hostesque consistere ultra non audentes, sed perculsos & pedem referentes cædunt. Ita longe plus decem millia cecidere, & castra capta sunt. Ipse Mithridates initio octingentorum equitum cuneo per Romanos via vi facta erupit. Mox cæteris dilapsis, solus relictus cum tribus est: in quibus Hypsicratia fuit pellex: quæ semper quidem virilis audaciæ fuerat, quare Hypsicratem eam rex appellavit. Tunc vero veste amicta virili Persica & equo vecta, nec corpore ex fugæ prolixitate fatiscere visa est, nec curando regis corpore & equo est fatigata, usque dum ad arcem Inora ventum est, ubi regia pecunia & thesauri erant cumulati. Inde sumpsit Mithridates vestes pretiosas, quos confluentibus ad ipsum ex fuga distribuit. Præterea lethale virus cuique amicorum ferendum secum dedit, ne quis in manus hostiles veniret invitus. Inde in Armeniam ad Tigranem contendit.

γράνην· ἐκείνου δὲ ἀπαγορεύοντος, καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου, διὰ τῆς Κολχίδος ἔφευγε.

Πομπήϊος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε, τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρὸς, καὶ συνήντησε τῷ Πομπηΐῳ περὶ τὸν Ἀράξην ποταμὸν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς, εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος. οὗτοι μὲν οὖν προῆγον ἅμα τὰς πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης ἔναγχος μὲν ὑπὸ Λουκούλλου συντετριμμένος, ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾶον εἶναι πυθόμενος τὸν Πομπήϊον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουρὰν, ἀναλαβὼν τοὺς φίλους καὶ συγγενεῖς, αὐτὸς δὲ ἐπορεύετο παραδώσων ἑαυτόν. ὡς δὲ ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδοῦχοι δύο τοῦ Πομπηΐου προσελθόντες ἐκέλευσαν ἀποβῆναι τοῦ ἵππου, καὶ πεζὸν ἐλθεῖν· οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου καθεζόμενον ἐν Ῥωμαϊκῷ στρατοπέδῳ πώποτε ὀφθῆναι. καὶ ταῦτα μὲν οὖν Τιγράνης ἐπείθετο, καὶ τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐτὸν ἦλθε τὸν Πομπήϊον, ἀφελόμενος τὴν κίταριν, ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι, καὶ καταβαλὼν ἑαυτὸν, αἴσχιστα δὴ πάντων προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. ἀλλ' ὁ Πομπήϊος ἔφθη τῆς δεξιᾶς αὐτοῦ λαβόμενος προσαγαγέσθαι, καὶ πλησίον ἱδρύσασθαι ἑαυτοῦ, τὸν δὲ υἱὸν ἐπὶ θάτερα. τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκολλον, ὑπ' ἐκείνου γὰρ ἀφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σοφηνήν· ἃ δὲ ἄχρις ἑαυτοῦ διατετήρηκεν,

dit. Quod ille quum ei interdiceret, ac centum talenta in caput ejus pronuntiasset, prætcritis Euphratis fontibus intendit per Colchidem fugam.

At Pompeius Armeniam accersitus a minore Tigrane ingressus est. Desciverat jam hic a parente, Pompeioque ad Araxem amnem occurrit. Is oritur ex iisdem quibus Euphrates locis, sed deflectens ad orientem in mare Caspium effunditur. Dum hi una progrediuntur, urbesque in fidem recipiunt, rex Tigranes nuper ab Lucullo obtritus, quod mitem animo ac placidum Pompeium accepisset esse, præsidium in regia accepit, atque ipse cum amicis & necessariis ad deditionem faciendam perrexit. Ubi equo est ad castra advectus, præsto ei fuerunt duo Pompeii lictores, ac descendere ei ex equo, pedibusque jusserunt incedere. Neminem enim mortalium in castris Romanis unquam visum qui equo insideret. Obtemperavit in eo Tigranes, gladiumque discinxit tradiditque eis. Ut denique ad Pompeium pervenit, detraxit capiti cidarin, quam instituit ad pedes ejus deponere, & abjiciens se omnium fœdissime ad genua ejus procumbere. Cæterum antevertit Pompeius, apprehensaque dextra sustulit eum; & sedere jussit ad latus suum, ex altero filium. Tum cætera Lucullo ostendit imputanda. Ab illo enim Syria, Phœnicia, Cilicia, Galatia, Sophene ipsos exutos: quæ hactenus retinuissent, ea se

ἔρηκεν, ἕξειν, ἐκτίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας· Σωφηνῆς δὲ βασιλεύειν τὸν υἱόν. ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησε, καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα, περιχαρὴς γενόμενος, ἐπηγγείλατο στρατιώτῃ μὲν ἡμιμναῖον ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς δέκα, χιλιάρχῳ δὲ τάλαντον. ὁ δὲ υἱὸς ἐδυσφόρει, καὶ κληθεὶς ἐπὶ δεῖπνον, οὐκ ἔφη Πομπηΐου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. ἐκ τούτου δεθεὶς εἰς τὸ θρίαμβον ἐφυλάττετο. καὶ μετ᾽ οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος, ἀπαιτῶν μὲν τὸν νεανίσκον, ὡς αὐτοῦ γαμβρὸν ἀξιῶν δὲ τῶν ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ. Πομπήϊος δὲ ἀπεκρίνατο, τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον ἢ τῷ πενθερῷ προσήκειν· ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.

Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον, αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. μέγιστα δὲ αὐτῶν ἐστιν ἔθνη, Ἀλβανοὶ καὶ Ἴβηρες· Ἴβηρες μὲν, ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ Πόντον καθήκοντες, Ἀλβανοὶ δὲ, ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηΐῳ δίοδον ἔδοσαν· χειμῶνος δὲ τὴν στρατείαν ἐν τῇ χώρᾳ καταλαβόντος, καὶ τῆς κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης, γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους, ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμὸν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἀράξην ἀπ᾽ Ἀρμενίας, ἐξίησι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. οἱ δὲ οὔ φασι τούτῳ συμφέρεσθαι τὸν Ἀράξην, ἀλλὰ καθ᾽ ἑαυτὸν, ἐγγὺς

se relicturum ipsis. Injuriarum illatarum multam sex millia talentûm penderent, Sophenes regnum filius haberet. Has conditiones Tigranes approbans, lætusque quod esset ab Romanis rex appellatus, pollicitus est semiminas argenti se in milites daturum, centurioni minas decem, tribuno talentum. Id filius ejus ægre tulit, vocatusque ad cœnam respondit facile se carere Pompeio, qui tales honores sibi haberet. Nam alium se ex Romanis inventurum. Inde in vincula conjectus, atque ad triumphum servatus est. Haud multo post Parthus Phraates legatos misit, adolescentem, ut generum suum, repetitum, & postulatum ut imperiorum Euphrates terminus esset. Pompeius responsum dedit, Tigranem in patris potius quam soceri jure esse: termino autem se usurum justo.

Relicto ad præsidium Armeniæ Afranio, per gentes Caucasum circumcolentes necessario contra Mithridatem iter intendit. Maximæ ex his nationes Albani & Iberes sunt. Iberes ad Moschicos montes & Pontum pertinent: Albani vergunt ad Orientem & mare Caspium. Hi primo petenti Pompeio transitum dedere. Cæterum eo in tractu bruma occupato exercitu & instantibus festis Saturnalibus aggressi sunt iisdem diebus non minus quadraginta millia barbarorum Cyrnum fluvium transmeare. Oritur ille ex montibus Ibericis, auctusque delabente ex Armenia Araxe duodecim ostiis in mare Caspium sese effundit. Alii committi cum eo Araxem negant, sed seorsum prope

ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. Πομπήιος δὲ, καίπερ ἐνστῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτα ἐπαγαγὼν ἐτρέψατο, καὶ διέφθειρε παμπληθεῖς. τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν, καὶ σπεισάμενος, ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι, καὶ διωθεῖσθαι τὸν Πομπήιον. οὔτε γὰρ Μήδοις, οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες· διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Ὑρκανίας ἀπάραντος. οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήιος, ὥστε ἀποθανεῖν μὲν ἐνακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουΐλιος ἀπήντησε, τὰς ναῦς ἔχων αἷς ἐφρούρει τὸν Πόντον.

Ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν, ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δὲ αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας, τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν διεπέρασεν, ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον· καὶ μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος, ἤλαυνεν ἐπὶ τοὺς πολεμίους, καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους, ἑξακισμυρίους πεζοὺς, καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. ἡγεῖτο δὲ αὐτῶν βασιλέως ἀδελφὸς, ὄνομα

prope eum evolvi in idem pelagus. Hostes Pompeius, licet transitum eorum impedire potuisset, permisit per otium trajicere. Inde illatis signis, ingentem numerum eorum fudit fugavitque. Regi supplici, qui legatos ad ipsum misit, dedit veniam, ictoque fœdere in Iberas movit, nec numero pauciores, & aliis bellicosiores, majoremque in modum cupidos de Mithridate bene mereri ac propulsare Pompeium. Quippe neque Medis neque Persis paruerant Iberes. Declinaverunt Macedonum quoque imperium, quod raptim Alexander Hyrcania excesserit. Quibus pariter ingenti prœlio profligatis, in quo novem millia occubuere, capti amplius decem millia, regionem Colchicam iniit. Ad Phasim ei Servilius cum classe, qua tuebatur Pontum, occurrit.

Ac quidem Mithridatis insectatio, qui in gentes Bosphori & Mœotidis accolas abdiderat se, magnas præbuit Pompeio perplexitates: atque Albanos allatum est denuo defecisse; in quos ira & pervicaci ulciscendi ardore stimulatus vertit, Cyrnumque iterum ingenti difficultate & periculo transmisit. Eum nempe magno spatio vallaverant barbari palis. Hic quum eum longa, arida, & aspera via exciperet, decem millia utrium aqua implevit, atque ita in hostem duxit. Offendit ad amnem Abanta peditum millia sexaginta, equitum duodecim millia in acie instructa, magna ex parte male & ferinis tergoribus armatorum: quos regis frater,

ὄνομα Κῶσις. οὗτος ἐν χερσὶ τῆς μάχης γενομένης ἐπὶ τὸν Πομπήιον ὁρμήσας, αὐτὸν ἔβαλλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι, Πομπήιος δὲ ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συναγωνίσασθαι τοῖς βαρβάροις, ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβᾶσαι. μετὰ γὰρ τὴν μάχην σκυλεύοντες οἱ Ῥωμαῖοι τοὺς βαρβάρους, πέλταις Ἀμαζονικαῖς καὶ κοθόρνοις ἐνετύγχανον, σῶμα δὲ οὐδὲν ὤφθη γυναικεῖον. νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς τὴν Ὑρκανίαν θάλασσαν, οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου· καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταυτό φοιτῶσαι περὶ τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν.

Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήιος ἐλαύνειν ἐπὶ τὴν Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν, ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη, τριῶν ὁδὸν ἡμερῶν ἀποσχών. εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε, καὶ τοῖς μὲν Ἐλυμαίων καὶ Μήδων βασιλεῦσι πέμψασι πρέσβεις ἀντέγραψε φιλικῶς· τὸν δὲ Πάρθον, εἰς τὴν Γορδυηνὴν ἐμβεβληκότα καὶ περικόπτοντα τοὺς ὑπὸ Τιγράνῃ, πέμψας μετὰ Ἀφρανίου δύναμιν, ἐξήλασε διωχθέντα μέχρι τῆς Ἀρβηλίτιδος. ὅσαι δὲ τῶν Μιθριδάτου παλλακίδων ἀνήχθησαν, οὐδεμίαν ἔγνω, πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμπεν. ἦσαν γὰρ αἱ πολλαὶ, θυγατέρες καὶ γυναῖκες στρατηγῶν καὶ δυναστῶν. Στρατονίκη δὲ, ἣ μέγιστον εἶχεν ἀξίωμα, καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν, ἣν μὲν, ὡς

Cosis nomine, ductabat. Hic, quum signa collata essent, in ipsum invectus Pompeium, percussit jaculo loricæ ejus commissuram: Pompeius illum hasta transfixit & occidit. In hac pugna Amazones, a montibus Thermodonti fluvio accubantibus profectæ, auxilio venisse perhibentur barbaris. Quippe a prœlio, dum spolia barbarorum legunt Romani, peltas Amazonicas cothurnosque repperere, corpus vero muliebre apparuit nullum. Caucasum incolunt, qua ad mare Hyrcanum spectat, non conterminæ Albanis, sed interveniunt Gelæ & Leges. Cum his menses binos quoque anno ad amnem Thermodontem congrediuntur & concumbunt. Inde digressæ seorsum degunt.

Pompeius quum secundum pugnam gestiret Hyrcaniam & mare Caspium visere, a venenatorum serpentium vi, quum abesset trium dierum itinere, deterritus divertit in Armeniam minorem. Elymæorum & Medorum regibus, qui legatos ad eum miserant, benigne rescripsit. Parthum Gordyenem incursantem, & Tigranis subditos vastantem, misso cum exercitu Afranio, expulit, insectatusque est usque ad Arbelitin. Ex omnibus Mithridatis pellicibus, quæ attractæ ad eum fuere, nullam attigit, omnes ad parentes & propinquos remisit. Nam ducum fere & dynastarum filiæ conjugesque erant. Stratonice vero, quæ apud eum summæ erat authoritatis, opulentissimamque arcem servabat, cantoris cujusdam (u-

ti

ὡς ἔοικε, ψάλτου τινός, οὐκ εὐτυχοῦς τἆλλα, πρεσβύτου δὲ θυγάτηρ. οὕτω δὲ εὐθὺς εἷλε περὶ πότον ψήλασα τὸν Μιθριδάτην, ὥστε ἐκείνην μὲν ἔχων ἀνεπαύετο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε δυσφοροῦντα τῷ μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. ὡς μέντοι περὶ ὄρθρον ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν τραπέζας, ὄχλον δὲ θεραπείας πολύν, εὐνούχους δὲ καὶ παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ, καὶ πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον, ὥσπερ οἱ τῶν φίλων τοῦ βασιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα καὶ παιδιὰν ἡγούμενος, ὥρμησε φεύγειν διὰ θυρῶν. τῶν δὲ θεραπόντων ἀντιλαμβανομένων, καὶ λεγόντων ὅτι πλουσίου τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς δεδώρηται, καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσίν· οὕτω πεισθεὶς μόλις, καὶ τὴν πορφύραν ἀναλαβὼν, καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, ἤλαυνε διὰ τῆς πόλεως, βοῶν, Ἐμὰ ταῦτα πάντα ἐστί. πρὸς δὲ τοὺς καταγελῶντας, οὐ τοῦτο ἔλεγεν εἶναι θαυμαστὸν, ἀλλ' ὅτι μὴ λίθοις βάλλῃ τοὺς ἀπαντῶντας, ὑφ' ἡδονῆς μαινόμενος. ταύτης μὲν ἦν καὶ γενεᾶς καὶ αἵματος ἡ Στρατονίκη. τῷ δὲ Πομπηΐῳ καὶ τὸ χωρίον παρεδίδου τοῦτο, καὶ δῶρα πολλὰ προσήνεγκεν· ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ θριάμβῳ παρέξειν ἐφαίνετο, λαβὼν μόνα, τὰ λοιπὰ τὴν Στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην τε καὶ τράπεζαν καὶ θρόνον, ἅπαντα χρυσᾶ, πέμψαντος αὐτῷ καὶ δεηθέντος λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.

Ἐν

ti fama est) non abundantis & senis fuit filia. Adeo hæc repente psallens in convivio cepit Mithridatem, ut cum ea illico cubitum discederet, senemque ablegaret moleste ferentem, quod ne appellasset quidem se benigne. Ut tamen sub diluculo expergefactus, domi conspexit aureis & argenteis poculis refertas mensas, frequentem & famulitii turbam, eunuchos & pueros, qui sibi pretiosa pallia offerrent, atque in vestibulo stantem equum exornatum, sicut regis amicis solet, derisui & ludibrio se haberi ratus, efferre se ostio voluit: verum retinentibus eum ministris, exponentibusque divitis nuper defuncti opimam hæreditatem ei a rege donari, atque tenues has primitias & documenta esse reliquorum bonorum & possessionum; ita vix tandem his fidem habens, purpuram induit, insiliensque in equum per urbem vectus est clamitans, Mea hæc omnia sunt. Ad deridentes ipsum, non hoc ait esse mirum, sed quod gaudii impotens obvios non incesseret lapidibus. His natalibus & sanguine fuit Stratonice. Ea Pompeio & arcem tradidit, & multa munera obtulit: ex quibus ille, quæ ornatum templis, & triumpho existimabat præbitura splendorem, sola accepit, reliquis Stratonicem se jussit oblectare. Perinde quum rex Iberum lectum, mensam, & sellam ei, omnia aurea, misisset, precareturque ea ut acciperet, hæc quoque quæstoribus, ut referrent in tabulas publicas, tradidit.

In

Ἐν δὲ τῷ Καινῷ Φρουρίῳ καὶ γράμμασιν ἀπορρήτοις ὁ Πομπήϊος ἐνέτυχε τοῦ Μιθριδάτου, καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν. ὑπομνήματα γὰρ ἦν ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς καὶ τὸν υἱὸν Ἀριαράθην ἀνῃρηκώς, καὶ τὸν Σαρδιανὸν Ἀλκαῖον, ὅτι παρευδοκίμησεν αὐτὸν ἵππους ἀγωνιστὰς ἐλαύνων. ἦσαν δὲ ἀναγεγραμμέναι κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δὲ ἔνιαι τῶν γυναικῶν. ἐπιστολαί τε Μονίμης πρὸς αὐτὸν ἀκόλαστοι, καὶ πάλιν ἐκείνου πρὸς αὐτήν. Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναι φησὶ παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίᾳ Ῥωμαίων. ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι, κακοήθευμα τοῦ Θεοφάνους εἶναι· τάχα μὲν οὐδὲν αὐτῷ τὸν Ῥουτίλιον ἐοικότα μισοῦντος, εἰκὸς δὲ καὶ διὰ Πομπήϊον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς ἱστορίαις.

Ἐντεῦθεν εἰς Ἀμισὸν ἐλθὼν ὁ Πομπήϊος, πάθος νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. πολλὰ γὰρ τὸν Λούκουλλον ἐπικερτομήσας, ὅτι τοῦ πολεμίου ζῶντος ἔγραφε διατάξεις, καὶ δωρεὰς ἔνεμε καὶ τιμάς, ἃς συνῃρημένου πολέμου καὶ πέρας ἔχοντος εἰώθασι ποιεῖν οἱ νενικηκότες, αὐτὸς ἐν Βοσπόρῳ Μιθριδάτου κρατοῦντος καὶ συνειλοχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταῦτα, διακοσμῶν τὰς ἐπαρχίας, καὶ διανέμων δωρεάς, πολλῶν μὲν ἡγεμόνων καὶ δυναστῶν, βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. ὅθεν οὐδὲ ἠξίωσε τὸν Πάρθον ἀντιγράφων, ὥσπερ οἱ λοιποί, βασιλέα βασιλέων προσαγορεῦσαι, τοῖς ἄλλοις χαριζόμενος. αὐ-

τὸν

In arce, quod dicebatur Cænon, arcana monumenta Pompeius Mithridatis nactus est, nec ea sine oblectatione quadam legit, quod clare illius mores patefacerent. Erant commentarii, ex quibus veneno cum alios complures tum filium comperit eum Ariarathem sustulisse, præterea Sardianum Alcæum, quod in ludis ipsum aurigando antecelluisset. Significationes item perscriptæ erant somniorum, quæ partim ipse, partim nonnullæ conjugum ejus viderant. Ad hæc Monimes ad eum, & ad hanc illius lasciviæ epistolæ. Theophanes etiam Rutilii inventam prodit orationem, qua eum ad civium Romanorum cædem in Asia inflammavit: quod recte plerique a Theophane conjiciunt maliciose confictum, qui nihil sui Rutilium similem prosequeretur odio. Probabile etiam sit Pompeii causa: cujus patrem hominem teterrimum ostendit in historiis Rutilius.

Hinc Amisum profectus Pompeius est, ubi ambitione impulsus rem designavit invidiosam. Qui enim acerbe Lucullum vellicaverat, quod hoste vivo provincias composuisset, præmiaque & honores esset dilargitus, quæ facere patrato & confecto bello solent victores, ipse dominante in Bosphoro Mithridate, qui contraxerat etiam manum haud contemnendam, quasi omnibus confectis eadem egit, provincias ordinavit, & dona contulit. Multi duces, dynastæ, reges etiam duodecim ad eum convenerunt barbari. Unde nec Parthum rescribens voluit in aliorum gratiam Regem regum, sicut cæteri, appellare. Te-

nebat

τὸν δέ τις ἔρως καὶ ζῆλος εἶχε Συρίαν ἀναλαβεῖν, καὶ διὰ τῆς Ἀραβίας ἐπὶ τὴν ἐρυθρὰν ἐλάσαι θάλασσαν, ὡς τῷ περιιόντι τὴν οἰκουμένην Ὠκεανῷ προσμίξειε νικῶν. καὶ γὰρ ἐν Λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσσης κρατῶν προῆλθε, καὶ τὴν ἐν Ἰβηρίᾳ πάλιν ἀρχὴν ὡρίσατο Ῥωμαίοις τῷ Ἀτλαντικῷ πελάγει, καὶ τρίτον ἔναγχος Ἀλβανοὺς διώκων, ὀλίγον ἐδέησεν ἐμβαλεῖν εἰς τὴν Ὑρκανίαν θάλασσαν. ὡς οὖν συνάψων τῇ ἐρυθρᾷ τὴν περίοδον τῆς στρατείας, ἀνίστατο. καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἑώρα δυσθήρατον ὄντα τοῖς ὅπλοις, καὶ φεύγοντα χαλεπώτερον ἢ μαχόμενον.

Διὸ τοῦτο μὲν εἰπών, ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν, ἐπέστησε φύλακας τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ἡ ζημία τοῖς ἁλισκομένοις. ἀναλαβὼν δὲ τῆς στρατιᾶς τὴν πληθὺν συχνὴν προῆγε, καὶ τῶν μετὰ Τριαρίου πρὸς Μιθριδάτην ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων, ἐντυχὼν ἀτάφοις ἔτι τοῖς νεκροῖς, ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας. ὃ δοκεῖ παραλειφθέν, οὐχ ἥκιστα Λουκούλλῳ μίσους αἴτιον γενέσθαι. χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς περὶ Ἀμανὸν Ἄραβας, καὶ καταβὰς αὐτὸς εἰς Συρίαν, ταύτην μὲν ὡς οὐκ ἐχουσαν γνησίους βασιλεῖς, ἐπαρχίαν ἀπέφηνε, καὶ κτῆμα τοῦ δήμου Ῥωμαίων· τὴν δὲ Ἰουδαίαν κατεστρέψατο, καὶ συνέλαβεν Ἀριστόβουλον τὸν βασιλέα. πόλεις δὲ τὰς μὲν ἔκτιζε, τὰς δὲ ἠλευθέρου, κολάζων τοὺς ἐν αὐταῖς τυράννους. τὴν δὲ πλείστην διατριβὴν ἐν τῷ δικάζειν ἐποιεῖτο, πόλεων καὶ βασιλέων ἀμφισβητήματα διαιτῶν· ἐφ' ἃ

δὲ

nebat autem eum desiderium & cupiditas Syriæ recipiendæ, atque per Arabiam penetrandi ad mare rubrum, ut ad Oceanum, quo orbis terræ undique cingitur, perveniret victor. Etenim in Africa victoriam usque ad Oceanum princeps protulerat. Jam in Hispania iterum imperium Romanum mari terminaverat Atlantico. Tertio consectandis modo Albanis pene attigerat mare Hyrcanum. Igitur, quo expeditionis suæ committeret mari rubro circuitum, signa movit. Quippe Mithridatis alioquin arduam videbat capturam, eumque in fuga quam certamine molestiorem.

Itaque validiorem hostem fatus relicturum se ei famem, stationes navium disposuit contra navigantes in Bosphorum mercatores, pœnamque capitis capitalem indixit, ac trahens secum magnam exercitus manum iter est ingressus. Ibi incidit in cadavera etiamnum inhumata illorum qui duce Triario improspere cum Mithridate pugnaverant ceciderantque. Hos splendide & magnifice omnes tumulavit: quod neglectum, militum animos imprimis putatur ab Lucullo abalienasse. Subjugatis per Afranium Arabibus, qui Amanum accolunt, descendit in Syriam: quam ut justo rege vacantem in formam provinciæ redegit, possessionemque fecit populi Romani. Judæam subegit, regemque Aristobulum cepit. Urbes alias condidit, alias fecit immunes, puniens earum tyrannos. Plurimum temporis in jure dicendo posuit, urbium & regum controversias disceptans. Quo non adiret

ip-

δὲ αὐτὸς οὐκ ἐξικνεῖτο, πέμπων τοὺς φίλους· ὥσπερ Ἀρμενίοις καὶ Πάρθοις, περὶ ἧς διεφέροντο χώρας τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ, τρεῖς ἀπέστειλε κριτὰς καὶ διαλλακτάς. μέγα μὲν γὰρ ἦν ὄνομα τῆς δυνάμεως, οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πρᾳότητος· ᾧ καὶ τὰ πλεῖστα τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων καὶ συνήθων ἀπέκρυπτε, κωλύειν μὲν ἢ κολάζειν τοὺς πονηρευομένους οὐ πεφυκώς, αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνουσι τοιοῦτον, ὥστε καὶ τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας εὐκόλως ὑπομένειν.

Ὁ δὲ μέγιστον δυνάμενος παρ' αὐτῷ, Δημήτριος ἦν ἀπελεύθερος, οὐκ ἄφρων εἰς τἆλλα νεανίας, ἄγαν δὲ τύχῃ χρώμενος. περὶ οὗ καὶ τοιόνδε τι λέγεται· Κάτων ὁ φιλόσοφος, ἔτι μὲν ὢν νέος, ἤδη δὲ μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν εἰς Ἀντιόχειαν, οὐκ ὄντος αὐτόθι Πομπηίου, βουλόμενος ἱστορῆσαι τὴν πόλιν. αὐτὸς μὲν οὖν, ὥσπερ ἀεί, πεζὸς ἐβάδιζεν, οἱ δὲ φίλοι συνώδευον ἵπποις χρώμενοι. κατιδὼν δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς, καὶ παρὰ τὴν ὁδὸν ἔνθεν μὲν ἐφήβους, ἔνθεν δὲ τοὺς παῖδας διακεκριμένους, ἐδυσχέραινεν, οἰόμενος εἰς τιμὴν τινα καὶ θεραπείαν ἑαυτοῦ μηδὲν δεομένου ταῦτα γίνεσθαι. τοὺς μέντοι φίλους ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ' αὐτοῦ· γενομένοις δὲ πλησίον ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ καθιστάς, ἔχων στέφανον καὶ ῥάβδον, ἀπήντησε πυνθανόμενος παρ' αὐτῶν, ποῦ Δημήτριον ἀπολελοίπασι, καὶ πότε ἀφίξεται. τοὺς μὲν οὖν φίλους τοῦ Κάτωνος γέλως ἔλαβεν· ὁ δὲ Κάτων εἰπών, Ὦ τῆς ἀθλίας πόλεως, παρῆλθεν, οὐδὲν ἕτερον ἀποκρινάμενος. οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις

τοῦτον

ipse, amicos misit. Ita Armeniis & Parthis, qui de certa regione ambigentes causam ejus arbitrio permiserant, tres judices & arbitros misit. Ingens enim nomen erat ejus potentiæ, nec virtutis & mansuetudinis minus: quo pleraque amicorum & familiarium suorum velabat admissa, minime factus ad coercendos aut puniendos facinorosos, verum sese eum præbebat adeuntibus, ut illorum ferrent æquo animo avaritiam & acerbitatem.

Plurimum autem apud eum libertus poterat Demetrius, non insipiens cætera juvenis, sed insolenter fortuna utens: de quo hoc refertur. Cato philosophus, juvenis tum quidem, sed magnæ jam existimationis & animi, Antiochiam absente Pompeio ad visendam perrexit urbem. Iter perpetuo faciebat more suo pedibus: amici, qui comitabantur eum, vectabantur equis. Hic contemplatus pro porta virorum turbam in vestibus candidis, atque ex uno latere viæ adultos, ex alio pueros discretos, stomachatus est, ratus honoris sui & officii causa hæc, quæ non morabatur, facta: amicos tamen ad pedes digredi, & secum jussit incedere. Quum prope venissent, occurrit iis cum corona & virga magister ejus pompæ, qui omnia illa componebat, quærens de ipsis ubi Demetrium reliquissent, & quando esset adfuturus. Ibi Catonis amicis in risum effusis, Cato ait, O miseram civitatem! neque alio dato responso præteriit. Sed tamen minus apud alios invidio-

sum

τοῦτον τὸν Δημήτριον ἧττον ἐπίφθονον ἐποίει αὐτὸς ὁ Πομπήϊος, ἐντρυφώμενος ὑπ' αὐτοῦ, καὶ μὴ δυσκολαίνων. λέγεται γὰρ ὅτι πολλάκις ἐν ταῖς ὑποδοχαῖς τοῦ Πομπηΐου προσμένοντος καὶ δεχομένου τοὺς ἄλλους, ἐκεῖνος ἤδη κατέκειτο σοβαρῶς ἔχων δι' ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. οὔπω δὲ εἰς Ἰταλίαν ἐπανεληλυθὼς, ἐκέκτητο τῆς Ῥώμης τὰ ἥδιστα προάστεια, καὶ τῶν ἡβητηρίων τὰ κάλλιστα· καὶ κῆποι πολυτελεῖς ἦσαν ὀνομαζόμενοι Δημητρίου· καίτοι Πομπήϊος αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ ἀφελῶς ᾤκησεν. ὕστερον δὲ Ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ περιβόητον ἀνιστὰς θέατρον, ὥσπερ ἐφόλκιόν τι, παρετεκτήνατο λαμπροτέραν οἰκίαν ἐκείνης, ἀνεπίφθονον δὲ καὶ ταύτην· ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς μετὰ Πομπήϊον, εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι, ποῦ Πομπήϊος Μάγνος ἐδείπνει. ταῦτα μὲν οὖν οὕτω λέγεται.

Τοῦ δὲ βασιλέως τῶν περὶ τὴν Πέτραν Ἀράβων, πρότερον μὲν ἐν οὐδενὶ λόγῳ τὰ Ῥωμαίων τιθεμένου, τότε δὲ δείσαντος ἰσχυρῶς, καὶ γράψαντος ὅτι πάντα πείθεσθαι καὶ ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμενος αὐτοῦ τὴν διάνοιαν ὁ Πομπήϊος, ἐστράτευσεν ἐπὶ τὴν Πέτραν οὐ πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον στρατείαν. ἀπόδρασιν γὰρ ᾤοντο τῆς Μιθριδάτου διώξεως εἶναι, καὶ πρὸς ἐκεῖνον ἠξίουν τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιστὴν, αὖθις ἀναζωπυροῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο, διὰ Σκυθῶν καὶ Παιόνων στρατὸν ἐλαύνειν ἐπὶ τὴν Ἰταλίαν. ὁ δὲ ῥᾷδιον οἰόμενος αὐτοῦ καταλύσειν τὴν δύναμιν πολεμοῦντος, ἢ τὸ σῶμα λήψεσθαι φεύγοντος, οὐκ ἐβούλετο

τρί-

sum hunc Demetrium ipse efficiebat Pompeius, qui illius in se insolentiam non ægre ferebat. Memorant enim operiente in conviviis atque excipiente alios Pompeio, subinde illum jam accubuisse fastuose, & pileum usque ad aures capiti attraxisse. Nondum in Italiam reversus amœnissima suburbana Romæ comparaverat, & pulcherrima gymnasia; hortique pretiosissimi erant, qui Demetrii dicebantur, quum usque ad tertium triumphum Pompeius modicam & civilem domum haberet. Post populo Romano eximium illud & celebratum theatrum exstruxit, & juxta velut appendicem ædificavit domum priore splendidiorem, sed ne hanc quidem invidiosam: ut ille, qui dominus ejus post Pompeium fuit, eam ingressus obstupesceret, & quæreret ubinam Pompeius Magnus cœnasset. Atque hæc ita referuntur.

Rex autem Arabiæ Petreæ, contemptis ante Romanis armis, tunc magno metu perculsus, dicto audientem scripsit se ei fore & imperata facturum. Quo magis autem istud hujus consilium Pompeius confirmaret, movit Petram. Quæ expeditio apud multitudinem castrensem non carebat reprehensione: declinationem enim putabant eam insequendi Mithridatis, atque in illum vertenda arma censebant, veterem hostem, qui jam bellum instaurabat, & parabat (ut annuntiabatur) per Scythiam & Pæoniam cum exercitu invadere Italiam. At Pompeius pronius sibi factu existimans vires opprimere bellum gerentis, quam corpus capere fugientis, quum non esset ei consilium

nequic-

τρίβεσθαι μάτην ἐπὶ τὴν δίωξιν, ἑτέρας δὲ τοῦ πολέμου παρενθήκας ἐποιεῖτο, καὶ τὸν χρόνον εἷλκεν. ἡ δὲ τύχη τὴν ἀπορίαν ἔλυσεν. οὐκέτι γὰρ αὐτοῦ τῆς Πέτρας πολλὴν ὁδὸν ἀπέχοντος, ἤδη δὲ τῆς ἡμέρας ἐκείνης βεβλημένου χάρακα, καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ περὶ τὸ στρατόπεδον, γραμματηφόροι προσήλαυνον ἐκ Πόντου κομίζοντες εὐαγγέλια. δῆλοι δ' εὐθύς εἰσι ταῖς αἰχμαῖς τῶν δοράτων· δάφναις γὰρ ἀναστέφονται. τούτους ἰδόντες οἱ στρατιῶται συνετρόχαζον πρὸς τὸν Πομπήϊον. ὁ δὲ πρῶτον μὲν ἐβούλετο τὰ γυμνάσια συντελεῖν, βοώντων δὲ καὶ δεομένων, καταπηδήσας ἀπὸ τοῦ ἵππου, καὶ λαβὼν τὰ γράμματα προῄει. βήματος δὲ οὐκ ὄντος, οὐδὲ τοῦ στρατιωτικοῦ γενέσθαι φθάσαντος, ὃ ποιοῦσιν αὐτοί, τῆς γῆς ἐκτομὰς βαθείας λαμβάνοντες, καὶ καταλλήλων συντιθέντες· ὑπὸ τῆς τότε σπουδῆς καὶ προθυμίας τὰ σάγματα τῶν ὑποζυγίων συμφορήσαντες ὕψος ἐξῆραν. ἐπὶ τοῦτο προβὰς ὁ Πομπήϊος, ἀπήγγειλεν αὐτοῖς ὅτι Μιθριδάτης τέθνηκε, στασιάσαντος Φαρνάκου τοῦ υἱοῦ διαχρησάμενος ἑαυτόν. τὰ δὲ ἐκεῖ πάντα πράγματα Φαρνάκης κατεκληρώσατο, καὶ ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος.

Ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον, ὡς εἰκός, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν τῷ Μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων. Πομπήϊος δὲ ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς στρατείαις κεφαλὴν ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν, εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας· καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας, εἰς Ἀμισὸν ἀφίκετο, καὶ κατέλαβε πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκομισμένα, πολλὰ δὲ σώματα

nequicquam ſeſe fatigare in perſequendo illo, alias belli digreſſiones fecit & tempus duxit. At diſſolvit fortuna eum nodum. Quum enim jam non procul a Petra abeſſet, atque adeo illo die jam eſſet caſtra metatus, corpuſque circa vallum ex equo exerceret, tabellarii accurrerunt ex Ponto lætum nuntium afferentes. Id ſtatim lanceatum cuſpidibus demonſtrant, quas lauri frondibus exornant. His conſpectis milites ad Pompeium concurrerunt. Quum perficere vellet ille exercitationem, vociferantibus & precantibus illis deſiliit ex equo, literiſque acceptis progreſſus eſt. Non erat ibi ſuggeſtus, neque dum erectus fuerat caſtrenſis, quem faciunt grandibus ceſpitibus exciſis & accumulatis: tunc vero nimia properatione & ſtudio congeſtis jumentorum clitellis tumulum excitavere. Eo poſtquam conſcendit Pompeius, nuntiavit iis Mithridatem deceſſiſſe: qui, quod ſeceſſiſſet ab ipſo Pharnaces filius, manus ſibi ipſe intulerat. Omnia illic Pharnacem occupaſſe, eaque ſibi & Romanis ſcripſiſſe facere.

Inde exercitus haud immerito, quaſi in Mithridatis corpore ſexcentis exſtinctis hoſtibus, ovans convertit ſe ad ſacrificandum & convivia. Pompeius impoſita factis ſuis & expeditionibus, quam haud ita exſpectaverat facilem, coronide, extemplo ſigna retro ex Arabia movit. Provincias intermedias curſim emenſus, Amiſum pervenit, invenitque multa dona a Pharnace allata, multa corpora ex

ματα τῶν βασιλικῶν· αὐτὸν δὲ τὸν Μιθριδάτου νεκρὸν, οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου, (τὸν γὰρ ἐγκέφαλον ἔλαθεν ἐκτῆξαι τοὺς θεραπεύοντας) ἀλλὰ ταῖς οὐλαῖς ἐπεγίγνωσκον οἱ δεόμενοι τοῦ θεάματος. οὐ γὰρ αὐτὸς Πομπήϊος ἰδεῖν ὑπέμεινεν, ἀλλ' ἀφοσιωσάμενος τὸ νεμεσητὸν, εἰς Σινώπην ἀπέπεμψε. τῆς δ' ἐσθῆτος ἣν ἐφόρει, καὶ τῶν ὅπλων τὸ μέγεθος καὶ τὴν λαμπρότητα ἐθαύμασε. καίτοι τὸν μὲν ξιφιστῆρα πεποιημένον ἀπὸ τετρακοσίων ταλάντων Πόπλιος κλέψας ἐπώλησεν Ἀριαράθῃ· τὴν δὲ κίδαριν Γάϊος τοῦ Μιθριδάτου σύντροφος ἔδωκε κρύφα δεηθέντι Φαύστῳ τῷ Σύλλα παιδὶ, θαυμαστῆς οὖσαν ἐργασίας. ὃ τότε τὸν Πομπήϊον διέλαθε· Φαρνάκης δὲ γνοὺς ὕστερον, ἐτιμωρήσατο τοὺς ὑφελομένους. διοικήσας δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος, οὕτως ἤδη πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. καὶ γὰρ εἰς Μιτυλήνην ἀφικόμενος, τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη, καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν, ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις. ἡσθεὶς δὲ τῷ θεάτρῳ, περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ τὸν τύπον, ὡς ὅμοιον ἀπεργασόμενος τὸ ἐν Ῥώμῃ, μεῖζον δὲ καὶ σεμνότερον. ἐν δὲ Ῥόδῳ γενόμενος, πάντων μὲν ἠκροάσατο τῶν σοφιστῶν, καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε. Ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγραψεν, ἣν ἔσχεν ἐπ' αὐτοῦ, πρὸς Ἑρμαγόραν τὸν ῥήτορα περὶ τῆς καθόλου ζητήσεως ἀντιταξάμενος. ἐν δὲ Ἀθήναις, τὰ μὲν πρὸς τοὺς φιλοσόφους ὅμοια τοῦ Πομπηΐου· τῇ πόλει δὲ ἐπιδοὺς εἰς ἐπισκευὴν πεντήκοντα τάλαντα, λαμπρότατος ἀνθρώπων

ἤλπιζεν

ex familia regia, ipsum etiam Mithridatis cadaver non admodum ex facie cognitum. Nam cerebrum, qui corpus curaverant, omiserant macerare: verum agnoverunt eum ex cicatricibus, qui id spectaculi desiderabant. Nam ipse non sustinuit id videre Pompeius, verum avertens Deorum invidiam, Sinopen amandavit. Vestem, qua amicire solitus erat se, armorumque molem & splendorem miratus est. Quanquam gladii vaginam, quæ constiterat talentis quadringentis, Publius furatus venundedit Ariarathi. Cidarin Caius, qui cum Mithridate educatus fuerat, Fausto Syllæ filio petenti occulte dedit, operis mirifici: quod in præsentia Pompeium fefellit; at Pharnaces, quum post rescivisset, in illos qui ea averterant, animadvertit. Ordinata inde & composita provincia, tum fecit majore pompa iter. Namque postquam pervenit Mitylenen, civitatem immunitate Theophanis gratia donavit, institutumque a majoribus poetarum certamen, quod unum habebat argumentum ipsius res gestas, spectavit. Delectatus theatro, delineavit effigiem & figuram ejus, quo Romæ simile excitaret, grandius tamen & excellentius. Rhodum profectus, omnes sophistas audivit, donavitque singulis talentum. Posidonius etiam descripsit disputationem, quam illo audiente habuit contra Hermagoram rhetorem de quæstione generali. Par extitit Athenis adversus philosophos Pompeii munificentia. Civitati ad urbis instaurationem quinquaginta talenta largitus, sperabat omnium mortalium

se

ἤλπιζεν ἐπιβήσεσθαι τῆς Ἰταλίας καὶ ποθῶν ὀφθήσεσθαι τοῖς οἴκοι ποθοῦσιν. ᾧ δ' ἄρα πρὸς τὰ λαμπρὰ καὶ μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν ἀεί τινα κεραννύναι κακοῦ μοῖραν ἐπιμελές ἐστι δαιμονίῳ, τοῦτο ὑποικούρει πάλαι παρασκευάζον αὐτῷ λυπηροτέραν τὴν ἐπάνοδον. ἐξύβρισε γὰρ ἡ Μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. καὶ πόρρω μὲν ὢν ὁ Πομπήϊος κατεφρόνει τοῦ λόγου, πλησίον δὲ Ἰταλίας γενόμενος, καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον, ὡς ἔοικε, τῆς αἰτίας ἁψάμενος, ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν· οὔτε τότε γράψας, οὔθ' ὕστερον ἐφ' οἷς ἀφῆκεν ἐξειπών. ἐν δ' ἐπιστολαῖς Κικέρωνος ἡ αἰτία γέγραπται.

Λόγοι δὲ παντοδαποὶ περὶ τοῦ Πομπηΐου προκατέπιπτον εἰς τὴν Ῥώμην· καὶ θόρυβος ἦν πολὺς, ὡς εὐθὺς ἄξοντος ἐπὶ τὴν πόλιν τὸ στράτευμα, καὶ μοναρχίας βεβαίας ἐσομένης. Κράσος δὲ τοὺς παῖδας καὶ τὰ χρήματα λαβὼν ὑπεξῆλθε, εἴτε δείσας ἀληθῶς, εἴτε μᾶλλον, ὡς ἐδόκει, πίστιν ἀπολείπων τῇ διαβολῇ, καὶ τὸν φθόνον ποιῶν τραχύτερον. εὐθὺς οὖν ἐπιβὰς Ἰταλίας ὁ Πομπήϊος, καὶ συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας, καὶ τὰ πρέποντα διαλεχθεὶς καὶ φιλοφρονησάμενος, ἐκέλευσε διαλύεσθαι κατὰ πόλιν ἑκάστους, καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα, μεμνημένους αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. οὕτω δὲ τῆς στρατιᾶς σκεδασθείσης, καὶ πυνθανομένων ἁπάντων, πρᾶγμα συνέβη θαυμαστόν. ὁρῶσαι γὰρ αἱ πόλεις Πομπήϊον Μάγνον ἄνοπλον, καὶ μετ' ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ ἄλλης ἀποδημίας διαπορευόμενον, ἐκχεόμεναι δι' εὔνοιαν καὶ προπέμπουσαι μετὰ μείζονος δυνάμεως συγκατῆγον

se ad Italiam splendidissimum rediturum, desiderabatque videri domesticis desiderantibus. At Numen illud, cui curæ est fortunæ splendori & magnificentiæ semper aliquam admiscere mali portionem, hoc clam domi jampridem struxerat, parans ei tristiorem regressum. Mutia enim eo absente gesserat se libidinose. Quamdiu procul Pompeius fuit, contempsit sermonem: ubi appropinquavit Italiæ, ac vacua mente scilicet delata versavit, nuntium ei remisit. Quamobrem autem repudiaverit eam, neque tunc scripsit, neque postea verbo prodidit: verum causa relata est in epistolis Ciceronis.

Porro rumores de Pompeio varii Romam præcurrerunt, & ingens tumultus fuit, quasi exercitum Pompeio urbi confestim admoturo, & dominatum sibi firmaturo. Crassus sane, vel quod revera id formidaret, vel (quod videbatur verisimilius) ut calumniæ fidem faceret atque invidiam excitaret Pompeio acerbiorem, subduxit se cum liberis & fortunis ex urbe. Igitur Pompeius simul atque attigit Italiam, advocatis ad concionem militibus convenientem occasioni orationem habuit, ac benigne eos prosequutus jussit ut in patriam se quisque reciperet, domumque rediret, admonuit autem ut ad triumphum suum adessent. Ita soluto exercitu, quum id ubique percrebuisset, res mirifica accidit. Siquidem civitates Pompeium Magnum cernentes inermem, & cum paucis necessariis sicut ex alia profectione transeuntem, effusæ magno studio ac prosequentes, Romam

γον εἰς τὴν Ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν τότε, μηδὲν ἐκείνου δεόμενον τοῦ στρατεύματος.

Ἐπεὶ δὲ ὁ νόμος οὐκ εἴα πρὸ τοῦ θριάμβου παρελθεῖν εἰς τὴν πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλὴν ἀναβαλέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, καὶ δοῦναι ταύτην αὐτῷ τὴν χάριν, ὅπως παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Κάτωνος δὲ πρὸς τὴν ἀξίωσιν ἐνστάντος, οὐκ ἔτυχε τοῦ βουλήματος. θαυμάσας δὲ τὴν παῤῥησίαν αὐτοῦ καὶ τὸν τόνον, ᾧ μόνος ἐχρῆτο φανερῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἄλλως γέ πως κτήσασθαι τὸν ἄνδρα· καὶ δυεῖν οὐσῶν ἀδελφιδῶν τῷ Κάτωνι, τὴν μὲν αὐτὸς ἐβούλετο λαβεῖν γυναῖκα, τὴν δὲ τῷ παιδὶ συνοικίσαι. τοῦ δὲ Κάτωνος ὑπειδομένου τὴν πεῖραν, ὡς διαφθορὰν οὖσαν αὐτοῦ τρόπον τινὰ δεκαζομένου διὰ τῆς οἰκειότητος, ἥ τε ἀδελφὴ καὶ γυνὴ χαλεπῶς ἔφερον εἰ Πομπήϊον Μάγνον ἀποτρέψεται κηδεστήν. ἐν τούτῳ δὲ βουλόμενος ὕπατον ἀποδεῖξαι Πομπήϊος Ἀφράνιον, ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισκεν ὑπὲρ αὐτοῦ, καὶ τοῦτο κατιόντες εἰς τοὺς Πομπηΐου κήπους ἐλάμβανον· ὥστε τὸ πρᾶγμα περιβόητον εἶναι, καὶ τὸν Πομπήϊον ἀκούειν κακῶς, ἧς αὐτὸς ἀρχῆς, ἐφ᾽ οἷς κατώρθωσεν, ὡς μεγίστης, ἔτυχε, ταύτην ὤνιον ποιοῦντα τοῖς δι᾽ ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. τούτων μέντοι πρὸς τὰς γυναῖκας ὁ Κάτων ἔφησε τῶν ὀνειδῶν κοινωνητέον, οἰκείοις Πομπηΐου γενομένοις· αἱ δὲ ἀκούσασαι, συνέγνωσαν βέλτιον αὐτῶν ἐκεῖνον λογίζεσθαι περὶ τοῦ πρέποντος.

Τοῦ

Romam eum majore frequentia reduxerunt, ut si quid movere vel novare cogitaret, nihil tum requireret exercitum suum.

Quando vero ante triumphum vetitum lege erat ingredi urbem, misit ad senatum petitum ut comitia consularia proferrent, ac sibi hoc darent beneficii, quo Pisonis petitionem commendare sua præsentia posset: cæterum renitente Catone non obtinuit quod postulaverat. Catonis autem admiratus libertatem & constantiam, quibus solus aperte pro legibus utebatur, affectavit omnino illum sibi adjungere: atque ex duabus fratris & sororis filiabus, quas habebat Cato, unam ipse sibi nuptiis copulare, alteram collocare cupivit filio. At quia Cato id quod attentabat Pompeius, suspectum habebat, tanquam ad corrumpendum se spectaret labefaciendumque per necessitudinem, soror ejus & uxor ægre ferebant quod affinitatem repudiaret Pompeii Magni. Interea quærens Pompeius Afranium consulem facere, nummos pro eo in tribus pronuntiavit, atque ad eos accipiendos venerunt in hortos Pompeii. Unde re evulgata, fuit adverso rumore Pompeius: qui quem magistratum ob res præclare gestas fuerat ut maximum præmium adeptus, eum non valentibus virtute assequi proponeret venalem. Atqui mulieribus Cato, In harum veniendum, inquit, nobis erat communionem macularum, si necessitudinem contraxissemus cum Pompeio. Quod ubi audiverunt, agnovere rectius eum quam se, quid deceret, expendere.

Τοῦ δὲ θριάμβου τῷ μεγέθει, καίπερ εἰς ἡμέρας δύο μερισθέντος, ὁ χρόνος οὐκ ἐξήρκεσεν, ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν, ἑτέρας ἀποχρῶντα πομπῆς ἀξίωμα καὶ κόσμος εἶναι. γράμμασι δὲ προηγουμένοις ἐδηλοῦτο τὰ γένη καθ' ὧν ἐθριάμβευεν. ἦν δὲ τάδε, Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία, Μηδία, Κολχὶς, Ἴβηρες, Ἀλβανοὶ, Συρία, Κιλικία, Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην, Ἰουδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ καταπεπολεμημένον. ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα, χιλίων οὐκ ἐλάττονα, πόλεις δὲ οὐ πολὺ τῶν ἐνακοσίων ἀποδέουσαι· πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων μιᾶς δέουσαι τετταράκοντα. πρὸς δὲ τούτοις ἔφραζε διὰ τῶν γραμμάτων, ὅτι πεντακισχίλιαι μὲν μυριάδες ἐκ τῶν τελῶν ὑπῆρχον, ἐκ δὲ ὧν αὐτὸς προσεκτήσατο τῇ πόλει, μυριάδας ὀκτακισχιλίας πεντακοσίας λαμβάνουσιν. ἀναφέρεται δὲ εἰς τὸ δημόσιον ταμεῖον ἐν νομίσματι καὶ κατασκευαῖς, ἀργυρίου καὶ χρυσοῦ δισμύρια τάλαντα, πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων· ὧν ὁ τοὐλάχιστον αἴρων κατὰ λόγον δραχμὰς εἴληφε χιλίας πεντακοσίας. αἰχμάλωτοι δὲ ἐπομπεύθησαν, ἄνευ τῶν ἀρχιπειρατῶν, υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικὸς καὶ θυγατρὸς, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ Ζωσίμη, καὶ βασιλεὺς Ἰουδαίων Ἀριστόβουλος, Μιθριδάτου δὲ ἀδελφὴ καὶ πέντε τέκνα, καὶ Σκυθίδες γυναῖκες· Ἀλβανῶν δὲ καὶ Ἰβήρων ὅμηροι, καὶ τοῦ Κομμαγηνῶν βασιλέως· καὶ τρόπαια πάμπολλα, ταῖς μάχαις ἰσάριθμα πάσαις, ἃς ἢ αὐτὸς ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. μέγιστον δὲ ὑπῆρχε πρὸς δόξαν καὶ μη-

Triumphi quamvis in duos dies divisi non cepit tempus magnitudinem, sed apparatus magna pars, quæ ad decorandum & exornandum alium triumphum satis suppeditasset, non fuit spectata. Titulis præcedentibus gentes, de quibus triumpharat, significatæ. Hæ fuerunt, Pontus, Armenia, Cappadocia, Paphlagonia, Media, Colchis, Iberia, Albania, Syria, Cilicia, Mesopotamia: præterea quæ circa Phœniciam & Palæstinam incolunt gentes, Iudæa, Arabia: piratæ terra marique debellati. In his captæ arces non minus mille, urbes non infra nongentas, naves octingentæ piraticæ, frequentatæ cultoribus urbes, quæ fuerant desolatæ, undequadraginta. Ad hæc tabulis ostensum universa populi Romani vectigalia ante id bellum bis millies fuisse, ex iis vero quæ populo Romano ipse quæsitis addidisset, redire ter millies quadringenties. In ærarium retulit vasa, aurum argentumque signatum ad viginti millia talentorum, præter ea quæ divisa sunt militibus: quorum qui minimum accepit, pro rata mille & quingentos denarios tulit. Captivi in triumpho ducti extra archipiratas Tigranis Armenii filius cum conjuge & filia, ipsius Tigranis uxor Zosime, Iudæorum rex Aristobulus, ad hæc Mithridatis soror cum quinque filiis, & Scythicæ mulieres. Jam Albanorum & Iberorum obsides, & Commagenorum regis. Trophæa permulta, numero omnibus paria pugnis, quibus aut ipse aut per legatos palmam tulerat. Quod autem excellentissimum ad gloriam ejus erat, & quod nemo

μηδενὶ τῶν πώποτε Ῥωμαίων γεγονὸς, ὅτι τὸν τρίτον θρίαμβον ἀπὸ τῆς τρίτης ἠπείρου κατήγαγεν. ἐπεὶ τρεῖς γε καὶ πρότερον ἦσαν ἕτεροι τεθριαμβευκότες· ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τοῦτον δὲ τὸν τελευταῖον ἀπὸ τῆς Ἀσίας εἰσαγαγὼν, τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ἐπῆχθαι θριάμβοις.

Ἡλικίᾳ δὲ τότε ἦν, ὡς μὲν οἱ κατὰ πάντα τῷ Ἀλεξάνδρῳ παραβάλλοντες αὐτὸν καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος τῶν τριάκοντα καὶ τεττάρων ἐτῶν, ἀληθείᾳ δὲ τοῖς τετταράκοντα προσῆγεν. ὡς ὤνατό γ' ἂν ἐνταῦθα τοῦ βίου παυσάμενος ἄχρις οὗ τὴν Ἀλεξάνδρου τύχην εἶχεν· ὁ δὲ ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνους, ἀνηκέστους δὲ τὰς δυστυχίας. ἣν γὰρ ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει, ταύτῃ χρώμενος ὑπὲρ ἄλλων οὐ δικαίως, ὅσον ἐκείνοις ἰσχύος προσετίθει, τῆς αὐτοῦ δόξης ἀφαιρῶν, ἔλαθε ῥώμῃ καὶ μεγέθει τῆς αὐτοῦ δυνάμεως καταλυθείς· καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν πόλεων, ὅταν δέξηται πολεμίους, ἐκείνοις προστίθησι τὴν αὐτῶν ἰσχὺν, οὕτω διὰ τῆς Πομπηΐου δυνάμεως Καῖσαρ ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων ἴσχυσε, τοῦτον ἀνέτρεψε καὶ κατέβαλεν. ἐπράχθη δὲ οὕτω. Λεύκολλος ὡς ἐπανῆλθεν ἐξ Ἀσίας, ὑπὸ Πομπηΐου περιυβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο, καὶ μᾶλλον ἔτι Πομπηΐου παραγινομένου κολούουσα τὴν δόξαν ἤγειρεν ἐπὶ τὴν πολιτείαν. ὁ δὲ τἆλλα μὲν ἀμβλὺς ἦν ἤδη, καὶ κατέψυκτο τὸ πρακτικὸν, ἡδονῇ σχολῆς καὶ ταῖς περὶ τὸν πλοῦτον διατριβαῖς ἑαυτὸν ἐνδεδωκώς· ἐπὶ δὲ Πομ-

nemo unquam obtinuerat Romanorum, tertium triumphum ex tertia parte orbis duxit. Nam tres etiam ante alii egerant triumphos. Ille vero primo ex Africa, altero ex Europa, tertio hoc ex Aſia ducto, quaſi de orbe terræ tribus triumphis invectus eſt viſus.

Ætate tunc erat (ut illi volunt, qui in omnibus cum Alexandro illum contendunt & conferunt) quatuor & triginta annis minor, revera attingebat quadrageſimum. Qui utinam tum vitam depoſuiſſet, quoad fortunam habuit Alexandri. Ulterius tempus plenas invidiæ attulit ei proſperitates & acerbiſſima infortunia. Quam enim meritis ſuis obtinebat in urbe potentiam, hac pro aliis abutendo, quantum illis conciliabat optim, tantum ſuam imminuens gloriam, imprudens potentiæ ſuæ vi & mole evertitur. Atque ut firmiſſimæ urbium partes & loca, ubi hoſtem acceperunt, illis ſuum adjiciunt robur: ita per Pompeii opes ſublatus in rempub. Cæſar, quibus viribus adverſus alios pollebat, iiſdem ipſum evertit & proſtravit. Ea ad hunc modum geſta ſunt: Lucullum, ubi ex Aſia remeavit, omni genere injuriæ a Pompeio affectum & ſtatim ſenatus honorifice excepit, & Pompeio jam præſente monendo excitavit, ut autoritatem ſuam accommodaret ad rempub. capeſſendam. Elanguerat & obtorpuerat quidem illius de cætero induſtria, atque voluptatibus divitiiſque fruendis dediderat ſe. In

Πομπήϊον εὐθὺς ἀΐξας καὶ λαβόμενος ἐντόνως αὐτοῦ, περί τε τῶν διατάξεων, ἃς ἔλυσεν, ἐκράτει, καὶ πλέον εἶχεν ἐν τῇ βουλῇ, συναγωνιζομένου Κάτωνος. ἐκπίπτων δὲ καὶ περιωθούμενος ὁ Πομπήϊος, ἠναγκάζετο δημαρχοῦσι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις. ὧν ὁ βδελυρώτατος καὶ θρασύτατος Κλώδιος ἀναλαβὼν αὐτὸν ὑπέρριψε τῷ δήμῳ· καὶ παρ' ἀξίαν κυλινδούμενον ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων, ἐχρῆτο τῶν πρὸς χάριν ὄχλου καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῇ, καὶ προσέτι μισθὸν ᾔτει, ὥσπερ οὐ καταισχύνων, ἀλλὰ εὐεργετῶν, ὃν ὕστερον ἔλαβε παρὰ Πομπηΐου, προέσθαι Κικέρωνα, φίλον ὄντα, καὶ πλεῖστα δὴ πεπολιτευμένον ὑπὲρ αὐτοῦ. κινδυνεύοντι γὰρ αὐτῷ, καὶ δεομένῳ βοηθείας, οὐδὲ εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας τὴν αὔλειον, ἑτέραις θύραις ᾤχετο ἀπιών. Κικέρων δὲ φοβηθεὶς τὴν κρίσιν, ὑπεξῆλθε τῆς Ῥώμης.

Τότε δὲ Καῖσαρ ἐλθὼν ἀπὸ στρατείας, ἥψατο πολιτεύματος, ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι καὶ δύναμιν εἰσαῦθις ἤνεγκε, μέγιστα δὲ Πομπήϊον ἔβλαψε καὶ τὴν πόλιν. ὑπατείαν μὲν γὰρ μετῄει πρώτην· ὁρῶν δὲ ὅτι Κράσσου πρὸς Πομπήϊον διαφερομένου, θατέρῳ προσθέμενος, ἐχθρῷ χρήσεται τῷ ἑτέρῳ, τρέπεται πρὸς διαλλαγὰς ἀμφοῖν, πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικόν, αἰτίᾳ δὲ φαύλῃ, καὶ μετὰ δεινότητος ὑπ' ἐκείνου συντεθὲν ἐπιβούλως. ἡ γὰρ, ὥσπερ ἐν σκάφει, τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς πόλεως ἰσχὺς, εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία, τὴν πάντα πράγματα κα-

In Pompeium vero confeſtim inſurgens atque acriter eum adortus, decreta ſua, quæ aboleverat ille, obtinuit, & plus in ſenatu potuit adjuvante Catone. Ita exploſus & jactatus Pompeius, neceſſe habuit ad tribunos plebis confugere, atque applicare ſe ad adoleſcentulos, quorum peſtilentiſſimus & audaciſſimus eum Clodius recepit & obnoxium reddidit populo. Quem indignis modis volutatum in foro tenens & circumducens adhibuit, rogationum, quas ad demerendam & illiciendam plebem ferebat, autorem: ac mercedem inſuper popoſcit, quaſi non macularet eum, ſed beneficiis afficeret; quam accepit poſt, ut amicum & eum qui multas pro ipſius dignitate ſuſceperat actiones, proderet Ciceronem: quem in periculum vocatum, & opem petentem ab ipſo, ne in conſpectum quidem admiſit, ſed foribus excluſit venientes, & alio oſtio extulit ſe. Ita Cicero judicii metu urbe ceſſit.

Eadem tempeſtate reverſus ex provincia Cæſar, negotium ſuſcepit, quod in præſentia magnum ei favorem & in poſterum addidit opes ingentes, Pompeium vero & rempub. potiſſimum peſſundedit. Petebat primum conſulatum. Conſiderans autem in Craſſi a Pompeio alienatione, ſi ad alterum ſe applicaſſet, alterum habiturum ſe inimicum, ad ambos reconciliandos convertit animum; rem præclaram alioquin & civilem, ſed ex cauſa prava callideque ab illo & inſidioſe commentatam. Quippe vires reipub. quæ ſicut in navi propenſiones utrinque ad æquilibrium redigebant, ubi coiere & unitæ ſunt, quod quidem eam oppreſſit &

καταστασιάσασαν καὶ καταβαλοῦσαν, ἀνανταγώνιστον ῥοπὴν ἐποίησεν. ὁ γοῦν Κάτων τοὺς λέγοντας ὑπὸ τῆς ὕστερον γενομένης πρὸς Καίσαρα Πομπηΐῳ διαφορᾶς ἀνατετράφθαι τὴν πόλιν, ἁμαρτάνειν ἔλεγεν, αἰτιωμένους τὸ τελευταῖον· οὐ γὰρ τὴν στάσιν οὐδὲ τὴν ἔχθραν, ἀλλὰ τὴν σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν τῇ πόλει πρῶτον κακὸν γενέσθαι καὶ μέγιστον. ᾑρέθη μὲν γὰρ ὕπατος Καῖσαρ· εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον καὶ πένητα, κατοικίας πόλεων καὶ νομὰς ἀγρῶν ἔγραφεν, ἐκβαίνων τὸ τῆς ἀρχῆς ἀξίωμα, καὶ τρόπον τινὰ δημαρχίαν τὴν ὑπατείαν καθιστάς. ἐναντιουμένου δὲ τοῦ συνάρχοντος αὐτῷ Βίβλου, καὶ Κάτωνος ἐρρωμενέστατα τῷ Βίβλῳ παρεσκευασμένου βοηθεῖν, προσαγαγὼν ὁ Καῖσαρ ἐπὶ τοῦ βήματος Πομπήϊον ἐμφανῆ καὶ προσαγορεύσας, ἠρώτησεν εἰ τοὺς νόμους ἐπαινοίη· τοῦ δὲ συμφήσαντος, Οὐκοῦν, εἶπεν, ἄν τις τοὺς νόμους βιάζηται, εἰς τὸν δῆμον ἀφίξῃ βοηθῶν; Πάνυ μὲν οὖν, ἔφη ὁ Πομπήϊος, ἀφίξομαι, πρὸς τοὺς ἀπειλοῦντας τὰ ξίφη, μετὰ ξίφους καὶ θυρεὸν κομίζων. τούτου Πομπήϊος οὐδὲν οὔτε εἰπεῖν οὔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης φορτικώτερον ἔδοξεν· ὥστε καὶ τοὺς φίλους ἀπολογεῖσθαι, φάσκοντας ἐκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. τοῖς μέντοι μετὰ ταῦτα πραττομένοις φανερὸς ἦν ἤδη παντάπασιν ἑαυτὸν τῷ Καίσαρι χρήσασθαι παραδεδωκώς. Ἰουλίαν γὰρ Καίσαρος θυγατέρα, Καιπίωνι καθωμολογημένην καὶ γαμεῖσθαι μέλλουσαν, ὀλίγων ἡμερῶν οὐδενὸς ἂν προσδοκήσαντος ἔγημε Πομπήϊος, μείλιγμα Καιπίωνι τῆς ὀργῆς, τὴν ἑαυτοῦ θυγατέρα καταινέσας, Φαύστῳ τῷ παιδὶ Σύλλα πρότερον ἐγγεγυημένην. αὐτὸς δὲ Καῖσαρ ἔγημε Καλπουρνίαν τὴν Πείσωνος.

Ἐκ

& evertit funditus, inexsuperabile reddiderunt momentum. Unde Cato eos qui ab insequuto Pompeii cum Cæsare dissidio rempub. prædicabant profligatam, errare dicebat, qui reprehenderent novissima. Neque enim dissensionem vel simultatem, sed coitionem eorum & consensionem primum reipub. vulnus & maximum fuisse. Quippe consul Cæsar est designatus, isque mox blandiens inopi & egenæ multitudini, legem de coloniis deducendis, & agris dividendis tulit, magistratus sui excedens autoritatem, consulatumque quodam modo in tribunatum plebis vertens. Repugnante collega ejus Bibulo, Catone autem ad fortissime Bibulo succurrendum parato, Cæsar Pompeium propalam in rostra adduxit, eumque rogavit nominatim, probaretne leges suas? Quo annuente, Non igitur, inquit, si quis vim legibus adferat, ad populum auxilio eris? Maxime, inquit Pompeius, contra gladios minitantes adero· cum gladio simul & scuto. Eo Pompeium nihil ad eam diem neque dixisse neque fecisse existimaverunt odiosius. Excusabant amici ejus, excidisse illi ex improviso id verbum: at rebus illis, quæ consequutæ sunt, ostendit jam totum se contulisse ad Cæsaris nutum. Juliam enim Cæsaris filiam Cæpioni pactam & nupturam intra paucos dies, nemine exspectante duxit. Ad leniendam vero Cæpionis iram, filiam suam despondit ei, Fausto Syllæ filio ante destinatam. Ipse Cæsar Calpurniam Pisonis matrimonio sibi junxit.

Ἐκ δὲ τούτου Πομπήϊος ἐμπλήσας στρατιωτῶν τὴν πόλιν, ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. Βίβλῳ τε γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ Λουκούλλου καὶ Κάτωνος, ἄφνω προσπεσόντες κατέκλασαν τὰς ῥάβδους· αὐτοῦ δέ τις κοπρίων κόφινον ἐκ κεφαλῆς τοῦ Βίβλου κατεσκέδασε. δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων ἐτρώθησαν. οὕτω δὲ τῶν ἐνισταμένων τὴν ἀγορὰν ἐρημώσαντες, ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν χωρίων νόμον· ᾧ δελεασθεὶς ὁ δῆμος, εἰς πᾶσαν ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει, καὶ κατ᾽ ἀντίπραξιν οὐδὲν πολυπραγμονῶν, ἀλλ᾽ ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις τὴν ψῆφον. ἐκυρώθησαν οὖν Πομπηΐου μὲν αἱ διατάξεις, ὑπὲρ ὧν Λούκουλλος ἤριζε· Καίσαρι δὲ, τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἔχειν Γαλατίαν, καὶ Ἰλλυρίους, εἰς πενταετίαν, καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν· ὑπάτους δὲ εἰς τὸ μέλλον εἶναι Πείσωνα τὸν Καίσαρος πενθερὸν, καὶ Γαβίνιον, ἄνδρα τῶν Πομπηΐου κολάκων ὑπερφυέστατον. πραττομένων δὲ τούτων, Βίβλος μὲν εἰς τὴν οἰκίαν κατακλεισάμενος, ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ᾽ ἐξέπεμψε διαγράμματα, βλασφημίας ἀμφοῖν ἔχοντα καὶ κατηγορίας· Κάτων δὲ, ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος, ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει καὶ τῷ Πομπηΐῳ προηγόρευε. Λεύκουλλος δὲ ἀπειπὼν ἡσυχίαν ἦγεν, ὡς οὐκ ἔτι πρὸς πολιτείαν ὡραῖος· ὅτε δὴ καὶ Πομπήϊος ἔφη, γέροντι τὸ τρυφᾶν ἀωρότερον εἶναι τοῦ πολιτεύεσθαι. ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο τῷ τῆς κόρης ἔρωτι, καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλὰ, καὶ συνδιημέρευεν ἐν ἀγροῖς καὶ κήποις, ἠμέλει δὲ τῶν κατ᾽ ἀγορὰν πραττομένων· ὥστε καὶ Κλώδιον αὐτοῦ κα-

ταφρο-

Inde Pompeius urbem militibus complevit, remque pub. vi totam occupavit. Quippe conſulem Bibulum, qui cum Lucullo & Catone in forum deſcendebat, repente adorti, faſces fregere. Quidam cophinum ſtercoris plenum in ipſius caput Bibuli effudit. Duo tribuni, qui Bibulum deducebant, vulnerati ſunt. Ita adverſariis foro ejectis lex perlata agraria eſt. Hac delinitus eſca populus, hinc ad omnia illis paruit, neque intercesſionem eſt moratus magnopere nihilque inquirebat: verum obnoxie ſcivit rogationes. Ita comprobata acta ſunt Pompeii, de quibus Lucullus altercabatur. Cæſari Gallia ciſalpina & tranſalpina cum Illyrico in quinquennium atque quatuor legiones integræ decreta. Conſules in proximum annum fecere Piſonem Cæſaris ſocerum & Gabinium principem inter Pompeii adulatores. Dum hæc aguntur, abditus domi Bibulus non prodiit octo conſulatus ſui menſes in publicum, edicta tantum propoſuit maledictorum & probrorum in ambos plena. Cato quaſi lymphatus & numine afflatus denuntiavit in curia quæ reipub. & Pompeio impenderent. Lucullus elangueſcens quievit, ut deinceps ad res publicas gerendas non opportunus. Quo quidem tempore ait Pompeius, Seni indulgere luxui quam rempub. gerere eſſe intempeſtivius. Brevi tamen ipſe quoque uxoris juvenculæ emollitus eſt amore, ac fere aſſiduus cum ea ruri & in hortis egit. Poſtmiſit etiam negotia forenſia. Unde Clodius, qui tribunus

ταφρονῆσαι δημαρχοῦντα τότε, καὶ θρασυτάτων ἅψασθαι πραγμάτων. ἐπεὶ γὰρ ἐξέβαλε Κικέρωνα, καὶ Κάτωνα προφάσει στρατηγίας εἰς Κύπρον ἀπέστειλε, Καίσαρος εἰς Γαλατίαν ἐξεληλακότος, αὐτῷ δὲ προσέχοντα τὸν δῆμον ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς χάριν, εὐθὺς ἐπεχείρει τῶν Πομπηΐου διατάξεων ἐνίας ἀναιρεῖν, καὶ Τιγράνην τὸν αἰχμάλωτον ἀφαρπάσας εἶχε σὺν αὐτῷ, καὶ τοῖς φίλοις δίκας ἐπῆγε, πεῖραν ἐν ἐκείνοις τῆς Πομπηΐου λαμβάνων δυνάμεως. τέλος δὲ, προελθόντος αὐτοῦ πρός τινα δίκην, ἔχων ὑφ᾽ αὐτῷ πλῆθος ἀνθρώπων ἀσελγείας καὶ ὀλιγωρίας μεστὸν, αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον καταστὰς, ἐρωτήματα τοιαῦτα προὔβαλλε, Τίς ἐστιν αὐτοκράτωρ ἀκόλαστος; τίς ἀνὴρ ἄνδρα ζητεῖ; τίς ἑνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν; οἱ δὲ, ὥσπερ χορὸς εἰς ἀμοιβαῖα συγκεκροτημένος, ἐκείνου τὴν τήβεννον ἀνασείοντος, ἐφ᾽ ἑκάστῳ μέγα βοῶντες ἀπεκρίναντο, Πομπήϊος.

Ἠνία μὲν οὖν καὶ ταῦτα Πομπήϊον, ἀήθη τοῦ κακῶς ἀκούειν ὄντα, καὶ μάχης τοιαύτης ἄπειρον. ἤχθετο δὲ μᾶλλον, αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ προπηλακιζομένῳ, καὶ διδόντι δίκην τῆς Κικέρωνος προδοσίας. ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι τραυμάτων συνέβη γενέσθαι, καὶ Κλωδίου τὶς οἰκέτης παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς τὸν Πομπήϊον ἠλέγχθη ξίφος ἔχειν, ταῦτα ποιούμενος πρόφασιν, ἄλλως δὲ τοῦ Κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας δεδιὼς, οὐκ ἔτι προῆλθεν εἰς ἀγορὰν, ὅσον ἐκεῖνος ἦρχε χρόνον, ἀλλ᾽ οἰκουρῶν διετέλει καὶ σκεπτόμενος μετὰ τῶν φίλων

bunus plebis tum erat, ejus contemptu accinxit se ad audacissima quæque perpetranda. Postquam enim Ciceronem exegit, & Catonem belli gerendi colore ablegavit in Cyprum, Cæsare in Galliam profecto: populum autem sibi omnia agenti & instituenti ad ipsius libidinem videt addictum, confestim institit quædam Pompeii acta rescindere. Tigranem captum carcere extraxit, quem secum ducebat: amicis Pompeii judicia dictabat, quo periculum in illis faceret Pompeii potentiæ. Denique quum hic ad causam quampiam accessisset, parentem sibi habens colluviem hominum projectæ petulantiæ & dissolutionis, atque ipse loco consistens conspicuo, ita quæsivit, Quis est imperator impudicus! quis vir virum quærit? quis uno digito caput scalpit? Illi ut chorus alternos versus concinens, concutiente togam illo, ad singula magno clamore responderunt, Pompeius.

Pungebant hæc quidem Pompeium conviciorum insolentem atque hujuscemodi rudem pugnæ: sed magis mordebatur, senatui quum sentiret insectationem sui gratam esse, pœnas pendentis proditi Ciceronis. Quum vero conflictus in foro esset usque ad vulnera progressus, & Clodii servus in turba per circumstantes prorepens ad Pompeium cum gladio est deprehensus; hoc sumpto prætextu, formidans alioqui Clodii insolentiam & contumelias, deinceps dum tribunatu abiisset, abstinuit foro, & domi continuit se, cum amicis

φίλων, ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς καὶ τῶν ἀρίστων τὴν πρὸς αὐτὸν ὀργήν. Κουλλέωνι μὲν οὖν κελεύοντι τὴν Ἰουλίαν ἀφεῖναι, καὶ μεταβαλέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς Καίσαρος φιλίας, οὐ προσέσχε. τοῖς δὲ Κικέρωνα καταγαγεῖν ἀξιοῦσιν, ἄνδρα καὶ Κλωδίῳ πολεμιώτατον, καὶ τῇ βουλῇ προσφιλέστατον, ἐπείσθη· καὶ προαγαγὼν τὸν ἀδελφὸν αὐτοῦ δεόμενον σὺν χειρὶ πολλῇ, τραυμάτων ἐν ἀγορᾷ γενομένων, καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ Κλωδίου. καὶ νόμῳ κατελθὼν ὁ Κικέρων, τήν τε βουλὴν εὐθὺς τῷ Πομπηΐῳ διήλλαττε, καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν, τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης ὅσην ἐκέκτηντο Ῥωμαῖοι, κύριον ἐποίει Πομπήϊον. ἐπ᾽ αὐτῷ γὰρ ἐγίνοντο λιμένες, ἐμπόρια, καρπῶν διαθέσεις· ἑνὶ λόγῳ, τὰ τῶν πλεόντων πράγματα, τὰ τῶν γεωργούντων. Κλώδιος δὲ ᾐτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν, ἀλλ᾽ ὅπως ὁ νόμος γραφείη, γεγονέναι τὴν σιτοδείαν, ὥσπερ ἐκ λειποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαβόντος. ἕτεροι δὲ τοῦ ὑπάτου Σπινθῆρος ἀποφαίνουσι τοῦτο σόφισμα, κατακλείσαντος εἰς ἀρχὴν μείζονα Πομπήϊον, ὅπως αὐτὸς ἐκπεμφθῇ Πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. οὐ μὴν ἀλλὰ καὶ Κανίδιος εἰσήνεγκε δημαρχῶν νόμον, ἄνευ στρατείας Πομπήϊον ἔχοντα ῥαβδούχους δύο, διαλλάττειν Ἀλεξανδρεῦσι τὸν βασιλέα. καὶ Πομπήϊος μὲν ἐδόκει τῷ νόμῳ μὴ δυσχεραίνειν· ἡ δὲ σύγκλητος ἐξέβαλεν εὐπρεπῶς σκηψαμένη δεδιέναι περὶ τἀνδρός. ἦν δὲ γράμμασιν ἐντυχεῖν διερριμμένοις κατ᾽ ἀγορὰν καὶ παρὰ τὸ βουλευτήριον, ὡς δὴ Πτολεμαίου δεομένου Πομπήϊον αὐτῷ

micis agitans qua ratione indignationem in ſe ſenatus & optimatium reſtingueret. Suadenti Culleoni ut Juliam repudiaret, atque a Cæſaris amicitia tranſiret ad ſenatum, non paruit: qui vero conſuluerunt ut infeſtiſſimum Clodio & ſenatui chariſſimum ab exilio reduceret Ciceronem, his aſſenſus eſt: deducenſque in forum magna manu ſupplicem illius fratrem, multo ſanguine ibi fuſo ac nonnullis interfectis ſuperavit Clodium. Revocatus igitur lege Cicero mox placavit Pompeio ſenatum, defendenſque legem frumentariam, denuo imperii Romani terra marique dedit Pompeio quodammodo arbitrium. Quippe in illius nutu erant portus, emporia, frugum commercia, brevi navigantium & agricolarum negotia. At Clodius non propter annonæ anguſtias legem latam, ſed ut lex ferretur, annonæ anguſtias illatas criminabatur; quo Pompeius quaſi ex animi defectu marceſcentes vires novo imperio repararet & colligeret. Alii Lentuli Spintheris conſulis hoc fuiſſe volunt commentum: qui majore imperio adſtrinxit Pompeium, ut ipſe regi Ptolemæo mitteretur auxilio. Et vero etiam tulit Canidius tribunus plebis legem, ut ſine exercitu Pompeius duobus lictoribus comitatus regem cum Alexandrinis in gratiam reduceret. Quæ lex non videbatur diſplicere Pompeio: verum eam ſenatus honeſta ſpecie exploſit, præ ſe ferens ei timere. Inventi ſunt autem libelli per forum, & in curia diſſeminati; quibus ſignificabatur Ptolemæum pro Spinthere dari Pompeium ſibi

τοῦ στρατηγὸν ἀντὶ τοῦ Σπινθῆρος δοθῆναι. Τιμαγένης δὲ καὶ ἄλλως τὸν Πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησι, καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα, πράττοντος Πομπηΐῳ χρηματισμοὺς καὶ στρατηγίας καινῆς ὑπόθεσιν. ἀλλὰ τοῦτο μὲν οὐχ οὕτως ἡ Θεοφάνους μοχθηρία πεποίηκε πιθανὸν, ὡς ἄπιστον ἡ Πομπηΐου φύσις, οὐκ ἔχουσα κακόηθες οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον.

Ἐπισταθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ, πολλαχοῦ μὲν ἀπέστειλε πρεσβευτὰς καὶ φίλους, αὐτὸς δὲ πλεύσας εἰς Σικελίαν καὶ Σαρδόνα καὶ Λιβύην, ἤθροιζε σῖτον. ἀνάγεσθαι δὲ μέλλων, πνεύματος μεγάλου κατὰ θάλατταν ὄντος, καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς καὶ κελεύσας τὴν ἄγκυραν αἴρειν, ἀνεβόησε, Πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη. τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης ἀγαθῆς, ἐνέπλησε σίτου τὰ ἐμπόρια, καὶ πλοίων τὴν θάλασσαν· ὥστε καὶ τοῖς ἐκτὸς ἀνθρώποις ἐπαρκέσαι τὴν περιουσίαν ἐκείνης τῆς παρασκευῆς, καὶ γενέσθαι καθάπερ ἐκ πηγῆς ἄφθονον ἐπιρροὴν εἰς πάντας.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ μέγαν ἦραν οἱ Κελτικοὶ πόλεμοι Καίσαρα· καὶ δοκῶν πορρωτάτω τῆς Ῥώμης ἀπεῖναι, καὶ συνηρτῆσθαι Βέλγαις καὶ Σουήβοις καὶ Βρεττανοῖς, ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ καὶ τοῖς κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν Πομπήϊον. αὐτὸς μὲν γὰρ ὡς σῶμα τὴν στρατιωτικὴν δύναμιν περικείμενος, οὐκ ἐπὶ τοὺς βαρβάρους, ἀλλ' ὥσπερ ἐν θήραις καὶ κυνηγεσίοις, τοῖς πρὸς ἐκείνους ἀγῶσι γυμνάζων διεπόνει, καὶ κατεσκεύαζεν

bi ducem petere. Jam Timagenes fine caufa Ptolemæum, & nulla compulfum neceffitate difceffiffe demonftrat, ac Theophanis fuafu Pompeio quæftus occafionem & novorum bellorum materiam parantis Ægyptum reliquiffe. Cæterum hoc non ita fecit Theophanis improbitas probabile, ut incredibile nulla maligna vel illiberali ambitione fuffufum Pompeii ingenium.

Procurationi & adminiftrationi præpofitus frumentariæ dimifit quoquoverfum legatos & amicos. Ipfe in Siciliam, Sardiniam, & Africam profectus frumentum congeffit. Soluturus ex portu, vento vehemente in falum incumbente, dubitantibufque gubernatoribus folvere, confcendit primus, imperanfque ut anchoras molirentur, exclamavit, Navigare neceffe eft, vivere non eft. Ea audacia & alacritate una cum fecunda fortuna ufus, frumento emporia, navibus mare complevit: ut peregrinis quoque fufficeret illius affluentia apparatus, atque redundaret copia ficut ex fonte ad omnes.

Interea Cæfarem bella Gallica in altum evexere. Qui quum remotiffime ab urbe abeffe, & Belgis, Suevis, Britannifque putaretur implicatus, clam aftutia fua medio in populo & præcipuis rebus Pompeii potentiam labefactabat. Siquidem vires militares velut corpus induens, non in barbaros, verum ficut in aucupiis & venationibus certando cum illis fubigebat exercitationibus has, invictafque

ζειν ἄμαχον καὶ φοβεράν. χρυσὸν δὲ καὶ ἄργυρον καὶ τἆλλα λάφυρα καὶ τὸν ἄλλον πλοῦτον τὸν ἐκ πολεμίων τοσούτων περιγινόμενον εἰς τὴν Ῥώμην ἀποστέλλων, καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ συγχορηγῶν ἀγορανόμοις καὶ στρατηγοῖς καὶ ὑπάτοις, καὶ γυναιξὶν αὐτῶν, ᾠκειοῦτο πολλούς· ὥστε ὑπερβάλλοντος αὐτοῦ τὰς Ἄλπεις, καὶ διαχειμάζοντος ἐν Λούκῃ, τῶν μὲν ἄλλων ἀνδρῶν καὶ γυναικῶν ἁμιλλωμένων καὶ φερομένων πολὺ πλῆθος γενέσθαι, συγκλητικοὺς δὲ διακοσίους, ἐν οἷς καὶ Πομπήϊος ἦν καὶ Κράσσος, ἀνθυπάτων δὲ καὶ στρατηγῶν ἑκατὸν εἴκοσι ῥάβδους ἐπὶ ταῖς Καίσαρος θύραις ὀφθῆναι. τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἐμπλήσας ἐλπίδων καὶ χρημάτων ἀπέστελλε· Κράσσῳ δὲ καὶ Πομπηΐῳ πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι· μετιέναι μὲν ὑπατείας ἐκείνους, καὶ Καίσαρα συλλαμβάνειν αὐτοῖς πέμποντα τῶν στρατιωτῶν συχνοὺς ἐπὶ τὴν ψῆφον· ἐπὰν δὲ αἱρεθῶσι, τάχιστα πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ στρατοπέδων ἡγεμονίας, Καίσαρι δὲ καὶ τὰς οὔσας βεβαιοῦν εἰς ἄλλην πενταετίαν. ἐπὶ τούτοις ἐξενεχθεῖσιν εἰς τοὺς πολλούς, χαλεπῶς ἔφερον οἱ πρῶτοι· καὶ Μαρκελλῖνος ἐν τῷ δήμῳ καταστὰς, ἀμφοῖν ἐναντίον ἠρώτησεν εἰ μετίασιν ὑπατείαν. ὁ καὶ τῶν πολλῶν ἀποκρίνεσθαι κελευόντων, πρῶτος Πομπήϊος εἶπεν, ὡς τάχα μὲν δὴ μετέλθοι, τάχα δὲ οὐκ ἂν μετέλθοι· Κράσσος δὲ πολιτικώτερον· οὕτω γὰρ ἔφη πράξειν ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν. ἐπιφυομένου δὲ Πομπηΐῳ Μαρκελλίνου, καὶ σφοδρῶς λέγειν δοκοῦντος, ὁ Πομπήϊος ἔφη πάντων ἀδικώτατον εἶναι τὸν Μαρκελλῖνον, ὃς χάριν οὐκ ἔχει, λόγιος μὲν ἐξ ἀφώνου δι' αὐτὸν, ἐμετικὸς δὲ ἐκ πεινατικοῦ γενόμενος.

Οὐ

que & tremendas reddebat. Aurum autem, argentum, reliquamque prædam & opes ex tot hostibus superfluentia in urbem mittendo, labefactandoque largitionibus, & præbendo ædilibus, prætoribus, consulibus, atque horum conjugibus, conciliabat sibi complures. Itaque ad eum, postquam Alpes transmisit, Lucæ hybernantem, cum ingens virorum simul & mulierum æmulatione quadam properantium confluxit agmen, tum senatores, inter quos Pompeius & Crassus fuere, ducenti. Conspecti etiam fuerunt pro Cæsaris foribus proconsulum & prætorum centum viginti fasces. Ille alios omnes spe & nummis satiatos dimisit. Crassus vero & Pompeius cum eo pacti sunt; illi ut consulatum peterent, Cæsar ad comitia frequentes milites suffragandi causa mitteret. Si designati essent, quamprimum ut curarent provincias & legiones sibi decerni, Cæsari vero suas prorogari in quinquennium. Hæc ubi pervulgata fuere, tulerunt moleste principes. Marcellinus etiam in concione utrumque coram populo rogavit an petituri essent consulatum. Ad quod a pluribus respondere jussi: primus Pompeius dixit, fortasse petiturum se, fortasse non petiturum: civilius Crassus, id facturum ait se quod e repub. duceret fore. Exagitante Pompeium Marcellino, & acriter dicere viso, Pompeius omnium dixit iniquissimum esse Marcellinum, qui gratiam non haberet, quod disertus ex muto per ipsum factus esset, & ante famelicus nunc quotidie vomeret.

At

Οὐ μὴν ἀλλὰ τῶν ἄλλων ἀποστάντων τοῦ παραγγέλλειν ὑπατείαν, Λεύκιον Δομίτιον Κάτων ἔπεισε καὶ παρεθάρρυνε μὴ ἀπειπεῖν· οὐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ' ὑπὲρ ἐλευθερίας εἶναι τὸν ἀγῶνα πρὸς τοὺς τυράννους. οἱ δὲ περὶ τὸν Πομπήϊον φοβηθέντες τὸν τόνον τοῦ Κάτωνος, μὴ τὴν βουλὴν ἔχων ἅπασαν, ἀποσπάσῃ καὶ μεταβάλῃ τοῦ δήμου τὸ ὑγιαῖνον, οὐκ εἴασαν εἰς ἀγορὰν κατελθεῖν τὸν Δομίτιον, ἀλλ' ἐπιπέμψαντες ἐν ὅπλοις ἄνδρας, ἀπέκτειναν Μέλιτον προηγούμενον λυχνοφόρον, ἐτρέψαντο δὲ τοὺς ἄλλους· ἔσχατος δὲ Κάτων ἀνεχώρησε, τρωθεὶς τὸν δεξιὸν πῆχυν, ἀμυνόμενος πρὸ τοῦ Δομιτίου. τοιαύτῃ δὲ ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχὴν, οὐδὲ τἆλλα κοσμιώτερον ἔπραττον. ἀλλὰ πρῶτον μὲν τὸν Κάτωνα τοῦ δήμου στρατηγὸν αἱρουμένου, καὶ τὴν ψῆφον ἐπιφέροντος, Πομπήϊος ἔλυσε τὴν ἐκκλησίαν, οἰωνοὺς αἰτιώμενος· Ἀντίαν δὲ καὶ Βατίνιον ἀνηγόρευσαν, ἀργυρίῳ τὰς φυλὰς διαφθείραντες. ἔπειτα νόμους διὰ Τρεβωνίου δημαρχοῦντος εἰσέφερον, Καίσαρι μὲν, ὥσπερ ὡμολόγητο, δευτέραν ἐπιμετροῦντας πενταετίαν, Κράσσῳ δὲ Συρίαν καὶ τὴν ἐπὶ Πάρθους στρατείαν διδόντας· αὐτῷ δὲ Πομπηΐῳ Λιβύην ἅπασαν, καὶ Ἰβηρίαν ἑκατέραν, καὶ τέσσαρα τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο Καίσαρι δεηθέντι πρὸς τὸν ἐν Γαλατίᾳ πόλεμον. ἀλλὰ Κράσσος μὲν ἐξῆλθεν εἰς τὴν ἐπαρχίαν, ἀπαλλαγεὶς τῆς ὑπατείας, Πομπήϊος δὲ τὸ θέατρον ἀναδείξας, ἀγῶνας ἦγε γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ τῇ καθιερώσει, καὶ θηρῶν ἁμίλλας, ἐν οἷς πεντακόσιοι λέοντες ἀνῃρέθησαν. ἐπὶ πᾶσι δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτικώτατον θέαμα, παρέσχεν.

Ἐπὶ

At aliis a consulatus petitione temperantibus, L. Domitium Cato perpulit & excitavit, ne flaccesceret. Neque enim de consulatu, sed esse cum tyrannis ait de libertate certamen. Hic Pompeii factio vim Catonis timens, ne universo succinctus senatu abduceret & immutaret sanam populi partem, haud permisit ut in forum descenderet Domitius: verum immissis armatis prælucentem servum interfecit, alios in fugam vertit: novissimus discessit Cato vulneratus, dum Domitium defendit, in dextro cubito. Ea via consulatum consequuti, nihilo egerunt cætera modestius, sed primum instituente creare prætorem Catonem populo & suffragia ineunte, Pompeius auspicia causatus concionem dimisit, Antiam vero & Vatinium largitione corruptis tribubus renuntiaverunt. Hinc legibus per Trebonium tribunum plebis latis, adjecerunt Cæsari (ut convenerat) quinquennii cumulum. Crasso Syriam & bellum Parthicum decrevere, ipsi Pompeio omnem Africam, utramque Hispaniam & quatuor legiones: quarum roganti Cæsari duas ad bellum Gallicum commodavit. At Crassus relicto magistratus munere, in provinciam est profectus. Pompeius, quum theatrum quod exstruxerat, dedicaret, ludos gymnicos & musicos, ferarumque venationes edidit, in quibus quingenti leones sunt occisi. Novissimam elephantorum pugnam, terribilissimum spectaculum, exhibuit.

Hinc

Ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ ἀγαπηθείς, αὖθις οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας, αὐτὸς ἐν τοῖς περὶ τὴν Ἰταλίαν ἡβητηρίοις, μετιὼν ἄλλοτε ἀλλαχόσε, μετὰ τῆς γυναικὸς διῆγεν, εἴτε ἐρῶν αὐτῆς, εἴτε ἐρῶσαν οὐχ ὑπομένων ἀπολιπεῖν. καὶ γὰρ καὶ τοῦτο λέγεται, καὶ περιβόητον ἦν τῆς κόρης τὸ φίλανδρον, οὐ καθ' ὥραν ποθούσης τὸν Πομπήϊον· ἀλλ' αἴτιον ἔοικεν ἥτε σωφροσύνη τοῦ ἀνδρὸς εἶναι, μόνην γινώσκοντος τὴν γεγαμημένην, ἥτε σεμνότης, οὐκ ἄκρατον ἀλλ' εὔχαριν ἔχουσα τὴν ὁμιλίαν, καὶ μάλιστα γυναικῶν ἀγωγόν, εἰ δεῖ μηδὲ Φλῶραν ἁλῶναι τὴν ἑταίραν ψευδομαρτυριῶν. ἐν δ' οὖν ἀγορανομικοῖς ἀρχαιρεσίοις εἰς χεῖρας τινῶν ἐλθόντων, καὶ φονευθέντων περὶ αὐτὸν οὐκ ὀλίγων, ἀναπλησθεὶς αἵματος ἤλλαξε τὰ ἱμάτια. πολλοῦ δὲ θορύβου καὶ δρόμου πρὸς τὴν οἰκίαν γενομένου τῶν κομιζόντων τὰ ἱμάτια θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα, θεασαμένη δὲ καθημαγμένην τὴν τήβεννον, ἐξέλιπε, καὶ μόλις ἀνήνεγκεν· ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμβλωσεν. ὅθεν οὐδὲ οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς Καίσαρα τοῦ Πομπηίου φιλίαν, ᾐτιῶντο τὸν ἔρωτα τῆς γυναικός. αὖθις μέντοι κυήσασα, καὶ τεκοῦσα θῆλυ παιδίον, ἐκ τῶν ὠδίνων ἐτελεύτησε, καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας ἐπέζησε. παρεσκευασμένου δὲ Πομπηίου τὸ σῶμα θάπτειν ἐν Ἀλβανῷ, βιασάμενος ὁ δῆμος εἰς τὸ Ἄρειον πεδίον κατήνεγκεν, οἴκτῳ τῆς κόρης μᾶλλον, ἢ Πομπηίῳ καὶ Καίσαρι χαριζόμενος. αὐτῶν δὲ ἐκείνων μεῖζον ἐδό-

κει

Hinc admiratione & gratia collecta, ex altera parte invidiam incurrit non minorem, quod legatis amicis suis exercitus & provincias tradidisset, quum interim ipse in Italia diversoria amœna obiret, & modo hic modo illic cum conjuge viveret; vel quia illam amabat, vel quia relinquere non sustinebat amantem. Nam ea quoque fama est, celebratusque fuit illius in virum amor: non quod propter ætatis florem Pompeii desiderio flagraret, verum in causa videtur illius continentia fuisse unam cognoscentis uxorem: & severitas non cum austera sed jucunda conjuncta conversatione, quæ duceret imprimis mulieres; nisi meretrix damnanda Flora falsi testimonii sit. Porro in comitiis ædilitiis, quia nonnulli ad manus venerunt, & circa illum non pauci fuerunt occisi, cruore respersus mutavit vestes. Quum ingens cieretur tumultus, & cursitatio fieret domum a servis vestes ferentibus, forte uterum Julia gestans, conspecta toga, quæ cruore erat respersa, defecit, & ægre recreata est. Ex illa turbatione & motu abortiit. Unde ne illi quidem, qui maxime improbabant conjunctionem cum Cæsare Pompeii, reprehendebant in eo uxoris amorem. At quum iterum prægnans esset, filiam enixa ex puerperii doloribus exspiravit. Nec multos dies superstes partus fuit. Paraverat omnia Pompeius ad efferendam eam in Albano: verum coegit eum populus ut eam in campo Martio funeraret, magis miseratione juvenculæ, quam Pompeii aut Cæsaris gratia. Atque ex illis ipsis majorem

κει μέρος ἀπόντι Καίσαρι νέμειν ὁ δῆμος, ἢ Πομπηΐῳ παρόντι τῆς τιμῆς. εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις, καὶ πάντα τὰ πράγματα σάλον εἶχε καὶ λόγους διαστατικοὺς, ὡς ἡ πρότερον περικαλύπτουσα μᾶλλον ἢ κατείργουσα τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. μετ' οὐ πολὺ δὲ καὶ Κράσσος ἐν Πάρθοις ἀπολωλὼς ἠγγέλλετο· καὶ τοῦτο κώλυμα ὂν μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον πόλεμον, ἐκποδὼν ἐγεγόνει. δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι, τοῖς πρὸς ἀλλήλους ἀμωσγέπως ἐνέμενον δικαίοις. ἐπεὶ δὲ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικὸν,

Ὡς ἅτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται,
Τὼ χεῖρέ τε ὑποκονίεται.

οὕτως ἡ τύχη μικρόν ἐστι πρὸς τὴν φύσιν. οὐ γὰρ ἀποπίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπου τοσοῦτον βάθος ἡγεμονίας καὶ μέγεθος εὐρυχωρίας δυοῖν ἀνδροῖν οὐκ ἐπέσχεν, ἀλλ' ἀκούοντες καὶ ἀναγινώσκοντες ὅτι τριχθὰ δὲ πάντα δέδασται τοῖς Θεοῖς, ἕκαστος δ' ἔμμορε τιμῆς, ἑαυτοῖς οὐκ ἐνόμιζον ἀρκεῖν δυσὶν οὖσι τὴν Ῥωμαίων ἀρχήν.

Καίτοι Πομπήϊος εἶπε τότε δημηγορῶν, ὅτι πᾶσαν ἀρχὴν λάβοι πρότερον ἢ προσεδόκησε, καὶ κατάθοιτο θᾶττον ἢ προσεδοκήθη. καὶ νὴ Δία μαρτυρούσας εἶχεν ἀεὶ τὰς διαλύσεις τῶν στρατοπέδων. τότε δὲ τὸν Καίσαρα δοκῶν οὐ προήσεσθαι τὴν δύναμιν, ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς ὀχυρὸς εἶναι πρὸς αὐτὸν, ἄλλο δὲ οὐδὲν ἐνεωτέριζεν, οὐδὲ ἐβούλετο δοκεῖν ἀπιστεῖν, ἀλλ' ὑπερορᾷν μᾶλλον

jorem honoris partem visus populus absenti tribuisse Cæsari quam Pompeio præsenti. Jam illico fluctuavit civitas, omniaque procellarum & seditiosorum sermonum plena fuerunt, ut ea quæ ante tegebat magis quam coercebat illorum dominandi cupiditatem, sublata necessitudo est. Nec multo post Crassum nunciatur apud Parthos periisse. Ita id obstaculum magnum, ne bellum civile committeretur, amotum fuit. Quia enim ambo eum metuebant, continebat se quovis modo alter adversus alterum in officio. Postquam vero fortuna abstulit athletam, qui in victorem assurgere integer potuisset, jam dicere comicum hoc licuit,

Ut alter ungit scilicet se in alterum,
Fricatque palmas pulvere.

Adeo est exigua res fortuna ad humanum ingenium. Neque enim satiat ejus cupiditatem, ubi tam vastum imperium, & spatium regionum tam laxum duorum virorum cupidinem non refrænavit. Sed quum audirent & legerent,

Omnia sunt partita Diis, sortitur honorem
Quisque tamen proprium:

sibi non censebant Romanum imperium duobus fore satis.

Atqui Pompeius tunc in concione dixit omnia imperia prius se quam exspectasset accepisse, deposuisse citius quam esset exspectatum. Et hercle testes habebat semper exercituum dimissiones. Tunc vero quod non relicturum arbitraretur Cæsarem exercitum, quæsivit urbanis imperiis se contra illum munire: nihil præterea novavit. Neque diffidere voluit videri illi, sed despicere potius cum

μᾶλλον ἢ καταφρονεῖν. ἐπεὶ δὲ τὰς ἀρχὰς οὐ κατὰ γνώμην ἑώρα βραβευομένας, δεκαζομένων τῶν πολιτῶν, ἀναρχίαν ἐν τῇ πόλει περιεῖδε γινομένην· καὶ λόγος εὐθὺς ἐχώρει πολὺς ὑπὲρ δικτάτορος, ὃν πρῶτος εἰς μέσον ἐξενεγκεῖν ἐτόλμησε Λουκίλλιος ὁ δήμαρχος, τῷ δήμῳ παραινῶν ἑλέσθαι δικτάτορα Πομπήϊον. ἐπιλαβομένου δὲ Κάτωνος, οὗτος μὲν ἐκινδύνευσε τὴν δημαρχίαν ἀποβαλεῖν· ὑπὲρ δὲ Πομπηΐου, πολλοὶ τῶν φίλων ἀπελογοῦντο παριόντες, ὡς οὐ δεομένου τῆς ἀρχῆς ἐκείνης, οὐδὲ βουλομένου. Κάτωνος δὲ Πομπήϊον ἐπαινέσαντος, καὶ προτρεψαμένου τῆς εὐκοσμίας ἐπιμεληθῆναι, τότε μὲν αἰδεσθεὶς ἐπεμελήθη, καὶ κατεστάθησαν ὕπατοι Δομίτιος καὶ Μεσσάλας· ὕστερον δὲ πάλιν ἀναρχίας γινομένης, καὶ πλειόνων ἤδη τὸν περὶ τοῦ δικτάτορος λόγον ἐγειρόντων ἰταμώτερον, φοβηθέντες οἱ περὶ Κάτωνα μὴ βιασθῶσιν, ἔγνωσαν ἀρχήν τινα τῷ Πομπηΐῳ προέμενοι νόμιμον ἀποτρέψαι τῆς ἀκράτου καὶ τυραννικῆς ἐκείνης. καὶ Βίβλος ἐχθρὸς ὢν Πομπηΐῳ, πρῶτος ἀπεφήνατο γνώμην ἐν συγκλήτῳ, Πομπήϊον μόνον ἑλέσθαι ὕπατον· ἢ γὰρ ἀπαλλαγήσεσθαι τῆς παρούσης τὴν πόλιν ἀκοσμίας, ἢ δουλεύσειν τῷ κρατίστῳ. φανέντος δὲ παραδόξου τοῦ λόγου διὰ τὸν εἰπόντα, Κάτων ἀναστὰς, καὶ παρασχὼν δόκησιν ὡς ἀντιλέξοι, γενομένης σιωπῆς εἶπε, τὴν προκειμένην γνώμην αὐτὸς μὲν οὐκ ἂν εἰσενεγκεῖν, εἰσενηνεγμένην δὲ ὑφ' ἑτέρου, πείθεσθαι κελεύειν· πᾶσαν μὲν ἀρχὴν μᾶλλον αἱρούμενος ἀναρχίας, Πομπηΐου δὲ μηδένα βέλτιον ἄρξειν ἐν ταραχαῖς τηλικαύταις νομίζων. δεξα-

eum & contemnere. At ubi magiſtratus non diſpenſari vidit ex ſententia ſua, quod pecunia cives corrumperentur, effecit ut ad interregnum deveniretur. Ibi mentio protinus increbuit dictatoris, quem Lucilius tribunus plebis proponere primus auſus fuit, ſuadens populo ut dictatorem Pompeium crearet. Cui, inſectante eum Catone, pene abrogatus eſt tribunatus. Multi autem Pompeii amici obtulerunt ſe excuſantes eum, nec quærere illum magiſtratum nec velle. Quum illum Cato laudibus extuliſſet, atque ad ſuſcipiendam curam, quo reſpub. in ordinem ſuum reſtitueretur, eſſet adhortatus, tunc rubore inductus id curæ habuit. Creati conſules Domitius & Meſſala. Poſt quum iterum incurriſſet interregnum, pluresque jam pertinacius dictatoris mentionem inferrent, veritus Cato ne id exprimerent, deliberavit legitimum aliquem magiſtratum Pompeio permittere, quo eum ab immodico illo & tyrannico deflecteret. Ac Bibulus Pompeii inimicus in ſenatu primus pro ſententia dixit Pompeium ſolum conſulem deſignandum. Aut enim exemptum iri rempub. præſenti confuſione, aut optimo ſervituram. Quæ nova quum viderentur propter autorem, exſurrexit Cato, præbuitque exſpectationem, quaſi oppugnaturus eſſet eam ſententiam. Facto ſilentio propoſitam ſententiam ait non fuiſſe ſe primum dicturum, ſed pronuntiatam ab alio cenſere ſequendam: quemlibet nempe magiſtratum præſtare interregno, & Pompeio arbitrari ſe neminem in tantis procellis melius imperaturum. In

δεξαμένης δὲ τῆς βουλῆς, καὶ ψηφισαμένης ὅπως ὕπατος αἱρεθεὶς ὁ Πομπήϊος ἄρχοι μόνος, εἰ δ' αὐτὸς συνάρχοντος δεηθείη, μὴ θᾶττον δυοῖν μηνοῖν δοκιμάσας ἕλοιτο· κατασταθεὶς οὕτως καὶ ἀποδειχθεὶς διὰ Σουλπικίου μεσοβασιλέως ὕπατος, ἠσπάζετο φιλοφρόνως τὸν Κάτωνα, πολλὴν ὁμολογῶν χάριν ἔχειν, καὶ παρακαλῶν γίνεσθαι σύμβουλον ἰδίᾳ τῆς ἀρχῆς. Κάτων δὲ χάριν μὲν ἔχειν αὐτῷ τὸν Πομπήϊον οὐκ ἠξίου· δι' ἐκεῖνον γὰρ ὧν εἶπεν οὐδὲν εἰπεῖν, διὰ δὲ τὴν πόλιν· ἔσεσθαι δὲ σύμβουλος ἰδίᾳ παρακαλούμενος· ἐὰν δὲ μὴ παρακαλῆται, δημοσίᾳ φράσειν τὸ φαινόμενον. τοιοῦτος μὲν οὖν Κάτων ἐν πᾶσι.

Πομπήϊος δὲ παρελθὼν εἰς τὴν πόλιν, ἔγημε Κορνηλίαν, θυγατέρα Μετέλλου Σκιπίωνος, οὐ παρθένον, ἀλλὰ χήραν ἀπολελειμμένην νεωστὶ Ποπλίου τοῦ Κράσσου παιδὸς, ᾧ συνῴκησεν ἐκ παρθενίας, ἐν Πάρθοις τεθνηκότος. ἐνῆν δὲ τῇ κόρῃ πολλὰ φίλτρα δίχα τῶν ἀφ' ὥρας. καὶ γὰρ περὶ γράμματα καλῶς ἤσκητο, καὶ περὶ λύραν καὶ γεωμετρίαν· καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν. καὶ προσῆν τούτοις ἦθος ἀηδίας καὶ περιεργίας καθαρὸν, ἃ δὴ νέαις προστρίβεται γυναιξὶ τὰ τοιαῦτα μαθήματα· πατὴρ δὲ καὶ γένους ἕνεκα καὶ δόξης ἄμεμπτος. ἀλλ' ὅμως τοῦ γάμου τοῖς μὲν οὐκ ἤρεσκε τὸ μὴ καθ' ἡλικίαν· υἱῷ γὰρ αὐτοῦ συνοικεῖν ὥραν εἶχεν ἡ Κορνηλία μᾶλλον. οἱ δὲ κομψότεροι τὸ τῆς πόλεως ἡγοῦντο παρεωρακέναι τὸν Πομπήϊον, ἐν τύχαις οὔσης ὧν ἐκεῖνον ἰατρὸν ᾕρηται, καὶ μόνῳ παραδέδωκεν αὐτήν. ὁ δὲ στεφα-

In eam ſententiam pedibus eſt itum, & ſenatuſconſultum factum, ut Pompeius conſul deſignaretur, & ſolus magiſtratum gereret: qui ſi collegam deſideraret, allegeret, ſed non ante duos menſes, quem probaſſet. Ita creatus & renuntiatus per Sulpitium interregem conſul, benigne Catonem appellavit, magnaſque gratias dixit ſe agere, atque oravit eum ut privatim conſilio ſibi adeſſet. Cato vero nihil ait eſſe quod Pompeius ſibi gratias ageret: neque enim illius cauſa ſe eam ſententiam, ſed reipub. prompſiſſe. Conſilium ſuum ei ſeorſum non defuturum, ſi peteret: ſi non peteret, publice ſe quod videretur dicturum. Atque is Cato ubique fuit.

Pompeius urbem ingreſſus uxorem duxit Corneliam Metelli Scipionis filiam, non virginem, ſed viduam nuper relictam a Publio Craſſi filio, cui collocata virgo fuerat, apud Parthos interfecto. Ei præter ætatis florem multæ veneres inerant. Nam literis, lyra, muſica, & geometria erat exculta, præceptiſque non ſine fructu imbuta philoſophicis. His accedebat morum gravitas ab omni acerbitate & curioſitate aliena: quibus ſcilicet illæ diſciplinæ imbuunt juvenculas. Pater genere & exiſtimatione non pœnitendus. Veruntamen non placebant quibuſdam intempeſtivæ hæ nuptiæ. Quippe erat Corneliæ Pompeii filio maturius matrimonium. Honeſtiores vero civitatis viri Pompeium exiſtimabant rempub. depoſuiſſe, iis jactatam fortunis, quarum elegerat ipſum medicum, atque uni ſe commiſerat. Quum interim ille

 coro-

στεφανοῦται καὶ θύει γάμους, αὐτὴν τὴν ὑπατείαν ὀφείλων ἡγεῖσθαι συμφοράν, οὐκ ἂν οὕτω παρανόμως δοθεῖσαν εὐτυχούσης τῆς πατρίδος. ἐπεὶ δὲ ταῖς δίκαις τῶν δωροδοκιῶν καὶ δεκασμῶν ἐπιστάς, καὶ νόμους γράψας καθ' οὓς αἱ κρίσεις ἐγίνοντο, τὰ μὲν ἄλλα σεμνῶς ἐβράβευε καὶ καθαρῶς, ἀσφάλειαν ἅμα καὶ κόσμον καὶ ἡσυχίαν, αὐτοῦ προκαθημένου μεθ' ὅπλων, τοῖς δικαστηρίοις παρέχων· Σκιπίωνος δὲ τοῦ πενθεροῦ κρινομένου, μεταπεμψάμενος οἴκαδε τοὺς ἑξήκοντα καὶ τοὺς τριακοσίους δικαστάς, ἐνέτυχε βοηθεῖν· ὁ δὲ κατήγορος ἀπέστη τῆς δίκης, ἰδὼν τὸν Σκιπίωνα προπεμπόμενον ἐξ ἀγορᾶς ὑπὸ τῶν δικαστῶν. πάλιν οὖν ἤκουε κακῶς· ἔτι δὲ μᾶλλον, ὅτι λύσας νόμῳ τοὺς γινομένους περὶ τῶν κρινομένων ἐπαίνους, αὐτὸς εἰσῆλθε Πλάγκον ἐπαινεσόμενος. καὶ Κάτων (ἔτυχε γὰρ κρίνων) ἐπισχόμενος τὰ ὦτα ταῖς χερσίν, οὐκ ἔφη καλῶς ἔχειν αὐτῷ παρὰ τὸν νόμον ἀκούειν τῶν ἐπαίνων. ὅθεν ὁ μὲν Κάτων ἀπεβλήθη πρὸ τοῦ φέρειν τὴν ψῆφον· ἑάλω δὲ ταῖς ἄλλαις ὁ Πλάγκος, σὺν αἰσχύνῃ τοῦ Πομπηΐου. καὶ γὰρ ὀλίγαις ὕστερον ἡμέραις, Ὑψαῖος, ἀνὴρ ὑπατικός, δίκην φεύγων, καὶ παραφυλάξας τὸν Πομπήϊον ἐπὶ δεῖπνον ἀπιόντα λελουμένον, ἱκέτευε τῶν γονάτων λαβόμενος. ὁ δὲ παρῆλθεν ὑπεροπτικῶς, εἰπὼν διαφθείρειν τὸ δεῖπνον αὐτοῦ, ἄλλο δὲ μηδὲν περαίνειν. οὕτως οὖν ἄνισος εἶναι δοκῶν αἰτίας εἶχε. τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέστησεν εἰς τάξιν, καὶ προσείλετο συνάρχοντα τὸν πενθερὸν εἰς τοὺς ὑπολοίπους πέντε μῆνας. ἐψηφίσθη δὲ αὐτῷ τὰς ἐπαρχίας ἔχειν εἰς ἄλλην τετραετίαν, καὶ χίλια τάλαντα λαμβάνειν καθ' ἕκαστον ἐνιαυτόν, ἀφ' ὧν θρέψει καὶ διοικήσει τὸ στρατιωτικόν. Οἱ

coronatus ſacra nuptialia faceret, qui illum deberet pro calamitate ducere conſulatum: qui, ſi floreret patria, non ita præter morem conceſſus eſſet. Hinc ambitus judiciis incubuit, legeſque tulit, quibus judicia conſtituerentur: ubi cætera ſevere & integre diſpenſavit, ſecuritatemque ſimul & ordinem ſilentiumque præſidens cum cohorte judiciis præbuit. At ſocero ejus Scipione cauſam dicente, ſexaginta & trecentos judices domum accerſitos oravit, ut illum eriperent. Quare accuſator judices videns Scipionem ex foro proſequentes, cauſam reliquit. Hinc denuo contraxit infamiam: multoque magis, quod laudari quum reos lege vetuiſſet, ipſe ad laudandum Plancum progreſſus ſit. Cato, qui judex erat, aures manibus obſtruens, negavit honeſte ſe laudationem contra legem audire. Unde Cato, antequam ſententiam ferret, rejectus eſt. Cæteris tamen ſuffragiis Plancus cum macula eſt Pompeii damnatus. Etenim poſt paucis diebus Hypſæus vir conſularis, qui in judicium erat vocatus, quum operiretur Pompeium a balneo ad cœnam euntem, accidit ſupplex genibus ejus. At ille præteriit hunc contumelioſe, nihil eum dicens agere aliud quam quod convivium ſuum corrumperet. Hæc fuit inæqualitas ejus reprehenſa. Cætera recte atque ordine omnia compoſuit, ſocerumque in reliquos quinque menſes collegam ſibi cooptavit. Prorogatæ quoque ei ſunt in aliud quadriennium provinciæ, & annuum mille talentorum in ſtipendium attributum ad alendas copias.

by Google

Οἱ δὲ Καίσαρος φίλοι ταύτην ἀρχὴν λαβόντες, ἠξίουν τινὰ γενέσθαι καὶ Καίσαρος λόγον, ἀγωνιζομένου τοσούτους ἀγῶνας ὑπὲρ τῆς ἡγεμονίας· ἢ γὰρ ὑπατείας ἄξιον εἶναι τυχεῖν ἑτέρας, ἢ προσλαβεῖν τῇ στρατείᾳ χρόνον, ἐν ᾧ τῶν πεπονημένων οὐκ ἄλλος ἐπελθὼν ἀφαιρήσεται τὴν δόξαν, ἀλλ' αὐτὸς ἄρξει καὶ τιμήσεται καθ' ἡσυχίαν ὁ κατεργασάμενος. οὔσης δὲ περὶ τούτων ἁμίλλης, ὡς δὴ παραιτούμενος ὑπὲρ τοῦ Καίσαρος ἐπ' εὐνοίᾳ τὸν φθόνον ὁ Πομπήϊος, ἔφη γράμματα Καίσαρος ἔχειν, βουλομένου λαβεῖν διάδοχον, καὶ παύσασθαι τῆς στρατείας· ὑπατείας μέντοι καὶ μὴ παρόντι καλῶς ἔχειν αἴτησιν αὐτῷ δοθῆναι. πρὸς ταῦτα ἐνισταμένων τῶν περὶ Κάτωνα, καὶ κελευόντων ἰδιώτην γενόμενον καὶ τὰ ὅπλα καταθέμενον εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθὸν, οὐκ ἐξερείσας ἀλλ' οἷον ἡττηθεὶς ὁ Πομπήϊος, ὕποπτος ἦν μᾶλλον ὧν ἐφρόνει περὶ Καίσαρος. ἔπεμψε δὲ καὶ τὰς δυνάμεις ἀπαιτῶν ἃς ἔχρησεν αὐτῷ, τὰ Παρθικὰ ποιούμενος πρόφασιν. ὁ δὲ, καίπερ εἰδὼς ἐφ' οἷς ἀπῃτεῖτο τοὺς στρατιώτας, ἀπέπεμψε καλῶς δωρησάμενος.

Ἐκ τούτου δὲ Πομπήϊος ἐν Νεαπόλει νοσήσας ἐπισφαλῶς ἀνέῤῥωσε. Πραξαγόρου δὲ πείσαντος τοὺς Νεαπολίτας, ἔθυσαν ὑπὲρ αὐτοῦ σωτήρια. μιμουμένων δὲ τούτους τῶν προσοίκων, καὶ τοῦ πράγματος οὕτω περιϊόντος τὴν Ἰταλίαν πᾶσαν, καὶ μικρὰ καὶ μεγάλη πόλις ἐφ' ἡμέρας πολλὰς ἑώρταζε. τοὺς δὲ ἀπαντῶντας πανταχόθεν οὐδεὶς ἐχώρει τόπος, ἀλλὰ ὁδοί τε κατεπίμπλαντο, καὶ κῶμαι καὶ λιμένες εὐωχουμένων καὶ θυόντων. πολλοὶ δὲ καὶ στεφανηφοροῦντες ὑπὸ λαμπάδων ἐδέχοντο καὶ παρ-

έπεμπον

Ea capta Cæsaris amici occasione postulaverunt, ut illius quoque, qui pro republica tot certamina decertabat, aliqua haberetur ratio. Meritum enim illum esse, ut aut alterum consulatum obtineret, aut provincia prorogaretur ei: ne quis successor alius laborum ejus auferret gloriam, verum ipse qui bellum patraverat, per otium frueretur provincia, atque honoris præmia assequeretur. Exorta de his altercatione, Pompeius quasi Cæsaris causa propter amicitiam amoliens invidiam, literas habere se Cæsaris demonstravit, quibus petere eum successorem, & imperium sibi abrogari velle. Par esse tamen comitiis consularibus absentis haberi rationem. Ibi faquum repugnans censeret Cato, ut Cæsar privatus & armis positis beneficium a civibus peteret, non ultra contendit Pompeius, sed victum se simulavit. Quare majorem suspicionem movit sui in Cæsarem animi. Præterea quas illi mutuo dederat legiones, belli Parthici prætextu repetitum misit. Ille vero quamvis sciret quamobrem repeteret milites, remisit tamen liberaliter donatos.

Hinc Pompeius ancipiti morbo Neapoli conflictatus convaluit. Neapolitani autore Praxagora pro incolumitate ejus sacrificavere. Quos sequutis vicinis, eaque re totam pervagante Italiam, civitates tam parvæ quam magnæ ferias per multos dies egere. Obviam undique procedentes nullus capiebat locus, sed viæ, vici, portus epulantibus & sacra facientibus erant referti. Multi etiam coronati cum facibus excipiebant eum, atque in deducendo

ἔπεμπον ἀνθοβολούμενον· ὥστε τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν, θέαμα κάλλιστον εἶναι καὶ λαμπρότατον. οὐδενὸς μέντοι τοῦτο λέγεται τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτιῶν ἔλαττον γενέσθαι. Φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ μεγέθει τῆς χαρᾶς τοὺς ἀπὸ τῶν πραγμάτων λογισμούς· καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐτυχήματα καὶ τὰς πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος, εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς Καίσαρος δυνάμεως, ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν, οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος, ἀλλὰ πολὺ ῥᾷον καθαιρήσων ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. πρὸς δὲ τούτοις, Ἄππιος ἀφίκετο κομίζων ἐκ Γαλατίας ἣν ἔχρησε Πομπήϊος Καίσαρι στρατιάν. καὶ πολλὰ μὲν ἐξεφλαύρισε τὰς ἐκεῖ πράξεις, καὶ λόγους ἐξέφερε βλασφήμους περὶ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἀπείρως ἔχειν ἔλεγε τῆς αὐτοῦ δυνάμεως καὶ δόξης, ἑτέροις ὅπλοις πρὸς Καίσαρα φραγνύμενον, ὃν αὐτοῖς κατεργάσεται τοῖς ἐκείνου στρατεύμασιν ὅταν πρῶτον ὀφθῇ· τοσοῦτον καὶ μίσους πρὸς Καίσαρα, καὶ πόθου πρὸς Πομπήϊον ἐνυπάρχειν αὐτοῖς. οὕτω δ' οὖν ὁ Πομπήϊος ἐπήρθη, καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγωρίας διὰ τὸ θαῤῥεῖν ἐγένετο μεστὸς, ὥστε καὶ τῶν δεδιότων τὸν πόλεμον κατεγέλα, καὶ τοὺς λέγοντας, ἂν ἐλαύνῃ Καῖσαρ ἐπὶ τὴν πόλιν, οὐχ ὁρᾶν δυνάμεις αἷς αὐτὸν ἀμυνοῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος ἀμελεῖν ἐκέλευσεν· Ὅπου γὰρ ἂν, ἔφη, τῆς Ἰταλίας ἐγὼ κρούσω τῷ ποδὶ τὴν γῆν, ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις.

Ἤδη δὲ καὶ Καῖσαρ ἐπεφύετο τοῖς πράγμασιν ἐῤῥωμενέστερον, αὐτὸς μὲν οὐκ

ducendo floribus conspergebant. Ac fuit illa deductio & illud iter spectaculum pulcherrimum splendidissimumque: quod tamen ex præcipuis, unde ortum bellum est, una fuit causa. Etenim rerum gestarum memoriæ ingens ista gratulatio addita maxime inflavit animos: adeo ut abjecta, quæ omnes ejus successus & facta in tutum collocaverat, cautione, nimiam sumpsit audaciam & contemptum Cæsaris virium: quasi neque armis in eum neque graviore mole opus esset habiturus, sed longe facilius eum quam evexisset dejecturus. Ad hæc ex Gallia regressus Appius est cum legionibus, quas commodato dederat Cæsari: multumque res illic gestas elevavit, & de Cæsare malignos effudit sermones. Pompeium dicebat vires suas & autoritatem ignorare, qui armis aliis se contra Cæsarem sepiret; quum suis ipsum legionibus esset confecturus, ut primum venisset in earum conspectum. Tanto eas odio in Cæsarem Pompeii desiderio teneri. Usque adeo autem inflatus animo Pompeius fuit, eoque securitatis evasit ex confidentia, ut etiam timentes bellum rideret: atque illos qui dicebant, si moveret Cæsar ad urbem, non videre se copias quibus illi resisterent, arridens vultu remisso jussit bono animo esse: Ubi enim Italiæ, inquit, ego pede tellurem pulsavero, copiæ peditum & equitum prodibunt.

Jam Cæsar quoque acrius rei incumbebat, neque longe deinceps abducebat se ab Italia. In

οὐκ ἔτι μακρὰν τῆς Ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τοὺς στρατιώτας ἀποστέλλων ἀρχαιρεσιάσοντας, χρήμασι δὲ πολλοὺς ὑποικουρῶν καὶ διαφθείρων ἄρχοντας· ὧν καὶ Παῦλος ἦν ὁ ὕπατος, ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλλόμενος· καὶ Κουρίων ὁ δήμαρχος, ἀμηχάνῳ πλήθει δανείων ἐλευθερωθεὶς ὑπ' αὐτοῦ· καὶ Μάρκος Ἀντώνιος, διὰ φιλίαν Κουρίωνος, ὧν ὠφείλετο μετέχων. ἐλέχθη μὲν οὖν ὅτι τῶν ἀφιγμένων τις ἀπὸ Καίσαρος ταξιαρχῶν ἑστὼς παρὰ τὸ βουλευτήριον, καὶ πυθόμενος ὡς οὐ δίδωσιν ἡ βουλὴ Καίσαρι χρόνον τῆς ἀρχῆς, εἶπεν ἐπικρούων τῇ χειρὶ τὸ ξίφος, ἀλλὰ τοῦτο δώσει. καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα ταύτην εἶχε τὴν διάνοιαν. αἱ μέντοι Κουρίωνος ἀξιώσεις καὶ παρακλήσεις ὑπὲρ Καίσαρος, ἐφαίνοντο δημοτικώτεραι. δυεῖν γὰρ ἠξίου θάτερον, ἢ καὶ Πομπήϊον ἀπαιτεῖν, ἢ μηδὲ Καίσαρος ἀφαιρεῖσθαι τὸ στρατιωτικόν· ἢ γὰρ ἰδιώτας γενομένους, ἐπὶ τοῖς δικαίοις, ἢ μένοντας ἀντιπάλους ἐφ' οἷς ἔχουσιν ἀτρεμήσειν. ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν, ἣν φοβεῖται δύναμιν διπλασιάζει. πρὸς ταῦτα Μαρκέλλου τοῦ ὑπάτου λῃστὴν ἀποκαλοῦντος τὸν Καίσαρα, καὶ ψηφίζεσθαι πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα, Κουρίων ὅμως ἴσχυσε μετὰ Ἀντωνίου καὶ Πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. ἐκέλευσε γὰρ μεταστῆναι τοὺς Καίσαρα μόνον τὰ ὅπλα καταθέσθαι κελεύοντας, Πομπήϊον δὲ ἄρχειν· καὶ μετέστησαν οἱ πλείους. αὖθις δὲ μεταστῆναι κελεύσαντος ὅσοις ἀμφοτέρους ἀρέσκει τὰ ὅπλα καταθέσθαι, καὶ μηδέτερον ἄρχειν, Πομπηΐῳ μὲν εἴκοσι καὶ δύο μόνον, Κουρίωνι δὲ πάντες οἱ λοιποὶ προσέθεντο. κἀκεῖνος μὲν ὡς

In urbem milites assidue mittebat ad comitia, multos ex magistratibus nummis sibi parabat & redimebat: in quibus consul fuit Paulus, qui ad partes ejus mille quingentis talentis corruptus descivit: & Curio tribunus plebis immenso ære alieno ab eo liberatus, simulque M. Antonius ob Curionis amicitiam iisdem obstrictus nominibus. Compertum est unum ex missis a Cæsare centurionibus pro curia stantem, quum audiret negari a senatu Cæsari provinciæ prorogationem, gladium manu concussisse ac dixisse, Atqui hic dabit. Et quidem quæ agebantur & parabantur, eo spectabant. At Curionis petitiones & postulata pro Cæsare plausibiliora apparebant. Quippe alterutrum postulabat, ut aut a Pompeio quoque repeterent, aut ne auferrent Cæsari exercitum. Aut enim, si privati facti essent, in officio; aut si manerent pares, in sua utrumque sorte conquieturum: qui autem alterum debilitaret, eum quam metuat potentiam geminare. Sub his consule Marcello Cæsarem latronem appellante, &, ni arma posuisset, hostem declarandum censente, Curio tamen cum Antonio & Pisone instititit ut senatus rem disquireret. Nam discessionem facere jussit eos qui censebant ut discederet ab armis Cæsar, & imperium retineret Pompeius; atque in eam partem plerique discessere. Iterum quum juberet discessionem fieri, quibus ambos placeret arma deponere, & neutrum cum imperio esse, Pompeio duo & viginti duntaxat, Curioni omnes reliqui accessere. Ibi ille tanquam

ἔπεμπον ἀνθοβολουμένων· ὥστε τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν, θέαμα κάλλιστον εἶναι καὶ λαμπρότατον. οὐδενὸς μέντοι τοῦτο λέγεται τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτιῶν ἔλαττον γενέσθαι. φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ μεγέθει τῆς χαρᾶς τοὺς ἀπὸ τῶν πραγμάτων λογισμούς· καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐτυχήματα καὶ τὰς πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος, εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς Καίσαρος δυνάμεως, ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν, οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος, ἀλλὰ πολὺ ῥᾷδιον καθαιρήσων ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. πρὸς δὲ τούτοις, Ἄππιος ἀφίκετο κομίζων ἐκ Γαλατίας ἣν ἔχρησε Πομπήϊος Καίσαρι στρατιάν. καὶ πολλὰ μὲν ἐξεφλαύριζε τὰς ἐκεῖ πράξεις, καὶ λόγους ἐξέφερε βλασφήμους περὶ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἀπείρως ἔχειν ἔλεγε τῆς αὐτοῦ δυνάμεως καὶ δόξης, ἑτέροις ὅπλοις πρὸς Καίσαρα φραγνύμενον, ὃν αὐτοῖς κατεργάσεται τοῖς ἐκείνου στρατεύμασιν ὅταν πρῶτον ὀφθῇ· τοσοῦτον καὶ μίσους πρὸς Καίσαρα, καὶ πόθου πρὸς Πομπήϊον ἐνυπάρχειν αὐτοῖς. οὕτω δ' οὖν ὁ Πομπήϊος ἐπήρθη, καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγωρίας διὰ τὸ θαῤῥεῖν ἐγένετο μεστὸς, ὥστε καὶ τῶν δεδιότων τὸν πόλεμον κατεγέλα, καὶ τοὺς λέγοντας, ἂν ἐλαύνῃ Καῖσαρ ἐπὶ τὴν πόλιν, οὐχ ὁρᾶν δυνάμεις αἷς αὐτὸν ἀμυνοῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος ἀμελεῖν ἐκέλευσεν· Ὅπου γὰρ ἂν, ἔφη, τῆς Ἰταλίας ἐγὼ κρούσω τῷ ποδὶ τὴν γῆν, ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις.

Ἤδη δὲ καὶ Καῖσαρ ἐπεφύετο τοῖς πράγμασιν ἐῤῥωμενέστερον, αὐτὸς μὲν

οὐκ

ducendo floribus conspergebant. Ac fuit illa deductio & illud iter spectaculum pulcherrimum splendidissimumque: quod tamen ex præcipuis, unde ortum bellum est, una fuit causa. Etenim rerum gestarum memoriæ ingens ista gratulatio addita maxime inflavit animos: adeo ut abjecta, quæ omnes ejus successus & facta in tutum collocaverat, cautione, nimiam sumpsit audaciam & contemptum Cæsaris virium: quasi neque armis in eum neque graviore mole opus esset habiturus, sed longe facilius eum quam evexisset dejecturus. Ad hæc ex Gallia regressus Appius est cum legionibus, quas commodato dederat Cæsari: multumque res illic gestas elevavit, & de Cæsare malignos effudit sermones. Pompeium dicebat vires suas & autoritatem ignorare, qui armis aliis se contra Cæsarem sepiret; quum suis ipsum legionibus esset confecturus, ut primum venisset in earum conspectum. Tanto eas odio in Cæsarem Pompeii desiderio teneri. Usque adeo autem inflatus animo Pompeius fuit, eoque securitatis evasit ex confidentia, ut etiam timentes bellum rideret: atque illos qui dicebant, si moveret Cæsar ad urbem, non videre se copias quibus illi resisterent, arridens vultu remisso jussit bono animo esse: Ubi enim Italiæ, inquit, ego pede tellurem pulsavero, copiæ peditum & equitum prodibunt.

Jam Cæsar quoque acrius rei incumbebat, neque longe deinceps abducebat se ab Italia.

In

οὐκ ἔτι μακρὰν τῆς Ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τοὺς στρατιώτας ἀποστέλλων ἀρχαιρεσιάσοντας, χρήμασι δὲ πολλοὺς ὑποικουρῶν καὶ διαφθείρων ἄρχοντας· ὧν καὶ Παῦλος ἦν ὁ ὕπατος, ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλλόμενος· καὶ Κουρίων ὁ δήμαρχος, ἀμηχάνῳ πλήθει δανείων ἐλευθερωθεὶς ὑπ' αὐτοῦ· καὶ Μάρκος Ἀντώνιος, διὰ φιλίαν Κουρίωνος, ὧν ὠφείλετο μετέχων. ἐλέχθη μὲν οὖν ὅτι τῶν ἀφιγμένων τὶς ἀπὸ Καίσαρος ταξιαρχῶν ἑστὼς παρὰ τὸ βουλευτήριον, καὶ πυθόμενος ὡς οὐ δίδωσιν ἡ βουλὴ Καίσαρι χρόνον τῆς ἀρχῆς, εἶπεν ἐπικρούων τῇ χειρὶ τὸ ξίφος, ἀλλὰ τοῦτο δώσει. καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα ταύτην εἶχε τὴν διάνοιαν. αἱ μέντοι Κουρίωνος ἀξιώσεις καὶ παρακλήσεις ὑπὲρ Καίσαρος, ἐφαίνοντο δημοτικώτεραι. δυεῖν γὰρ ἠξίου θάτερον, ἢ καὶ Πομπήϊον ἀπαιτεῖν, ἢ μηδὲ Καίσαρος ἀφαιρεῖσθαι τὸ στρατιωτικόν· ἢ γὰρ ἰδιώτας γενομένους, ἐπὶ τοῖς δικαίοις, ἢ μένοντας ἀντιπάλους ἐφ' οἷς ἔχουσιν ἀτρεμήσειν. ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν, ἣν φοβεῖται δύναμιν διπλασιάζει. πρὸς ταῦτα Μαρκέλλου τοῦ ὑπάτου λῃστὴν ἀποκαλοῦντος τὸν Καίσαρα, καὶ ψηφίζεσθαι πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα, Κουρίων ὅμως ἴσχυσε μετὰ Ἀντωνίου καὶ Πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. ἐκέλευσε γὰρ μεταστῆναι τοὺς Καίσαρα μόνον τὰ ὅπλα καταθέσθαι κελεύοντας, Πομπήϊον δὲ ἄρχειν· καὶ μετέστησαν οἱ πλείους. αὖθις δὲ μεταστῆναι κελεύσαντος ὅσοις ἀμφοτέρους ἀρέσκει τὰ ὅπλα καταθέσθαι, καὶ μηδέτερον ἄρχειν, Πομπηΐῳ μὲν εἴκοσι καὶ δύο μόνον, Κουρίωνι δὲ πάντες οἱ λοιποὶ προσέθεντο. κἀκεῖνος μὲν ὡς

In urbem milites assidue mittebat ad comitia, multos ex magistratibus nummis sibi parabat & redimebat: in quibus consul fuit Paulus, qui ad partes ejus mille quingentis talentis corruptus descivit: & Curio tribunus plebis immenso ære alieno ab eo liberatus, simulque M. Antonius ob Curionis amicitiam iisdem obstrictus nominibus. Compertum est unum ex missis a Cæsare centurionibus pro curia stantem, quum audiret negari a senatu Cæsari provinciæ prorogationem, gladium manu concussisse ac dixisse, Atqui hic dabit. Et quidem quæ agebantur & parabantur, eo spectabant. At Curionis petitiones & postulata pro Cæsare plausibiliora apparebant. Quippe alterutrum postulabat, ut aut a Pompeio quoque repeterent, aut ne auferrent Cæsari exercitum. Aut enim, si privati facti essent, in officio; aut si manerent pares, in sua utrumque sorte conquieturum: qui autem alterum debilitaret, eum quam metuat potentiam geminare. Sub his consule Marcello Cæsarem latronem appellante, &, ni arma posuisset, hostem declarandum censente, Curio tamen cum Antonio & Pisone institit ut senatus rem disquireret. Nam discessionem facere jussit eos qui censebant ut discederet ab armis Cæsar, & imperium retineret Pompeius; atque in eam partem plerique discessere. Iterum quum juberet discessionem fieri, quibus ambos placeret arma deponere, & neutrum cum imperio esse; Pompeio duo & viginti duntaxat, Curioni omnes reliqui accessere. Ibi ille tanquam

ὡς νενικηκὼς, λαμπρὸς ὑπὸ χαρᾶς εἰς τὸν δῆμον ἐξήλατο, κρότῳ καὶ βολαῖς στεφάνων καὶ ἀνθῶν δεξαμένων αὐτόν. ἐν δὲ τῇ βουλῇ Πομπήϊος οὐ παρῆν· οἱ γὰρ ἄρχοντες στρατοπέδων εἰς τὴν πόλιν οὐκ εἰσίασι. Μάρκελλος δὲ ἀναστὰς, οὐκ ἔφη λόγων ἀκροάσεσθαι καθήμενος, ἀλλ' ὁρῶν ὑπερφαινόμενα τῶν Ἄλπεων ἤδη δέκα τάγματα βαδίζειν, καὶ αὐτὸς ἐκπέμψειν τὸν ἀντιταξόμενον αὐτοῖς ὑπὲρ τῆς πατρίδος.

Ἐκ τούτου τὰς ἐσθῆτας ὡς ἐπὶ πένθει μετεβάλοντο. Μάρκελλος δὲ πρὸς Πομπήϊον δι' ἀγορᾶς ἐβάδιζε τῆς βουλῆς ἑπομένης, καὶ καταστὰς ἐναντίος, Κελεύω σε, εἶπεν, ὦ Πομπήϊε, βοηθεῖν τῇ πατρίδι, καὶ χρῆσθαι ταῖς παρεσκευασμέναις δυνάμεσι, καὶ καταλέγειν ἑτέρας. τὰ δ' αὐτὰ ταῦτα καὶ Λέντλος ἔλεγε, τῶν ἀποδεδειγμένων εἰς τὸ μέλλον ὑπάτων ἅτερος. ἀρξαμένου δὲ τοῦ Πομπηΐου καταλέγειν, οἱ μὲν οὐχ ὑπήκουον, ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνῄεσαν, οἱ δὲ πλείους διαλύσεις ἐβόων. καὶ γὰρ ἀνέγνω τινὰ Καίσαρος ἐπιστολὴν Ἀντώνιος ἐν τῷ δήμῳ, βιασάμενος τὴν βουλὴν, ἔχουσαν ἐπαγωγοὺς ὄχλου προκλήσεις. ἠξίου γὰρ ἀμφοτέρους ἐκβάντας τῶν ἐπαρχιῶν, καὶ τὰς στρατιωτικὰς δυνάμεις ἀφέντας, ἐπὶ τῷ δήμῳ γενέσθαι, καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. οἱ δὲ περὶ Λέντλον ὑπατεύοντες ἤδη, βουλὴν οὐ συνῆγον· ἄρτι δὲ ἐκ Κιλικίας ἀφιγμένος Κικέρων, ἔπραττε διαλλαγὰς, ὅπως Καῖσαρ ἐξελθὼν Γαλατίας, καὶ τὴν ἄλλην στρατείαν ἀφεὶς πᾶσαν, ἐπὶ δυσὶ τάγμασι καὶ τῷ Ἰλλυρικῷ τὴν δευτέραν ὑπατείαν περιμένῃ. Πομπηΐου δὲ δυσκολαίνοντος, ἐπείσθησαν οἱ

quam victor elatus gaudio prosiliit in concione, plausuque illic & floribus in eum congestis exceptus est. Non intererat senatui Pompeius. Quippe exercitibus qui præsunt, non ingrediuntur urbem. Marcellus autem exiliens negavit verba se in curia auditurum: sed quum decem legiones videat Alpes jam superantes progredi, se quoque missurum qui pro patria illis se objiciat.

Mox vestes sicut in publico luctu mutavere. Marcellus autem medio foro ad Pompeium sequente senatu perrexit, atque apud eum consistens, Jubeo tibi Pompeie, inquit, patriæ succurrere, atque uti paratis copiis, & conscribere alias. Eadem dixit Lentulus alter consulum designatorum in sequentem annum. Instituente delectum habere Pompeio, alii ad nomina non respondebant, alii infrequentes conveniebant segniter, complures reconciliationem clamabant. Recitavit enim in concione invito senatu Antonius epistolam quandam, quæ Cæsaris blanda ad populum postulata continebat. Petebat ut provinciis ambo relictis & exercitibus dimissis, in potestate populi essent, & factorum redderent rationes. Lentulus jam consul senatum non habebat. Cicero ex Cilicia modo reversus de reditu in gratiam tractabat, ut cederet Cæsar Gallia, dimitteret omnem reliquum exercitum, retentisque duabus legionibus & Illyrico secundum consulatum exspectaret. Fremente autem Pompeio, inducti sunt

οἱ Καίσαρος φίλοι θατέραν ἀφεῖναι. Λέντλου δὲ ἀντικρούσαντος, καὶ Κάτωνος αὖθις ἁμαρτάνειν τὸν Πομπήιον ἐξαπατώμενον βοῶντος, οὐκ ἔσχον αἱ διαλύσεις πέρας.

Ἐν τούτῳ δὲ ἀπηγγέλλετο Καῖσαρ Ἀρίμινον πόλιν μεγάλην τῆς Ἰταλίας κατειληφώς, καὶ βαδίζων ἄντικρυς ἐπὶ τὴν Ῥώμην μετὰ πάσης τῆς δυνάμεως. τοῦτο δὲ ἦν ψεῦδος. ἐβάδιζε γὰρ οὐ πλείονας ἔχων ἱππέων τριακοσίων, καὶ πεντακισχιλίων ὁπλιτῶν· τὴν δὲ ἄλλην δύναμιν ἐπέκεινα τῶν Ἄλπεων οὖσαν οὐ περιέμενεν, ἐμπεσεῖν ἄφνω τεταραγμένοις καὶ μὴ προσδοκῶσι βουλόμενος μᾶλλον, ἢ χρόνον δοὺς ἐκ παρασκευῆς μάχεσθαι. καὶ γὰρ ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν ἐλθών, ὃς ἀφώριζεν αὐτῷ τὴν δεδομένην ἐπαρχίαν, ἔστη σιωπῇ, καὶ διεμέλλησεν αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος. εἶτα ὥσπερ οἱ πρὸς βάθος ἀφιέντες ἀχανὲς ἀπὸ κρημνοῦ τινὸς ἑαυτούς, μύσας τῷ λογισμῷ, καὶ παρακαλυψάμενος πρὸς τὸ δεινόν, καὶ τοσοῦτον μόνον Ἑλληνιστὶ πρὸς τοὺς παρόντας ἐκβοήσας, ἀνερρίφθω κύβος, διεβίβαζε τὸν στρατόν. ὡς δὲ πρῶτον ἡ φήμη προσέπεσε, καὶ κατέσχε τὴν Ῥώμην μετ' ἐκπλήξεως θόρυβος καὶ φόβος, οἷος οὔπω πρότερον, εὐθὺς μὲν ἡ βουλὴ φερομένη πρὸς τὸν Πομπήιον συνέτρεχεν, καὶ παρῆσαν αἱ ἀρχαί· πυθομένου δὲ τοῦ Τύλλου περὶ στρατείας καὶ δυνάμεως, καὶ τοῦ Πομπηίου μετά τινος μελλήσεως ἀθαρσῶς εἰπόντος, ὅτι τοὺς παρὰ Καίσαρος ἥκοντας ἑτοίμους ἔχει, νομίζει δὲ τοὺς κατειλεγμένους πρότερον ἐν τάχει συνάξειν, τρισμυρίους ὄντας, ὁ μὲν Τύλλος ἀναβοήσας, ἐξηπάτηκας ἡμᾶς ὦ Πομπήιε,

sunt Cæsaris amici, alteram legionem ut relinqueret Cæsar. Quum adversaretur Lentulus, & Cato denuo offendere elusum Pompeium clamaret, non habuit reconciliatio exitum.

Interea Cæsarem nuntiatum est Ariminum magnam Italiæ urbem occupasse, atque plane cum omnibus copiis Romam contendere. Id verum non erat. Neque enim cum pluribus quam equitibus trecentis & peditum quinque millibus progrediebatur. Reliquas copias, quæ erant trans Alpes, non exspectaverat: quo subito perculsos & nec opinatos obrueret potius quam daret eis ad instruendos se ad bellum spatium. Nam ut ad Rubiconem venit, qui terminus erat provinciæ quam obtinebat, substitit cunctatusque est, reputans secum cœpti magnitudinem. Deinde, sicut qui in vastam altitudinem præcipitant se ex abrupto loco, connivens mente atque obtegens oculos ad periculum, quum hoc tantum ad præsentes verbis Græcis exclamasset, Jacta esto alea, trajecit exercitum. Ut primum rumor accidit, atque civitatem tumultus cum stupore metusque ut nunquam ante occupavit, patres concurrerunt confestim ad Pompeium, eodem convenerunt magistratus. Quærente Tullo de exercitu & copiis, ubi cum cunctatione quadam titubans dixit Pompeius, paratos habere se illos qui a Cæsare venerant: arbitrari etiam illos qui dudum conscripti fuerant, brevi coacturum ad triginta millia: ibi Tullus quum exclamasset, Elusisti nos Pompeie,

πηΐε, συνεβούλευεν ὡς Καίσαρα πρέσβεις ἀποστέλλειν. Φαώνιος δέ τις, ἀνὴρ τἆλλα μὲν οὐ πονηρὸς, αὐθαδείᾳ δὲ καὶ ὕβρει πολλάκις τὴν Κάτωνος οἰόμενος ἀπομιμεῖσθαι παῤῥησίαν, ἐκέλευε τὸν Πομπήϊον τῷ ποδὶ τύπτειν τὴν γῆν, ἃς ὑπισχνεῖτο δυνάμεις ἀνακαλούμενος. ὁ δὲ ταύτην μὲν ἤνεγκε τὴν ἀκαιρίαν πρᾴως· τοῦ δὲ Κάτωνος ὑπομιμνήσκοντος ὧν ἐν ἀρχῇ περὶ Καίσαρος αὐτῷ προεῖπεν, ἀπεκρίνατο μαντικώτερα μὲν εἶναι τὰ Κάτωνι λεχθέντα, φιλικώτερα δὲ ὑπ' αὐτοῦ πεπρᾶχθαι.

Κάτων δὲ συνεβούλευεν αἱρεῖσθαι στρατηγὸν αὐτοκράτορα, Πομπήϊον, ἐπειπὼν ὅτι τῶν αὐτῶν ἐστι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. οὗτος μὲν οὖν εὐθὺς ἐξῆλθεν εἰς Σικελίαν (ἔλαχε γὰρ αὐτὴν τῶν ἐπαρχιῶν) καὶ τῶν ἄλλων ἕκαστος ἃς ἐκληρώθη. τῆς δ' Ἰταλίας σχεδὸν ὅλης ἀνισταμένης, ἀπορίαν εἶχε τὸ γενόμενον. οἱ μὲν γὰρ ἔξωθεν φερόμενοι φυγῇ πανταχόθεν, εἰς τὴν Ῥώμην ἐνέπιπτον· οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἐξέπιπτον αὐτοὶ καὶ ἀπέλιπον τὴν πόλιν, ἐν χειμῶνι καὶ ταράχῳ τοσούτῳ τὸ μὲν χρήσιμον ἀσθενὲς ἔχουσαν, τὸ δὲ ἀπειθὲς, ἰσχυρὸν καὶ δυσμεταχείριστον ἄρχουσιν. οὐ γὰρ ἦν παῦσαι τὸν φόβον, οὐδὲ εἴασέ τις χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς Πομπήϊον· ἀλλ' ᾧ τις ἐνετύγχανε πάθει, φοβηθεὶς, ἢ λυπηθεὶς, ἢ διαπορήσας, τούτῳ φέρων ἐκεῖνον ἐνεπίμπλη. καὶ τἀναντία τῆς αὐτῆς ἡμέρας ἐκράτει βουλεύματα, καὶ πυθέσθαι περὶ τῶν πολεμίων οὐδὲν ἦν ἀληθὲς αὐτῷ, διὰ τὸ πολλοὺς ἀπαγγέλλειν ὅ, τι τύχοιεν, εἶτα ἀπιστοῦντι χαλεπαίνειν. οὕτω δὴ ψηφισάμενος ταραχὴν ὁρᾶν, καὶ κελεύσας ἅπαντας ἕπεσθαι αὐ-

peie, legatos cenſuit ad Cæſarem mittendos. Favonius etiam, vir alioqui non malus, pervicacia autem & linguæ procacitate crebro putans libertatem æmulari ſe Catonis, dixit Pompeio ut terram pulſaret pede ad evocandas quas promiſerat copias. Tulit ille importunitatem hanc leniter. Quum vero ſubjecit illi Cato ea quæ ab initio prædixerat ei de Cæſare, reſpondit melius divinaſſe Catonem, ſe feciſſe amicius.

Cenſuit autem Cato imperatorem Pompeium cum libera poteſtate creandum, adjiciens eorundem eſſe magna facere mala & comprimere. Mox in Siciliam profectus eſt; quod eam provinciam eſſet ſortitus, ſicut cæterorum quiſque in eam quæ ſibi evenerat. Quum eſſet Italia pene omnis erecta, res erat perplexa. Nam illi qui extra urbem erant, fuga deferebantur undequaque in urbem. Qui urbem colebant, cedebant ipſi & relinquebant eam, quæ tanta in tempeſtate ac tumultu quod in turba uſui eſſet, imbelle habebat: quod autem contumax, validum & intractabile magiſtratibus. Neque enim diſcuti metus poterat, neque ſuis conſiliis uti ſinebant Pompeium, ſed quo eſſet quiſque motu ictus, vel timore vel dolore vel hæſitatione, ea illum obruebat. Ac conſilia eodem die approbabant contraria, neque quicquam ille de hoſtibus certi audire valebat, quod multi leviter quidvis nunciarent, ſuccenſerentque fidem non habenti. Itaque tumultum decrevit, ac ſenatu ſe ſequi juſſo, denuntiatoque, ſiquis remanſiſſet

αὐτῷ τοὺς ἀπὸ βουλῆς, καὶ προειπὼν ὅτι Καίσαρος ἡγήσεται τὸν ἀπολειφθέντα, περὶ δείλην ὀψίαν ἀπέλιπε τὴν πόλιν. οἱ δὲ ὕπατοι, μηδὲ θύσαντες ἃ νομίζεται πρὸ πολέμων, ἔφυγον. ἦν δὲ καὶ παρ' αὐτὰ δεινὰ ζηλωτὸς ὁ ἀνὴρ τῆς πρὸς αὐτὸν εὐνοίας τῶν ἀνθρώπων, ὅτι πολλῶν τὴν στρατηγίαν μεμφομένων, οὐδεὶς ἦν ὁ μισῶν τὸν στρατηγόν· ἀλλὰ πλείονας ἄν τις εὗρε τῶν διὰ τὴν ἐλευθερίαν φευγόντων, τοὺς ἀπολιπεῖν Πομπήιον μὴ δυναμένους.

Ὀλίγαις δὲ ὕστερον ἡμέραις Καῖσαρ εἰσελάσας, καὶ κατασχὼν τὴν Ῥώμην, τοῖς μὲν ἄλλοις ἐπιεικῶς ἐνέτυχε καὶ κατεπράϋνε· τῷ δὲ δημάρχῳ ἑνὶ Μετέλλῳ κωλύοντι χρήματα λαβεῖν αὐτὸν ἐκ τοῦ ταμείου, θάνατον ἠπείλησε, καὶ προσέθηκε τῇ ἀπειλῇ τραχύτερον λόγον. ἔφη γὰρ ὡς τὸ φῆσαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον ἢ πρᾶξαι. τρεψάμενος δὲ τὸν Μέτελλον οὕτω, καὶ λαβὼν ὧν ἔχρηζεν, ἐδίωκε Πομπήιον, ἐκβαλεῖν σπεύδων ἐκ τῆς Ἰταλίας, πρὶν ἀφικέσθαι τὴν ἐξ Ἰβηρίας αὐτῷ δύναμιν. ὁ δὲ τὸ Βρεντήσιον κατασχὼν, καὶ πλοίων εὐπορήσας, τοὺς μὲν ὑπάτους εὐθὺς ἐμβιβάσας, καὶ μετ' αὐτῶν σπείρας τριάκοντα, προεξέπεμψεν εἰς Δυῤῥάχιον· Σκιπίωνα δὲ τὸν πενθερὸν, καὶ Γναῖον τὸν υἱὸν εἰς Συρίαν ἀπέστειλε, ναυτικὸν κατασκευάσοντας. αὐτὸς δὲ φραξάμενος τὰς πύλας, καὶ τοῖς τείχεσι τοὺς ἐλαφροτάτους στρατιώτας ἐπιστήσας, τοὺς δὲ Βρεντεσηνοὺς ἀτρεμεῖν κατ' οἰκίαν κελεύσας, ὅλην ἐντὸς ἀνέσκαψε τὴν πόλιν καὶ διετάφρευσε, καὶ σκολόπων ἐνέπλησε τοὺς στενωποὺς, πλὴν δυεῖν, δι' ὧν ἐπὶ θάλατταν αὐτὸς κατῆλθεν. ἡμέρᾳ δὲ τρίτῃ τὸν μὲν ἄλλον ὄχλον ἐν ταῖς ναυσὶν εἶχεν ἤδη καθ' ἡσυ-

ſet Romæ, cum ſe pro Juliano habiturum, ſub tenebras urbem reliquit. Conſules non mactatis ſolennibus ante bellum victimis fugere. Fuit autem ob hominum erga ſe in ipſo rerum diſcrimine benevolentiam felix Pompeius: quod quamvis belli rationem multi culparent, nemo odiſſet tamen ducem, ſed plures invenirentur qui deſerere Pompeium non potuere, quam qui fugerunt cauſa libertatis.

Paulo poſt ingreſſus Cæſar urbem, atque ea potitus, cum aliis egit benigne, eoſque placavit. Uni tribuno plebis Metello interdicenti ne pecuniam ex ærario ſumeret, necem denuntiavit, miniſque orationem addidit aſperiorem. Ait enim non tam factu id ſibi quam dictu difficile eſſe. Ita permoto Metello, acceptiſque quibus haberet opus, Pompeium perſequutus eſt, pellere eum Italia maturans antequam ſubveniret ei exercitus Hiſpanienſis. Ille occupato Brunduſio, facultatem nactus navium, conſules juſſit extemplo conſcendere, atque cum his triginta cohortes præmiſit Dyrrachium. Socerum Scipionem & Cnæum filium ad parandam claſſem miſit in Syriam. Ipſe portas obſtruit, expeditiſſimos milites in muris collocat. Brunduſinos domi ſe continere jubet: foſſas tota urbe perducit per vias, eas ſtipitibus præacutis implet præter duas, quibus ad mare deſcendit. Tertio die jam reliqua multitudo naves per otium

ἡσυχίαν ἐμβεβληκότα, τοῖς δὲ τὰ τείχη φυλάττουσιν ἐξαίφνης σημεῖον ἄρας, καὶ καταδραμόντας ὀξέως ἀναλαβὼν, ἀπεπέρασεν. ὁ δὲ Καῖσαρ ὡς εἶδεν ἐκλελειμμένα τὰ τείχη, τὴν φυγὴν αἰσθόμενος, μικροῦ μὲν ἐδέησε διώκων τοῖς σταυροῖς καὶ τοῖς ὀρύγμασι περιπετὴς γενέσθαι· τῶν δὲ Βρεντεσινῶν φρασάντων, φυλαττόμενος τὴν πόλιν καὶ κύκλῳ περιϊὼν, ἀνηγμένους εὗρε πάντας, πλὴν δυεῖν πλοίων στρατιώτας τινὰς οὐ πολλοὺς ἐχόντων.

Οἱ μὲν οὖν ἄλλοι τοῦ Πομπηΐου τὸν ἀπόπλουν ἐν τοῖς ἀρίστοις τίθενται στρατηγήμασιν· αὐτὸς δὲ Καῖσαρ ἐθαύμαζεν, ὅτι καὶ πόλιν ἔχων ὀχυρὰν, καὶ προσδοκῶν τὰς ἐξ Ἰβηρίας δυνάμεις, καὶ θαλασσοκρατῶν, ἐξέλιπε καὶ προήκατο τὴν Ἰταλίαν. αἰτιᾶται καὶ Κικέρων, ὅτι τὴν Θεμιστοκλέους ἐμιμήσατο στρατηγίαν μᾶλλον ἢ τὴν Περικλέους, τῶν πραγμάτων τούτοις ὁμοίων ὄντων, οὐκ ἐκείνοις. ἐδήλωσε δὲ Καῖσαρ ἔργῳ σφόδρα φοβούμενος τὸν χρόνον. ἑλὼν γὰρ Νουμέριον Πομπηΐου φίλον, ἀπέστειλεν εἰς Βρεντέσιον, ἐπὶ τοῖς ἴσοις ἀξιῶν διαλλαγῆναι· Νουμέριος δὲ Πομπηΐῳ συνεξέπλευσεν. ἐντεῦθεν ὁ μὲν ἡμέραις ἑξήκοντα κύριος γεγονὼς ἀναιμωτὶ τῆς Ἰταλίας ὅλης, ἐβούλετο μὲν εὐθὺς Πομπήϊον διώκειν· πλοίων δὲ μὴ παρόντων, ἀποστρέψας εἰς Ἰβηρίαν ἤλαυνε, τὰς ἐκεῖ δυνάμεις προσαγαγέσθαι βουλόμενος.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ μεγάλη συνέστη Πομπηΐῳ δύναμις, ἡ μὲν ναυτικὴ καὶ παντελῶς ἀνανταγώνιστος· ἦσαν γὰρ αἱ μάχιμοι πεντακόσιαι, λιβυρνίδων δὲ καὶ κατασκόπων ὑπερβάλλων ἀριθμός· ἱππεῖς δὲ, Ῥωμαίων καὶ Ἰταλῶν τὸ ἄνθος, ἑπτακισχίλιοι, γένεσι καὶ πλούτῳ καὶ φρονήμασι διαφέροντες. τὴν δὲ πεζὴν σύμμικτον

otium conſcenderat. Illos qui erant in muris pro ſtatione collocati, repente ſigno dato velociter decurrentes recipit ac tranſmittit. Cæſar ut conſpexit muros nudatos, fugam ſentiens, dum inſequitur, pene in ſtipites & foſſas incurrit. Cæterum Brunduſinorum monitu urbe declinata & flexa, omnes vidit in altum evectos præter duo navigia, in quibus milites pauci erant.

Pompeii quidem diſceſſum alii inter optima conſilia bellica numerant: ipſe vero Cæſar mirabatur quod qui munitam inſideret urbem, copias Hiſpanienſes exſpectaret, marique polleret, reliquiſſet & exceſſiſſet Italia. Reprehendit etiam Cicero quod Themiſtoclis conſilium non Periclis imitatus eſſet, quum res his forent, non illis conſimiles. Ipſe re oſtendit Cæſar magnopere ſe tempus formidare. Numerium enim Pompeii amicum, quem captum habebat, miſit Brunduſium, pacem æquis conditionibus petens. At Numerius Pompeium ſequutus eſt. Inde Cæſar, diebus ſexaginta tota Italia ſine ſanguine potitus, cupiebat quidem e veſtigio Pompeium inſequi, ſed, quod copiam non haberet navium, in Hiſpaniam deflexit, quo illas copias adjungeret ſibi.

Interea Pompeius magnas vires contraxit. Claſſis erat omnino invicta. Siquidem naves erant ei bello aptæ quingentæ, liburnicarum & ſpeculatoriarum immenſus numerus. Equitum Romanorum & Italicorum flos ad ſeptem millia, genere, opibus, & animis præſtantes. Peditatum autem collectitium & exercitatione

σύμμικτον οὖσαν, καὶ μελέτης δεομένην, ἐγύμναζεν ἐν Βεῤῥοίᾳ καθήμενος, οὐκ ἀργός, ἀλλ' ὥσπερ ἀκμάζοντι χρώμενος αὐτῷ πρὸς τὰ γυμνάσια. μεγάλη γὰρ ἦν ῥοπὴ πρὸς τὸ θαῤῥεῖν, τοῖς ὁρῶσι Πομπήϊον Μάγνον, ἑξήκοντα μὲν ἔτη δυεῖν λείποντα γεγενημένον, ἐν δὲ τοῖς ὅπλοις ἁμιλλώμενον πεζὸν, εἶτα ἱππότην αὖθις, ἑλκόμενόν τε τὸ ξίφος ἀπραγμόνως θέοντι τῷ ἵππῳ, καὶ κατακλείοντα πάλιν εὐχερῶς· ἐν δὲ τοῖς ἀκοντισμοῖς οὐ μόνον ἀκρίβειαν, ἀλλὰ καὶ ῥώμην ἐπιδεικνύμενον εἰς μῆκος, ὃ πολλοὶ τῶν νέων οὐχ ὑπερέβαλλον. ἐπεφοίτων δὲ καὶ βασιλεῖς ἐθνῶν καὶ δυνάσται, καὶ τῶν ἀπὸ Ῥώμης ἡγεμονικῶν ἀριθμὸς ἦν ἐντελοῦς βουλῆς περὶ αὐτόν. ἦλθε δὲ καὶ Λαβεὼν ἀπολιπὼν Καίσαρα, φίλος γεγονὼς, καὶ συνεστρατευμένος ἐν Γαλατίᾳ· καὶ Βροῦτος, υἱὸς ὢν Βρούτου τοῦ περὶ Γαλατίαν σφαγέντος, ἀνὴρ μεγαλόφρων, καὶ μηδέποτε Πομπήϊον προσειπὼν μηδὲ ἀσπασάμενος πρότερον, ὡς φονέα τοῦ πατρὸς, τότε δὲ, ὡς ἐλευθεροῦντι τὴν Ῥώμην, ὑπέταξεν ἑαυτόν. Κικέρων δὲ, καίπερ ἄλλα γεγραφὼς καὶ βεβουλευμένος, ὅμως κατῃδέσθη μὴ γενέσθαι τοῦ προκινδυνεύοντος ἀριθμοῦ τῆς πατρίδος. ἦλθε δὲ καὶ Τίδιος Σέξτιος, ἐσχατόγηρως ἀνὴρ, θάτερον πεπηρωμένος σκέλος, εἰς Μακεδονίαν· ὃν, τῶν ἄλλων γελώντων καὶ χλευαζόντων, ὁ Πομπήϊος ἰδὼν ἐξανέστη καὶ προσέδραμε, μέγα νομίζων μαρτύριον εἶναι, καὶ τοὺς παρ' ἡλικίαν καὶ δύναμιν αἱρουμένους τὸν μετ' αὐτοῦ κίνδυνον ἀντὶ τῆς ἀσφαλείας.

Ἐπεὶ

ercitatione indigentem exercebat ad Berœam ſedens non ſegnis, ſed ſicut juvenis exercitationes obibat. Magnum enim erat ad animos excitandos momentum, Pompeium Magnum videre annos duodeſexaginta natum in armis certantem peditem, inde in equo rurſus, ac gladium citato equo facile ſtringentem, iterumque condentem expedite: in jaculando non artem modo, ſed lacertos etiam oſtendentem ſpatio quod multi juvenes non excedebant. Jam conferebant ſe ad eum reges gentium dynaſtæque. Principum Romanorum ex urbe numerus qui cum eo erat, ſpeciem ſenatus integram præbebat. Acceſſit ad eum & Labienus relicto Cæſare, quicum amicitia conjunctus fuerat & in Gallia militaverat. Brutus item filius Bruti ejus qui necatus in Gallia fuerat, magni vir animi, qui ante eam diem Pompeium ut patris ſui interfectorem non appellaverat vel ſalutaverat, tunc vero ut libertatis Romanæ defenſoris partes eſt ſequutus. Cicero, licet diverſa ſcripſerat & deliberaverat, erubuit tamen non cenſeri in numero eorum qui pro patria ſe in periculum demiſerant. Venit in Macedoniam & Tidius Sextius, vir extremæ ſenectutis, & altero crure claudus: quem cæteris ridentibus & illudentibus, ſimul atque conſpexit eum Pompeius, aſſurrexit & occurrit ei, pro magno teſtimonio habens, quod vel ætate & viribus impotentes ſecum mallent diſcrimen adire, quam ſecuritatem amplecti.

Ἐπεὶ δὲ βουλῆς γενομένης, καὶ γνώμην Κάτωνος εἰπόντος, ἐψηφίσαντο μηδένα Ῥωμαίων ἄνευ παρατάξεως ἀναιρεῖν, μηδὲ διαρπάζειν πόλιν ὑπήκοον Ῥωμαίοις, ἔτι μᾶλλον ἡ Πομπηΐου μερὶς ἠγαπήθη. καὶ γὰρ οἷς μηδὲν ἦν πρᾶγμα τοῦ πολέμου, πόῤῥω κατοικοῦσιν, ἢ δι' ἀσθένειαν ἀμελουμένοις, τῷ γε βούλεσθαι συγκατετίθεντο, καὶ τῷ λόγῳ συνεμάχουν ὑπὲρ τῶν δικαίων, ἡγούμενοι Θεοῖς εἶναι καὶ ἀνθρώποις ἐχθρὸν, ᾧ μὴ καθ' ἡδονήν ἐστι νικᾶν Πομπήϊον. οὐ μὴν ἀλλὰ καὶ Καῖσαρ εὐγνώμονα παρεῖχεν ἑαυτὸν ἐν τῷ κρατεῖν· ὃς καὶ τὰς ἐν Ἰβηρίᾳ τοῦ Πομπηΐου δυνάμεις ἑλὼν, καὶ καταπολεμήσας, ἀφῆκε τοὺς στρατηγοὺς, τοῖς δὲ στρατιώταις ἐχρῆτο. καὶ πάλιν ὑπερβαλὼν τὰς Ἄλπεις, καὶ διαδραμὼν τὴν Ἰταλίαν, εἰς Βρεντέσιον ἧκεν, ἐν τροπαῖς ἤδη τοῦ χειμῶνος ὄντος· καὶ διαπεράσας τὸ πέλαγος, αὐτὸς μὲν εἰς Ὤρικον παρενέβαλεν, Ἰούβιον δὲ τὸν Πομπηΐου φίλον αἰχμάλωτον ἔχων σὺν ἑαυτῷ, πρὸς Πομπήϊον ἀπέστειλε, προκαλούμενος, εἰς ἓν συνελθόντας ἀμφοτέρους ἡμέρᾳ τρίτῃ πάντα διαλῦσαι τὰ στρατεύματα, καὶ γενομένους φίλους καὶ ὀμόσαντας, ἐπανελθεῖν εἰς Ἰταλίαν. ταῦτα Πομπήϊος αὖθις ἐνέδραν ἡγεῖτο· καὶ καταβὰς ὀξέως ἐπὶ θάλατταν, κατέλαβε χωρία καὶ τόπους ἕδρας τε τοῖς πεζοῖς στρατοπέδοις ὑπεραλκεῖς ἔχοντα, καὶ ναύλοχα, καὶ καταίρσεις ἐπιφόρους τοῖς ἐπιφοιτῶσι διὰ θαλάττης· ὥστε πάντα πνεῖν ἄνεμον Πομπηΐῳ, σῖτον ἢ στρατιὰν ἢ χρήματα κομίζοντα· Καίσαρα δὲ δυσχωρίαις κατὰ γῆν ὁμοῦ καὶ κατὰ θάλατταν περιεχόμενον, ἐξ ἀνάγκης φιλομαχεῖν, καὶ προσβάλλοντα τοῖς ἐρύμασι, καὶ προκαλούμενον ἑκάστοτε, τὰ μὲν πλεῖστα

Postquam vero coacto ſenatu decreverunt ex Catonis ſententia, ne quis civis Romanus niſi in acie occideretur, neque oppidum pacatum populo Romano diriperetur, tum multo majorem favorem Pompeii partes habuere. Etenim quibus nihil negotii cum bello erat, quòd longe eſſent poſiti, aut negligerentur ob imbecillitatem, ſtudio certe aſſentiebantur ei, verbiſque ſe pro juſta cauſa aſſociabant, Diis hominibuſque hoſtem arbitrantes eum, qui victoriam non optaret Pompeio. Cæſar præbuit item ſe in victoria benignum, qui captis in Hiſpania & devictis Pompeii legionibus dimiſit duces, militibuſque uſus eſt. Hic Alpibus denuo trajectis Brunduſium circa ſolſtitium brumale venit, tranſmiſſoque pelago Oricum pervaſit per hoſtium ſtationes. Jubium Pompeii familiarem, quem in poteſtate habebat ſecum, deſtinavit ad eum: ut ambo congreſſi die tertio omnes exercitus dimitterent, reconciliataque amicitia & dato jurejurando redirent in Italiam. Eas Pompeius novas inſidias putavit eſſe. Itaque raptim deſcendit ad mare: præſidia & loca occupavit, ubi ſedes admodum munitas pedeſtres copiæ haberent, navaliaque & portus opportuni eſſent per mare commeantibus: ut omnis eſſet ventus Pompeio ſecundus, commeatumque vel milites vel ſtipendium adveheret. Cæſar autem difficultatibus terra marique circumventus quærebat neceſſario pugnam, adorienſque munimenta atque aſſidue laceſſens eum, levibus certaminibus plerumque victor & ſuperior

πλεῖςα νικᾶν καὶ κρατεῖν τοῖς ἀκροβολισμοῖς, ἅπαξ δὲ μικροῦ συντριβῆναι, καὶ τὴν ςρατιὰν ἀποβαλεῖν, τοῦ Πομπηΐου λαμπρῶς ἀγωνισαμένου μέχρι τροπῆς ἁπάντων, καὶ φόνου δισχιλίων, βιάσασθαι δὲ καὶ συνεισπεσεῖν μὴ δυνηθέντος, ἢ φοβηθέντος. ὥστε εἰπεῖν Καίσαρα πρὸς τοὺς φίλους, ὅτι σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον.

Ἐπὶ τούτῳ μέγα φρονήσαντες οἱ Πομπηΐου, διὰ μάχης ἔσπευδον κριθῆναι. Πομπήϊος δὲ τοῖς μὲν ἔξω βασιλεῦσι καὶ ςρατηγοῖς καὶ πόλεσιν ὡς νενικηκὼς ἔγραφε, τὸν δὲ τῆς μάχης κίνδυνον ὠῤῥώδει, τῷ χρόνῳ καὶ ταῖς ἀπορίαις καταπολεμήσειν νομίζων ἄνδρας ἀμάχους μὲν ἐν τοῖς ὅπλοις, καὶ συνειθισμένους νικᾶν μετ᾽ ἀλλήλων πολὺν ἤδη χρόνον· πρὸς δὲ τὴν ἄλλην ςρατείαν, καὶ πλάνας, καὶ μεταβάσεις, καὶ τάφρων ὀρύξεις, καὶ τειχῶν οἰκοδομίας ἀπαγορεύοντας ὑπὸ γήρως, καὶ διὰ τοῦτο ταῖς χερσὶν ἐμφῦναι τάχιςα καὶ συμπλακῆναι σπεύδοντας. οὐ μὴν ἀλλὰ πρότερον ἁμωσγέπως παρῆγε πείθων τοὺς περὶ αὐτὸν ἀτρεμεῖν ὁ Πομπήϊος· ἐπεὶ δὲ μετὰ τὴν μάχην ὁ Καῖσαρ ὑπὸ τῶν ἀπορειῶν ἀναςὰς ἐβάδιζε δι᾽ Ἀθαμάνων εἰς Θετταλίαν, οὐκέτι καθεκτὸν ἦν τὸ φρόνημα τῶν ἀνδρῶν, ἀλλὰ φεύγειν Καίσαρα βοῶντες, οἱ μὲν ἀκολουθεῖν καὶ διώκειν ἐκέλευον, οἱ δὲ διαβαίνειν εἰς Ἰταλίαν· οἱ δὲ θεράποντας εἰς Ῥώμην καὶ φίλους ἔπεμπον, οἰκίας προκαταληψομένους ἐγγὺς ἀγορᾶς, ὡς αὐτίκα μετιόντες ἀρχάς. ἐθελονταὶ δὲ πολλοὶ πρὸς Κορνηλίαν ἔπλεον εἰς Λέσβον, εὐαγγελιζόμενοι πέρας ἔχειν τὸν πόλεμον· ἐκεῖ γὰρ αὐτὴν ὑπεξέπεμψεν ὁ Πομπήϊος. ἀθροισθείσης δὲ βουλῆς, Ἀφρά-

perior fuit: ſemel pene fuit oppreſſus, & exercitum amiſit. Quo tempore Pompeius, qui egregia pugna omnes pepulerat, interfecerat duo millia, inſtare tamen unaque cum fugientibus in caſtra eorum irrumpere non valuit, aut timuit. Unde dixit apud amicos Cæſar, victoriam fuiſſe eo die penes hoſtem futuram, ſi ducem vincendi gnarum habuiſſent.

Ea re ſublati properavere Pompeiani acie decernere. At Pompeius quamvis ad abſentes reges, duces, & civitates ut victor ſcriberet, aleam trepidavit tamen pugnæ, temporis longinquitate ac difficultatibus neceſſariorum oppreſſurum ſe ratus invictos armis viros, ac diu jam una vincere aſſuetos: qui ad alia militiæ munera, ad vagandum, transferenda caſtra, foſſas ducendas, munimenta excitanda præ ſenio fatiſcentes, manus quam primum conſerere & confligere properabant. Et quidem Pompeius utcunque ſuadendo adduxerat ſuos ut quieſcerent. Verum ut ſecundum pugnam illam rerum neceſſariarum anguſtiis Cæſar compulſus contendit per Athamaniam in Theſſaliam, haud poterant jam ultra illorum ſpiritus frænari, ſed fugere vociferantes Cæſarem, alii perſequendum & inſtandum, alii cenſuerunt tranſmittendum in Italiam, alii miniſtros neceſſarioſque Romam miſerunt, ad propinqua foro ædificia, quaſi mox honores petituri, occupanda. Multi ad Corneliam Leſbum navigaverunt gratulatum debellatum eſſe. Eo enim Pompeius clam extra tumultum miſerat illam. Porro ſenatu coacto cenſuit Afra-

Ἀφράνιος μὲν ἀπεφαίνετο γνώμην, ἔχεσθαι τῆς Ἰταλίας· ταύτην γὰρ εἶναι τοῦ πολέμου τὸ μέγιστον ἆθλον· προστιθέναι δὲ τοῖς κρατοῦσιν εὐθὺς Σικελίαν, Σαρδόνα, Κύρνον, Ἰβηρίαν, Γαλατίαν ἅπασαν· ἧς τε δὴ πλεῖστος ὁ λόγος Πομπηΐῳ, πατρίδος ὀρεγούσης χεῖρας ἐγγύθεν, οὐ καλῶς ἔχειν περιορᾶν προπηλακιζομένην, καὶ δουλεύουσαν οἰκέταις καὶ κόλαξι τυράννων. αὐτὸς δὲ Πομπήϊος οὔτε πρὸς δόξαν ἡγεῖτο καλὸν αὐτῷ δευτέραν φυγὴν φεύγειν Καίσαρα, καὶ διώκεσθαι, τῆς τύχης διώκειν διδούσης, οὔτε ὅσιον ἐγκαταλιπεῖν Σκιπίωνα, καὶ τοὺς περὶ τὴν Ἑλλάδα καὶ Θετταλίαν ἄνδρας ὑπατικοὺς, εὐθὺς ὑπὸ Καίσαρι γενησομένους μετὰ χρημάτων καὶ δυνάμεων μεγάλων· τῆς δὲ Ῥώμης μάλιστα κήδεσθαι τὸν ἀπωτάτω πολεμοῦντα περὶ αὐτῆς, ὅπως ἀπαθὴς κακῶν οὖσα καὶ ἀνήκοος περιμένῃ τὸν κρατοῦντα.

Ταῦτα ψηφισάμενος ἐδίωκε Καίσαρα, μάχης μὲν ἐγνωκὼς ἀπέχεσθαι, πολιορκεῖν δὲ καὶ τρίβειν ταῖς ἀπορίαις, ἐγγύθεν ἐπακολουθῶν. καὶ γὰρ ἄλλως ταῦτα συμφέρειν ἡγεῖτο, καὶ λόγος τις εἰς αὐτὸν ἧκεν ἐν τοῖς ἱππεῦσι φερόμενος, ὡς χρὴ τάχιστα τρεψαμένους Καίσαρα, συγκαταλύειν κἀκεῖνον αὐτόν. ἔνιοι δέ φασι, διὰ τοῦτο καὶ Κάτωνι μηδὲν ἄξιον σπουδῆς χρήσασθαι Πομπήϊον· ἀλλὰ καὶ πορευόμενον ἐπὶ Καίσαρα, πρὸς θαλάσσῃ καταλιπεῖν ἐπὶ τῆς ἀποσκευῆς, φοβηθέντα μὴ Καίσαρος ἀναιρεθέντος, ἀναγκάσῃ κἀκεῖνον εὐθὺς ἀποθέσθαι τὴν ἀρχήν. οὕτω δὲ παρακολουθῶν ἀτρέμα τοῖς πολεμίοις, ἐν αἰτίαις ἦν καὶ καταβοήσεσιν, ὡς οὐ Καίσαρα καταστρατηγῶν, ἀλλὰ τὴν

Afranius apprehendendam Italiam. Hoc enim belli maximum præmium esse: cujus potientibus mox accessuram Siciliam, Sardiniam, Corsicam, Hispaniam, Galliam omnem: denique, cujus prima esset ratio, porrigentem Pompeio manus patriam ex tam propinquo turpe esse pati ludibrio haberi, servireque tyrannorum mancipiis & adulatoribus. Cæterum ipse Pompeius neque vel ad gloriam sibi putabat honestum, quum fortuna præberet ei insequendi facultatem, iterum fugere Cæsarem, ut se ille insectaretur: neque fas deserere Scipionem & dispersos per Græciam & Thessaliam consulares viros, qui mox in potestate Cæsaris cum argento & magnis copiis futuri erant. Urbi maxime se consulere, si de ea certent quam remotissime, quo expers & exsors malorum exspectet victorem.

His decretis, Cæsarem insequitur, pugna certum habens abstinere, tantum circumsidere eum & rerum necessariarum atterere angustiis prope adhærens. Etenim cum hæc alias existimavit conducere, tum sermo quidam ad eum est allatus, qui jactabatur inter equites, ut primum fudissent Cæsarem, mox hunc quoque in ordinem cogendum. Nonnulli etiam ferunt a Pompeio ideo quoque nulla in re adhibitum graviore Catonem, sed quum Cæsarem consectaretur, impedimentis eum apud mare præfecisse, quod vereretur ne sublato Cæsare abdicare se quoque illico cogeret imperio. Dum ita Cæsarem sensim subsequitur, impetiverunt eum criminibus & obtrectationibus, non Cæsarem ipsius artibus,

τὴν πατρίδα καὶ τὴν βουλήν, ὅπως διὰ παντὸς ἄρχῃ, καὶ μηδέποτε παύσηται τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν χρώμενος ὑπηρέταις καὶ δορυφόροις. Δομίτιος δὲ αὐτὸν ἀεὶ ὁ Αἰνόβαρβος Ἀγαμέμνονα καλῶν, καὶ βασιλέα βασιλέων, ἐπίφθονον ἐποίει. καὶ Φαώνιος οὐχ ἧττον ἦν ἀηδὴς τῶν παρρησιαζομένων ἀκαίρως, ἐν τῷ σκώπτειν, Ἄνθρωποι, βοῶν, οὐδὲ τῆτες ἔστα τῶν ἐν Τουσκλάνῳ σύκων μεταλαβεῖν. Λούκιος δὲ Ἀφράνιος, ὁ τὰς ἐν Ἰβηρίᾳ δυνάμεις ἀποβαλών, ἐν αἰτίᾳ προδοσίας γεγονώς, τότε δὲ τὸν Πομπήϊον ὁρῶν φυγομαχοῦντα, θαυμάζειν ἔλεγε τοὺς κατηγοροῦντας αὐτοῦ, πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν οὐ μάχονται προελθόντες. ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ λέγοντες, ἄνδρα δόξης ἥττονα καὶ τῆς πρὸς τοὺς φίλους αἰδοῦς τὸν Πομπήϊον ἐξεβιάσαντο ταῖς ἑαυτῶν ἐλπίσι καὶ ὁρμαῖς ἐπακολουθῆσαι, προέμενον τοὺς ἀρίστους λογισμούς· ὅπερ οὐδὲ πλοίου κυβερνήτῃ, μήτιγε τοσούτων ἐθνῶν καὶ δυνάμεων αὐτοκράτορι στρατηγῷ παθεῖν ἦν προσῆκον. ὁ δὲ τῶν μὲν ἰατρῶν τοὺς μηδέποτε χαριζομένους ταῖς ἐπιθυμίαις ἐπήνεσεν, αὐτὸς δὲ τῷ νοσοῦντι τῆς στρατηγίας ἐνέδωκε, δείσας ἐπὶ σωτηρίᾳ λυπηρὸς γενέσθαι. πῶς γὰρ ἄν τις φήσειεν ὑγιαίνειν ἐκείνους τοὺς ἄνδρας, ὧν οἱ μὲν ὑπατείας ἤδη καὶ στρατηγίας ἐν τῷ στρατοπέδῳ περινοστοῦντες ἐμνῶντο; Σπινθῆρι δὲ καὶ Δομιτίῳ καὶ Σκιπίωνι περὶ τῆς Καίσαρος ἀρχιερωσύνης ἔριδες ἦσαν καὶ φιλονεικίαι καὶ δεξιώσεις, ὥσπερ αὐτοῖς Τιγράνου τοῦ Ἀρμενίου παραστρατοπεδεύοντος, ἢ τοῦ Ναβαταίων βασιλέως· ἀλλ᾽ οὐ Καίσαρος ἐκείνου, καὶ τῆς δυνάμεως, ἣ χιλίας μὲν ᾑρήκει πόλεις κατὰ κράτος, ἔθνη δὲ πλεί-

bus, sed patriam & senatum circumveniri, quo semper cum imperio sit, neque unquam desistat illis qui deberent orbem terræ regere, pro assectis & satellitibus uti. Domitius Ænobarbus cum perpetuo Agamemnonem appellans & regem regum, invidiam ei conflabat. Nec minus erant Favonii importuna cavilla quam aliorum libere emissæ intempestivæ voces. Quirites, clamabat ille, toto hoc anno non vescemini ficubus Tusculanis. L. Afranius, qui exercitus Hispanienses amiserat, proditionis nota adspersus, quum Pompeium tunc detrectantem cerneret certamen, demirari se dicebat accusatores suos, cur non ad dimicandum cum provinciarum mercatore procederent. His & hujuscemodi multis dictis virum impotentem gloriæ & verecundia erga amicos victum impulerunt Pompeium, ut relictis consiliis optimis suis, ipsorum spe atque impetu abriperetur: quod nec navigii gubernatorem, nedum tot gentium & tantarum copiarum conveniebat summum imperatorem admittere. At hic qui commendabat eos qui nunquam indulgerent cupiditatibus ægrorum medicos, ipse parti exercitus ægræ concessit, veritus ad salutem ejus acerbus esse. Qui enim sanos illos dicas homines, quorum partim consulatus & præturas in castris deambulantes ambirent: Spintheri, Domitio, Scipioni de sacerdotio Cæsaris rixæ, contentiones, & prensationes essent, quasi Armenius Tigranes aut Nabatæorum rex collata ipsis castra haberet, non autem Cæsar ille & legiones, quæ mille urbes expugnaverant, gentes subegerant am-

πλείονα τριακοσίων ὑπῆκτο· Γερμανοῖς δὲ καὶ Γαλάταις μεμαχημένος ἀήττητος ὅσας οὐκ ἄν τις ἀριθμήσαι μάχας, ἑκατὸν μυριάδας αἰχμαλώτων ἔλαβεν, ἑκατὸν δὲ ἀπέκτεινε τρεψάμενος ἐκ παρατάξεως.

Ἀλλ' ὅμως ἐγκείμενοι καὶ θορυβοῦντες, ἐπεὶ κατέβησαν εἰς τὸ Φαρσάλιον πεδίον, ἠνάγκασαν βουλὴν προθεῖναι τὸν Πομπήϊον, ἐν ᾗ Λαβιηνὸς ὁ τῶν ἱππέων ἄρχων, πρῶτος ἀναστὰς ὤμοσε μὴ ἀναχωρήσειν ἐκ τῆς μάχης, εἰ μὴ τρέψαιτο τοὺς πολεμίους· τὰ δὲ αὐτὰ καὶ πάντες ὤμνυσαν. τῆς δὲ νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους Πομπήϊος, εἰς τὸ θέατρον εἰσιόντος αὐτοῦ, κροτεῖν τὸν δῆμον, αὐτὸς δὲ κοσμεῖν ἱερὰ Ἀφροδίτης νικηφόρου πολλοῖς λαφύροις. καὶ τὰ μὲν ἐθάρρει, τὰ δὲ ὑπέθραττεν αὐτὸν ἡ ὄψις, δεδοικότα μὴ τῷ γένει τῷ Καίσαρος εἰς Ἀφροδίτην ἀνήκοντι δόξα καὶ λαμπρότης ἀπ' αὐτοῦ γένηται· καὶ πανικοί τινες θόρυβοι διάττοντες ἐξανέστησαν αὐτόν. ἑωθινῆς δὲ φυλακῆς ὑπὲρ τοῦ Καίσαρος στρατοπέδου πολλὴν ἡσυχίαν ἄγοντος, ἐξέλαμψε μέγα φῶς, ἐκ δὲ τούτου λαμπὰς ἀφθεῖσα φλογοειδὴς ἐπὶ Πομπηΐου κατέσκηψε· καὶ τοῦτο ἰδεῖν φησι Καῖσαρ αὐτὸς ἐπιὼν τὰς φυλακάς. ἅμα δ' ἡμέρᾳ μέλλοντος αὐτοῦ πρὸ σκότους ἀναζευγνύειν, καὶ τὰς σκηνὰς τῶν στρατιωτῶν καθαιρούντων, καὶ προπεμπόντων ὑποζύγια καὶ θεράποντας, ἧκον οἱ σκοποὶ, φράζοντες ὅπλα πολλὰ καθορᾶν ἐν τῷ χάρακι τῶν πολεμίων διαφερόμενα, καὶ κίνησιν εἶναι καὶ θόρυβον ἀνδρῶν ἐπὶ μάχην ἐξιόντων. μετὰ δὲ τούτους ἕτεροι παρῆσαν, εἰς τάξιν ἤδη καθίστασθαι τοὺς πρώτους λέγοντες. ὁ μὲν οὖν Καῖσαρ, εἰπὼν τὴν προσδοκωμένην ἥκειν ἡμέραν, ἐν ᾗ πρὸς ἄνδρας,

amplius trecentis, cum Germanis & Gallis invicti pugnis innumerabilibus conflixerant, hominum decies centena millia ceperant, totidem signis collatis fusos occiderant?

Attamen instantes & tumultuantes, postquam in campos Pharsalicos est descensum, coegerunt Pompeium ut concilium advocaret. Ibi Labienus præfectus equitum exsurgens primus juravit, nisi profligatis hostibus non excessurum se prœlio. Idem omnes juraverunt. Nocte visum Pompeio est in somnis theatrum ingresso sibi populum plaudere, templumque se Veneris victricis multis spoliis exornare. Hæc visio partim erexit eum, partim solicitavit nonnihil metuentem, ne Cæsaris familiæ Venerem contingenti accederet ab se decus & claritas: atque excilaverunt eum exorti in castris Panici quidam terrores ex somno. Quarta vigilia supra Cæsaris castra, ubi omnia quieta erant, ingens effulsit lumen. Ex eo fax accensa flammea in Pompeii est castra delata. Ipse se Cæsar hoc, dum excubias circumiret, ait vidisse. Primo diluculo quum castra movere ante lucem statuisset, detendentibus tentoria militibus, jumentaque & servitia præmittentibus accurrentes exploratores nuntiaverunt in castris hostium se multa arma vidisse huc illuc ferri, motumque & tumultum ibi hominum esse ad pugnam accingentium se. Mox alii adfuerunt qui referrent primam aciem jam instructam. Ibi Cæsar, quum dixisset adesse exspectatam diem, qua cum viris

δρας, οὐ πρὸς λιμὸν οὐδὲ πενίαν μαχουμένους, κατὰ τάχος πρὸ τῆς σκηνῆς ἐκέλευσε προθεῖναι τὸν φοινικοῦν χιτῶνα· τοῦτο γὰρ μάχης Ῥωμαίοις ἐστὶ σύμβολον. οἱ δὲ στρατιῶται θεασάμενοι, μετὰ βοῆς καὶ χαρᾶς τὰς σκηνὰς ἀφέντες, ἐφέροντο πρὸς τὰ ὅπλα. καὶ τῶν ταξιαρχῶν ἀγόντων εἰς ἣν ἔδει τάξιν, ἕκαστος, ὥσπερ χορός, ἄνευ θορύβου μεμελετημένως εἰς τάξιν καὶ πράως καθίστατο.

Πομπήϊος δὲ τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, ἔμελλεν ἀνθίστασθαι πρὸς Ἀντώνιον· ἐν δὲ τῷ μέσῳ Σκιπίωνα τὸν πενθερὸν ἀντέταξε Καλβίνῳ Λευκίῳ· τὸ δὲ εὐώνυμον εἶχε μὲν Λεύκιος Δομίτιος, ἐρρώσθη δὲ τῷ πλήθει τῶν ἱππέων. ἐνταῦθα γὰρ ὀλίγου δεῖν ἅπαντες ἐρρύησαν, ὡς Καίσαρα βιασόμενοι, καὶ τὸ δέκατον τάγμα διακόψοντες, οὗ πλεῖστος ἦν ὁ λόγος ὡς μαχιμωτάτου, καὶ Καῖσαρ ἐν ἐκείνῳ ταττόμενος εἰώθει μάχεσθαι. κατιδὼν δὲ πεφραγμένον ἵππῳ τοσαύτῃ τῶν πολεμίων τὸ εὐώνυμον, καὶ φοβηθεὶς τὴν λαμπρότητα τοῦ ὁπλισμοῦ, μετεπέμψατο σπείρας ἓξ ἀπὸ τῶν ἐπιταγμάτων, καὶ κατέστησεν ὄπισθεν τοῦ δεκάτου, κελεύσας ἡσυχίαν ἄγειν, ἀδήλους τοῖς πολεμίοις ὄντας· ὅταν δὲ προσελαύνωσιν οἱ ἱππεῖς, διὰ τῶν προμάχων ἐκδραμόντας, μὴ προέσθαι τοὺς ὑσσούς, ὥσπερ εἰώθασιν οἱ κράτιστοι, σπεύδοντες ἐπὶ τὰς ξιφουλκίας, ἀλλὰ παίειν ἄνω, συντιτρώσκοντας ὄμματα καὶ πρόσωπα τῶν πολεμίων· οὐ γὰρ μενεῖν τοὺς καλοὺς τούτους καὶ ἀνθηροὺς πυρριχιστὰς διὰ τὸν ὡραϊσμόν, οὐδὲ ἀντιβλέψειν πρὸς τὸν σίδηρον ἐν ὀφθαλμοῖς γινόμενον. ἐν τούτοις μὲν οὖν ὁ Καῖσαρ ἦν. ὁ δὲ Πομπήϊος ἀφ᾽ ἵππου τὴν παράταξιν ἐπι-

viris essent non cum fame & inopia dimicaturi, jussit confestim sagum purpureum pro prætorio proponi. Id enim apud Romanos est signum pugnæ. Quo conspecto jubilantes milites omissis tentoriis cum gaudio ad arma concurrere, instruentibusque aciem ordinum ductoribus, ivit quisque in chori modum sine tumultu perite & silentio in ordinem suum.

Fuit in dextro cornu Pompeius ipse Antonio oppositus: in media acie socerum suum Scipionem contra L. Albinum locaverat: sinistrum L. Domitius tenuit. Id firmavit equitum multitudine. Eo enim traducti omnes fuere, quo Cæsarem impellerent, & conciderent legionem decimam, quæ habebatur longe fortissima, in qua consistere Cæsar, quum dimicaret, solebat. Animadvertens igitur Cæsar tanto septum equitatu sinistrum hostium cornu, metuensque armorum splendorem, sex cohortes ex secunda acie detraxit, ac a tergo decimæ legionis collocavit, præcepitque quieti ut consisterent, ne perciperet eos hostis: ubi inveherent equites, per principia procurrerent, nec pila emitterent, ut solent fortissimi ad gladios stringendos properantes, verum superiora peterent, hostiumque oculos & faciem ferirent convulnerarentque; haud substituros cum fuco suo formosulos istos & floridos saltatores, neque facturos ut contra appetens oculos ferrum intuerentur. Dum hæc agit Cæsar, Pompeius ex equo aciem con-

ἐπισκοπῶν, ὡς ἑώρα τοὺς μὲν ἀντιπάλους μεθ' ἡσυχίας τὸν καιρὸν ἐν τάξει προσμένοντας, τὸ δ' ὑφ' αὑτῷ στρατιᾶς τὸ πλεῖστον οὐκ ἀτρεμοῦν, ἀλλὰ κυμαῖνον ἀπειρίᾳ καὶ θορυβούμενον, ἔδεισε μὴ διασπασθῇ παντάπασιν ἐν ἀρχῇ τῆς μάχης· καὶ παράγγελμα τοῖς προτεταγμένοις ἔδωκεν, ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως, δέχεσθαι τοὺς πολεμίους. ὁ δὲ Καῖσαρ αἰτιᾶται τὸ στρατήγημα τοῦτο· τῶν τε γὰρ πληγῶν τὸν ἐξ ἐπιδρομῆς τόνον ἀμαυρῶσαι, καὶ τὴν μάλιστα τοὺς πολλοὺς ἐν τῷ συμφέρεσθαι τοῖς πολεμίοις πληροῦσαν ἐνθουσιασμοῦ καὶ φορᾶς ἀντεξόρμησιν, ἅμα κραυγῇ καὶ δρόμῳ τὸν θυμὸν αὔξουσαν, ἀφελόντα, πῆξαι καὶ καταψῦξαι τοὺς ἄνδρας. ἦσαν δὲ οἱ μὲν μετὰ Καίσαρος, δισχίλιοι πρὸς δισμυρίοις· οἱ δὲ μετὰ Πομπηΐου, βραχεῖ πλείονες ἢ διπλάσιοι τούτων.

Ἤδη δὲ συνθήματος διδομένου παρὰ ἀμφοτέρων, καὶ τῆς σάλπιγγος ἀρχομένης ἐγκελεύεσθαι πρὸς τὴν σύστασιν, τῶν μὲν πολλῶν ἐσκοπεῖτο ἕκαστος καθ' αὑτόν, ὀλίγοι δὲ Ῥωμαίων οἱ βέλτιστοι, καί τινες Ἑλλήνων παρόντες ἔξω τῆς μάχης, ὡς ἐγγὺς ἦν τὸ δεινόν, ἐλογίζοντο τὴν πλεονεξίαν καὶ φιλονεικίαν, ὅπου φέρουσα τὴν ἡγεμονίαν ἐξέθηκεν. ὅπλα γὰρ συγγενικά, καὶ τάξεις ἀδελφαί, καὶ κοινὰ σημεῖα, καὶ μιᾶς πόλεως ἀνδρεία τοσαύτη καὶ δύναμις, αὐτὴ πρὸς ἑαυτὴν συνέπιπτεν· ἐπιδεικνυμένη τὴν ἀνθρωπίνην φύσιν, ὡς ἐν πάθει γενομένη τυφλόν ἐστι καὶ μανιῶδες. ἦν μὲν γὰρ ἤδη καθ' ἡσυχίαν χρῄζουσιν ἄρχειν καὶ ἀπολαύειν τῶν κατειργασμένων, τὸ πλεῖστον καὶ κράτιστον ἀρετῇ γῆς καὶ θαλάσσης ὑπήκοον· ἦν δέ τι τροπαίων καὶ θριάμβων ἔρωτι

contemplatus, ut hostes vidit consistentes & signum in ordinibus suis exspectantes, contra, suos maxima ex parte non tranquillos, sed imperitia fluctuantes tumultuantesque, timuit ne mox commisso prœlio prorsus distraherentur. Itaque imperat antesignanis, ut in procinctu atque in vestigio starent, atque sic exciperent hostem. Id vero consilium reprehendit Cæsar. Quippe eum ictuum ostendit ex incursu vehementiam remisisse, ac dum infestum aufert impetum, qui imprimis milites in concurrendo cum hostibus ardore & alacritate implet, cum clamoreque & cursu furorem incitat, languorem & teporem induxisse suis. Cæsar sub signis viginti duo millia habebat, Pompeius paulo amplius altero tanto.

Signo pugnæ utrinque dato, incipientibusque ad concursum concinere tubis, quisque ex vulgo ea quæ ad se pertinebant volvebat. Pauci Romani ex optimatibus & Græci nonnulli præsentes extra aciem, ubi ante oculos fuit discrimen, animo expendebant, ambitio & concertatio quo deduxisset imperium. Arma cognata, acies germanæ, communia signa, uniusque civitatis flos tantus & vires secum collidebantur, demonstrantes naturam humanam, ubi commota est, quam cæca sit & furiosa. Nam regere si cupivissent & frui partis, quod indole optimum præstantissimumque erat terra marique, id habebant pacatum. Quod siquid trophæorum & triumphorum desiderio

ἔρωτι βουλομένους χαρίζεσθαι, καὶ διψῶντας ἐμπίπλασθαι Παρθικῶν πολέμων ἢ Γερμανικῶν. πολὺ δὲ καὶ Σκυθία λειπόμενον ἔργον, καὶ Ἰνδοί· καὶ πρόφασις οὐκ ἄδοξος ἐπὶ ταῦτα τῆς πλεονεξίας, ἡμερῶσαι τὰ βαρβαρικά. τίς δ' ἂν ἢ Σκυθῶν ἵππος, ἢ τοξεύματα Πάρθων, ἢ πλοῦτος Ἰνδῶν ἐπέσχε μυριάδας ἑπτὰ Ῥωμαίων ἐν ὅπλοις ἐπερχομένας, Πομπηΐου καὶ Καίσαρος ἡγουμένων, ὧν ὄνομα πολὺ πρότερον ἤκουσαν ἢ τὸ Ῥωμαίων; οὕτως ἄμικτα καὶ ποικίλα καὶ θηριώδη φῦλα νικῶντες ἐπῆλθον. τότε δὲ ἀλλήλοις μαχούμενοι συνῆσαν, οὐδὲ τὴν δόξαν αὐτῶν δι' ἣν τῆς πατρίδος ἠφείδουν οἰκτείραντες, ἄχρι τῆς ἡμέρας ἐκείνης ἀνικήτων προσαγορευομένων. ἡ μὲν γὰρ γενομένη συγγένεια, καὶ τὰ Ἰουλίας φίλτρα, καὶ γάμος ἐκεῖνος, εὐθὺς ἦν ἀπατηλὰ καὶ ὕποπτα κοινωνίας ἐπὶ χρείᾳ συνισταμένης ὁμηρεύματα, φιλίας δ' ἀληθινῆς οὐ μετέσχεν.

Ὡς δ' οὖν τὸ Φαρσάλιον πεδίον ἀνδρῶν καὶ ἵππων καὶ ὅπλων ἀνεπέπληστο, καὶ μάχης ἤρθη παρ' ἀμφοτέρων σημεῖα, πρῶτος ἐκ τῆς Καίσαρος φάλαγγος ἐξέδραμε Γάϊος Κρασσιανὸς ἀνδρῶν ἑκατὸν εἴκοσι λοχαγῶν, μεγάλην ἀποδιδοὺς ὑπόσχεσιν Καίσαρι. πρῶτον γὰρ αὐτὸν ἐξιὼν τοῦ χάρακος εἶδε, καὶ προσαγορεύσας, ἤρετο πῶς φρονοίη περὶ τῆς μάχης. ὁ δὲ τὴν δεξιὰν προτείνας ἀνεβόησε, νικήσεις λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ δὲ ἢ ζῶντα τήμερον ἢ νεκρὸν ἐπαινέσεις. τούτων τῶν λόγων μεμνημένος, ἐξώρμησε καὶ συνεπεσπάσατο πολλούς, καὶ προσέβαλε κατὰ μέσους τοὺς πολεμίους.

desiderio concedere voluissent, bella Parthica & Germanica satiare vel sitientes valuissent. Supererat etiam ingens Scythia opus & India; prætextus etiam ad hæc haud inhonestus immodicæ cupiditatis, velle barbaras gentes cicurare. Quis enim aut Scytharum equus, aut quæ sagittæ Parthorum, aut Indorum opes septuaginta millium Romanorum militum sustinuissent Pompeio & Cæsare ducibus impressionem, quorum prius nomen audierant quam Romanorum? Adeo horridas, versutas, & feras nationes victoriis suis peragrarant. Ii tum ad depugnandum inter se coibant, nec gloriæ suæ, cujus causa nec ipsi patriæ pepercerunt, ullam rationem habentes, qui dicti ad eam diem invicti fuerant. Nam illa inita affinitas, Juliæ illecebræ, atque illæ nuptiæ, insidiosa ab initio fuerant & suspecta necessitudinis utilitatis gratia contractæ pignora, nec germanæ amicitiæ consortium habuerunt.

Ut igitur campi Pharsalici viris, armis, equis completi sunt, & signa utrinque concinuere, primus ex Cæsaris acie procurrens C. Crastinus, qui centum viginti militum manipulum ducebat, quod Cæsari splendide promiserat, jam erat repræsentaturus. Nam primum hunc progrediens Cæsar castris aspexit, appellansque rogavit quid spei de pugna haberet? Ille porrecta dextra exclamavit, præclaram victoriam Cæsar reportabis: me autem hodie aut vivum aut mortuum laudabis. Horum dictorum memor erupit, multisque ad se contractis in medios incurrit hostes.

μίους. γινομένου δὲ τοῦ ἀγῶνος εὐθὺς ἐν ξίφεσι, καὶ πολλῶν φονευομένων, βιαζόμενον πρόσω καὶ διακόπτοντα τοὺς πρώτους ὑποστάς τις ὠθεῖ διὰ τοῦ στόματος τὸ ξίφος, ὥστε τὴν αἰχμὴν περάσασαν ἀνασχεῖν κατὰ τὸ ἰνίον. πεσόντος δὲ τοῦ Κρασσιανοῦ, κατὰ τοῦτο μὲν ἦν ἰσόρροπος ἡ μάχη· τὸ δὲ δεξιὸν ὁ Πομπήϊος οὐ ταχέως ἐπῆγεν, ἀλλὰ παπταίνων ἐπὶ θάτερα, καὶ τὸ τῶν ἱππέων ἀναμένων ἔργον ἐνδιέτριβεν. ἤδη δὲ ἐκεῖνοι τοὺς οὐλαμοὺς ἀνῆγον, ὡς κυκλωσόμενοι τὸν Καίσαρα, καὶ τοὺς προτεταγμένους ἱππεῖς ὀλίγους ὄντας ἐμβαλοῦντες εἰς τὴν φάλαγγα. Καίσαρος δὲ σημεῖον ἄραντος, οἱ μὲν ἱππεῖς ἐξανεχώρησαν, αἱ δὲ ἐπιτεταγμέναι σπεῖραι πρὸς τὴν κύκλωσιν ἐκδραμοῦσαι, τρισχίλιοι ἄνδρες, ὑπαντιάζουσι τοὺς πολεμίους, καὶ παραστάμενοι καθ᾽ ἵππων, ὡς ἐδιδάχθησαν, ὑψηλοῖς ἐχρῶντο τοῖς ὑσσοῖς, ἐφιέμενοι τῶν προσώπων. οἱ δὲ, ἅτε μάχης πάσης ἄπειροι, τοιαύτην δὲ μηδὲ προσδοκήσαντες μηδὲ προμαθόντες, οὐκ ἐτόλμων οὐδὲ ἠνείχοντο τὰς πληγὰς ἐν ὄμμασι καὶ στόμασιν οὔσας, ἀλλ᾽ ἀποστρεφόμενοι καὶ προϊσχόμενοι τῶν ὄψεων τὰς χεῖρας, ἀκλεῶς ἐτράποντο. φυγόντων δὲ τούτων ἀμελήσαντες οἱ Καίσαρος, ἐχώρουν ἐπὶ τοὺς πεζοὺς, ᾗ μάλιστα τῶν ἱππέων τὸ κέρας ἐψιλωμένον περιδρομὴν ἐδίδου καὶ κύκλωσιν. ἅμα δὲ τούτων ἐκ πλαγίου προσπεσόντων, καὶ κατὰ στόμα τοῦ δεκάτου προσμίξαντος, οὐχ ὑπέμειναν, οὐδὲ συνέστησαν, ὁρῶντες ἐν ᾧ κυκλώσεσθαι τοὺς πολεμίους ἤλπιζον, αὐτοὺς τοῦτο πάσχοντας.

Τραπομένων δὲ τούτων, ὡς κατεῖδε τὸν κονιορτὸν ὁ Πομπήϊος, καὶ τὸ περὶ τοὺς ἱππέας πάθος εἴκασεν, ᾧ μὲν ἐχρήσατο λογισμῷ χαλεπὸν εἰπεῖν, μάλιστα

hostes. Statim gladiis res geri cœpta. Ibi multis interfectis instantem & per antesignanos perrumpentem excipiens quidam gladio per os trajecit, ut mucro transfixus emineret sub occipite. Occiso Crastino hac parte pugnabatur æquo marte. Dextrum cornu Pompeius tardius induxit, circumspectansque alterum, & equitum pugnam exspectans morabatur. Jam illi ad cingendum Cæsarem, & equites ejus paucos, qui in fronte erant locati, in peditum aciem conjiciendos, explicabant turmas. Ibi signo a Cæsare dato recepit se equitatus, & cohortes subsidiariæ adversus circuitionem locatæ tria millia hostibus occurrerunt, objicientesque se equis, uti præceptum erat, erectis pilis ora eorum impetierunt. Illi vero ut omnis pugnæ rudes, & qui talem neque exspectaverant, neque præmeditati fuerant, abjecto animo non sustinuerunt oculos suos & ora cædi, sed aversi oculosque manibus integentes turpiter in fugam se effudere. Juliani fugientibus omissis pedites sunt adorti, qua maxime nudatum equitatu cornu circundari & cingi poterat. His ex latere eos invadentibus, simulque decima legione in frontem incurrente, pedem retulere atque cessere: quum cernerent, qua re circumventuros se speraverant hostes, eam in se recidere.

Quibus pulsis, ut vidit pulverem Pompeius, & fugam conjecit equitatus, quo animo fuerit difficile est dictu: sed dementi maxime similis

λιστα δὲ ὅμοιος παράφρονι καὶ παραπλῆγι τὴν διάνοιαν, καὶ μηδ' ὅτι Μάγνος ἐστὶ Πομπήϊος ἐννοῶν, μηδένα προσειπὼν, ἀπῄει βάδην εἰς τὸν χάρακα, πάνυ τοῖς ἔπεσι πρέπων ἐκείνοις,

> Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὦρσε·
> Στῆ δὲ ταφὼν, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
> Τρέσσε δὲ παπτήνας ἀφ' ὁμίλου.

τοιοῦτος εἰς τὴν σκηνὴν παρελθὼν, ἄφθογγος καθῆστο, μέχρις οὗ τοῖς φεύγουσι πολλοὶ διώκοντες συνεισέπιπτον· τότε δὲ φωνὴν μίαν ἀφεὶς ταύτην, οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν; ἄλλο δὲ μηδὲν εἰπὼν, ἀναστὰς, καὶ λαβὼν ἐσθῆτα τῇ παρούσῃ τύχῃ πρέπουσαν, ὑπεξῆλθεν. ἔφυγε δὲ καὶ τὰ λοιπὰ τάγματα, καὶ φόνος ἐν τῷ στρατοπέδῳ πολὺς ἐγένετο σκηνοφυλάκων καὶ θεραπόντων· στρατιώτας δὲ μόνους ἑξακισχιλίους φησὶ πεσεῖν Ἀσίννιος Πολλίων, μεμαχημένος ἐκείνην τὴν μάχην μετὰ Καίσαρος. αἱροῦντες δὲ τὸ στρατόπεδον, ἐθεῶντο τὴν ἄνοιαν καὶ κουφότητα τῶν πολεμίων. πᾶσα γὰρ σκηνὴ μυρσίναις κατέστεπτο, καὶ στρωμναῖς ἀνθιναῖς ἤσκητο, καὶ τραπέζαις ἐκπωμάτων μεσταῖς· καὶ κρατῆρες οἴνου προὔκειντο, καὶ παρασκευὴ καὶ κόσμος τῶν τεθυκότων καὶ πανηγυριζόντων μᾶλλον, ἢ πρὸς μάχην ἐξοπλιζομένων. οὕτω ταῖς ἐλπίσι διεφθαρμένοι, καὶ γέμοντες ἀνοήτου θράσους, ἐπὶ τὸν πόλεμον ἐχώρουν.

Πομπήϊος δὲ, μικρὸν ἔξω τοῦ χάρακος προελθὼν, τὸν μὲν ἵππον ἀφῆκεν, ὀλίγων δὲ κομιδῇ περὶ αὐτὸν ὄντων, ὡς οὐδεὶς ἐδίωκεν, ἀπῄει καθ' ἡσυχίαν, ἐν διαλογισμοῖς ὤν, οἵους εἰκὸς λαμβάνειν ἄνθρωπον ἔτη τέτταρα καὶ

similis & attonito mente, neque Magnum se Pompeium esse cogitans, neminemque alloquutus, recepit se lento gressu in castra, in quem bene quadrabant hi versus:

> *At pater in curru residens sublimis eburno*
> *Juppiter, Ajaci terrorem inflixit: at ille*
> *Attonitus scutum septeno tergore vinctum*
> *Ex acie timidus fugiens in terga reflexit.*

Ita prætorium ingressus tacitus sedit, dum magna manus tergis fugientium inhærens uno agmine in castra irrupere. Tunc una hac voce missa, Etiam in castra? præterea nihil loquutus, surrexit, sumptaque veste præsenti fortunæ conveniente, clam castris excessit. Terga dederunt & cæteræ legiones ejus. Magna cædes tentoria custodientium & servitiorum edita. Militum sex millia tantum cecidisse ait Asinius Pollio, qui eo in prœlio a partibus fuit Cæsaris. Captis castris amentiam & levitatem hostium contemplati sunt. Siquidem tabernacula erant myrto omnia redimita, & stragulis pictis exornata: instructæ poculis mensæ, & crateres vini expositi, paratusque & cultus sacrificantium & festos dies agentium potius quam ad prœlium se armantium. Ita spe occæcati inanisque pleni fiduciæ ad pugnam processerant.

At Pompeius, paulum extra vallum progressus, equum dimisit. Paucis cum comitantibus, ubi nemo est insequutus, abivit sedato gradu, volvens cogitationes quales versare in animo verisimile est virum annos quatuor &

καὶ τριάκοντα νικᾶν καὶ κρατεῖν ἁπάντων εἰθισμένον, ἥττης δὲ καὶ φυγῆς τότε πρῶτον ἐν γήρᾳ λαμβάνοντα πεῖραν· ἐννοούμενον δὲ ἐξ ὅσων ἀγώνων καὶ πολέμων ηὐξημένην ἀποβαλὼν ὥρᾳ μιᾷ δόξαν καὶ δύναμιν, ὁ πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος, ἀπέρχεται μικρὸς οὕτω γεγονὼς καὶ συνεσταλμένος, ὥστε λανθάνειν ζητοῦντας τοὺς πολεμίους. παραμειψάμενος δὲ Λάρισσαν, ὡς ἦλθεν ἐπὶ τὰ Τέμπη, καταβαλὼν ἑαυτὸν ἐπὶ στόμα δεδιψηκώς, ἔπινε τοῦ ποταμοῦ, καὶ πάλιν ἀναστὰς ἐβάδιζε διὰ τῶν Τεμπῶν, ἄχρις οὗ κατῆλθεν ἐπὶ τὴν θάλατταν. ἐκεῖ δὲ τῆς νυκτὸς τὸ λοιπὸν ἀναπαυσάμενος ἐν καλυβίῳ τινὶ σαγηνέων, καὶ περὶ τὸν ὄρθρον ἐπιβὰς ποταμίου πλοίου, καὶ τῶν ἑπομένων τοὺς ἐλευθέρους ἀναλαβών, τοὺς δὲ θεράποντας ἀπιέναι πρὸς Καίσαρα κελεύσας, καὶ μὴ δεδιέναι· παρὰ γῆν κομιζόμενος, εἶδεν εὐμεγέθη φορτηγὸν ἀνάγεσθαι μέλλουσαν, ἧς ἐναυκλήρει Ῥωμαῖος ἀνήρ, οὐ πάνυ Πομπηΐῳ συνήθης, γινώσκων δὲ τὴν ὄψιν αὐτοῦ· Πετίκιος ἐκαλεῖτο. τούτῳ συνεβεβήκει τῆς παρῳχημένης νυκτὸς ἰδεῖν κατὰ τοὺς ὕπνους Πομπήϊον, οὐχ ὃν ἑώρακε πολλάκις, ἀλλὰ ταπεινὸν καὶ κατηφῆ, προσδιαλεγόμενον αὐτῷ. καὶ ταῦτα τοῖς συμπλέουσιν ἐτύγχανε διηγούμενος, ὡς δὴ φιλεῖ περὶ τῶν πραγμάτων τηλικούτων λόγον ἔχειν ἀνθρώπους σχολὴν ἄγοντας. ἐξαίφνης δέ τις τῶν ναυτῶν ἔφρασε κατιδών, ὅτι πλοῖον ποτάμιον ἀπὸ τῆς γῆς ἐρέσσεται, καὶ κατασείουσι τινὲς ἄνθρωποι τὰ ἱμάτια, καὶ τὰς χεῖρας ὀρέγουσι πρὸς αὐτούς. ἐπιστὰς οὖν Πετίκιος, εὐθὺς ἔγνω τὸν Πομπήϊον, οἷον ὄναρ εἶδε· καὶ πληξάμενος τὴν κεφα-

& triginta, omnes vincere & superare assuetum, cladem autem & fugam tum primum in senectute sentientem, atque agitantem secum ex quam multis collectam certaminibus & bellis abjecisset una hora gloriam & opes: per quas paulo ante tam multis armis, equis, classibus stipatus, discedit nunc usque adeo humilis & adstrictus, ut hostes lateat ipsum investigantes. Præterita Larissa ut venit in Tempe, siti pressus abjecit se in os & bibit ex flumine. Inde surgens Tempe peragravit, dum pervenit ad mare. Ibi quod nocti supererat in tuguriolo piscatorio quievit. Circa diluculum navem fluviatilem conscendit, acceptisque comitibus qui liberæ conditionis erant, servisque ad Cæsarem absque timore ire jussis, quum terram legeret, navem conspexit prægrandem onerariam, quæ vela factura erat. Nauclerum habebat civem Romanum, cui non magnus usus intercesserat cum Pompeio, sed noverat eum de facie, Peticium nomine. Huic forte proxima nocte in somnis oblatus Pompeius fuerat, non qualem contemplatus erat frequenter, verum abjectus & mœstus, secum colloquens. Ut igitur solent tantis de rebus homines otiosi confabulari, hæc narrabat tum vectoribus. Ibi repente nauta quidam videre ait se navem fluviatilem remis a terra agi, hominesque nonnullos vestibus signum dantes, ac manus ad ipsos porrigentes. Peticius inhibito navigio, mox agnovit Pompeium, qualem in somnis viderat, afflictoque

κεφαλὴν, ἐκέλευσε τοὺς ναύτας τὸ ἐφόλκιον παραβαλεῖν, καὶ τὴν δεξιὰν ἐξέτεινε, καὶ προσεκάλει τὸν Πομπήϊον, ἤδη συμφρονῶν τῷ σχήματι τὴν τύχην καὶ μεταβολὴν τοῦ ἀνδρός. ὅθεν οὔτε παράκλησιν ἀναμείνας οὔτε λόγον, ἀλλ᾽ ἀναλαβὼν ὅσους ἐκέλευσε μετ᾽ αὐτοῦ (Λέντλοι δ᾽ ἦσαν ἀμφότεροι, καὶ Φαώνιος) ἀνήχθη· καὶ μικρὸν ὕστερον ἰδόντες ἀπὸ γῆς ἁμιλλώμενον Δηϊόταρον τὸν βασιλέα ἀναλαμβάνουσιν. ἐπεὶ δὲ καιρὸς ἦν δείπνου, καὶ παρεσκεύασεν ὁ ναύκληρος ἐκ τῶν παρόντων, ἰδὼν ὁ Φαώνιος οἰκετῶν ἀπορίᾳ τὸν Πομπήϊον ἀρχόμενον αὐτὸν ἀπολύειν, προσέδραμε καὶ ὑπέλυσε καὶ συνήλειψε. καὶ τὸ λοιπὸν ἐκ τούτου περιέπων καὶ θεραπεύων, ὅσα δεσπότας δοῦλοι, μέχρι νίψεως ποδῶν, καὶ δείπνου παρασκευῆς διετέλεσεν· ὥστε τὴν ἐλευθεριότητα τῆς ὑπουργίας ἐκείνης θεασάμενον τινὰ καὶ τὸ ἀφελὲς καὶ ἄπλαστον, εἰπεῖν,

Φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

Οὕτω δὲ παραπλεύσας ἐπ᾽ Ἀμφιπόλεως, ἐκεῖθεν εἰς Μιτυλήνην ἐπέρα, οὕτω βουλόμενος Κορνηλίαν ἀναλαβεῖν καὶ τὸν υἱόν. ἐπεὶ δὲ προσέσχε τῇ νήσῳ κατ᾽ αἰγιαλὸν, ἔπεμψεν εἰς πόλιν ἄγγελον, οὐχ ὡς ἡ Κορνηλία προσεδόκα, τοῖς πρὸς χάριν ἀπαγγελλομένοις καὶ γραφομένοις ἐλπίζουσα τοῦ πολέμου κεκριμένου περὶ Δυρράχιον ἔτι λοιπὸν ἔργον εἶναι Πομπηΐῳ τὴν Καίσαρος δίωξιν. ἐν τούτοις οὖσαν αὐτὴν καταλαβὼν ὁ ἄγγελος, ἀσπάσασθαι μὲν οὐχ ὑπέμεινε, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν κακῶν τοῖς δάκρυσι μᾶλλον ἢ τῇ φωνῇ φράσας, σπεύδειν ἐκέλευσεν, εἰ βούλεταί πως Πομπήϊον ἰδεῖν ἐπὶ νεὼς μιᾶς καὶ ἀλλοτρίας. ἡ δὲ ἀκούσασα προήκατο μὲν αὐ-

τὴν

flictoque capite nautis jussit cymbam admittere, dextramque porrexit & appellavit Pompeium, perspiciens ex habitu fortunæ ejus conversionem. Unde nullis exspectatis precibus vel oratione, sed receptis cum eo omnibus quos voluit (ambo Lentuli erant & Favonius) in altum est provectus. Mox regem Deiotarum videntes ex terra ad ipsos properantem, eum quoque accepere. Quum tempus cœnæ instaret, parasset autem ex præsentibus copiis nauclerus, cernens Pompeium Favonius servorum penuria semetipsum lavantem, accurrit abluitque & unxit eum: nec destitit deinceps curare & inservire ei ut dominis servi, usque ad pedum lavationem & cœnam parandam. Unde quum cerneret quidam illius ministerii simplicem & minime fucatum candorem, ait,

Papæ decent ut omnia egregios viros!

Ita prævectus Amphipolim, inde Mitylenen transmisit, ut ibi Corneliam & filium acciperet. Postquam ad littus insulæ applicuit, nuntium misit in oppidum, non pro exspectatione Corneliæ, quæ annunciatis & scriptis sibi delinita, ex confecto ad Dyrrhachium bello unum sperabat reliquum esse, Cæsaris consectationem. Ea in mente illam offendens nuntius, non sustinuit eam salutare, verum pleraque ac maxima mala lacrymis magis quam voce exprimens, monet eam ut maturet, modo aspicere Pompeium in una & aliena navi velit. Quibus nuntiatis illa abjecit

τὴν χαμᾶζε, καὶ πολὺν χρόνον ἔκφρων καὶ ἄναυδος ἔκειτο· μόλις δέ πως ἔμφρων γενομένη, καὶ συννοήσασα τὸν καιρὸν οὐκ ὄντα θρήνων καὶ δακρύων, ἐξέδραμε διὰ τῆς πόλεως ἐπὶ θάλατταν. ἀπαντήσαντος δὲ τοῦ Πομπηίου, καὶ δεξαμένου ταῖς ἀγκάλαις αὐτὴν ὑπερειπομένην καὶ περιπίπτουσαν, Ὁρῶ σε, εἶπεν, ἄνερ, οὐ τῆς σῆς τύχης ἔργον, ἀλλὰ τῆς ἐμῆς, προσερριμμένον ἑνὶ σκάφει, τὸν πρὸ τῶν Κορνηλίας γάμων πεντακοσίαις ναυσὶ ταύτην περιπλεύσαντα τὴν θάλασσαν. τί με ἦλθες ἰδεῖν, καὶ οὐκ ἀπέλιπες τῷ βαρεῖ δαίμονι τὴν καί σε δυστυχίας ἀναπλήσασαν τοσαύτης; ὡς εὐτυχὴς μὲν ἂν ἤμην γυνὴ, πρὸ τοῦ Πόπλιον ἐν Πάρθοις ἀκοῦσαι τὸν παρθένιον ἄνδρα κείμενον ἀποθανοῦσα· σώφρων δὲ, μετ᾽ ἐκεῖνον, ὥσπερ ὥρμησα, τὸν ἐμαυτῆς προεμένη βίον; ἐσωζόμην δ᾽ ἄρα καὶ Πομπηίῳ Μάγνῳ συμφορὰ γενέσθαι.

Ταῦτα εἰπεῖν τὴν Κορνηλίαν λέγουσι· τὸν δὲ Πομπήιον ἀποκρίνασθαι, μίαν ἄρα, Κορνηλία, τύχην ἤδεις τὴν ἀμείνονα, ἣ καί σε ἴσως ἐξηπάτησεν, ὅτι μοι χρόνον πλείονα τοῦ συνήθους παρέμεινεν. ἀλλὰ καὶ ταῦτα δεῖ φέρειν, γενομένους ἀνθρώπους, καὶ τῆς τύχης ἔτι πειρατέον. οὐ γὰρ ἀνέλπιστον ἐκ τούτων ἀναλαβεῖν ἐκεῖνα, τὸν ἐξ ἐκείνων ἐν τούτοις γενόμενον. ἡ μὲν οὖν γυνὴ μετεπέμπετο χρήματα καὶ θεράποντας ἐκ πόλεως· τῶν δὲ Μιτυληναίων τὸν Πομπήιον ἀσπασαμένων, καὶ παρακαλούντων εἰσελθεῖν εἰς τὴν πόλιν, οὐκ ἠθέλησεν, ἀλλὰ κἀκείνους ἐκέλευσε τῷ κρατοῦντι πείθεσθαι καὶ θαρρεῖν· εὐγνώμονα γὰρ εἶναι Καίσαρα καὶ χρηστόν. αὐτὸς δὲ πρὸς Κράτιππον τραπόμενος τὸν φι-

jecit se in terram, diuque de mentis statu dimota & muta jacuit. Vix tandem recepta mente, intelligens non esse lamentationum & lacrymarum tempus, ad mare media urbe decurrit. Procedente ei obviam Pompeio, exanimatamque atque in ipsum se rejicientem complexo, Video te, inquit, jactari, vir, non pro tua fortuna, sed mea, una huc ejectum scapha, qui ante Corneliæ nuptias quingentis navibus hoc mari es provectus. Quid me videre voluisti, nec duræ reliquisti sorti, quæ tanta te quoque oneravi calamitate? Quam essem mulier fortunata, si ante nuntiatam Publii, cui virgo nupseram, apud Parthos cædem exspirassem: ac sapiens, si eo defuncto vitam, ut institueram, profudissem? Atqui servata sum ut essem & Magno Pompeio cladi.

Sic fatam perhibent Corneliam, ac Pompeium respondisse, Tu vero unam nosti Cornelia fortunam secundam, quæ tibi quoque forsitan imposuit, quod solito diutius me sit comitata. Cæterum hæc nobis, qui nati homines sumus, sunt ferenda, iterumque periclitanda sors. Neque enim abjicienda spes est illa recuperandi ei, qui huc ex illis recidit. Tum illa afferri ex oppido res suas jussit, evocavitque ancillas. Mitylenæis Pompeium salutantibus & invitantibus in oppidum, abnuit, atque monuit illos victori ut parerent, bonoque essent animo: nam clementem & benignum Cæsarem esse. Tum ad Cratippum philosophum conversus (ille enim

φιλόσοφον (κατέβη γὰρ ἐκ τῆς πόλεως ὀψόμενος αὐτὸν) ἐμέμψατο καὶ συνδιηπόρησε βραχέα περὶ τῆς προνοίας, ὑποκατακλινομένου τοῦ Κρατίππου, καὶ παράγοντος αὐτὸν ἐπὶ τὰς ἀμείνονας ἐλπίδας, ὅπως μὴ λυπηρὸς μηδὲ ἄκαιρος ἀντιλέγων εἴη. ἐπεὶ τὸ μὲν ἐρέσθαι τὸν Πομπήϊον ἦν ὑπὲρ τῆς προνοίας, τὸν δ' ἀποφαίνεσθαι ὅτι τοῖς πράγμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολιτείαν· ἐρέσθαι δὲ, πῶς ὦ Πομπήϊε, καὶ τίνι τεκμηρίῳ πεισθῶμεν ὅτι βέλτιον ἂν σὺ τῇ τύχῃ Καίσαρος ἐχρήσω κρατήσας; ἀλλὰ ταῦτα μὲν ἐατέον ὥσπερ ἔχει τὰ τῶν Θεῶν.

Ἀναλαβὼν δὲ τὴν γυναῖκα καὶ τοὺς φίλους, ἐκομίζετο, προσίσχων ὅρμοις ἀναγκαίοις ὕδωρ ἢ ἀγορὰν ἔχουσιν. εἰς δὲ πόλιν εἰσῆλθε πρώτην Ἀττάλειαν τῆς Παμφυλίας. ἐνταῦθα δὲ αὐτῷ καὶ τριήρεις τινὲς ἀπήντησαν ἐκ Κιλικίας, καὶ στρατιῶται συνελέγοντο, καὶ τῶν συγκλητικῶν πάλιν ἑξήκοντα περὶ αὐτὸν ἦσαν. ἀκούων δὲ καὶ τὸ ναυτικὸν ἔτι συνεστάναι, καὶ Κάτωνα πολλοὺς στρατιώτας ἀνειληφότα περαιοῦν εἰς Λιβύην, ὠδύρετο πρὸς τοὺς φίλους, καταμεμφόμενος ἑαυτὸν ἐκβιασθέντα πεζῷ συμβαλεῖν, τῇ δὲ κρείττονι ἀδηρίτως δυνάμει πρὸς μηδὲν ἀποχρήσασθαι μηδὲ περιορμίσαι τὸ ναυτικὸν, ὅπου κατὰ γῆν σφαλεὶς, εὐθὺς ἂν εἶχεν ἀντίπαλον ἐκ θαλάττης παρεστῶσαν ἀλκὴν καὶ δύναμιν τοσαύτην. οὐδὲ γὰρ ἁμάρτημα Πομπηΐου μεῖζον, οὐδὲ δεινότερον στρατήγημα Καίσαρος, ἢ τὸ τὴν μάχην οὕτω μακρὰν ἀποσπάσασθαι τῆς ναυτικῆς βοηθείας. οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων κινεῖν τι καὶ πράττειν ἀναγκαζόμενος, ἐπὶ

enim ex urbe ad eum visendum descenderat) conquestus est, & cum eo disputavit nonnihil de providentia. Paululum concessit Cratippus traduxitque eum ad spem meliorem, ne acerbus vel importunus foret repugnando. Nam quæsivisset tandem Pompeius de providentia aliquid. Ille demonstrasset propter perversam rempub. rebus principatu unius opus esse. Quæsisset præterea, Qui & quo Pompeie signo credamus, si Cæsarem vicisses, rectius te quam illum fortuna usurum fuisse? Verum res divinæ suo ordini relinquendæ.

Accepta conjuge & amicis, navigavit appellens ad portus necessarios, ubi aquare & accipere poterat necessaria. Primum oppidum iniit Attaliam Pamphyliæ. Ibi ei nonnullæ naves ex Cilicia occurrere, militesque contracti ad eum sunt, atque rursus sexaginta ordinis senatorii ad eum convenere. Quum acciperet classem adhuc salvam esse, & Catonem magna vi militum ex fuga collecta in Africam trajecisse, conquestus est, semet ipse increpitans quod adactus pedestribus copiis confligere, & firmioribus citra controversiam viribus nusquam usus esset, nec classe cinxisset se: ubi si terra cespitasset, illico ad manum par haberet maritimum robur & vires tam ingentes. Neque enim fuit peccatum Pompeii majus, neque consilium callidius Cæsaris, quam quod tam procul ab subsidio nautico prœlium retraxerit. Verum quia ex præsentibus facultatibus movere aliquid & tentare necesse habebat, lega-

ἐπὶ τὰς πόλεις παρέπεμπε· τὰς δ᾽ αὐτὸς περιπλέων ᾔτει χρήματα, καὶ ναῦς ἐπλήρου. τὴν δ᾽ ὀξύτητα τοῦ πολεμίου καὶ τὸ τάχος δεδοικώς, μὴ προαναρπάσῃ τῆς παρασκευῆς αὐτὸν ἐπελθών, ἐσκόπει καταφυγὴν ἐπὶ τῷ παρόντι καὶ ἀναχώρησιν. ἐπαρχία μὲν οὖν οὐδεμία φυλάξιμος ἐφαίνετο βουλευομένοις αὐτοῖς· τῶν δὲ βασιλειῶν αὐτὸς μὲν ἀπέφαινε τὴν Πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῷ παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς ἀσθενεῖς ὄντας, αὖθίς τε ῥῶσαι καὶ προπέμψαι μετὰ πλείστης δυνάμεως· τῶν δ᾽ ἄλλων, οἱ μὲν εἰς Λιβύην καὶ Ἰόβαν ἔτρεπον τὴν γνώμην. Θεοφάνει δὲ τῷ Λεσβίῳ μανικὸν ἐδόκει τριῶν ἡμερῶν πλοῦν ἀπέχουσαν Αἴγυπτον ἀπολιπόντας, καὶ Πτολεμαῖον ἡλικίαν μὲν ἀντίπαιδα, φιλίας δὲ καὶ χάριτος πατρῴας ὑπόχρεων, Πάρθοις ὑποβαλεῖν ἑαυτόν, ἀπιστοτάτῳ γένει· καὶ Ῥωμαίῳ μὲν ἀνδρί, κηδεστῇ γενομένῳ, τὰ δεύτερα λέγοντα, πρῶτον εἶναι τῶν ἄλλων μὴ θέλειν, μηδὲ πειρᾶσθαι τῆς ἐκείνου μετριότητος· Ἀρσάκην δὲ ποιεῖσθαι κύριον ἑαυτοῦ, τὸν μηδὲ Κράσσου δυνηθέντα ζῶντος· καὶ γυναῖκα νέαν, οἴκου τοῦ Σκιπίωνος, εἰς βαρβάρους κομίζειν ὕβρει καὶ ἀκολασίᾳ τὴν ἐξουσίαν μετροῦντας. ᾗ κἂν μὴ πάθῃ, δόξῃ δὲ παθεῖν, δεινόν ἐστιν ἐπὶ τοῖς ποιῆσαι δυναμένοις γενομένην. τοῦτο μόνον, ὥς φασιν, ἀπέτρεψε τῆς ἐπὶ τὸν Εὐφράτην ὁδοῦ Πομπήϊον· εἰ δή τις ἔτι Πομπηΐου λογισμός, ἀλλὰ οὐχὶ δαίμων ἐκείνην ὑφηγεῖτο τὴν ὁδόν.

Ὡς δ᾽ οὖν ἐνίκα φεύγειν εἰς τὴν Αἴγυπτον, ἀναχθεὶς ἀπὸ Κύπρου Σελευκίδι τριήρει μετὰ τῆς γυναικός (τῶν δ᾽ ἄλλων οἱ μὲν ἐν μακραῖς ὁμοίως ναυσίν,

gatos misit ad urbes. Ab aliis circumvectus ipse argentum postulabat & naves complebat. Sed quia velocitatem & celeritatem extimescebat hostis, ne superveniens ante apparatum opprimeret se, circumspiciebat in præsentia confugium & receptum. Provinciam deliberans nullam se tueri videbat posse. Ex regnis Parthicum censuit pollentissimum tum ad ipsos excipiendos in præsenti & tegendos infirmos, tum ad confirmandos iterum & magnis viribus stipandos. Alii in Africam & ad Jubam animum convertebant. Verum Theophani Lesbio insanum videbatur, Ægypto, quæ trium dierum iter abesset, relicta, & Ptolemæo, ætate jam adulto, atque amicitiæ causa & beneficiorum apud patrem collocatorum ei obstricto, Parthis se subjiceret, infidissimæ genti; & quum viri Romani, soceri quondam sui, nollet secundarius esse & primus aliorum, neque moderationem experiri illius, arbitrio se permittere Arsacis, qui ne in Crasso quidem potuisset jus habere vivente: & mulierem juvenem ex Scipionis familia ad barbaros, qui potestatem suam definiant libidine & lascivia, deportare: quæ ut nullam injuriam accipiat, attamen putari accepisse, quum in manu fuerit eorum qui facere possent, indignum esse. Unum hoc (uti ferunt) ab itinere versus Euphratem avertit eum, siquod tamen Pompeii consilium & non fatum in hanc eum impulit viam.

Ut igitur ea sententia obtinuit fugiendum esse in Ægyptum, conscensa Seleucide triremi ex Cypro cum uxore solvit. Alii, pars in navibus lon-

σὶν, οἱ δ' ἐν ὁλκάσιν ἅμα συμπαρέπλεον) τὸ μὲν πέλαγος διεπέρασεν ἀσφαλῶς· πυθόμενος δὲ τὸν Πτολεμαῖον ἐν Πηλουσίῳ καθῆσθαι μετὰ στρατιᾶς, πολεμοῦντα πρὸς τὴν ἀδελφὴν, ἐκεῖ κατέσχε, προπέμψας τὸν φράσοντα τῷ βασιλεῖ καὶ δεησόμενον. ὁ μὲν οὖν Πτολεμαῖος ἦν κομιδῇ νέος· ὁ δὲ πάντα διέπων τὰ πράγματα Ποθεινὸς, ἤθροισε βουλὴν τῶν δεινοτάτων. ἐδύναντο δὲ μέγιστον οὓς ἐκεῖνος ἐβούλετο, καὶ λέγειν ἐκέλευσεν ἣν ἔχει γνώμην ἕκαστος. ἦν οὖν δεινὸν περὶ Πομπηΐου Μάγνου βουλεύεσθαι Ποθεινὸν τὸν εὐνοῦχον, καὶ Θεόδοτον τὸν Χῖον, ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλον ἀνειλημμένον, καὶ τὸν Αἰγύπτιον Ἀχιλλᾶν. κορυφαιότατοι γὰρ ἦσαν ἐν κατευνασταῖς καὶ τιθηνοῖς τοῖς ἄλλοις οὗτοι σύμβουλοι. καὶ τοιούτου δικαστηρίου ψῆφον Πομπήϊος ἐπ' ἀγκυρῶν πρόσω τῆς χώρας ἀποσαλεύων περιέμενεν, ὃν Καίσαρι σωτηρίας χάριν οὐκ ἦν ἄξιον ὀφείλειν. τῶν μὲν οὖν ἄλλων τοσοῦτον αἱ γνῶμαι διέστησαν, ὅσον οἱ μὲν ἀπελαύνειν ἐκέλευον, οἱ δὲ καλεῖν καὶ δέχεσθαι τὸν ἄνδρα· Θεόδοτος δὲ, δεινότητα λόγου καὶ ῥητορείαν ἐπιδεικνύμενος, οὐδέτερον ἀπέφηνεν ἀσφαλὲς, ἀλλὰ δεξαμένους μὲν, ἕξειν Καίσαρα πολέμιον, καὶ δεσπότην Πομπήϊον· ἀπωσαμένους δὲ, καὶ Πομπηΐῳ τῆς ἐκβολῆς ὑπαιτίους ἔσεσθαι, καὶ Καίσαρι τῆς διώξεως· κράτιστον οὖν εἶναι μεταπεμψαμένους ἀνελεῖν τὸν ἄνδρα· καὶ γὰρ ἐκείνῳ χαριεῖσθαι, καὶ τοῦτον οὐ φοβήσεσθαι. προσεπεῖπε δὲ διαμειδιάσας, ὥς φασιν, ὅτι νεκρὸς οὐ δάκνει.

Ταῦτα κυρώσαντες, ἐπ' Ἀχιλλᾷ ποιοῦνται τὴν πρᾶξιν. ὁ δὲ Σεπτίμιον

τινὰ

longis, alii in onerariis eum comitati sunt. Pelagus tuto transmisit. Quum autem Ptolemæum accepisset Pelusii cum exercitu sedere, & bellum gerere cum sorore sua, eo decurrit. Præmittit autem quendam, qui adventum suum regi supplicibus verbis nuntiet. Erat admodum adolescens Ptolemæus: qui in regni procuratione erat Pothinus, consilium coegit eorum qui summam obtinebant autoritatem. Plurimum autem poterant, quos ille volebat. Hic jussit ut suam quisque exprimeret sententiam. Id vero indignum erat, de Pompeio Magno consultare Pothinum eunuchum, Theodotum Chium, mercenarium rhetoricorum magistrum illuc vocatum, & Ægyptium Achillam. Hi enim inter cubicularios & nutritios alios erant principes consilii. Istius decretum consessus Pompeius in ancoris procul à terra stans operiebatur, quem incolumitatis gratiam Cæsari indignum erat debere. Aliorum eatenus discrepaverunt sententiæ, quatenus hi rejiciendum, alii vocandum & recipiendum censebant. At Theodotus facundiam & declamandi ostentans facultatem, neutrum esse ostendit incolume, sed si recepissent eum, hostem Cæsarem ipsos habituros & Pompeium dominum: sin abegissent, in culpa futuros apud Pompeium, quod ipsum repulerint: apud Cæsarem, quod insequi eum diutius cogeretur. Optimum ergo factu esse, ut accitum interficiant. Siquidem & illi rem gratam facturos, neque hunc formidaturos. Adjecisse aiunt arridentem, Mortuum non mordere.

Postquam in eam sententiam itum est, rem exequendam delegaverunt Achillæ. Hic

τινὰ πάλαι γεγονότα Πομπηΐου ταξίαρχον παραλαβὼν, καὶ Σάλβιον ἕτερον ἑκατοντάρχην, καὶ τρεῖς ἢ τέτταρας ὑπηρέτας, ἀνήχθη πρὸς τὴν Πομπηΐου ναῦν. ἔτυχον δὲ πάντες εἰς αὐτὴν οἱ δοκιμώτατοι τῶν συμπλεόντων ἐμβεβηκότες, ὅπως εἰδεῖεν τὸ πραττόμενον. ὡς οὖν εἶδον οὐ βασιλικὴν οὐδὲ λαμπρὰν, οὐδὲ ταῖς Θεοφάνους ἐλπίσιν ὁμοίαν ὑποδοχὴν, ἀλλ' ἐπὶ μιᾶς ἁλιάδος προσπλέοντας ὀλίγους ἀνθρώπους, ὑπείδοντο τὴν ὀλιγωρίαν· καὶ τῷ Πομπηΐῳ παρῄνουν εἰς πέλαγος ἀνακρούεσθαι τὴν ναῦν, ἕως ἔξω βέλους εἰσίν. ἐν τούτῳ δὲ πελαζούσης τῆς ἁλιάδος, φθάσας ὁ Σεπτίμιος ἐξανέστη, καὶ Ῥωμαϊστὶ τὸν Πομπήϊον αὐτοκράτορα προσηγόρευσεν. ὁ δὲ Ἀχιλλᾶς, ἀσπασάμενος αὐτὸν Ἑλληνιστὶ, παρεκάλει μετελθεῖν εἰς τὴν ἁλιάδα· τέναγος γὰρ εἶναι πολὺ, καὶ βάθος οὐκ ἔχειν πλώϊμον τριήρει τὴν θάλατταν, ὑπόψαμμον οὖσαν. ἅμα δὲ καὶ νῆες τινὲς ἑωρῶντο τῶν βασιλικῶν πληρούμεναι, καὶ τὸν αἰγιαλὸν ὁπλῖται κατεῖχον. ὥστ' ἄφυκτα καὶ μεταβαλλομένοις ἐφαίνετο, καὶ προσῆν τὸ διδόναι τοῖς φονεῦσι τὴν ἀπιστίαν αὐτὴν τῆς ἀδικίας ἀπολογίαν. ἀσπασάμενος οὖν τὴν Κορνηλίαν προαποθρηνοῦσαν αὐτοῦ τὸ τέλος, καὶ δύο ἑκατοντάρχας προεμβῆναι κελεύσας, καὶ τῶν ἀπελευθέρων ἕνα Φίλιππον, καὶ θεράποντα Σκήνην ὄνομα, δεξιουμένων αὐτὸν ἤδη τῶν περὶ Ἀχιλλᾶν, ἐκ τῆς ἁλιάδος μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν, εἶπε Σοφοκλέους ἰαμβεῖα,

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

Ταῦτα δ' ἔσχατα πρὸς τοὺς ἑαυτοῦ φθεγξάμενος ἐνέβη· καὶ συχνοῦ διαστή-
ματος

Septimium quendam, qui ordinem quondam duxerat sub Pompeio, Salviumque alterum centurionem, præterea tres vel quatuor ministros assumpsit, atque ita ad navem Pompeii provectus est. Forte omnes primores eorum qui Pompeium comitabantur conscenderant ad eum, ut, quid ageretur, conspicerent. Ut videre autem non regium nec splendidum, nec Theophanis congruentem spei receptum, sed navi una piscatoria paucos homines venire, suspectum eum contemptum habuerunt, monueruntque Pompeium, dum extra telorum jactum essent, retrorsum ut in salum ageret navem. Interea appropinquante navicula prior assurrexit Septimius, ac latine Pompeium imperatorem appellavit. Achillas verbis Græcis salute data, hortatus est eum ut in naviculam suam transiret, vadosum prædicans mare esse, nec triremis patiens, quod brevia sabulosa haberet. Simul naves aliquot regiæ compleri conspiciebantur, & littus tenebant armati: ut nec elabi se, si mutarent consilium, viderent posse. Accedebat, quod percussoribus diffidentiam ipsam præbituri essent injuriæ colorem. Salutata ergo Cornelia, quæ exitum ejus jam ante deplorabat, duos centuriones, ex libertis unum Philippum, & servum Scenem nomine, præ se in naviculam jussit descendere. Et jam porrigente dextram ei ex navicula Achilla, ad uxorem & filium conversus Sophoclis iambica pronuntiavit,

Etenim tyranni quisquis intrat in domum,
Fit servus ejus, liber etsi venerit.

His postremum quum suos esset affatus, ingressus est. Satis amplo intervallo inter
ter-

ματος ὄντος ἐπὶ τὴν γῆν ἀπὸ τῆς τριήρους, ὡς οὐδεὶς παρὰ τῶν συμπλεόντων ἐγίνετο λόγος φιλάνθρωπος πρὸς αὐτόν, ἀποβλέψας εἰς τὸν Σεπτίμιον, Οὐ δή πού σε, εἶπεν, ἐγὼ γεγονότα συστρατιώτην ἐμὸν ἀμφιγνοῶ; κἀκεῖνος ἐπένευσε τῇ κεφαλῇ μόνον, οὐδὲν προσειπών, οὐδὲ φιλοφρονηθείς. πολλῆς οὖν πάλιν οὔσης σιωπῆς, ὁ Πομπήϊος ἔχων ἐν βιβλίῳ μικρῷ γεγραμμένον ὑπ' αὐτοῦ λόγον Ἑλληνικόν, ᾧ παρεσκεύαστο χρῆσθαι πρὸς τὸν Πτολεμαῖον, ἀνεγίνωσκεν. ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν Κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρους περιπαθὴς οὖσα τὸ μέλλον ἐπεσκοπεῖτο, καὶ θαρρεῖν ἤρχετο, πολλοὺς ὁρῶσα πρὸς τὴν ἀπόβασιν τῶν βασιλικῶν, οἷον ἐπὶ τιμῇ καὶ δεξιώσει, συνερχομένους. ἐν τούτῳ δὲ τὸν Πομπήϊον τῆς τοῦ Φιλίππου λαμβανόμενον χειρός, ὅπως ῥᾷον ἐξαναστταίη, Σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτον, εἶτα Σάλβιος μετ' ἐκεῖνον, εἶτα Ἀχιλλᾶς ἐσπάσαντο τὰς μαχαίρας. ὁ δὲ ταῖς χερσὶν ἀμφοτέραις τὴν τήβεννον ἐφελκυσάμενος κατὰ τοῦ προσώπου, μηδὲν εἰπὼν ἀνάξιον ἑαυτοῦ, μηδὲ ποιήσας, ἀλλὰ στενάξας μόνον, ἐνεκαρτέρησε ταῖς πληγαῖς· ἑξήκοντα μὲν ἑνὸς δέοντος βεβιωκὼς ἔτη, μιᾷ δ' ὕστερον ἡμέρᾳ τῆς γενεθλίου τελευτήσας τὸν βίον.

Οἱ δ' ἀπὸ τῶν νεῶν, ὡς ἐθεάσαντο τὸν φόνον, οἰμωγὴν ἐξάκουστον ἄχρι τῆς γῆς ἐκχέαντες, ἔφυγον ἀράμενοι τὰς ἀγκύρας κατὰ τάχος. καὶ πνεῦμα λαμπρὸν ἐβοήθει πελαγίοις ὑπεκθέουσιν· ὥστε βουλομένους διώκειν ἀποτραπέσθαι τοὺς Αἰγυπτίους. τοῦ δὲ Πομπηΐου τὴν μὲν κεφαλὴν ἀποτέμνουσι, τὸ δὲ ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος, τοῖς δεομένοις τοιούτου θεάματος ἀπέ-

terram & triremem, ubi nemo eorum, qui in navicula erant, hilariter est Pompeium alloquutus, intuitus Septimium, Ecquid te, inquit, ego commilitonem quondam meum agnosco? Ille tantum capite annuit, non est affatus, nec benignitatem ei ostendit ullam. Quum iterum jam immobiles silerent, tenens Pompeius in parvo libello conscriptam ab se Græcam orationem, qua uti apud Ptolemæum statuerat, eam cœpit legere. Postquam terræ appropinquaverunt, Cornelia cum amicis ex navi anxia speculabatur eventum, cœpitque sustollere animos, quod ad descensionem multos ex regiis cerneret honoris & recipiendi ejus gratia concurrentes. Ibi Pompeium, qui Philippum manu prehendit, quo surgeret commodius, Septimius primus à tergo trajecit, inde secundum eum Salvius, mox Achillas, enses strinxerunt. Ille ambabus manibus faciem toga intexit, nec quicquam indignum se loquutus est nec fecit, tantum suspirio edito patienter ictus excepit. Annos natus undesexaginta, postridie natalium suorum fato functus est.

Illi qui in navibus erant, ubi cædem spectaverunt, gemitum edidere ad terram usque exauditum, ancorisque propere solutis fugæ se mandavere. Benignus autem ventorum ex mari afflatus fugam eorum adjuvit. Unde molientes persequi eos Ægyptii destitere. Caput Pompeii desecuerunt; truncum è navicula nudum projecerunt, reliqueruntque spectaculum iis quos talia

ἀπέλιπον. παρέμεινε δὲ αὐτῷ Φίλιππος, ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως· εἶτα περιλούσας τῇ θαλάσσῃ τὸ σῶμα, καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτοῦ περιστείλας, ἄλλο δὲ οὐδὲν ἔχων, ἀλλὰ περισκοπῶν τὸν αἰγιαλὸν, εὗρε μικρᾶς ἁλιάδος λείψανα, παλαιὰ μὲν, ἀρκοῦντα δὲ νεκρῷ γυμνῷ, καὶ οὐδὲ ὅλῳ, πυρκαϊὰν ἀναγκαίαν παρασχεῖν. ταῦτα συγκομίζοντος αὐτοῦ καὶ συντιθέντος, ἐπιστὰς ἀνὴρ Ῥωμαῖος ἤδη γέρων, τὰς δὲ πρώτας στρατείας ἔτι νέος Πομπηΐῳ συνεστρατευμένος, Τίς ὢν, ὦ ἄνθρωπε, ἔφη, θάπτειν διανοῇ Μάγνον Πομπήϊον; ἐκείνου δὲ φήσαντος, ὡς ἀπελεύθερος, Ἀλλ' οὐ μόνῳ σοι, ἔφη, τοῦτο τὸ καλὸν ὑπάρξει· κἀμὲ δὲ ὥσπερ εὑρήματος εὐσεβοῦς δέξαι κοινωνὸν, ὡς μὴ κατὰ πάντα μέμφωμαι τὴν ἀποξένωσιν, ἀντὶ πολλῶν ἀνιαρῶν τοῦτο γοῦν εὑράμενος, ἅψασθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ τὸν μέγιστον αὐτοκράτορα Ῥωμαίων. οὕτω μὲν ἐκηδεύετο Πομπήϊος. τῇ δ' ὑστεραίᾳ Λεύκιος Λέντλος, οὐκ εἰδὼς τὰ πεπραγμένα, πλέων ἀπὸ Κύπρου καὶ παρὰ γῆν κομιζόμενος, ὡς εἶδε νεκροῦ πυρὰν, καὶ παρεστῶτα τὸν Φίλιππον οὔπω καθορώμενον, Τίς ἄρα, ἔφη, τὸ πεπρωμένον ἐνταῦθα τελέσας ἀναπέπαυται; καὶ μικρὸν διαλιπὼν καὶ στενάξας, Τάχα δὲ, εἶπε, σὺ Πομπήϊε Μάγνε. καὶ μετὰ μικρὸν ἀποβὰς, καὶ συλληφθεὶς ἀπέθανε. τοῦτο Πομπηΐου τέλος. οὐ πολλῷ δὲ ὕστερον Καῖσαρ ἐλθὼν εἰς Αἴγυπτον οὕτω καταπεπληγμένην, τὸν μὲν προσφέροντα τὴν κεφαλὴν, ὡς παλαμναῖον, ἀπεστράφη· τὴν δὲ σφραγίδα τοῦ Πομπηΐου δεξάμενος ἐδάκρυσεν· ἦν δὲ γλυφὴ, λέων ξιφήρης. Ἀχιλλᾶν δὲ καὶ Ποθεινὸν ἀπέσφαξεν, αὐτὸς δὲ μάχῃ ληφθεὶς

talia delectarent. Philippus, dum satiarunt oculos, remansit apud eum. Inde aqua marina abluit corpus, ac tunicula quadam sua involvit. Quum nihil aliud ad manum esset, circumspiciens littus reperit parvulæ naviculæ piscatoriæ marcidas quidem reliquias, sed quæ sufficerent ad necessarium rogum cadaveri nudo, nec ei integro. Has congerenti & componenti quidam jam in gravi ætate civis Romanus assistens, qui prima stipendia juvenis sub Pompeio fecerat, Tu, inquit, quis hominum es, qui Magnum Pompeium funerare paras? Qui ubi respondit libertum ejus esse, Atqui hoc decus, inquit, non apud unum te residebit. Admitte me quasi pii lucri consortem, ne undequaque de hac conquerar peregrinitate, pro multis molestiis id certe nactus, ut manibus meis contingam & cooperiam summum populi Romani imperatorem. Ita funeratus est Pompeius. Postero die L. Lentulus hujus rei ignarus ex Cypro advectus & littus legens, ut funeris pyram vidit atque assistentem Philippum, necdum satis eum agnitum, Quis hic, inquit, fato functus jacet? Ac aliquantulo interposito spatio suspirans, Fortassis tu, inquit, Magne Pompeie. Paulo post egressum ex navi comprehenderunt necaveruntque. Hic exitus Pompeii fuit. Haud multo post in Ægyptum ita perculsam Cæsar veniens, eum qui caput Pompeii sibi obtulit, ut detestabilem aversatus est. Annulum ejus accipiens illacrimavit. Insculptus leo erat ensem tenens. Achillam autem & Pothinum interfecit. Ipse rex in conflictu op-

ὁ βασιλεὺς περὶ τὸν ποταμὸν ἠφανίσθη. Θεόδοτον δὲ τὸν σοφιστὴν ἡ μὲν ἐκ Καίσαρος δίκη παρῆλθε· φυγὼν γὰρ Αἴγυπτον, ἐπλανᾶτο ταπεινὰ πράττων καὶ μισούμενος· Βροῦτος δὲ Μάρκος, ὅτε Καίσαρα κτείνας ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐκ Ἀσίᾳ, καὶ πᾶσαν αἰκίαν αἰκισάμενος ἀπέκτεινε. τὰ δὲ λείψανα τοῦ Πομπηΐου Κορνηλία δεξαμένη κομισθέντα, περὶ τὸν Ἀλβανὸν ἔθηκεν.

oppressus circa fluvium nunquam postea comparuit. Rhetor Theodotus Cæsaris quidem ultionem effugit. Nam profectus ex Ægypto palatus est abjectus & execrabilis. Eum tamen M. Brutus interfecto Cæsare Asiam obtinens, repertum ibi atque omni cruciatus genere affectum necavit. Pompeii reliquiæ relatæ ad Corneliam sunt, easque illa in Albano humavit.

ΕΚκειμένων οὖν τῶν βίων, ἐπιδράμωμεν τῷ λόγῳ ταχέως τὰ ποιοῦντα τὰς διαφορὰς, παράλληλα συνάγοντες. ἔστι δὲ ταῦτα· πρῶτον, ὅτι Πομπήιος ἐκ τοῦ δικαιοτάτου τρόπου παρῆλθεν εἰς δύναμιν καὶ δόξαν, αὐτὸς ὁρμηθεὶς ἀφ' ἑαυτοῦ, καὶ πολλὰ καὶ μεγάλα Σύλλᾳ τὴν Ἰταλίαν ἀπὸ τῶν τυράννων ἐλευθεροῦντι συγκατεργασάμενος· Ἀγησίλαος δὲ τὴν βασιλείαν ἔδοξε λαβεῖν, οὔτε τὰ πρὸς Θεοὺς ἄμεμπτος, οὔτε τὰ πρὸς ἀνθρώπους, κρίνας νοθείας Λεωτυχίδην, ὃν υἱὸν αὐτοῦ ἀπέδειξεν ὁ ἀδελφὸς γνήσιον· τὸν δὲ χρησμὸν κατειρωνευσάμενος τὸν περὶ τῆς χωλότητος. δεύτερον, ὅτι Πομπήιος Σύλλαν καὶ ζῶντα τιμῶν διετέλεσε, καὶ τεθνηκότος ἐκήδευσε, βιασάμενος Λέπιδον, τὸ σῶμα, καὶ τῷ παιδὶ Φαύστῳ τὴν ἑαυτοῦ θυγατέρα συνώκιζεν· Ἀγησίλαος δὲ Λύσανδρον ἐκ τῆς τυχούσης προφάσεως ὑπεξέρριψε καὶ καθύβρισε. καίτοι Σύλλας μὲν οὐκ ἐλαττόνων ἔτυχεν ἢ Πομπηίῳ παρέσχεν, Ἀγησίλαον δὲ Λύσανδρος καὶ τῆς Σπάρτης βασιλέα, καὶ τῆς Ἑλλάδος στρατηγὸν ἐποίησε. τρίτον δὲ, αἱ περὶ τὰ πολιτικὰ καὶ τῶν δικαίων παραβάσεις, Πομπηίῳ μὲν δι' οἰκειότητος ἐγγένοντο· τὰ γὰρ πλεῖστα Καίσαρι καὶ Σκιπίωνι συνεξήμαρτε κηδεσταῖς οὖσιν· Ἀγησί-

ENARRATA utriuſque vita delibemus comparemuſque diſcrimina. Sunt ea hæc: Primum Pompeius juſtiſſima ratione ad potentiam & gloriam evolavit ſua induſtria, multiſque & grandibus factis vindicanti a tyrannis Italiam Syllæ præſto fuit: Ageſilaus vero videtur ad regnum perveniſſe non niſi violato divino & humano jure: qui pro adulterino Leotychidem damnavit, quum illum juſtum filium frater ejus appellaſſet, oraculumque eluſit quod de claudo rege efferebatur. Deinde, Pompeius Syllam & vivum perpetuo coluit, & defuncti funeravit, repreſſo Lepido, corpus, filioque ejus Fauſto filiam ſuam nuptum dedit: at Ageſilaus Lyſandrum ex levi occaſione projecit atque indigniſſime habuit. Quanquam non minora Sylla accepit a Pompeio, quam apud eum collocavit beneficia: Ageſilaum vero Lyſander & Lacedæmoniorum regem & Græciæ fecit ducem. Tertio, reipublicæ & juris violationes a Pompeio ſunt ob neceſſitudinem admiſſæ: quippe pleriſque in peccatis ſocius affinibus fuit Cæſari & Scipioni. Ageſi-

Digitized by Google

Ἀγησίλαος δὲ, Σφοδρίαν μὲν, ἐφ' οἷς Ἀθηναίους ἠδίκησεν ἀποθανεῖν ὀφείλοντα, τῷ τοῦ παιδὸς ἔρωτι χαριζόμενος ἐξήρπασε· Φοιβίδᾳ δὲ Θηβαίους παρασπονδήσαντι δῆλος ἦν δι' αὐτὸ τὸ ἀδίκημα προθύμως βοηθῶν. καθόλου δὲ, ὅσα Ῥωμαίους δι' αἰδῶ Πομπήϊος ἢ ἄγνοιαν αἰτίαν ἔσχε βλάψαι, ταῦτα θυμῷ καὶ φιλονεικίᾳ Λακεδαιμονίους Ἀγησίλαος ἔβλαψε, τὸν Βοιώτιον ἐκκαύσας πόλεμον.

Εἰ δὲ καὶ τύχην τινὰ τῶν ἀνδρῶν ἑκατέρου τοῖς σφάλμασι προσοιστέον, ἀνέλπιστος μὲν ἡ Πομπηΐου Ῥωμαίοις· Ἀγησίλαος δὲ Λακεδαιμονίους ἀκούοντας καὶ προειδότας οὐκ εἴασε φυλάξασθαι τὴν χωλὴν βασιλείαν. καὶ γὰρ εἰ μυριάκις ἠλέγχθη Λεωτυχίδης ἀλλότριος εἶναι καὶ νόθος, οὐκ ἂν ἠπόρησεν, Εὐρυτίωνται δὲ γνήσιον καὶ ἀρτίποδα τῇ Σπάρτῃ βασιλέα παρέχειν, εἰ μὴ δι' Ἀγησίλαον ἐπεσκότησε τῷ χρησμῷ Λύσανδρος. οἷον μὲν τῇ περὶ τῶν τρεσάντων ἀπορίᾳ προσήγαγεν ὁ Ἀγησίλαος, ἅμα μετὰ τὴν ἐν Λεύκτροις ἀτυχίαν, κελεύσας τοὺς νόμους ἐκείνην τὴν ἡμέραν καθεύδειν, οὐ γέγονεν ἄλλο σόφισμα πολιτικὸν, οὐδ' ἔχομέν τι τοῦ Πομπηΐου παραπλήσιον· ἀλλὰ τοὐναντίον, οὐδ' οἷς αὐτὸς ἐτίθει νόμοις ᾤετο δεῖν ἐμμένειν, τὸ δύνασθαι μέγα τοῖς φίλοις ἐνδεικνύμενος. ὁ δὲ εἰς ἀνάγκην καταστὰς τοῦ λῦσαι τοὺς νόμους ἐπὶ τῷ σῶσαι τοὺς πολίτας, ἐξεῦρε τρόπον ᾧ μήτε ἐκείνους βλάψουσι, μήτε ὅπως οὐ βλάψωσι λυθήσονται. τίθεμαι δὲ κἀκεῖνο τὸ ἀμίμητον ἔργον εἰς πολιτικὴν ἀρετὴν τοῦ Ἀγησιλάου, τὸ δεξάμενον τὴν σκυτάλην ἀπολιπεῖν

Agesilaus vero dignum ob illatam Atheniensibus injuriam supplicio Sphodriam filii sui indulgens amori eripuit. Phœbidæ, qui contra fœdus violaverat Thebanos, non obscure ob ipsum facinus libenter præsto fuit. Brevi quæcunque vulnera reipub. Romanæ per ruborem vel ignorantiam a Pompeio insimulaverunt inflicta, hæc ira & pertinacia inflixit Lacedæmoniis Agesilaus, qui bello Bœotico facem subdidit.

Quod si fortuna est aliqua utriusque offensis accommodanda, insperata Romanis Pompeii fuit: Agesilaus vero audientes & præscios non permisit Lacedæmonios claudum regnum devitare. Etenim si millies constitisset alienum Leotychidem & adulterinum esse, non deesset Eurytionis posteris tamen facultas germanum aliquem & rectum regem Spartæ suppeditandi, nisi Agesilai causa vaticinio tenebras offudisset Lysander. At quale in hæsitatione de illis qui ex acie fugerant, adhibuit Agesilaus, qui mox post cladem Leuctricam leges illo die silere jussit, non extat aliud commentum civile, neque habemus ullum Pompeii simile: immo e diverso hic, dum potentiam suam amicis venditat, neque quas ipse tulerat leges, eas sibi duxit tuendas. Ille vero, exprimente necessitate, ut leges ob salutem civium convelleret, invenit rationem, quemadmodum illis nihil obstarent, nec, ne obstarent, convellerentur. Illud etiam existimo factum virtutis civilis incomparabile Agesilai, quod simul atque accepit scytalam, bellum Asianum

λιπεῖν τὰς ἐν Ἀσίᾳ πράξεις. οὐ γὰρ, ὡς Πομπήϊος, ἀφ' ὧν ἑαυτὸν ἐποίει μέγαν, ὠφέλει τὸ κοινὸν, ἀλλὰ τὸ τῆς πατρίδος σκοπῶν, τηλικαύτην ἀφῆκε δύναμιν καὶ δόξαν, ἡλίκην οὐδεὶς πρότερον οὐδὲ ὕστερον, πλὴν Ἀλέξανδρος, ἔσχεν.

Ἀπ' ἄλλης τοίνυν ἀρχῆς, ἐν ταῖς στρατηγίαις καὶ τοῖς πολεμικοῖς, ἀριθμῷ μὲν τροπαίων, καὶ μεγέθει δυνάμεων ἃς ἐπηγάγετο Πομπήϊος, καὶ πλήθει παρατάξεων ἃς ἐνίκησεν, οὐδ' ἂν ὁ Ξενοφῶν μοι δοκῇ παραβαλεῖν τὰς Ἀγησιλάου νίκας· ᾧ διὰ τἆλλα καλὰ, καθάπερ γέρας ἐξαίρετον, δέδοται καὶ γράφειν ὃ βούλοιτο καὶ λέγειν περὶ τοῦ ἀνδρός. οἶμαι δὲ καὶ τῇ πρὸς τοὺς πολεμίους ἐπιεικείᾳ διαφέρειν τὸν ἄνδρα τοῦ ἀνδρός. ὁ μὲν γὰρ ἀνδραποδίσασθαι Θήβας καὶ Μεσσήνην ἐξοικίσασθαι βουλόμενος, τὴν μὲν, ὁλόκληρον τῆς πατρίδος, τὴν δὲ, μητρόπολιν τοῦ γένους, παρ' οὐδὲν ἦλθε τὴν Σπάρτην ἀποβαλεῖν· ἀπέβαλε δὲ τὴν ἡγεμονίαν. ὁ δὲ καὶ τῶν πειρατῶν τοῖς μεταβαλλομένοις πόλεις ἔδωκε, καὶ Τιγράνην τῶν Ἀρμενίων βασιλέα, γενόμενον ἐφ' ἑαυτῷ θριαμβεῦσαι, σύμμαχον ἐποιήσατο, καὶ φήσας ἡμέρας μιᾶς αἰῶνα προτιμᾶν. εἰ μέντοι τοῖς μεγίστοις καὶ κυριωτάτοις εἰς τὰ ὅπλα πράγμασι καὶ λογισμοῖς προστίθεται πρωτεῖον ἀρετῆς ἀνδρὸς ἡγεμόνος, οὐ μικρὸν ὁ Λάκων τὸν Ῥωμαῖον ἀπολέλοιπε. πρῶτον μὲν γὰρ οὐ προήκατο τὴν πόλιν, οὐδ' ἐξέλιπεν, ἑπτὰ μυριάσι στρατοῦ τῶν πολεμίων ἐμβαλόντων, ὀλίγους ἔχων ὁπλίτας, καὶ προνενικημένους ἐν Λεύκτροις· Πομπήϊος δὲ, πεντακισχιλίοις μόνοις καὶ τριακοσίοις μίαν Καίσαρος πόλιν Ἰταλικὴν καταλαβόντος,

ſanum reliquerit. Non enim, ut Pompeius, quibus rebus ſe magnum effecit, iis tantum auxit rempub. verum utilitatem ſpectans patriæ, tantam depoſuit potentiam & decus, quantam vel ante vel poſt, quum ab Alexandro diſceſſiſti, habuit nemo.

Ut igitur exordium aliud ſumamus. In expeditionibus & rebus bello geſtis, trophæorum multitudine, exercituum quos duxit Pompeius magnitudine, & numero prœliorum quibus victoriam retulit, ne Xenophontem quidem arbitrer Ageſilai victorias collaturum eis fuiſſe: quanquam huic ſcriptori propter cæteras virtutes, tanquam ſingulare præmium, & ſeribere quod placeret, & dicere fuit de illo conceſſum. Equidem etiam moderatione in hoſtes alterum alteri cenſeo præſtare. Hic enim quum ſubjugare Thebas & Meſſenem deſolare pararet, alteram matrem, integram alteram totius patriæ urbem, Lacedæmonem pene amiſit, amiſit certe imperium: ille & piratis vitam mutantibus ſuam oppida dedit, regemque Armeniorum Tigranem, quem potuerat in triumpho ducere, ſocium fecit, uni diei præferens æternitatem. Quod ſi tamen ſummis eſt & præcipuis bellicis factis & conſiliis attribuendus imperatoriæ virtutis primatus, multum Spartanus Romano eminet. Nam primum non deſeruit neque reliquit urbem, quando ſeptuaginta millibus hoſtis invaſit, paucis ipſe armatis ſeptus, iiſque nuper apud Leuctra fuſis. Pompeius, ſimul atque Cæſar quinque millibus trecentis militibus unum occupavit Italiæ oppidum,

λαβόντος, ἐξέπεσε τῆς Ῥώμης ὑπὸ δέους, ἢ τοσούτοις εἴξας ἀγεννῶς, ἢ πλείστας ψευδῶς εἰκάσας. καὶ συσκευασάμενος τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ, τὰς δὲ τῶν ἄλλων πολιτῶν ἐρήμους ἀπολιπὼν, ἔφυγε· δέον ἢ κρατεῖν μαχόμενον ὑπὲρ τῆς πατρίδος, ἢ δέχεσθαι διαλύσεις παρὰ τοῦ κρείττονος· ἦν γὰρ πολίτης καὶ οἰκεῖος. νῦν δὲ ᾧ στρατηγίας χρόνον ἐπιμετρῆσαι καὶ ὑπατείαν ψηφίσασθαι δεινὸν ἡγεῖτο, τούτῳ παρέσχε λαβόντι τὴν πόλιν εἰπεῖν πρὸς Μέτελλον, ὅτι κἀκεῖνον αἰχμάλωτον αὐτοῦ νομίζει, καὶ τοὺς ἄλλους ἄπαντας.

Ὃ τοίνυν ἔργον ἐστὶν ἀγαθοῦ στρατηγοῦ μάλιστα, κρείττονα μὲν τὸ βιάσασθαι τοὺς πολεμίους μάχεσθαι, λειπόμενον δὲ δυνάμει, μὴ βιασθῆναι, τοῦτο ποιῶν Ἀγησίλαος, ἀεὶ διεφύλαξεν ἑαυτὸν ἀνίκητον· Πομπήϊον δὲ Καῖσαρ, οὗ μὲν ἦν ἐλάττων, διέφυγε μὴ βλαβῆναι· καθὸ δὲ κρείττων ἦν, ἠνάγκασεν ἀγωνισάμενον τῷ πεζῷ περὶ πάντων σφαλῆναι, καὶ κύριος εὐθὺς ἦν χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης ἀφ' ὧν διεπέπρακτο ἄνευ μάχης ἐκείνοις προσόντων. τὸ δ' ὑπὲρ τούτων ἀπολόγημα, μέγιστόν ἐστιν ἔγκλημα στρατηγοῦ τηλικούτου. νέον μὲν γὰρ ἄρχοντα θορύβοις καὶ καταβοήσεσιν εἰς μαλακίαν καὶ δειλίαν ἐπιταραχθέντα, τῶν ἀσφαλεστάτων ἐκπεσεῖν λογισμῶν εἰκός ἐστι καὶ συγγνωστόν· Πομπήϊον δὲ Μάγνον, οὗ Ῥωμαῖοι τὸ μὲν στρατόπεδον, πατρίδα, σύγκλητον δὲ τὴν σκηνὴν, ἀποστάτας δὲ καὶ προδότας, τοὺς ἐν Ῥώμῃ πολιτευομένους καὶ στρατηγοῦντας καὶ ὑπατεύοντας ἐκάλουν, ἀρχόμενον δὲ ὑπ' οὐδενὸς ἔγνωσαν, πάσας δὲ αὐτοκράτορα στρατευσάμενον ἄριστα τὰς στρα-

dum, excessit præ metu urbe, aut tam paucis cedens ignave, aut plures falso conjiciens; exportatisque liberis suis & conjuge, reliquis autem civium familiis destitutis fugæ se mandavit, quum aut pugnandum pro patria esset, aut pax a fortiore accipienda: quippe civis ille erat & necessarius ejus. Nunc cui provinciam prorogare & consulatum intolerandum ducebat decernere, huic facultatem dedit urbe potito ad Metellum dicendi, Se & illum pro captivo suo habere & reliquos omnes.

Quod ergo officium boni imperatoris primum est, ut fortior ad dimicandum hostes compellat, & infirmior copiis ne compellatur, id præstando servavit se perpetuo Agesilaus invictum: a Pompeio Cæsar, qua re erat inferior, inde declinavit, ne incommodum acciperet, ubi vero præstabat, coegit signa terrestribus copiis de summa rerum conferentem impingere, protinusque potitus eo facto est pecunia, commeatibus, mari, quæ illi citra prœlium suppetebant. Quæ autem affertur pro Pompeio excusatio, ea maximum est tanti ducis crimen. Novitium enim imperatorem strepitu & acclamationibus in mollitiem & timiditatem consternatum tutissima relinquere consilia, non sit sane novum sed condonandum: Pompeium vero Magnum, cujus populus Romanus castra, patriam; prætorium, curiam; perfugas & proditores vocabant illos qui Romæ rempub. præturam, consulatum gerebant; quem nullius cognoverant militem, sed eum qui omnia stipendia fortissime sub seipso compleverat

στρατείας, τίς ἀνάσχοιτο τοῖς Φαωνίου σκώμμασι καὶ Δομιτίου, καὶ ἵνα μὴ Ἀγαμέμνων λέγηται, παρ' ἐλάχιστον ἐκβιασθέντα τὸν περὶ τῆς ἡγεμονίας καὶ ἐλευθερίας ἀναρρῖψαι κίνδυνον; ὃς εἰ μόνον ἐσκόπει τὸ παρ' ἡμέραν ἄδοξον, ὤφειλεν ἀντιστὰς ἐν ἀρχῇ διαγωνίσασθαι περὶ τῆς Ῥώμης, ἀλλὰ μή, τὴν φυγὴν ἐκείνην ἀποφαίνων στρατήγημα Θεμιστόκλειον, ὕστερον ἐν αἰσχρῷ τίθεσθαι τὴν ἐν Θετταλίᾳ πρὸ μάχης διατριβήν. οὐ γὰρ ἐκεῖνό γε στάδιον αὐτοῖς καὶ θέατρον ἐναγωνίσασθαι περὶ τῆς ἡγεμονίας ὁ Θεὸς ἀπέδειξε τὸ Φαρσάλιον πεδίον, οὐδὲ ὑπὸ κήρυκος ἐκαλεῖτο μάχεσθαι κατιών, ἢ λιπεῖν ἑτέρῳ τὸν στέφανον· ἀλλὰ πολλὰ μὲν πεδία, μυρίας δὲ πόλεις καὶ γῆν ἅπασαν ἡ κατὰ θάλατταν εὐπορία παρεῖχε, βουλομένῳ μιμεῖσθαι Μάξιμον, καὶ Μάριον καὶ Λεύκουλλον, καὶ αὐτὸν Ἀγησίλαον, ὃς οὐκ ἐλάττονας μὲν ἐν Σπάρτῃ θορύβους ὑπέμεινε, βουλομένων Θηβαίων ὑπὲρ τῆς χώρας μάχεσθαι, πολλὰς δ' ἐν Αἰγύπτῳ διαβολὰς καὶ κατηγορίας ὑπ' ἀνοίας τοῦ βασιλέως ἤνεγκεν, ἡσυχίαν ἄγειν κελεύων. χρησάμενος δὲ τοῖς ἀρίστοις, ὡς ἐβούλετο, λογισμοῖς, οὐ μόνον Αἰγυπτίους ἄκοντας ἔσωσεν, οὐδὲ τὴν Σπάρτην ἐν τοσούτῳ σεισμῷ μόνος ὀρθὴν ἀεὶ διεφύλαξεν, ἀλλὰ καὶ τρόπαιον ἔστησε κατὰ Θηβαίων ἐν τῇ πόλει, τὸ νικῆσαι παρασχὼν αὖθις, ἐκ τοῦ τότε μὴ προσαπολέσθαι βιασαμένους. ὅθεν Ἀγησίλαος μὲν ὑπὸ τῶν βιασθέντων ὕστερον ἐπῃνεῖτο σωθέντων, Πομπήϊος δὲ δι' ἄλλους ἁμαρτὼν, αὐτοὺς οἷς ἐπείσθη κατηγόρους εἶχε. καίτοι φασί τινες ὡς ὑπὸ τοῦ πενθεροῦ Σκιπίωνος ἐξηπατήθη·

pleverat imperatore, quis ferat Favonii & Domitii dicteriis, & ne Agamemnon appellaretur, tantum non expugnatum, ut de imperio & libertate aleam jaceret? Qui si tantummodo infamiam præsentem spectaret, initio debebat obsistens pro urbe certare, & non in fuga illa jactans Themistoclis se æmulari consilium, postea cunctationem in Thessalia illam ante prœlium ducere turpem. Neque enim istud stadium eis & theatrum ad certandum de imperio Deus assignaverat, campum Pharsalicum: neque excitatus per præconem fuit, ut ad pugnandum descenderet, aut alteri relinqueret coronam: sed multos campos, infinitas urbes, & universam terram maritimæ copiæ præbebant, si vestigiis insistere Maximi, Marii, Luculli, & ipsius voluisset Agesilai, qui non minores tumultus Lacedæmone sustinuit, provocantibus eum ad pugnandum pro agro Thebanis. Multas pertulit etiam in Ægypto calumnias & obtrectationes ob regis imprudentiam, quum suaderet ei ut quiesceret: utens autem ex sententia sua optimis consiliis, non modo Ægyptios conservavit invitos, neque Spartam solum in tanto discrimine stantem perpetuo tenuit, verum etiam trophæum in urbe excitavit de Thebanis, præstititque ex eo quod tunc cum sua importunitate non perierint, ut etiam denuo victoriam potuerint obtinere. Unde Agesilaus ab illis, quibus cogentibus restiterat, post conservatis collaudatus est: at Pompeius, qui aliorum causa titubavit, eos ipsos quibus obtemperaverat, habuit accusatores; licet a socero Scipione fuisse ferant eum deceptum.

τῆθη· τὰ γὰρ πλεῖστα τῶν χρημάτων ὧν ἐκόμιζεν ἐξ Ἀσίας, βουλόμενον αὐτὸν νοσφίσασθαι καὶ ἀποκρύψαντα κατεπεῖξαι τὴν μάχην, ὡς οὐκ ἔτι χρημάτων ὄντων. ὃ κἂν ἀληθὲς ᾖ, οὐκ ὤφειλε παθεῖν ὁ στρατηγὸς, οὐδὲ ῥᾳδίως οὕτω παραλογισθεὶς, ἀποκινδυνεῦσαι περὶ τῶν μεγίστων. ἐν μὲν οὖν τούτοις οὕτως ἑκάτερον ἀποθεωροῦμεν.

Εἰς Αἴγυπτον δ' ὁ μὲν ἐξ ἀνάγκης ἔπλευσε φεύγων, ὁ δ', οὔτε καλῶς οὔτε ἀναγκαίως ἐπὶ χρήμασιν, ὅπως ἔχοι τοῖς Ἕλλησι πολεμεῖν, ἀφ' ὧν τοῖς βαρβάροις ἐστρατήγησεν. εἶτα ἃ διὰ Πομπήϊον Αἰγυπτίοις ἐγκαλοῦμεν, ταῦτα Αἰγύπτιοι κατηγοροῦσιν Ἀγησιλάου. ὁ μὲν γὰρ ἠδικήθη πιστεύσας· ὁ δὲ πιστευθεὶς ἐγκατέλιπε, καὶ μετέστη πρὸς τοὺς πολεμοῦντας οἷς ἔπλευσε συμμαχήσων.

deceptum. Siquidem quo pecuniam majore ex parte, quam deportaverat ex Aſia, interverteret & ſupprimeret, cum quaſi deficiente ſtipendio Pompeium incitaſſe ad maturandam pugnam. Quod ut verum ſit, non debebat tamen eo dux in errorem induci, neque tam leviter eluſus ſummam rerum in præcipitem caſum dare. Atque in his quidem ita utrumque poſſumus in comparando contemplari.

Jam in Ægyptum Pompeius neceſſario navigavit fugiens: alter neque honeſte neque neceſſario pecuniæ cauſa, quo movere Græcis poſſet bellum, ſubſidio mercedis, quam ex ductu ſuo erat a barbaris accepturus. Deinde quam ob rem Ægyptios Pompeii nomine inſectamur, hac de cauſa criminantur Ægyptii Ageſilaum. Ille eſt enim qui iis credebat, violatus: hic, cui fides habebatur, eos deſtituit, & deſcivit ad illos qui cum his, quibus primum venerat ſuppetias, bellum gerebant.

Finis Voluminis Tertii.

JOANNIS RUALDI

ANIMADVERSIONES

AD

INSIGNIORA ΣΦΑΛΜΑΤΑ,

Sive Lapſiones in Vitis Parallelis Plutarchi Chæronenſis, quæ hoc Volumine continentur.

ANIMADVERSIO XVI.

Quod quina millia chlamydum purpurearum Lucullus habuerit, ducenas tantum ſcribente Plutarcho. Lucullus Xerxes togatus. Diſſenſum a Lambino. Horatius ex aliorum mente dixit, quæ a ſe illum dixiſſe vult Plutarchus.

In Lucullo, pagina 193.

Στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ θέας, καὶ χορῷ τινι κόσμον αἰτουμένου πορφυρᾶς χλαμύδας, ἀπεκρίνατο σκεψάμενος, ἂν ἔχῃ, δώσειν. εἶτα μεθ' ἡμέραν ἠρώτησεν αὐτὸν, ὁπόσων δέοιτο. τοῦ δὲ ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύτας. εἰς ὃ καὶ Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα πλείονα τῶν φαινομένων ἐστί. Bis peccat. Nam primo ſcribit Horatius lib. 1. epiſt. VI. unde Plutarchus hæc habet, Lucullum quinquies mille chlamydes domi reperiſſe, hoc eſt, undequinquagies plures quam ab eo eſſent petitæ:

—— chlamydes Lucullus, ut aiunt,
Si poſſet centum ſcenæ præbere, rogatus,
Qui poſſem tot? ait: tamen & quæram: & quot habebo

Mittam: poſt paulo ſcribit, ſibi millia quinque
Eſſe domi chlamydum: partem, vel tolleret omnes.

Accedit quod in eo ingente purpurearum chlamydum numero, ſummarum, quibus circumfluebat Lucullus, opum exemplum luculentum habemus, ut ex iis multa pars non tantum redundaret, ſed etiam dominum falleret, atque ab eo ignoraretur, ut aſſerit Poeta: idque ſane voluit ac velle debuit Plutarchus, exempla congerere aggreſſus, ex quibus videre ſit, Lucullum, ob immanem omnium rerum affluentiam, *Xerxem togatum* jure fuiſſe appellatum: ut *cum omnibus modis* (quod ait verbis Catilinæ Criſpus Salluſtius) *pecuniam traheret vexaretque, ſumma tamen libidine divitias ſuas vincere nequiret.* Itaque non omnem, ut reor, maculam abſtergit Plutarcho vir doctus, ſcribens, poſſe reſponderi, Plutarchum, ut Hiſtoricum, primam hiſtoriæ legem ſervaſſe, quæ eſt, ne quid falſi dicat: Horatium autem, ut Poetam, rei quidem veritatem eo uſque ſecutum, quoad inſtituto ejus opus fuerit: rem ipſam autem pro ſuo jure ornaſſe & auxiſſe verbis.

Alterum errorem, quem hic erravit Plutarchus, optime viderunt utriuſque linguæ interpretes, in quem ne inciderent, ab ipſius auctoris verbis aliquantum deflexerunt. Neque enim dixit Horatius, exiſtimare ſe, illam exilem & inopem eſſe domum, in qua non plurima redundant, ſed præclaro Epiphonemate, avarorum & luxurioſorum hominum ſui temporis mentem expreſſit, ex eorum ſine dubio, non ex ſua, ut vult Plutarchus, perſona ſubjiciens,

Exilis domus eſt, ubi non & multa ſuperſunt,
Et dominum fallunt, & proſunt furibus.

ANIMADV. XVII.

Quod poſitum a Plutarcho nomen Cleonis *pro* Agoracriti *eſt: ſicut ab Euſtathio nomen* Semiramidis *pro* Nabuchodonoſori, *Theræ* pro *Batti,* &c. Macedonum *pro* Perſarum *a Seneca:* Herodoti *&* Cteſiæ *pro* Xenophonte *a Tzetze: a Strabone & Cicerone* Darii *pro* Artaxerxis: *ab eodem Cicerone* Aiacis *pro* Hectoris, Agamemnonis *pro* Ulyſſis, *&c. ab Antonio Mureto* Senecæ Philoſophi *pro* Senecæ Rhetoris: *pro* Achillis, Agamemnonis *a Petro Victorio. Hic idem* μεταμελόμενος.

In Nicia pag. 210.

Ὁ δ' Ἀριστοφάνους Κλέων, ἀπειλῶν λέγει, Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω. Hic erraſſe Plutarchum cognoſcere poteſt non aliquis eruditorum, ſed qui tantum legerit Ariſtophanis *ἱππεῖς*, Actu

tu I. Scena III. vers. 123. Nam inibi non Cleon, vir inter paucos Athenis clarus & potens, de oratoribus & Nicia ista loquitur, sed Agoracritus, allantopola quidam, sive homo vilissimæ sortis, ac fortassis venditor farciminum, cui, quod esset egregie improbus, & audax, & e plebe unus, summam rerum Athenis pollicentem Demosthenem ipse scena II. facit Comica libertate Aristophanes. Quærit Agoracritus:

—— εἰπέ μοι καὶ πῶς ἐγὼ
Ἀλλαντοπώλης ὢν, ἀνὴρ γενήσομαι;

Excipit Demosthenes:

Δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
Ὅτιὴ πονηρὸς, κἀξ ἀγορᾶς εἶ, καὶ θρασύς.

Hoc porro Plutarchi peccatum, & alia ejusmodi non admodum magnæ rei sunt, & à quibus Classici scriptores omnium minime sibi cavere didicerunt. Placet in hoc extremo capite id cognoscere? Eustathius Constantinopolitanus, dignitate Præsul, editis a se in Homerum doctis Commentariis præcipue nobilis, in iis aliis, quos ad Dionysii Alexandrini Περιήγησιν conscripsit, Semiramidem refert illos famosos κήπους κρεμαστοὺς, *hortos pensiles* construxisse: qui re quidem vera Nabuchodonosorum Syriæ sive Assyriorum Regem in Babyloniæ urbe conditorem habuerunt, ut magno consensu narrant Flavius Josephus, lib. x. cap. XIII. Ἀρχαιολογίας. Q. Curtius lib. v. de Alexandri rebus, Diodorus Siculus lib. II. pag. 70. Βιβλιοθήκης: tametsi Diodorus & Curtius ipsius Regis nomen ascribere insuper habuerint. Idem iisdem in Dionysium illum περιηγητὴν Scholiis hallucinatione simili Cyrenen pro Calliste, aut, si vis, Theram filium Autesionis pro Batto, qui unus e nepotibus Theræ celebratur, posuit. Nam Θήρας Αὐτεσίωνος υἱὸς, Eurysthenis & Proclis primorum Spartæ Regum avunculus, coloniam in insulam Callisten deduxit, quæ ab eo postea Thera nuncupata est, ut copiose narrant Herodotus lib. IV. sect. CXLVII. & Pausanias libro VII. qui Ἀχαϊκὰ inscribitur, paulo post principium. Unus autem ex ejus posteris, aut eorum certe, qui una cum eo coloniam deduxerant, nomine Aristoteles, Βάττος a linguæ tarditate cognominatus, exactis inde aliquot seculis, alterius coloniæ in Africam non procul æde Ammonii Jovis deducendæ, atque condendæ inibi Cyrenæ urbis auctor fuit, quod luculente Tzetzes Chiliadis VI. historia XLVIII. Solinus Memorabil. cap. XXXVI. Pausanias in Laconicis, sive libro III. Strabo libro XVII. paulo ante finem, Herodotus in Melpomene, sive lib. IV. sect. CLV. & Herodoti æqualis Pindarus Ode IV. & V. Pythiorum exequuntur. Igitur memoriæ vitium est, quod ait Eustathius, coloniam à Thera Cyrenem de-

σος ὅπη ἂν ᾖ· οὗ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά περ αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δέ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος. Quod planum est a Xenophonte Themistium esse quoque fœneratum. Itaque fallitur Muretus, qui legendum in Xenophonte putat, δικάζουσι δὲ ἥκιστα, non δικάζονται δέ, ut est in vulgatis codicibus, & recte esse Themistius hîc evincit. Quod item Antonius idem Muretus cap. III. lib. XII. Variarum, contendit, emendandum esse locum Senecæ supra positum, & rescribendum *Medorum*, quòd hi Persis conterminі sint, ac pro illis sæpe usurpentur, eum frustra esse omnes antiqui libri docent. Ac denique quoniam ibidem astruendæ correctioni suæ Senecæ memoriam objicit, quam ipsummet ait profiteri, sibi usque eo firmam esse, ut non tantum ad usum sufficeret, sed in miraculum usque procederet; suam ipse memoriam sibi quoque interdum fraudi esse manifestat. Non enim hoc dicit Seneca librorum de Beneficiis auctor, sed illius pater, cognomento Rhetor, libro primo Controversiarum, statim initio. Porro ingrati judicium & pœnam Persis fuisse, testis quoque Ammianus Marcellinus libro XXIII. cap. XXXI. *Leges*, inquit, *apud eos* (Persas) *impendio formidatæ, inter quas diritate exuperant latæ contra ingratos*.

Sed inter legendum Strabonis Geographumena, illius summi auctoris vitium μνημονικὸν mihi quoque olim suboluit. Scribit libro XV. in descriptione Persidis: Τὸν δὲ διατάξαντα τοὺς φόρους Δαρεῖον εἶναι τὸν μακρόχειρα, καὶ κάλλιστον ἀνθρώπων, πλὴν τοῦ μήκους τῶν βραχιόνων καὶ τῶν πηχέων. ἅπτεσθαι γὰρ καὶ τῶν γονάτων. Dario unus solus tribuit, quod cæteri Græci, Latini Artaxerxi primo ejus nominis. Corn. Nepos Strabone paulo antiquior, libello de Regibus: *Duo Artaxerxes, Macrochir & Mnemon.* Et mox: *At Macrochir præcipuam habet laudem amplissimæ pulcherrimæque corporis formæ: quam incredibili ornavit virtute belli.* Plutarchus, filius an pater, in libro Apophthegmatum pag. 173. Ἀρταξέρξης ὁ Ξέρξου, ὁ Μακρόχειρ προσαγορευθείς, διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν. Plutarchus pater in Artaxerxe pag. 277. Ὁ μὲν πρῶτος Ἀρταξέρξης Μακρόχειρ ἐπεκαλεῖτο, τὴν δεξιὰν μείζονα τῆς ἑτέρας ἔχων. Eusebius in Chronico ex versione Hieronymi: *Persarum septimus Artaxerxes, qui Longimanus cognominabatur.* Itaque non animadversum hunc Strabonis errorem à Casaubono diligentissimo homine, & qui Notis accuratissimis hunc auctorem illustravit, jure miramur. Hoc vero minus miramur, Jacobum Pamelium eundem errasse errorem Annotationibus in Tertulliani librum adversus Judæos cap. VIII. distinct. LXIX. Taceo, quod jam vides, etiam pugnare Strabonem & Plutarchum,

super

igitur bis in eodem loco Victorium fefellit memoria, ſcribentem in VI. Variar. c. IX. eſſe verſum e primo Iliad. & illic ab Agamemnone in jurgio pronunciatum. Hic porro geminus Victorii error mihi animadverſus eſt in editione librorum ejus, anni CIↃ IↃ LIII. cui auctor ipſe præfuit. Nam iidem XXIX. poſt annis novis typis mandati ab hac menda & aliis ſimilibus ablepſiis aliquammultis expurgati ſunt: quod tum demum animadvertimus, cùm pagella proxime ſuperior prælo exiiſſet.

V A-

VARIÆ LECTIONES

IN

VOLUMEN TERTIUM.

ΛΥΣΑΝΔΡΟΣ.

PAG. 5. μίσουσιν] ἔθει τοῦ παλαιοῦ, A.
Ib. ἔπειτα. in quibusdam deest ἀπὸ τοῦ παλαιοῦ, V.
P. 6. λιμὸν] ἀπολειπόμενον, V.
P. 7. μέσος] φορτηγά, V. A.
ναυπηγίαν] τῆς μετ' ἐμπορίας, V. A.
P. 14. Δικελείας] ἐπίδειξιν, V. A.
μίαν] πλείων ἢ, A.
P. 16. τοῦ Κύρου] πρῶτος, V. A.
P. 18. ἔσαι] πέφυκε, A.
σοι τῆς] σφιγγόμενα, V. A.
ἐνίων] ἀναιρεμένοις, A.
οὐρανίων] οὐκ ἀεὶ πρὸς, A.
P. 19. ὑπὸ] ςρατηγὸν αὐτοῦ, ἀλλ' V.
P. 21. Ἀρχεῖ] ἑαλωκέναι, A.
δαιμονίων] εἰς τὸν Πειραιᾶ.
πλῆθος] εἰκοσιόντι, V.
P. 24. νῦν τῆς] τοσούτων, V. A.
P. 25. ματι] οὐχ οὕτως ἀφήρει, A.
P. 26. Κῦρος] Ἀναξανδρίδης, V.
ζουι] πρώτῳ, V. A.
Ib. Ἑλλήνων ἐκείνῳ βωμὸς, V. A.
μὲν] ᾠδὴ, V.
πολιτῶν] πειρατῶν, A.
ρᾶτε] ἐπ' αὐτοῦ, V.
P. 27. ἢ δῆλον] ἄπειν, Aurat. A.
ἐπαχθὴς] ἐπαχθὴς, V.
P. 29. ρίας] λόγους αὐτοῦ συνελθεῖν ὡς λύσων, A.
συνελθὼν] αὐτόθι ἑτέραν, V.
P. 30. πρῶτον] φύλακας, A.
P. 31. θίων] ἀρεσαίτων, V.
P. 34. κρασπεδίτην] τοῦ Λυσάνδρου, V.
P. 35. Σπάρτην] καὶ τὴν ὅλην, V. A.
τῆς βασιλ.] βελτιόνων, A.
P. 36. ςεῖλαι] Λίβυας, V. A.
P. 37. Λύσανδρος] συνύφαινεν, V.
ἀναγνῶναι] τὰς ἄλλας ἔπλασαν, A.
διελιάσαντος] ἀναδύντος, V.
P. 38. τῆς] εἰς τὴν Ἑλλ. V.
χωρεῖν] Λύσανδρος δέ φησιν, V.
γράμμασιν] φύλην, A.
P. 39. αὐτὸν] ἐπ' αὐτὸν, V.
βασιλεία] ἀπίστευον, A.
ἔξω] ἐν ὀρθίῳ, V.
P. 42. τιχῆ] Δύκους, A.

ΣΥΛΛΑΣ.

P. 44. δεῖν] οὐκ ἔτι, V. A.
Ib. βίων, V.
P. 45. καὶ πολυ.] ἐτίθεντο, V.
μέλλων] διητῶντο, V.
P. 46. ρότερα] πρὸς τὸ καταισχύνειν τὸ ἀξίωμα, V. πρὸς τοῦ, &c.
ἔτι] συνήνεγκεν, A.
ἐξέπλασεν] Ἰουγύρθα, V.
P. 47. τότε] βουλὴν, V.
P. 48. χρυσοῦ] ἀφ' οὗ. V.
πρὸς] ἀγεραινομένην, V.
P. 49. λας] τὸ πρώτῳ, V.
P. 50. ἔλαχε] ἐνεκάλεσε, V.
τοῦ] Καπιτωλίῳ, V.
παρ'] αὐταῖς, V.
P. 51. ςρατείας] ἐγκεχωρηκέναι δεχούσης. ἀλλὰ ταύτης γε τῆς ςρατείας. οὐδὲν, V. ςρατίας εὐκεχωρηκέναι δεχούσης. Ἀλλὰ ταύτης γε τῆς ςρατείας, A.
τὸ πλεῖον] quidam ὅλως ἑαυτὸν, V.
θείαν] αἰτίαν ποιεῖ, V.
μνήμασιν] ἀνατίθησι, V.
P. 52. ἑαυτὸν] παραλόγως, παραλόγως ἐφυβρίσαι. A.
πόλεμον] ἰωμένοις, V. A.
P. 53. ἔτι] τὴν καὶ θυγ. V.

Ib.

Ib. Ισόλαν ἔχε, A.
P. 54. ψαν] δαιμόνιον εὐθὺς προσήμηνε, A.
κατεσβέσθη] εἰς τ̃ ὁδὸν κατέφαγον, V. A.
τὰ δὲ] νοσιάν, V.
ταπτῆξαι] φρονιμώτατοι, V.
τιμῇ] προσαγορεύουσι, V.
P. 55. καθάπερ] ἀγυρταίας, γεωργὸς, V. ϛρεθόν. τὺς ᾗ χωρίτας ἀγυρταίας, καθάπερ τέτλιγας, A.
Μάριος] δημαρχοῦντας Συλπίκιον, V. δημαρχοῦντα Συλπίκιον, A.
P. 56. Σύλλας] συνεξαχθεὶς, V.
τὰς] ὑπάρχοντα πάσας, A.
πικιος] Μιθριδάτε ϛρατιὰν, V.
P. 57. διαζων] παρ' ἑαυτῷ, V.
χης] καλῶς αὐτῷ, V.
τόντων] ἀπὸ τῷ ϛεγῶν, A.
P. 59. μον] σημαῦσαι, V.
υσαν] ἐκπιϛεύοντα, V.
ζε] διαπλεόμθμον, V.
πόρῳ] ἀοικήτων, A.
P. 61. ἀπλεισάσης] διὰ τὸ κόπτειαξ, V. A.
P. 62. τοι τ̃] τῦτο μ̃ Τίτον Φλαμινῖνον, A.
τῷ] ἐνίδωκεν, V.
ἀρχὰς] ἀπὸ τῷ, V.
P. 65. ἱππικὸν] ὑπαπὸν, V.
τύχῳ] πολλὰ τοῦ, V.
P. 68. χιαξ] ἐπὶ τ̃ λόγον, A.
P. 69. φι] Τίτιος, A.
Σαλωνῖνος] ἐπὶ τίλος, A.
P. 70. τὸ καλόμθμον] ἐςὶ δὴ, V.
κ̃ καταλῦσαι] τ̃ ᾗ, V.
τίρυ] Γάλϐα, V. Γάλϐας, A.
κ̃ Ὀρτήσιος] παρενέϐαλλον, V. A.
P. 71. Ἐν ᾗ] Ἴρτιόν ἄρχοντα, A.
βραχίως] τάσιν, τάξιν, A.
P. 72. λιμ'ων] ὅς ἐκ τ̃ πόλιων, A.
P. 73. ἀντιαποδιδόντων] ϛήσαντα, V.
ἀνακεκλημθμοι] πρός τι, V.
P. 74. παρεῖχεν] κατεςρατοπίδευσιν, V.
P. 75. ὑμεῖς] μέμνησθε, A.
P. 76. τ̃ μάχης] τ̃ μάχης ἐκείνης, V. A.
P. 77. λοιπὸς] μεταλαϐὼν, V.
ἀφεῖναι] Νικομηδείας, V.
P. 78. ᾗ ἔπεισιν] αὐτὸς, V.
P. 81. τ̃ Νηλέως] κληρονομίαν, A.
P. 83. ἀπεκλείσας] φασὶ, V.
τας κ̃] συμμεῖναι, V. A.
P. 84. προσειληθέντος] ἠσπάσαντο τὺς τ̃ Σκιπίωνος. V. οἱ ᾗ ἀντασπασάμθμοι, V. A.

τα Μάριον] τῷ παιδίῳ Μαρίῳ, V.
P. 92. κ̃ Μετέλλης] Μαιὰ Γλαϐρίωνος, A.
P. 93. πέρας] ἐναυλόν.
P. 95. ὀμμάτων] ἐπ' ἀλλήλοις, V.
δὸς] ὁ λυσιῳδὸς, V.
P. 99. ἐν τοσούτοις] τοιούτοις, V.
P. 100. μθμος] ὃ κ̃ φύσει, V.
πον] οὕτω τὸ ὁ, V.
ἀδικίαι] τ̃ μ̃ ὑπ. φ. τ̃ ᾗ, V.
λας ᾗ] Πομπηΐε περίκοψε τὸ ϛρατε V. A.
P. 101. πεπραγμθμος] εἰ δή τις, V.
P. 102. δαξε] προσδῆαξ, V.
τεῖχος] ἀνθρώπυς, V. A.
P. 104. ετο] αὐτὸς, V.

K I M Ω N.

P. 107. ϛη τ̃] τ̃ λαθεῖν, Bodl. 3.
P. 109. διαχρεῦν] αἰσχρῶς, Bodl. 3.
τητα] βασιλικῆς, Bodl. 3.
σχόντες] ἱκασος, Bodl. 3.
P. 110. κ̃ τελευτῆσαι] ἐν Σκαπτησύλη, V. A.
ἀδελφῆς] τ̃ δῆμον, A.
P. 111. Φαῦλον] φαύλων, V.
Αὐτῦ] αὐτῦ δὲ, V.
Κιχρωπίαν] κόσμησ' ἡμιθέων, Bodl. 3.
τρὸς] αὐτόν τε, V.
P. 113. λατίαν] Πανσανίᾳ τε, Bodl. 3.
P. 114. σιλέως] παρὰ τῷ, Bodl. 3.
P. 115. κατέσησεν] Βύτης, V.
τα, τῇ] πῦρ ἐνεῖναι, V.
Ἡγεμόνεσσι] ἐπέδωκαν, Bodl. 3.
Ἔκποτε] πόλιας, Bodl. 3.
P. 119. μίων] ἀφελῆαξ, Bodl. 3.
βαλλον] ὁ κωμικὸς, Bodl. 3.
κ̃ παντ] πρόμῳ, A.
P. 121. μίζων] ὅτι, Bodl. 3.
P. 122. ρυς] κ̃ κατέςρεφε, Bodl. 3.
ὅπλων] ἐρημῶσαι, V.
μασιν] ὑπὸ πολλῶν, Bodl. 3.
P. 123. ἀπὸ] ταύτας λησθεῖσαι, V. Bodl. 3.
ὡς εἰκὸς] διακοσίυς, Bodl. 3.
της] deeſt οἱ, Bodl. 3.
P. 124. χία] ἐπωνόματο, V.
P. 125. τριάκοντα] τὰ χρύσεια, V. A. Bodl. 3.
P. 126. ἐκεῖθεν] ἀναχωῶν, Bodl. 3.
δρυ] συμπιςεῦαξ, Bodl. 3.
Μακεδόνων] Μακεδόνας, Λακεδαιμονίυς, V. Λακεδαιμονίων, A. Μακεδονίυς, Bodl. 3.
P. 127. αν] ἤδη κ̃, Bodl. 3.

P. 128. πράως] ὁμιλοῦντες, V. Bodl. 3.
P. 130. τις] ἀσεβεῖν ἀσαυτε, Bodl. 3.
P. 134. κρείττονα] Ἑλληνικὸς ἀγών, Bodl. 3.

ΛΟΥΚΟΥΛΛΟΣ.

P. 136. Αὐτὸς] τιθηνοὺς, A.
Ἑλληνικὸν] ἐκτίλαν, A.
P. 137. ἤθελησεν] ἐπηγάγετο, Bodl. 3.
στρατιωτικῶν] λαμβάνων, Bodl. 3.
P. 138. ὄντων] δυστυχοῦσιν, Bodl. 3.
P. 139. πλῆθος] πλὴν ὅσαι, V. A.
λων] ἐκφύγοι, Bodl. 3.
P. 141. Ἐλίαν] Ἐλαίαν, Bodl. 3.
P. 142. φίλῳ] ἔθηκε, Bodl. 3.
μιλησίας] Κοίντον, A.
P. 143. οὐδένα] Μιθριδάτην, Bodl. 3.
ἐν τῇ] αἰτίαν, Bodl. 3.
P. 144. Φιμβρίαν] τὸ Φιμβρίαν, Bodl. 3.
P. 145. τὸν ἐπὶ] χρυσοφόροις, A.
σας] ἀγωνισάμενος, Bodl. 3.
P. 146. ἐν τῷ] μεταλάβῃ, Bodl. 3.
P. 147. σκηνῇ] καταλίποιτε, Bodl. 3.
Ἐν] πεπληγέναι, Bodl. 3.
P. 148. ἠγάπησε] ἀσώτατος, Bodl. 3.
στρατὸν] Θρᾳκίαν, Bodl. 3.
παιδεία] ὕποπτος. Bodl. 3.
P. 150. το δὴ] ὑφαιρέσει, Bodl. 3.
P. 153. τοσαύτης] ἐμβαλεῖν, Bodl. 3.
P. 154. το τὸ] προσαγάγοι, Bodl. 3.
εἴ τις] ἄγει, Bodl. 3.
P. 155. καὶ] deest καὶ ante βασιλέως, Bodl. 3.
P. 157. Ἦν] Δανδαρίων, Bodl. 3. & sic infra.
P. 158. Ἐκ] Σωννάτιος, Bodl. 3.
P. 160. τὸ κινδύνου] Φαρνακίαν, A.
αὐτὴν] αὐτῆς, Bodl. 3.
ἀπῳκισμένη] σωθεῖσι, Bodl. 3.
P. 161. φημὸν] οὔτ' ἀγνοεῖς, Bodl. 3.
Ἐλάσας] ἡμέρᾳ τετάρτῃ, Bodl. 3.
Ib. ἐφθάκει, V.
P. 162. θάλασσαν] εἰωθεῖσαν, Bodl. 3.
Ib. Ἀρίστων, A.
P. 163. νον] ἐλάθερον, Bodl. 3.
φὰς] ἀνδρείαν, Bodl. 3.
P. 164. τοῖς τόκοις] πεπονθότες, Bodl. 3.
P. 165. οὐκ] ἀναγινώσκει, Bodl. 3.
τέσσαρες] ὡς αἰεὶ, Bodl. 3.
ζοντι] ἐπηλλαγμένων, Bodl. 3.
P. 166. ἐλπίσεις] τότε δὲ, Bodl. 3.
μένον] ἀκόντα, V.
P. 168. μέζοντες] ἐφθησαν, Bodl. 3.
P. 169. δὲ Μιθρ.] deest τε ante καὶ, Bodl. 3.
Σωρνάτιον] πεντικῶν, Bodl. 3.
P. 170. συνάγοντι] καὶ συνάγοντι, Bodl. 3.
P. 171. χρήματα] βουλομένοις, Bodl. 3.
P. 172. στρατῷ] ἀνεκβάλλεσθαι, V. Bodl. 3. διεκβαίνεσθαι. A.
P. 174. τὸ] deest μανιώδες, Bodl. 3.
πρὸς] τοῦ δ' εἰς, Bodl. 3.
σκοποῦντι] περὶ τὸ, Bodl. 3.
P. 175. μὸν] μικρῶς, Bodl. 3.
πλον] ἀπὸ τὸ, V.
P. 176. καὶ περὶ] νόννων, Bodl. 3.
P. 178. τρέφειν] μετ' ἔργῳ, V. Bodl. 3.
P. 179. σιν] καὶ πλεῖστον, Bodl. 3.
P. 181. βασιλεῖς] ἡγεμονιῶν, V. A.
Γορδυηνῆς] ἀναβησόμενος, Bodl. 3.
P. 182. ἀναστὰς] Ἀρτάξαντα, Bodl. 3.
τοῦ] πρὸ νήπιοι, Bodl. 3.
ἄλλων] αὐτῷ, Bodl. 3. Ib. χρησίμων, A. f. χρησίμων.
ἀνάγκης] τὸ ἐπ'. V.
στρατὸν] προστεταγμένας, Bodl. 3.
μένας] πρὸς τὰς, Bodl. 3.
P. 183. Μιθριδάτης] οὐδὲ τὸ, Bodl. 3.
P. 184. βάρβαροι] Νίσιβιν, V.
Λουκούλλῳ] βαλλόμενος, Bodl. 3.
Μίχρι] τὸ δὲ. A. Bodl. 3.
P. 185. πᾶν] Κοίντιον, A.
P. 186. καὶ πολλῶν] πολλὴν, Bodl. 3.
ἀγανακτεῖν] προσποιούμενοι, Bodl. 3.
ἐν Ἰβηρίᾳ] τί δεῖ δεῖ, V.
P. 187. ψυχὰς] φυλάσσομεν, Bodl. 3.
P. 188. βάρβαρις] αὐτοῖς, Bodl. 3.
μηδὲ] οἱ ἰ πρέσβεις, A.
μάτην] ὡς δὴ, Bodl. 3. Ib. ἤδη παρόντες, A.
τὸς] περικαλοῦντο, V.
μηδαμοῦ] ἀπηρκότας, V.
P. 189. καὶ φοβερὸς] ὅμως ἰδοὺς, Bodl. 3.
πλείστων] δ' οὖν . . . . ἀμφοτέρων, Bodl. 3.
P. 190. Παρθῶν] καὶ κατὰ Λουκ. Bodl. 3.
P. 193. κλον] κατασχεῖν πυρόσαντων, A. κατασκοπαὶ περιοπῶν, Bodl. 3.
P. 195. λοῦτρος] σήμερον, Bodl. 3.
οἰκίταις] deest γλυκύς, Bodl. 3. Ib. αὐτοῦ γινομένων, V. A. Bodl. 3. αὐτοῦ γινομένων, V.
ἐκείνων] τήμερον, Bodl. 3.
στῷ γὰρ] δακτυλίῳ, Bodl. 3.

P. 196.

P. 196. δεῖ τὸ] δεῖ τῳ, Bodl. 3.
πάνης] εἰς ταῦτα, Bodl. 3.
P. 198. ἐδόκει] ὑπ' αὐτῷ, Bodl. 3.
λυθῇ] διάνοιαν αὐτοῦ, V. Bodl. 3.
διοικεῖν] ἐν ἀρχῇ, Bodl. 3.
P. 199. ἰχόντων] μέτοι κ, Bodl. 3.
μύθων] deest ὡς, Bodl. 3.
P. 200. ὅτης] γεγονέναι δοκεῖ, Bodl. 3.
μασι] ἐμμελέστερος, V. Bodl. 3.
κας] ὡς πρεσάγη, Bodl. 3.
P. 201. ἀγαθεὶ] ἡμέρᾳ ἅμα πάλη, A.
πάλη] παραδοξονίκας, A.
χων] ἱερεῖς, V. A. Bodl. 3. αὐτοῖς, V.
σων τὸ] αὐτοῖς διδοὺς, A.
στρατηγῶν] παρ' αὐτὸν αἰτίας, A.
P. 202. μέμψεις] ἀφ' ὧν, V. A.
ἢ ἴσα] ᾠκειωσάμενος, Bodl. 3.
κρατήσαντες] ὡς ἐδόκει, Bodl. 3.
